A οὐδεὶς ἔμεινεν ἀτιμώρητος, ἐπάρας ἑαυτὸν κατὰ τῶν κρειττόνων· οὔτε γὰρ τῷ νόμῳ Δαθὰν καὶ Ἀβειρὼν ἀντεῖπον, ἀλλὰ Μωσεῖ, καὶ ζῶντες εἰς ᾅδου κατεπέμφθησαν. Κορὲ δὲ καὶ οἱ συμφρονήσαντες αὐτῷ κατὰ Ἀαρών, διακόσιοι πεντήκοντα, πυρίφλεκτοι γεγόνασιν. Ἀβεσαλὼν πατραλοίας γενόμενος, ἐκκρεμὴς ἐν φυτῷ γέγονε, καὶ ἀκοντίοις ἐβλήθη τὴν κακόβουλον καρδίαν. Ἀβεδδαδὼν ὡσαύτως τῆς κεφαλῆς ἀφαιρεῖται, δι' ὁμοίαν αἰτίαν. Ὀζίας λεπρεύεται, κατατολμήσας ἱερέων καὶ ἱερωσύνης. Σαοὺλ ἀτιμοῦται, μὴ περιμείνας τὸν ἀρχιερέα Σαμουήλ. B χρὴ οὖν καὶ ἡμᾶς αἰδεῖσθαι τοὺς κρείττονας· καὶ πρέπον ἐστὶ μὴ μόνον καλεῖσθαι χριστιανούς, ἀλλὰ καὶ εἶναι· οὐ γὰρ τὸ λέγεσθαι, ἀλλὰ τὸ εἶναι καὶ μακάριον ποιεῖ. Εἴ τινες ἐπίσκοπον μὲν λέγουσι, χωρὶς δὲ αὐτοῦ πάντα ποιοῦσι, τοῖς τοιούτοις ἐρεῖ καὶ αὐτός, ὃς καὶ ὁ ἀληθινὸς καὶ πρῶτος ἐπίσκοπος, καὶ μόνος φύσει ἀρχιερεύς· τί με καλεῖτε, κύριε, κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; οἱ γὰρ τοιοῦτοι οὐκ εὐσυνείδητοι, ἀλλ' εἴρωνές τινες καὶ μορφῶνες εἶναί μοι φαίνονται. ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, καὶ πρόκειται ζωὴ ἡ ἐκ φυλακῆς, καὶ θάνατος ὁ ἐκ παρακοῆς, καὶ ἕκαστος τῶν ἡρημένων εἰς τὸν C τόπον τοῦ αἱρεθέντος μέλλει χωρεῖν, φύγωμεν τὸν θάνατον, καὶ ἐκλεξώμεθα τὴν ζωήν. δύο γὰρ λέγω χαρακτῆρας ἐν ἀνθρώποις εὑρίσκεσθαι, καὶ τὸν μὲν, νομίσματος· τὸν δὲ, παραχαράγματος. ὁ θεοσεβὴς ἄνθρωπος, νόμισμά ἐστιν ὑπὸ θεοῦ χαραχθέν· ὁ ἀσεβὴς, ψευδώνυμον νόμισμα, κίβδηλον, νόθον, παραχάραγμα, οὐχ ὑπὸ θεοῦ, ἀλλ' ὑπὸ διαβόλου ἐνεργηθέν. οὐ δύο φύσεις ἀνθρώπων λέγων, ἀλλὰ τὸν ἕνα ἄνθρωπον, ποτὲ μὲν θεοῦ, ποτὲ δὲ διαβόλου γίνεσθαι. ἐὰν εὐσεβὴς τις ἄνθρωπος, θεοῦ ἐστιν· ἐὰν δὲ ἀσεβὴς τις, ἄνθρωπος τοῦ διαβόλου, οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ D τῆς ἑαυτοῦ γνώμης γενόμενος. οἱ ἄπιστοι εἰκόνα ἔχουσι τοῦ ἄρχοντος τῆς πονηρίας· οἱ πιστοὶ εἰκόνα ἔχουσι τοῦ ἄρχοντος θεοῦ πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχωμεν τὸ ὑπὲρ ἀληθείας ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις, τὸ πᾶν πλῆθος ἐθεώρησα ἐν πίστει, καὶ ἠγάπησα, παραινῶ, ἐν ὁμονοίᾳ θεοῦ σπουδάζετε πάντα πράττειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον θεοῦ, καὶ τῶν πρεσβυτέρων, εἰς τόπον συνεδρίου τῶν ἀποστόλων, καὶ τῶν διακόνων τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ, ὃς πρὸ αἰώνων παρὰ τῷ E πατρὶ γεννηθεὶς, ἦν λόγος θεὸς, μονογενὴς υἱός· καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὁ αὐτὸς διαμένει· τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, φησὶ Δανιὴλ ὁ προφήτης. πάντες οὖν ἐν ὁμονοίᾳ ἀλλήλους ἀγαπήσωμεν· καὶ μηδεὶς κατὰ σάρκα βλεπέτω τὸν πλησίον, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ. μηδὲν ἔστω ἐν ὑμῖν, ὃ δυνήσεται ὑμᾶς μερίσαι. ἀλλ' ἑνώθητε τῷ ἐπισκόπῳ, ὑποτασσόμενοι τῷ θεῷ δι' αὐτοῦ ἐν Χριστῷ. ὥσπερ οὖν ὁ κύριος ἄνευ τοῦ πατρὸς οὐδὲν ποιεῖ·

οὐ δύναμαι γάρ, φησί, ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· οὕτω καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, μηδὲ πρεσβύτερος, μὴ διάκονος, μὴ λαϊκός, μηδὲ τι φαινέσθω ὑμῖν εὔλογον παρὰ τὴν ἐκείνου γνώμην· τὸ γὰρ τοιοῦτον παράνομον, καὶ Θεοῦ ἐχθρόν. πάντες ἐπὶ τὸ αὐτὸ ἐν τῇ προσευχῇ ἅμα συνέρχεσθε· μία δέησις ἔστω κοινή, εἷς νοῦς, μία ἐλπὶς ἐν ἀγάπῃ, ἐν πίστει τῇ ἀμώμῳ, τῇ εἰς Χριστὸν Ἰησοῦν, οὗ ἄμεινον οὐδέν ἐστι, πάντες ὡς εἷς, εἰς τὸν ναὸν Θεοῦ συντρέχετε, ὡς ἐπὶ ἓν θυσιαστήριον, ἐπὶ ἕνα Ἰησοῦν Χριστόν, τὸν ἀρχιερέα τοῦ ἀγεννήτου Θεοῦ. μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις, μηδὲ μύθοις ἀνέχετε, καὶ γενεαλογίαις ἀπεράντοις, καὶ Ἰουδαϊκοῖς τύφοις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. εἰ γὰρ μέχρι νῦν κατὰ νόμον Ἰουδαϊκόν, καὶ περιτομὴν σαρκὸς ζῶμεν, ἀρνούμεθα τὴν χάριν εἰληφέναι· οἱ γὰρ θειότατοι προφῆται κατὰ Ἰησοῦν Χριστὸν ἔζησαν· διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ἀπὸ τῆς χάριτος, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν ὁ παντοκράτωρ, ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ λόγος, οὐ ῥητός, ἀλλ' οὐσιώδης. οὐ γάρ ἐστι λαλιᾶς ἐνάρθρου φώνημα, ἀλλ' ἐνεργείας θεϊκῆς οὐσία γεννητή, ὃς πάντα κατευηρέστησε τῷ πέμψαντι αὐτόν. εἰ οὖν οἱ παλαιοῖς γράμμασιν ἐναστραφέντες, εἰς κενότητα ἐλπίδος ἦλθον, ἐκδεχόμενοι Χριστόν, ὡς ὁ κύριος διδάσκει λέγων, εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύσατε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. καὶ Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη· πρὶν γὰρ Ἀβραάμ, ἐγώ εἰμι· πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ, οὗ καὶ οἱ προφῆται ὄντες δοῦλοι, τῷ πνεύματι προεώρων αὐτόν, καὶ ὡς διδάσκαλον ἀνέμενον, καὶ προσεδόκων ὡς κύριον καὶ σωτῆρα, λέγοντες, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς; μηκέτι οὖν σαββατίζωμεν Ἰουδαϊκῶς, ὡς ἀργίαις χαίροντες· ὁ μὴ ἐργαζόμενος γάρ, μὴ ἐσθιέτω. ἐν ἱδρῶτι γὰρ τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, φασὶ τὰ λόγια. ἀλλ' ἕκαστος ἡμῶν σαββατιζέτω πνευματικῶς, μελέτῃ νόμου χαίρων, οὐ σώματος ἀνέσει, δημιουργίαν Θεοῦ θαυμάζων, οὐχ ἕωλα ἐσθίων, καὶ χλιαρὰ πίνων, καὶ μεμετρημένα βαδίζων, καὶ ὀρχήσει, καὶ κρότοις νοῦν οὐκ ἔχουσι χαίρων· καὶ μετὰ τὸ σαββατίσαι, ἑορταζέτω πᾶς φιλόχριστος τὴν κυριακήν, τὴν ἀναστάσιμον, τὴν βασιλίδα, τὴν ὕπατον πασῶν τῶν ἡμερῶν, ἣν περιμένων ὁ προφήτης ἔλεγεν, εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης· ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλε, καὶ τοῦ θανάτου γέγονε νίκη ἐν Χριστῷ· ὃν τὰ τέκνα τῆς ἀπωλείας ἀρνοῦνται οἱ ἐχθροὶ τοῦ σωτῆρος, ὧν ὁ Θεὸς ἡ κοιλία· οἱ τὰ ἐπίγεια φρονοῦντες, οἱ φιλήδονοι, καὶ οὐ φιλόθεοι, μόρφωσιν εὐσεβείας ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· οἱ χριστέμποροι, τὸν λόγον καπηλεύοντες, καὶ τὸν Ἰησοῦν πωλοῦντες· οἱ τῶν γυναικῶν φθορεῖς, καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταί, οἱ χρηματολαίλαπες·

A *Nec enim possum*, inquit, *facere à me ipso quicquam*: Sic & vos sine Episcopo, nec presbyter, nec diaconus, nec " laicus. Nec quicquã videatur vobis consentaneum, quod sit præter illius iudicium: quod enim tale est, iniquum est & Deo inimicum. Omnes ad orandum in idẽ loci conuenite, sit vna communis precatio, vna mens, vna spes in charitate & fide inculpata in Christum Iesum, quo nihil præstantius est. Omnes velut ad vnum altare, ad vnum Iesum Christum summum sacerdotem Dei ingeniti. Ne patiamini vos seduci aliis opinionibus, nec fabulis nec " genealo-
B giis nũquam finiendis, nec fastiui Iudaico attendatis. Vetera transierunt, ecce noua facta sunt omnia. Si nãque adhuc iuxta legem Iudaicam & circumcisionem carnis vixerimus, negamus nos gratiam accepisse. Diuinissimi nãq; Prophetæ iuxta Christum Iesum vixerunt, & ob hoc persecutionem passi sunt gratia inspirati, vt plenè erudirentur " increduli, quòd vnus Deus est omnipotens, qui seipsum manifestauit per Iesum Christum filium suum, qui & ipsius Verbum, non pronunciatum, sed substantiale. Nec enim est articulati
C sermonis vox, sed diuinæ efficaciæ genita essentia; quia omnia grata & placita reddidit ei qui se miserat. Si igitur vetustis literis scripturísq. inhærentes in vanam spem deuenerunt, expectantes Christũ, vt docet Christus, *Si crederetis*, inquiens, *Moysi*, " *crederetis & mihi: de me enim scripsit ille.* Et, *Abraham pater vester exultauit vt videret diem meum, vidit & gauisus est. Priusquàm enim Abraham fieret, ego sum.* Quomodo nos poterimus viuere sine ipso, cuius serui & prophetæ, spiritu prçuiderunt ipsum: & vt præceptorem, vt Dominum & saluatorem expectarunt, dicentes, *Ipse ve-*
D *niet & saluabit nos?* Non igitur sabbatizemus Iudaïco more, velut otio gaudentes. *Qui enim non laborat, non edat. In sudore vultus tui vesceris pane tuo*, habent oracula. Sed vnusquisque nostrûm sabbatizet spiritualiter, meditatione legis gaudẽs, non corporis refocillatione & remissione, opificium Dei admirãs, non pridiana " comedens, & tepida bibens, & ad præscripta spatia obãbulans, & saltationibus plausibúsq. insanis gaudens. At post sabbatũ, omnis Christi amator Dominicum celebret diem, resurrectioni consecratum Dominicæ
E reginam & principem omnium dierum, quã expectans Propheta dicebat; *In finem pro octaua*, In qua, & vita nostra exorta est, & per Christum mors deuicta. Quem negant quoque filij perditionis, hostes Saluatoris, *quorum Deus venter est*, qui terrena sapiunt; voluptatũ, non Dei amatores; *speciem quidẽ pietatis habentes, virtutẽ verò ipsius abnegantes*: sub Christi nomine " & prætextu, mercatũ exercẽtes; verbũ Dei adulterantes, & Iesum vendentes; mulierũ corruptores, alienísq; appetẽtes, & pecuniarum violentissimi " raptores;

Ioan. 5. e
Contra schismaticos.
Christus Sacerdos Dei ingeniti.
Propheta iuxta Christũ vixerunt.
Christus Patris Verbum, non pronunciatum sed substantiale.
Ioan. 5. g
Isai. 25. b
1. Thess. 3.
Gen. 3.
Saltationes.
Dies Dominicus.
In Titulo. Psal. 6. & 11.
Phil. 3. d.
2. Tim. 3. a

à quibus Dei misericordia liberemini per Dominum nostrum Iesum Christum. Tangat itaque nos illius bonitas. Si enim arguat nos iuxta actiones nostras, iam perimus. *Si enim iniquitates obseruaueris Domine, Domine quis sustinebit?* Simus itaque digni cognomento quod accepimus. Qui enim alio nomine appellatur præter hoc, hic non est Dei, nec accepit prophetiã loquentem de nobis: *Appellatur nomine nouo quo Dominus nominabit eum, & erit populus sãctus*, quod primùm in Syria impletum est. Antiochiæ enim primùm discipuli appellati sunt Christiani, cùm Petrus & Paulus fundarent Ecclesiam. Abiicite igitur malum illud vetus & putridum fermentum, & transmutamini in nouũ fermentum gratiæ. Habitate in Christo, ne alienus dominetur vobis. Absurdum est Iesum Christum sonare lingua, & mente non habere Iudaismum abolitum. vbi enim est Christianismus, non est iudaismus. Vnus enim est Christus Iesus, in quem gens omnis credẽs, & omnis lingua confitens, in Deo coadunatæ sunt; & ij qui lapideo erant corde, filij Dei facti sunt, & amici Abrahæ, & in semine eius benedicẽtur omnes destinati ad vitã æternã in Christo. Hæc scribo, charissimi, nõ quòd cognouerim aliquos vestrũ hoc animo affectos esse; sed vt minor inter vos cupio vobis cautũ, ne incidatis in hamos inanis gloriæ, sed plenã de Christo cognitionẽ habeatis, qui ante omnia secula natus ex Deo patre, pòst verò natus est ex Maria virgine sine viri cõmercio, quiq; sanctè vixit, omneq; morbum & imbecillitatẽ curauit in populo, signa & prodigia patrauit ad benefaciendum hominibus, & iis qui in superstitionem plurium deorum impegerant, vnũ verum Deum patrẽ suum annunciauit, qui passus est, & à Christicidis Iudæis sub Pontio Pilato præside & rege Herode crucẽ sustinuit, mortuus est; & resurrexit, ascendit in cœlos ad eum à quo missus erat, sedetque ad dexterã ipsius, qui venturus est in fine seculorum cum paterna gloria, vt iudicet viuos & mortuos, reddàtque vnicuique secundum opera sua. Hæc qui plenè cognouit & crediderit, beatus est, quemadmodum & vos estis Dei amatores & Christi, in plenitudine spei vestræ; à qua exorbitare quemquam vestrûm absit. Vtinam fruar vobis per omnia, si dignus sim. Tametsi enim vinctus sim, comparandus tamen vni vestrum solutorum non sum. Noui quòd in vobis nihil fastus sit. Iesum enim habetis in vobisipsis, at magis cùm laudo vos, scio quòd rubore suffundamini, sicut scriptum est: *Iustus accusator est sui ipsius*: Et, *Dicito tu primus peccata tua vt iustificeris*. Et, *Cùm feceritis omnia quæ præcepta sunt vobis, dicite, serui inutiles sumus*. Nam quod apud homines est eximium, abominabile est apud Deum. *Deus enim*, inquit ille, *propitius*

Psal.129.

Christiani primum Antiochia nominati.

Petrus & P. Ecclesiã fundauerunt.

Iudæi Christicidæ.

Christus venturus ad Iudicium vt reddat cuique iuxta opera sua.

Prou.18.
Isai.18.

Luc.16.
Luc.18.

A ὧν ῥυσθείητε ἐλέει Θεοῦ, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μὴ οὖν ἀναίσθητοι ὦμεν τῆς χρηστότητος αὐτοῦ. ἐὰν μιμήσηται ἡμᾶς, καθὰ πράττομεν, οὐκ ἔτι ἐσμέν. ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, κύριε, τίς ὑποστήσεται; γενώμεθα οὖν ἄξιοι τῆς ἐπωνυμίας ἧς εἰλήφαμεν. ὃς γὰρ ἂν ἑτέρῳ ὀνόματι καλῆται πλέον τούτου, οὗτος οὐκ ἔστι τοῦ Θεοῦ, οὐ δέδεκται τὴν προφητείαν τὴν λέγουσαν περὶ ἡμῶν, ὅτι κληθήσεται ὀνόματι καινῷ, ὃ ὁ κύριος ὀνομάσει αὐτόν, καὶ ἔσται λαὸς ἅγιος. ὅπερ καὶ πεπλήρωται πρότερον ἐν Συρίᾳ· ἐν Ἀντιοχείᾳ γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ Χριστιανοί, B Παύλου καὶ Πέτρου θεμελιούντων τὴν ἐκκλησίαν. ὑπέρθεσθε οὖν τὴν κακὴν ζύμην, τὴν παλαιωθεῖσαν, τὴν σεσηπυῖαν· καὶ μεταβάλεσθε εἰς νέαν ζύμην χάριτος. ἁλίσθητε ἐν Χριστῷ, ἵνα μὴ ὁ ἀλλότριος ὑμῶν κυριεύσῃ. ἄτοπόν ἐστιν Ἰησοῦν Χριστὸν λαλεῖν ἐπὶ γλώσσης, καὶ τὸν παυθέντα Ἰουδαϊσμὸν ἐπὶ διανοίας ἔχειν. οὗ γὰρ Χριστιανισμός, οὐκ ἔστιν Ἰουδαϊσμός. εἷς γάρ ἐστιν ὁ Χριστός, εἰς ὃν πᾶν ἔθνος πιστεῦσαν, καὶ πᾶσα γλῶσσα ἐξομολογησαμένη, εἰς Θεὸν συνήχθη, καὶ γεγόνασιν οἱ λιθώδεις τῇ καρδίᾳ, τέκνα τοῦ Θεοῦ, φίλοι Ἀβραάμ· καὶ ἐν τῷ C σπέρματι αὐτοῦ, ἐνευλογήθησαν πάντες οἱ τεταγμένοι εἰς ζωὴν αἰώνιον ἐν Χριστῷ. ταῦτα δέ, ἀγαπητοί μου, οὐκ ἐπιγνοὺς τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας, ἀλλ' ὡς μικρότερος ὑμῶν, θέλω προφυλάσσεσθαι ὑμᾶς μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας, ἀλλὰ πληροφορεῖσθαι ἐν Χριστῷ τῷ πρὸ πάντων τῶν αἰώνων γεννηθέντι παρὰ τοῦ πατρός, γενομένῳ δὲ ὕστερον ἐκ Μαρίας τῆς παρθένου, δίχα ὁμιλίας ἀνδρός· καὶ πολιτευσάμενον ὁσίως, καὶ πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσαντα ἐν τῷ λαῷ, σημεῖα καὶ τέρατα ποιήσαντα, ἐπ' εὐεργεσίᾳ ἀνθρώπων, D καὶ τοῖς ἐξοκείλασιν εἰς πολυθεΐαν, τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν καταγγείλαντα, τὸν ἑαυτοῦ πατέρα· καὶ τὸ πάθος ὑποστάντα, καὶ πρὸς τῶν Χριστοκτόνων Ἰουδαίων ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος, καὶ Ἡρώδου βασιλέως, καὶ σταυρὸν ὑπομείναντα, καὶ ἀποθανόντα· καὶ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς πρὸς τὸν ἀποστείλαντα· καὶ καθεσθέντα ἐν δεξιᾷ αὐτοῦ, καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τῶν αἰώνων μετὰ δόξης πατρικῆς, κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ταῦτα ὁ γνοὺς ἐν πληροφορίᾳ, καὶ πιστεύσας, μακάριος· ὥσπερ οὖν καὶ ὑμεῖς φιλόθεοι καὶ φιλόχριστοί ἐστε ἐν πληροφορίᾳ τῆς ἐλ- E πίδος ὑμῶν· ἧς ἐκτραπῆναι μηδενὶ ἡμῶν γένοιτο. ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάνπερ ἄξιος ὦ. εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμί. οἶδα ὅτι οὐ φυσιοῦσθε· Ἰησοῦν γὰρ ἔχετε ἐν ἑαυτοῖς. καὶ μᾶλλον ὅταν ἐπαινῶ ὑμᾶς, οἶδα ὅτι ἐντρέπεσθε, ὡς γέγραπται· δίκαιος ἑαυτοῦ κατήγορος· καί, λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· καί, ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἐσμὲν ἀχρεῖοι· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμα παρὰ Θεῷ. ὁ Θεὸς γάρ, φησιν, ἱλά-

esto

θητί μοι τῷ ἁμαρτωλῷ. διὰ τοῦτο οἱ μεγάλοι ἐκεῖνοι Ἀβραὰμ καὶ Ἰακὼβ, γῆν καὶ σποδὸν ἔμπροσθεν τοῦ Θεοῦ ἑαυτοὺς ἴσον ὠνόμαζον. καὶ ὁ Δαβὶδ, Τίς εἰμι ἐγὼ ἐναντίον σου κύριε, ὅτι ἐδόξασας με ἕως τούτου; καὶ Μωσῆς ὁ παρὰ πάντας ἀνθρώπους πραότατος, λέγει πρὸς Θεὸν ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ. Ταπεινοφρονεῖτε οὖν καὶ αὐτοὶ, ἵνα ὑψωθῆτε. ὁ ταπεινῶν γὰρ ἑαυτὸν, ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται. σπουδάσατε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασι τοῦ κυρίου καὶ τῶν ἀποστόλων, ἵνα πάντα ὅσα ποιῆτε, κατευοδωθήσονται, σαρκί τε καὶ πνεύματι, πίστει καὶ ἀγάπῃ, μετὰ **B** τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν, καὶ ἀξιονίκου καὶ πνευματικοῦ Στεφάνου τοῦ πρεσβυτέρου ὑμῶν, καὶ τῶν κατὰ Θεὸν διακόνων. ὑποτάγητε τῷ ἐπισκόπῳ, καὶ ἀλλήλοις, ὡς ὁ Χριστὸς τῷ πατρί, ἵνα ἕνωσις ἡ κατὰ Θεὸν ἐν ὑμῖν. εἰδὼς ὑμᾶς πεπληρωμένους παντὸς ἀγαθοῦ, συντόμως παρεκάλεσα ὑμᾶς ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ. μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν, ἵνα Θεοῦ ἐπιτύχω, καὶ τῆς ἐν Συρίᾳ ἐκκλησίας, ἧς οὐκ ἄξιός εἰμι καλεῖσθαι ἐπίσκοπος. ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν Θεῷ προσευχῆς καὶ ἀγάπης, εἰς τὸ ἀ- **C** ξιωθῆναι τὴν ἐν Συρίᾳ ἐκκλησίαν, διὰ τῆς εὐταξίας ἡμῶν, ποιμανθῆναι ἐν Χριστῷ. ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης, ὅθεν καὶ γράφω ὑμῖν, παρόντες εἰς δόξαν Θεοῦ ὥσπερ καὶ ὑμεῖς, οἱ κατὰ πάντα με ἀνεπαύσατε, ἅμα Πολυκάρπῳ. καὶ αἱ λοιπαὶ δὲ ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς. ἔρρωσθε ἐν ὁμονοίᾳ, πνεῦμα κεκτημένοι ἀδιάκριτον, ἐν Χριστῷ Ἰησοῦ διὰ θελήματος Θεοῦ.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ τοὺς ἐν Ταρσῷ, ζ.

D

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος τῇ σεσωσμένῃ ἐν Χριστῷ ἐκκλησίᾳ, ἀξιεπαινέτῳ, καὶ ἀξιομνημονεύτῳ, ἀξιαγαπήτῳ, τῇ οὔσῃ ἐν Ταρσῷ, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, πληθυνθείη διὰ παντός.

ΑΠΟ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, οὐχ ὑπὸ ἀλόγων θηρίων βιβρωσκόμενος· ταῦτα γὰρ ὡς ἴστε, Θεοῦ θελήσαντος, ἐφείσατο τοῦ Δανιήλ· ἀλλ' ὑπὸ ἀνθρωπομόρφων, οἷς ὁ ἀνήμερος θὴρ ἐμφωλεύει, ὃς νύττει με σήμερον καὶ τιτρώσκει. ἀλλ' οὐδενὸς λόγον **E** ποιοῦμαι τῶν δεινῶν, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς ἀγαπῶν αὐτὴν μᾶλλον ἢ τὸν κύριον. διὸ ἕτοιμός εἰμι πρὸς πῦρ, πρὸς θηρία, πρὸς ξίφος, πρὸς σταυρὸν μόνον, ἵνα Χριστὸν ἴδω τὸν σωτῆρα μου, καὶ Θεὸν τὸν ὑπὲρ ἐμοῦ ἀποθανόντα. παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος Χριστοῦ, ὁ διὰ γῆς καὶ θαλάττης ἐλαυνόμενος. στήκετε ἐν τῇ πίστει ἑδραῖοι γίνεσθε, ὅτι δίκαιος ἐκ πίστεως ζήσεται· γίνεσθε ἀκλινεῖς, ὅτι κύριος

A *esto mihi peccatori.* Ob hoc magni illi Patriarchæ, Abraham & Iacob terram & cinerem seipsos forsan coram Deo nominauerunt. Et Dauid: *Quis sum ego in conspectu tuo, Domine, quia euexisti me hucusque?* Et Moses ille mitissimus super omnes homines, dicit ad Deum; *Exili voce, & tardiori lingua sum.* Submisse itaque sentite & ipsi, vt exaltemini. *Qui enim se humiliat, exaltabitur, & qui se exaltat humiliabitur.* Studete itaque vt confirmemini in dogmatibus Domini & Apostolorum, vt omnia quæ facitis prospere succedant, & carne & spiritu, fide & charitate, cum dignissimo Episcopo vestro, & coronando " spiritali Stephano presbytero vestro, & Dei ministris diaconis. Subiecti este Episcopo, & vobis mutuo; vt Christus Patri; vt inter vos diuina quædam sit " vnio. Cum sciam vos plenos omnis boni, breuibus cohortatus sum in charitate Iesu Christi. Memores estote mei in orationibus vestris, vt Deum assequar, & Ecclesiæ quæ in Syria est, cuius non sum dignus appellari Episcopus. Opus enim mihi est amabili in Deo precatione vestra & charitate, vt Ecclesia quæ in Syria est, mereatur nostra moderatione & disciplina pasci in Christo. Salutant vos & Ephesij de Smyrna, vnde hæc scribo vobis, qui præsentes adsunt in Dei gloriam, vti & vos qui me vnà cum Polycarpo recreastis: & ceteræ Ecclesiæ, in honore Iesu Christi, salutant vos. Valete concordes, spiritum possidentes indiuulsum, in Christo Iesu per voluntatem Dei.

Gen.24. 1.Par.17. Exod.4 Mat.23.

EIVSDEM AD TARSENSES, Epistola VII.

IGNATIVS, qui & Theophorus: saluatæ per Christum laudandæ, memorandæ, & adamandæ Ecclesiæ, quæ Tarsi est, misericordia & pax à Deo Patre, & Domino Iesu Christo, multiplicetur semper.

A SYRIA Romam vsque cum bestiis depugno, non quòd à brutis feris deuorer (hæ namque, vt nostis, Deo volente pepercerunt Danieli) sed à feris humanam gerentibus formam; in quibus, immitis illa fera cubat, quæ me quotidie pungit & vulnerat. Verùm nihili pendo supplicia hæc neque tanti facio vitam meam, vt eam plus amem quàm Dominum. Quare paratum me offero igni, feris, gladiis, cruci, dummodo Christum videam, Saluatorem & Deum meum, qui propter me mortuus est. Obsecro vos ego vinctus Christi, qui terra marique exagitor; *state in fide*: este constantes, quia *iustus ex fide viuit*, estote immobiles, quia *Dominus*

Dan.6. 1.Cor.16. Abacuc.2.c. Rom.1.b Gal.1.

Psal. 67. *habitare facit vnius moris in domo.* Noui quos-
dã ministrorum Satanæ voluisse vos turbare,
quorum alij asseuerant Iesum opinione tan-
tùm & phantasia natum, & opinione crucifi-
Hæreses varia de Christi diuinitate & humanitate. xum: alij verò dicunt eũ non esse filium Crea-
toris omnium: nonnulli vero, quod ipse est
super omnia Deus: aliqui, quòd merus ho-
mo: alij vero quod hæc caro non resurgit, &
quod voluptuaria vita amplectenda sit: hunc
enim esse finem bonorum, iis qui paulò pòst
corrumpendi sint. Tantorum malorum ag-
men se petulanter ingessit: At vos ne ad ho-
ram quidem cedatis, illis aures accommodã-
tes. Pauli enim estis ciues & discipuli, qui ab
Hierosolymis & in circuitu vsque ad Illyri-
cum euangelicam expleuit prædicationem,
& stigmata Christi in carne sua circumtulit:
cuius cùm memineritis, prorsus cognoscitis
quòd Iesus Christus verè natus est ex Maria,
factus de muliere, & reuera crucifixus est.
Gal. 6. *Mihi verò absit* (inquit) *gloriari, nisi in cru-*
Act. 26. *ce Domini mei Iesu Christi:* & verè passus
& mortuus est, & resurrexit. *Si passibilis,*
Rom. 6. inquit, *est Christus; si primus ex mortuorum*
resurrectione. Et, *Quòd mortuus est, peccato*
mortuus est, quod autem viuit, viuit Deo. Quæ
enim vinculorum vtilitas, Christo non mor-
tuo? quæ vtilitas tolerantiæ? quę flagrorum?
Cur tandem Petrus se crucifigi, Paulus &
Iacobus gladio se truncari passi sunt: Ioan-
nes autem in Pathmon relegatus est: Stepha-
nus autem lapidibus interemptus à Iudæis,
qui Dominum trucidarunt? Verùm nihil ho-
rum temerè factum. Reuera enim ab impiis
crucifixus est Dominus; & hic ipse qui ex
muliere natus est, filius est Dei: & qui cruci-
fixus est, primogenitus est omnis creaturæ
Deus Verbum, & ipse fecit omnia. Dicit
1. Cor. enim Apostolus; *Vnus Deus Pater, ex quo om-*
1. Tim. 2. *nia: vnus Dominus Iesus Christus per quẽ omnia:*
Et, *vnus enim Deus, & vnus mediator Dei & ho-*
Coloss. 1. *minum homo Iesus Christus:* Et, *per ipsum creata*
sunt omnia, visibilia, & inuisibilia, & ipse
est ante omnia & in ipso omnia constant. Quòd
autem ipse non sit super omnia Deus, &
pater, sed filius ipsius, dicit: *Ascendo ad Patrem*
Ioan. 20. *meũ, & Patrem vestrum, Deum meum & Deum*
1. Cor. 17. *vestrum.* Et, *Cum subiecta fuerint illi omnia, tunc*
& ipse filius subijcietur ei, qui sibi subiecit omnia,
vt sit Deus omnia in omnibus. Ergo est qui
subiecit & qui est omnia, in omnibus, &
alius cui hæc subiecta sunt, qui etiam cum
omnibus subiicitur. Sed neque homo merus
Ioan. 1. est, per quem & in quo facta sunt omnia. *Om-*
Prou. 8. *nia enim per ipsum facta sunt. Quando faciebat*
cœlos, vnà ipsi aderam, & ibi aderam illi, coaptans
singula, & congratulabatur mihi quotidie, con-
gaudebatque. Quomodo merus homo audi-
uit, *Sede à dextris meis?* Quomodo verò dice-
Psal. 109. bat, *Antequam Abraham fieret, ego sum?* Et, *Glo-*
Ioan. 8. *rificabis me gloria quam habui antequã esset mun-*
Ioan. 6. *dus.* Qualis verò homo dicet, *descendi de cælo,*

A κατοικίζει μονοτρόπους ἐν οἴκῳ. ἔγνων, ὅτι τινὲς τῶν τοῦ
σατανᾶ ὑπηρετῶν ἐβουλήθησαν ὑμᾶς ταράξαι· οἱ μὲν,
ὅτι Ἰησοῦς δοκήσει ἐγεννήθη, καὶ δοκήσει ἐσταυρώθη· οἱ δὲ,
ὅτι οὐκ ἔστιν υἱὸς τοῦ δημιουργοῦ· οἱ δὲ, ὅτι αὐτός ἐστιν ὁ
ἐπὶ πάντων Θεός· ἄλλοι δὲ, ὅτι ψιλὸς ἄνθρωπός ἐστιν.
ἕτεροι δὲ, ὅτι ἡ σὰρξ αὕτη οὐκ ἐγείρεται, καὶ δεῖ τὸν ἀπο-
λαυστικὸν βίον μετιέναι. τοῦτο γὰρ εἶναι πέρας τῶν ἀγαθῶν
τοῖς μετ' οὐ πολὺ φθαρησομένοις. τοσούτων κακῶν ἑ-
σμὸς εἰσεκώμασεν. ἀλλ' ὑμεῖς, οὐδὲν πρὸς ὥραν εἴξα-
τε τῇ ὑποταγῇ αὐτῶν. Παύλου γάρ ἐστε πολῖται καὶ μα-
B θηταὶ, τοῦ ἀπὸ Ἱεροσολύμων, καὶ κύκλῳ μέχρι τοῦ Ἰλ-
λυρικοῦ πεπληρωκότος τὸ εὐαγγέλιον, καὶ τὰ στίγματα
τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέροντος· οὗ μεμνημένοι,
πάντως γινώσκετε, ὅτι Ἰησοῦς ὁ Χριστὸς ἀληθῶς ἐγεννήθη
ἐκ Μαρίας, γενόμενος ἐκ γυναικὸς, καὶ ἀληθείᾳ ἐ-
σταυρώθη· ἐμοὶ γὰρ, φησὶ, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν
τῷ σταυρῷ τοῦ κυρίου Ἰησοῦ. καὶ ἀληθείᾳ ἔπαθε, καὶ
ἀπέθανε, καὶ ἀνέστη· εἰ παθητὸς γάρ φησιν, ὁ Χριστὸς, εἰ
πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, καὶ, ὃ ἀπέθανε, τῇ ἁμαρ-
τίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, τῷ Θεῷ ζῇ. ἐπεὶ τίς
χρεία δεσμῶν, Χριστοῦ μὴ ἀποθανόντος; τίς χρεία ὑπο-
C μονῆς; τίς χρεία μαστίγων; τί δήποτε, Πέτρος μὲν ἐσταυ-
ροῦτο; Παῦλος δὲ καὶ Ἰάκωβος μαχαίρᾳ ἐτέμνοντο;
Ἰωάννης δὲ ἐφυγαδεύετο ἐν Πάτμῳ; Στέφανος δὲ ἐν
λίθοις ἀνῃρεῖτο πρὸς τῶν κυριοκτόνων Ἰουδαίων; ἀλλ' οὐ-
δὲν τούτων εἰκῆ. ἀληθείᾳ γὰρ ἐσταυρώθη ὁ κύριος ὑπὸ τῶν
δυσσεβῶν· καὶ ὅτι οὗτος ὁ γεννηθεὶς ἐκ γυναικὸς, υἱός ἐστι
τοῦ Θεοῦ· καὶ ὁ σταυρωθεὶς, πρωτότοκος πάσης κτίσεως·
καὶ Θεὸς λόγος· καὶ αὐτὸς ἐποίησε τὰ πάντα. λέγει γὰρ ὁ
ἀπόστολος· εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς
κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· εἷς γὰρ Θεὸς, καὶ
εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς
D Χριστός. καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν οὐρανῷ καὶ
ἐπὶ γῆς, ὁρατὰ καὶ ἀόρατα. καὶ αὐτός ἐστι πρὸ πάν-
των, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. καὶ ὅτι οὐκ αὐ-
τός ἐστιν ὁ ἐπὶ πάντων Θεὸς καὶ πατὴρ, ἀλλ' υἱὸς ἐκεί-
νου· λέγει· ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα
ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν· καὶ, ὅταν ὑποταγῇ
αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑπο-
τάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.
οὐκοῦν ἕτερός ἐστιν ὁ ὑποτάξας, καὶ ὢν τὰ πάντα ἐν πᾶ-
E σι· καὶ ἕτερος, ᾧ ὑπετάγη, ὃς καὶ μετὰ πάντων ὑπο-
τάσσεται· καὶ οὔτε ψιλὸς ἄνθρωπος ὁ δι' οὗ, καὶ ἐν ᾧ γέ-
γονε τὰ πάντα· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο· ἡνίκα ἐποίει
τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ἐκεῖ ἤμην παρ'
αὐτῷ ἁρμόζουσα, καὶ προσέχαιρέ μοι καθ' ἡμέραν. πῶς
δ' ἂν ὁ ψιλὸς ἄνθρωπος ἤκουσε, κάθου ἐκ δεξιῶν μου·
πῶς δὲ καὶ ἔλεγε, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. καὶ,
δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον γενέσθαι.
ποῖος δ' ἄνθρωπος ἔφη, καταβέβηκα ἐκ τοῦ οὐρανοῦ,

οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. περὶ ποίου δὲ ἀνθρώπου ἔλεγεν; ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. πῶς οὖν ὁ τοιοῦτος, ψιλὸς ἄνθρωπος, καὶ ἐκ Μαρίας ἔχων τὴν ἀρχὴν τοῦ εἶναι, ἀλλ᾽ οὐχὶ Θεὸς λόγος, καὶ μονογενὴς υἱός. ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. καὶ ἐν ἄλλοις, κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. ὅτι δὲ καὶ ἀνίστανται τὰ σώματα ἡμῶν, λέγει, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. καὶ ὁ ἀπόστολος, δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. καὶ ὅτι δεῖ σωφρόνως ζῆν, καὶ δικαίως, καθὼς Παῦλος πάλιν λέγει, Μὴ πλανᾶσθε· οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε λοίδοροι, οὔτε μέθυσοι, οὔτε κλέπται, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν· κενὴ δὲ καὶ ἡ πίστις ἡμῶν, ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο, εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν· οὕτω δὲ διακείμενοι, τί διοίσομεν ὄνων καὶ κυνῶν, οἱ μηδὲν τοῦ μέλλοντος φροντίζοντες, μόνου τοῦ φαγεῖν εἰσὶν ὀρεκτικοί, καὶ τοῦ μετὰ τὸ φαγεῖν; ἀνεπίστητοι γάρ εἰσι τοῦ νοοῦ τοῦ κινοῦντος ἔνδοθεν. ὀναίμην ὑμῶν ἐν κυρίῳ. νήφετε, πᾶσαν ἕκαστος κακίαν ἀπόθεσθε, καὶ τὸν θηριώδη θυμόν, καταλαλιάν, συκοφαντίαν, αἰσχρολογίαν, εὐτραπελίαν, ψιθυρισμόν, φυσίωσιν, μέθην, λαγνείαν, φιλαργυρίαν, φιλοδοξίαν, φθόνον, καὶ πᾶν τὸ τούτοις συνῳδόν. ἐνδύσασθε δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. οἱ πρεσβύτεροι ὑποτάσσεσθε τῷ ἐπισκόπῳ· οἱ διάκονοι, τοῖς πρεσβυτέροις· ὁ λαός, τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις. ἀντίψυχος ἐγὼ τῶν φυλαττόντων ταύτην τὴν εὐταξίαν· καὶ ὁ κύριος εἴη μετ᾽ αὐτῶν διηνεκῶς. οἱ ἄνδρες, στέργετε τὰς γαμετὰς ὑμῶν· αἱ γυναῖκες τοὺς ὁμοζύγους. οἱ παῖδες, τοὺς γονεῖς προσηνεῖσθε· οἱ γονεῖς, τὰ τέκνα ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. τὰς ἐν παρθενίᾳ τιμᾶτε, ὡς ἱερείας Χριστοῦ· τὰς ἐν σεμνότητι χήρας, ὡς θυσιαστήριον Θεοῦ. οἱ δοῦλοι, μετὰ φόβου τοῖς κυρίοις ἐξυπηρετεῖτε· οἱ κύριοι, μετὰ φειδοῦς τοῖς δούλοις ἐπιτάσσετε. μηδεὶς ἐν ὑμῖν ἀργὸς ἔστω· μήτηρ γὰρ τῆς ἐνδείας ἡ ἀργία. ταῦτα οὐκ ἐπιτάττω, ὡς ὤν τις, εἰ καὶ δέδεμαι, ἀλλ᾽ ὡς ἀδελφὸς ὑπομιμνήσκω. εἴη κύριος μεθ᾽ ὑμῶν. ὀναίμην ὑμῶν τῶν προσευχῶν.

A *non vt faciam voluntatem meam, sed voluntatem eius qui misit me.* De quo porrò homine dicebat (Euangelista) *Erat lux vera quæ illuminat omnem hominem venientem in hunc mundum: In mundo erat, & mundus per ipsum factus est; & mundus illum non cognouit. In propria venit, & sui eum non receperunt?* Quomodo igitur hic merus homo, & qui essentiæ ex Maria cepisset exordium, & non potius Deus Verbum, & vnigenitus Filius? *In principio enim erat Verbum, & Verbum erat apud Deum; & Deus erat Verbum.* Et alibi: *Dominus creauit me* B *initium viarum suarum in opera sua, ante omnes colles generat me.* Quod autem resurgunt corpora nostra, dicit: *Amen dico vobis, quia venit hora in qua omnes qui in monumentis sunt, audient vocem Filij Dei: & qui audierint, viuent.* Et Apostolus, *Oportet*, inquit, *corruptibile hoc induere incorruptionem, & mortale hoc induere immortalitatem.* Et quod oportet pudicè & iustè viuere, constat ex iis quæ Paulus rursum dicit: *Ne erretis: neque adulteri, neque molles, neque pædicones, neque conuitiatores, neque ebriosi, neque fures, regnum Dei hæreditabunt.* Et, *Si mortui non resurgunt, neque Christus resurrexit,* C *vana est igitur prædicatio nostra, vana fides nostra: Igitur & qui in Christo dormierunt, perierunt: Si in hac vita tantum in Christo speramus, miserabiliores sumus omnibus hominibus. Si mortui non resurgunt, edamus, & bibamus, cras enim moriemur.* Hoc verò modo affectis nobis, quid discriminis erit inter nos, & canes & asinos, qui futurorum nullam rationem habẽtes, solum edendi, & eius quod subsequitur, appetitum habent? Nesciunt enim quid mentem moueat interius. Vtinam fruar vobis in Domino. Sobrij estote, singuli abiicite omnem ma- D litiam, ferinam excandescentiam, detractionem, calumniam, turpiloquium, scurrilitatẽ, susurros, fastum, ebrietatem, libidinem, auaritiam, inanem gloriam, inuidiam, & his similia. *Induite* verò *Dominum Iesum Christum, & carnis curam ne feceritis ad explendas concupiscẽtias.* Presbyteri subiecti estote Episcopo, diaconi presbyteris, populus presbyteris & diaconis. Qui hoc ordinis decorum seruarint, pro eorum animabus ego libens meam commutauero, & Dominus sit cum ipsis perpetuò. Viri, diligite vxores vestras; & mulieres, vestros coniuges. Liberi, parentes honorate: E parentes, educate liberos vestros in disciplina & exhortatione Domini. Eas quæ in virginitate degunt in pretio habete, velut Christi sacerdotes; viduas in pudicitia permanentes, vt altare Dei. Serui, cum timore dominis ministrate. Domini, cum moderatione in seruos imperium exercete. Nemo inter vos otiosus sit; mater enim egestatis inertia: Porrò hæc non impero vobis quasi sim aliquid, tametsi vinctus sum, verum vt frater, commonefacio. Sit Dominus vobiscum. Vtinam consequar orationum vestrarum fructum;

Ibidem. — *Ioan.1.* — *Prou.8.* — *Ioan.5.* — *1. Cor.15.* — *2. Cor.6.* — *1. Cor.15.* — *Contra Epicureos.* — *Exortatio Christiana.* — *Rom.* — *Hierarchia Ecclesiastica decorum.*

orate vt Iesum adipiscar. Commendo vobis Antiochenam Ecclesiam. Salutant vos Ecclesiæ Philippensium, vnde & scribo hæc. Salutat vos Philo diaconus vester, cui & ego gratias ago studiosè mihi in omnibus ministranti. Salutat vos Agathopus diaconus Syrus, qui me sequitur in Christo. Salutate inuicem osculo sancto. Saluto vniuersos & vniuersas in Christo. Valete corpore, anima, & spiritu vno; & mei ne sitis immemores. Dominus vobiscum.

Osculum sanctum.

A προσεύχεσθε ἵνα Ἰησοῦ ἐπιτύχω. παρατίθεμαι ὑμῖν τὴν ἐν Ἀντιοχείᾳ ἐκκλησίαν. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι Φιλιππησίων, ὅθεν καὶ γράφω ὑμῖν. ἀσπάζεται ὑμᾶς Φίλων ὁ διάκονος ὑμῶν, ᾧ καὶ ἐγὼ εὐχαριστῶ, σπουδαίως ὑπηρετοῦντί μοι ἐν πᾶσιν. ἀσπάζεται ὑμᾶς Ἀγαθόπους ὁ διάκονος, ὁ ἐκ Συρίας, ὃς ἀκολουθεῖ μοι ἐν Χριστῷ. ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. ἀσπάζομαι πάντας καὶ πάσας τοὺς ἐν Χριστῷ. ἔρρωσθε σώματι καὶ ψυχῇ καὶ πνεύματι ἑνί, καὶ ἐμοῦ μὴ ἐπιλάθησθε. ὁ κύριος μεθ' ὑμῶν.

EIVSDEM AD PHILIPPENSES, de Baptismate.

Epistola V.

IGNATIVS, qui & Theophorus, Ecclesiæ Dei misericordiam consecutæ in fide & tolerantia & charitate non ficta, quæ est Philippis; misericordia & pax à Deo patre, & Domino Iesu Christo, qui est Saluator omnium hominum; maximè autem fidelium.

MEMORES charitatis vestræ, & propensi in Christo erga nos animi, quæ declarastis; decere existimauimus vt scriberemus C ad charitatem vestram erga fratres tam beneuolam & nos adamantem iuxta præceptum Dei, & commonefaceremus vos de cursu vestro in Christo, vt idem dicatis omnes vnanimes, in eadem fidei regula gradientes, vt Paulus vos admonebat. Si enim vnus est vniuersorum *Deus Pater* Christi, *ex quo omnia, vnus* autem *Dominus noster Iesus Christus, per quem omnia, & vnus Spiritus qui operatus est* in Mose, in Prophetis & Apostolis, *& vnum Baptisma*, quod in mortem Domini datur, & vna electa Ecclesia, debet esse & vna secundùm Christum fides, *vnus enim Dominus, vna Fides, & vnum Baptisma*: vnus D Deus & Pater omnium, & per omnia, & in omnibus. Vnus igitur Deus & Pater, nō duo neque tres: vnus qui est, nec est alius præter ipsum, solus & verus. *Dominus enim*, inquit, *Deus tuus, Deus vnus est*: Et iterum, *Nonne vnus, Deus creauit nos? nonne vnus Pater omnium nostrûm*: Vnus & Filius, Verbum Deus; *Vnigenitus*, enim, inquit, *qui est in sinu Dei Patris*: & rursus, *Vnus Dominus Iesus Christus*: & alibi, *quod nomen illi, & quod nomen Filio eius, vt cognoscamus?* Vnus autem & Paraclecus. *Vnus* enim, inquit, *& Spiritus: quoniam vocati sumus in vna spe vocationis nostræ*. Et iterum, *De vno spiritu bibimus*, &c. Et, *Omnia hæc manifestum est operari vnum & eundem spiritum*. Non itaque tres patres, neque tres filij, neque tres paracleti, sed vnus Pater, vnus Filius, & vnus Spiritus sanctus. Quare & Dominus mittens Apostolos ad docendum omnes gentes, præcepit illis vt baptizarent,

1. Cor. 8.

Deut. 6. Malach. 2. Ioan. 1.

1. Cor. 8. Prou. 30. Ephes. 4.

1. Cor. 10. 1. Cor. 12.

B ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Φιλιππησίους, περὶ βαπτίσματος, ε.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ ἠλεημένῃ ἐν πίστει καὶ ὑπομονῇ, καὶ ἀγάπῃ ἀνυποκρίτῳ, τῇ οὔσῃ ἐν Φιλίπποις, ἔλεος, εἰρήνη ἀπὸ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

ΜΕΜΝΗΜΕΝΟΙ τῆς ἀγάπης ὑμῶν καὶ τῆς ἐν Χριστῷ σπουδῆς, ἧς ἐνεδείξασθε εἰς ἡμᾶς, πρέπον ἡγησάμεθα γράψαι πρὸς τὴν φιλάδελφον ὑμῶν κατὰ Θεὸν ψυχικὴν ἀγάπην, ὑπομιμνήσκειν ὑμᾶς τοῦ ἐν Χριστῷ ὑμῶν δρόμου, ἵνα τὸ αὐτὸ λέγητε πάντες σύμψυχοι, τὸ ἓν φρονοῦντες, τῷ αὐτῷ κανόνι τῆς πίστεως στοιχοῦντες, ὡς Παῦλος ὑμᾶς ἐνουθέτει. Εἰ γὰρ εἷς ἐστιν ὁ τῶν ὅλων Θεὸς, ὁ πατὴρ τοῦ Χριστοῦ, ἐξ οὗ τὰ πάντα· εἷς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς, ὁ τῶν ὅλων κύριος, δι' οὗ τὰ πάντα· ἓν δὲ καὶ πνεῦμα ἅγιον, τὸ ἐνεργῆσαν ἐν Μωσῇ καὶ προφήταις καὶ ἀποστόλοις· ἓν δὲ καὶ τὸ βάπτισμα, τὸ εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον· μία καὶ ἡ ἐκλεκτὴ ἐκκλησία, μία ὀφείλει εἶναι καὶ ἡ κατὰ Χριστὸν πίστις· εἷς γὰρ κύριος, μία πίστις, ἓν D βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. εἷς οὖν Θεὸς καὶ πατὴρ, καὶ οὐ δύο, οὐδὲ τρεῖς· εἷς ὁ ὢν, καὶ οὐκ ἔστι πλὴν αὐτοῦ, ὁ μόνος ἀληθινός. κύριος γὰρ, φησὶν, ὁ Θεός σου, κύριος εἷς ἐστι· καὶ πάλιν, οὐχ εἷς Θεὸς ἔκτισεν ἡμᾶς, οὐχ εἷς πατὴρ πάντων ἡμῶν; εἷς δὲ καὶ υἱὸς λόγος Θεός· ὁ μονογενὴς γάρ, φησιν, ὁ ὢν εἰς τοὺς κόλπους τοῦ πατρὸς. καὶ πάλιν, εἷς κύριος Ἰησοῦς Χριστός· καὶ ἐν ἄλλῳ, τί ὄνομα αὐτοῦ, ἢ τί ὄνομα τῷ υἱῷ, ἵνα γνῶμεν; εἷς δὲ καὶ ὁ παράκλητος· ἓν γάρ φησι, καὶ πνεῦμα, ἐπειδὴ ἐκλήθημεν ἐν μιᾷ E ἐλπίδι τῆς κλήσεως ἡμῶν· καὶ πάλιν, ἓν πνεῦμα ἐποτίσθημεν, καὶ τὰ ἑξῆς. πάντα δὲ ταῦτα τὰ χαρίσματα δῆλον ὅτι ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. οὔτε οὖν τρεῖς πατέρες, οὔτε τρεῖς υἱοὶ, οὔτε τρεῖς παράκλητοι. ἀλλ' εἷς πατὴρ, καὶ εἷς υἱὸς, καὶ εἷς παράκλητος. διὸ κύριος ἀποστέλλων τοὺς ἀποστόλους μαθητεῦσαι πάντα τὰ ἔθνη, ἐνετείλατο αὐτοῖς βαπτίζειν

εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· οὔτε εἰς ἕνα τριώνυμον, οὔτε εἰς τρεῖς ἐνανθρωπήσαντας, ἀλλ᾽ εἰς τρεῖς ὁμοτίμους. Εἷς γὰρ ὁ ἐνανθρωπήσας, οὔτε ὁ πατὴρ, οὔτε ὁ παράκλητος, ἀλλὰ μόνος ὁ υἱὸς, οὐ δοκήσει, οὐ φαντασίᾳ, ἀλλ᾽ ἀληθείᾳ. ὁ λόγος γὰρ σὰρξ ἐγένετο· ἡ γὰρ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· καὶ ἐγεννήθη ὡς ἄνθρωπος, ὁ Θεὸς λόγος, μετὰ σώματος ἐκ τῆς παρθένου, ἄνευ ὁμιλίας ἀνδρός· ἡ παρθένος γὰρ ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν. ἀληθῶς οὖν ἐγεννήθη, ἀληθῶς ηὐξήθη, ἀληθῶς ἔφαγε καὶ ἔπιεν, ἀληθῶς ἐσταυρώθη, καὶ ἀπέθανε καὶ ἀνέστη. ὁ ταῦτα πιστεύσας, ὡς ἔχει, ὡς γεγένηται, μακάριος· ὁ ταῦτα μὴ πιστεύων, ἐναγὴς, οὐχ ἧττον τῶν τὸν κύριον σταυρωσάντων. ὁ γὰρ ἄρχων τοῦ κόσμου τούτου, χαίρει ὅταν τις ἀρνῆται τὸν σταυρόν· ὄλεθρον γὰρ ἑαυτοῦ γινώσκει, τὴν ὁμολογίαν τοῦ σταυροῦ. τοῦτο γάρ ἐστι τὸ τρόπαιον κατὰ τῆς αὐτοῦ δυνάμεως. ὅπερ ὁρῶν φρίττει, καὶ ἀκούων φοβεῖται. καὶ πρὶν μὲν γένηται ὁ σταυρὸς, ἐσπούδαζε γενέσθαι τοῦτον, καὶ ἐνήργει ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐνήργει ἐν Ἰούδᾳ, ἐν Φαρισαίοις, ἐν Σαδδουκαίοις, ἐν πρεσβύταις, ἐν νέοις, ἐν ἱερεῦσι. μέλλοντος δὲ γίνεσθαι, θορυβεῖται, καὶ μετάμελον ἐμβάλλει τῷ προδότῃ, καὶ βρόχον αὐτῷ δείκνυσι, καὶ ἀγχόνην διδάσκει. φοβεῖ δὲ καὶ τὸ γύναιον, ἐν ὀνείροις αὐτὸ καταταράττων, καὶ παύειν πειρᾶται τὰ κατὰ τὸν σταυρόν, ὁ πάντα κάλων κινῶν εἰς τὴν αὐτοῦ κατασκευήν· οὐ μεταγινώσκων ἐπὶ τῷ τοσούτῳ κακῷ. (ἦ γὰρ ἂν οὐ πάντα ἦν πονηρὸς) ἀλλ᾽ ἐπῄσθετο τῆς ἑαυτοῦ ἀπωλείας· ἀρχὴ γὰρ αὐτῷ καταδίκης ὁ τοῦ Χριστοῦ σταυρὸς, ἀρχὴ θανάτου, ἀρχὴ ἀπωλείας. διὸ καὶ ἔν τισιν ἐνεργεῖ ἀρνεῖσθαι τὸν σταυρὸν, τὸ πάθος ἐπαισχύνεσθαι, τὸν θάνατον δόκησιν καλεῖν, τὴν ἐκ παρθένου γέννησιν περικόπτειν, τὴν φύσιν αὐτὴν διαβάλλειν ὡς μυσαράν. Ἰουδαίοις συμμαχεῖ, εἰς ἄρνησιν τοῦ σταυροῦ· Ἕλλησιν, εἰς συκοφαντίαν μαγείας· αἱρετικοῖς, εἰς φαντασίαν· ποικίλος γάρ ἐστιν τῆς κακίας στρατηγὸς, κλεψίνοος, ἀσύστατος, ἑαυτῷ ἐναντίος. καὶ ἄλλα μὲν προβαλλόμενος, ἕτερα δὲ δρῶν. σοφὸς γάρ ἐστι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ὅ, τί ποτέ ἐστιν ἀγνοεῖ. ἀγνοίας πεπλήρωται, δι᾽ ἑκούσιον παράνοιαν. πῶς γὰρ οὐκ ἔστι τοιοῦτος, ὃς μηδὲ πρὸ ποδῶν τὸν ἑαυτοῦ λόγον βλέπει; Εἰ γὰρ ψιλὸς ἄνθρωπος ὁ κύριος, ἐκ ψυχῆς καὶ σώματος μόνον, τί περικόπτεις τὴν γέννησιν τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως; τί δὲ, ὡς παράδοξόν τι ἐπ᾽ ἀνθρώπου γινόμενον, τὸ πάθος, δόκησιν καλεῖς, καὶ τὸν θάνατον, τοῦ θνητοῦ δόξαν νομίζεις; Εἰ δὲ Θεὸς καὶ ἄνθρωπος, τί παράνομον καλεῖς τὸν τῆς δόξης κύριον, τὸν τῇ φύσει ἄτρεπτον; τί παράνομον λέγεις τὸν νομοθέτην, τὸν ἀνθρωπείαν ψυχὴν ἔχοντα; ὁ λόγος σὰρξ ἐγένετο· καὶ τέλειος ἄνθρωπος, οὐκ ἐν ἀνθρώπῳ κατοικήσας.

A *In nomine Patris & Filij & Spiritus sancti*, non in vnũ trinominem, neq; in tres incarnatos, sed in tres eiusdẽ honoris. Vnus enim est homo factus, neque Pater, neq. Paracletus, sed solus Filius, non opinione, non phantasia, sed re verâ. *Verbum* enim *caro factũ est, & habitauit in nobis*. *Sapiẽtia* enim *ædificauit sibi domum*. Et natus est vt homo, Deus Verbum, cum corpore; idque ex Virgine sine viri commercio. *Virgo* enim, inquit, *in vtero concipiet, & pariet filiũ*. Verè itaq; genitus est, verè excreuit, verè comedit & bibit, verè crucifixus & mor- B tuus est, & resurrexit. Qui hæc credit, vt res habet, & prout factum est, beatus est: qui verò nõ credit hęc, scelestus est, nõ minus ac ij qui Dominũ crucifixerunt. Princeps enim mũdi huius gaudet, cùm quis crucẽ negarit. cognoscit enim crucis confessionẽ, suum esse ipsius exitiũ. Id enim trophæũ est contra ipsius potentiã, quod vbi viderit, horret, & audiẽs, timet, & antequã fabricaretur crux, studebat vt fabricaretur, & operabatur in Iuda, in Pharisæis, in Sadducæis, in senibus, in iuuenibus, in sacerdotibus: cum autem parãda esset crux, tumultuatus est, & pœnitentiã im- C misit proditori, & laqueum illi commonstrauit, & suspẽdium quo strãgularetur, edocuit. Terrebat & mulierculã turbans eandem insomniis, & vt à crucifigendo cessarent moliebatur, qui prius omnem rudẽtem mouerat, vt eadẽ crux pararetur: nõ quòd pœnitudine duceretur ob tantum malum (hac enim parte minus fuisset sceleratus) sed sentiebat suam ipsius perniciẽ. Crux enim Christi prima fuit ipsi condẽnationis, mortis & perditionis causa. Ideo & in quibusdã id efficit, vt crucẽ negent, vt passionis illos pudeat, & mortẽ opi- D nione tantũ illũ gustasse asseuerent, partum virginis circũcidant & mutilent, naturam calũnientur vt detestandam. Iudæis auxiliatur in cruce abnegãda, gẽtibus, vt magiæ calumniã Christo impingant, hæreticis, vt prætexãt veritati phãtasiã. Varius enim & multiformis est dux ille omnis mali, & falsis rationibus mentes fallens humanas, sibi ipse contrarius, inconstans, alia prætexens, & alia faciens. Sapiens est ad malefaciendũ, bonum verò quid sit ignorat. Ignorantia oppletus est propter voluntariam dementiam. Quo enim modo nõ est eiusmodi, qui nec ante pedes & in propatulo positam rationem videt? Si enim nu- E dus homo est dominus, constans ex anima & carne, quid circumcidis & mutilas natiuitatem communis naturæ humanæ? quid verò tanquam insolens aliquid in homine factum, passionem appellas phantasiam, & mortem hominis mortalis censes opinionem esse solã: Si verò Deus & homo, cur iniquum vocas Dominũ gloriæ, qui natura immutabilis est? cur iniquum appellas legislatorẽ, qui animã habet humanam? *Verbum caro factum est*, & perfectus homo, non in homine habitauit.

Matt.28.

Ioan.8.
Prou.9.

Isa.7.
Matt.1.

Crux trophæũ terribile dæmoni.

Dæmon Christo crucem molitus.

Pœnitentia Iudæ à dæmone.

Dæmon ignorans.

Ioan.1.

Christus verus Deus.

A Quomodo & magus hic, qui olim omnẽ naturam tam sensibilem quàm intelligibilẽ cõdidit voluntate patris, in humanitate autem omnem morbum & infirmitatem curauit? Quomodo nõ Deus hic est, qui mortuos suscitauit, claudis perfectum reddidit gressum,

Ioan. 6.

leprosos mundauit, cæcis restituit visum, ea quæ sunt vel augens, vt quinq; illos panes & duos pisces, vel immutãs, vt aquam in vinũ, tuũ verò exercitum solo fugans verbo? Quid vero virgineã improbas naturam, & membra appellas obscæna? qui olim hęc ipsa membra in " põpis ostentabas, mares nudari iubens in B cõspectu fœminarũ, itẽq; fœminas in cupiditatẽ libidinosam mariũ? nunc contrà hæc ipsa à te iudicantur obscæna; te pudicum simulas, qui spiritus es fornicationis, ignorãs tunc demũ aliquid esse obscœnũ, cum per scelus illud polluimus. cùm vero omne abest peccatum, nihil turpe censendum est, nihil malum, eorũ quæ facta sunt, sed omnia bona valde: at tu cùm non videas, improbas ea. Rursus, quomodo necdũ ex Virgine natus tibi videtur Christus, sed Pater, qui est super omnia Deus, quique omnipotẽs est? Quis igitur cedo, hunc misit? quis huius dominus est? cuius voluntati hic obediuit? cuius legem " impleuit? qui nec alicuius voluntati, nec potestati C paruit? Et cùm Christũ eximis à nascendi lege, ingenitũ doces genitum esse, & qui omni principio caret, hunc dicis cruci affixum, quo permittente, non possum dicere. Verùm tua minimè me latet versutia, nec ignoro te obliquò & " gemino gressu incedere. Ignoras tu, quis sit genitus, qui omnium rerum sciẽtiam tibi vendicas? " At multa te latuerunt, Mariæ virginitas & admirandus ille partus, quis sit ille qui in corpore est, stella quæ duxit eos magos, qui in Oriente erant, dona offerẽtes, Archãgeli salutatio Virgini facta, ipsius Virginis viro desponsatæ insolẽs cõceptus, Præ- D cursoris pueri præconiũ ob illius pręsentiam qui ex Virgine nasciturus erat, illiúsque intra maternũ vterum ob ea quæ præuidebat, subsultatio, Angelorũ hymni ob natũ puerũ, pastoribus facta bona nũcia, Herodis timor ne regnum sibi eriperetur, mandatũ de necãdis infantibus, in Ægyptũ commigratio, & inde in ista loca reuersio, fasciæ pueriles, census, & humana descriptio, lactentis educatio, patris nomẽ nõ generanti attributũ, pręsepia, quod nullus alius locus ei esset, nec vllus humanus E apparatus, incrementi accessio, humana verba, fames, sitis, itineris cõfectio, labor, sacrificiorũ oblatio, (quandoquidẽ & circumcisionẽ admisit) baptismus, vox Dei super baptizato audita, quis esset, & vnde profectus, testificationes Spiritus & Patris desuper factæ, vox Ioãnis Prophetæ significantis passionẽ futurã appellatione Agni: diuersorũ signorũ efficaciæ, curationes variæ, increpatio Dominica imperãs mari & vẽtis, maligni spiritus fugati,

Solum peccatum turpe.

Deum Patrẽ non esse incarnatum.

Dæmoni, multa Christo nascente incognita.

Luc 1.

Mat. 2.

Luc. 2.

Matt. 3.

A πῶς δὲ καὶ μάγος ἐστὶν, ὁ πάλαι μὲν πᾶσαν αἰσθητὴν καὶ νοητὴν φύσιν κατασκευάσας, γνώμῃ πατρός; ἐν δὲ τῇ ἐνανθρωπήσει, πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσας; πῶς δὲ οὐκ ἔστι Θεὸς, ὁ νεκροὺς ἀνιστῶν, χωλοὺς ἀρτίους ἀποστέλλων, λεπροὺς καθαρίζων, τυφλοὺς ὀμματῶν, τὰ ὄντα ἢ αὔξων ἢ μεταβάλλων, ὡς τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, καὶ τὸ ὕδωρ εἰς οἶνον, τὸν δὲ σὸν στρατὸν, ῥήματι μόνον φυγαδεύων; τί δὲ κακίζεις τὴν φύσιν τῆς παρθένου, καὶ τὰ μόρια ἀποκαλεῖς αἰσχρά; πάλαι ταῦτα πομπεύων, καὶ γυμνοῦσθαι κε- B λεύων, ἄρρενας μὲν εἰς ὄψιν θηλειῶν· θηλείας δὲ, εἰς ἀκόλαστον ἐπιθυμίαν ἀρρένων; νῦν αἰσχρά σοι ταῦτα νενόμισται, καὶ σεμνὸς εἶναι προσποιῇ. σὺ τὸ τῆς πορνείας πνεῦμα, ἀγνοῶν ὅτι τότε γίνεταί αἰσχρόν τι, ὅταν ἡ παρανομία ῥυπωθῇ· ἁμαρτίας δὲ ἀπούσης, οὐδὲν τῶν γινομένων αἰσχρὸν, οὐδὲν φαῦλον, ἀλλὰ πάντα καλὰ λίαν; καὶ σὺ μὴ βλέπων, κακίζεις αὐτά; πῶς δὲ πάλιν οὐκ ἔτι σοι δοκεῖ ὁ Χριστὸς εἶναι ἐκ τῆς παρθένου, ἀλλ' ὁ ἐπὶ πάντων Θεὸς, ὁ ὢν ὁ παντοκράτωρ; τίς οὖν τοῦτον ἀποστείλας, εἰπέ. τίς ὁ τούτου κυριεύων; γνώμῃ δὲ τίνος ἐστὶν ἐπειθάρχησε; νόμων δὲ ποίου πληρωτὴς γέγονεν, ὁ μήτε C γνώμῃ τινὸς, μήτε ἐξουσίᾳ εἴκων; καὶ τὸν Χριστὸν ἐξαιρῶν τῆς γεννήσεως, τὸν ἀγέννητον νομοθετεῖς γεγεννῆσθαι, καὶ σταυρῷ προσηλῶσθαι τὸν ἄναρχον. τίνος συγχωρήσαντος, οὐκ ἔχω εἰπεῖν. ἀλλὰ γὰρ οὐ λέληθάς με τοῦ παλιμβόλου· οὐδὲ ἀγνοῶ, διὰ λοξὰ καὶ δίδυμα βαίνεις. ἀγνοεῖς δὲ σὺ, τίς ὁ γεννηθεὶς, ὁ πάντων εἰδέναι προσποιούμενος; πολλὰ γάρ σε λανθάνει· ἡ παρθενία Μαρίας, ὁ παράδοξος τοκετὸς, ὅστις ὁ ἐν τῷ σώματι, ὁ ἡγούμενος ἀστὴρ τῶν ἐν ἀνατολῇ, τὰ τὰ δῶρα κομιζόντων μάγων, ἀρχαγγέλου ἀσπασμὸς πρὸς παρθένον, παρθένου παράδοξος σύλληψις μεμνηστευμένης, παιδὸς προδρόμου κηρυκεία ἐπὶ τῷ ἐκ τῆς D παρθένου, καὶ ἐν κοιλίᾳ σκίρτησις ἐκ τῶν προθεωρουμένου, ἀγγέλων ὕμνοι ἐπὶ τῷ τεχθέντι, ποιμένων εὐαγγελία, Ἡρώδου φόβος, ἐπὶ ἀφαιρέσει βασιλείας· νηπιοκτόνον πρόσταγμα, εἰς Αἴγυπτον μετανάστασις, ἐκεῖθεν ἐπὶ τὰ τῇδε ἐπάνοδος· σπάργανα παιδικὰ, ἀπογραφὴ ἀνθρωπίνη, γαλακτοτροφία, ὄνομα πατρὸς οὐ σπείραντος· φάτναι διὰ τὸ μὴ εἶναι τόπον, οὐδεμία παρασκευὴ ἀνθρωπίνη, αὐξήσεως προκοπὴ, ἀνθρώπινα ῥήματα, πεῖνα, δίψα, ὁδοιπορία, E κόπος, θυσιῶν προσκομιδαί, (ἔπειτα καὶ περιτομή,) βάπτισμα, φωνὴ Θεοῦ ἐπὶ τῷ βαπτιζομένῳ, ὅστις, καὶ πόθεν μαρτυρία πνεύματος καὶ πατρὸς ἄνωθεν, φωνὴ Ἰωάννου προφήτου, σημαίνουσα πάθος διὰ τῆς τοῦ ἀμνοῦ προσηγορίας· σημείων διαφόρων ἐνέργειαι, ἰάσεις ποικίλαι, ἐπιτίμησις δεσποτικὴ, προστάττουσα θαλάττῃ καὶ ἀνέμοις· πνεύματα πονηρὰ φυγαδευόμενα, σεαυτὸν στρεβλούμενον, ἐκ τῆς τοῦ φαινομένου δυνάμεως αἰκιζόμενον, οὐκ ἔχοντα ὅτι ποιήσῃς.

ταῦθ᾽ ὁρῶν ἰλιγγιᾷς, καὶ ὅτι παρθένος ἡ τεκοῦσα, ἠγνόεις. A
ἀλλ᾽ ἐξέπληττέ σε ἡ τῶν ἀγγέλων ὑμνολογία, ἡ τῶν
μάγων προσκύνησις, ἡ τοῦ ἀστέρος ἐπιτολή. Εἰς ἄ-
γνοιαν σὺ παλινδρομεῖς, διὰ τὰ εὐτελῆ· μικρὰ γάρ
σοι ἐδόκει σπάργανα, πάθη, περιτομή, γαλακτοτρο-
φία. ἀνάξια σοι ταῦτα κατὰ Θεοῦ κατεφαίνετο. πάλιν
εἶδες ἄνθρωπον, τεσσαράκοντα ἡμέρας καὶ νύκτας
ἄγευστον μείναντα τροφῆς ἀνθρωπίνης, ἀγγέλους
διακονοῦντας, οὓς καὶ ἔφριττες, ἰδὼν πρότερον, ὡς
κοινὸν ἄνθρωπον, βαπτιζόμενον, καὶ τὴν αἰτίαν
ἀγνοῶν· μετὰ δὲ τὴν νηστείαν πεινῶντα, κατεθάρσεις B
πάλιν, καὶ ἐπείραζες, ὡς κοινὸν ἄνθρωπον, ἀγνοῶν
ὅστις εἴη· ἔλεγες γάρ, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι
οὗτοι ἄρτοι γένωνται· τὸ γάρ, εἰ υἱὸς εἶ, ἀγνοίας ἐστίν. εἰ
γὰρ ὄντως ἐγίνωσκες; ἐπίστω ὅτι δημιουργῷ, καὶ τὸ μὴ ὂν
ποιῆσαι, καὶ τὸ ὂν μεταβαλεῖν, ἐπ᾽ ἴσης δυνατόν. καὶ διὰ
γαστρὸς πειράζεις τὸν τρέφοντα πάντας τοὺς τροφῆς
δεομένους· καὶ πειράζεις τὸν τῆς δόξης κύριον, ἐπιλαθό-
μενος ἐκ κακονοίας, ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται
ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ
διὰ στόματος Θεοῦ. Εἰ γὰρ ἐγίνωσκες ὅτι υἱὸς Θεοῦ ἦν, C
ἐγίνωσκες ὅτι ὁ ἐν τεσσαράκοντα ἡμέραις καὶ ἰσαρί-
θμοις νυξὶν ἀνενδεὲς ποιήσας τὸ σῶμα, καὶ εἰς τὸ διηνεκὲς
ἐδύνατο τοῦτο ποιῆσαι. διὰ τί οὖν πεινᾷ· ἵνα δείξῃ, ὅτι
κατ᾽ ἀλήθειαν ἀνέλαβε σῶμα ὁμοιοπαθὲς ἀνθρώποις,
διὰ μὲν τοῦ προτέρου, ἔδειξεν ὅτι Θεός· διὰ δὲ τοῦ δευ-
τέρου, ὅτι καὶ ἄνθρωπος. σὺ οὖν ὁ ἐκπεσὼν ἐκ τῆς ὑψη-
λοτάτης δόξης, ὡς ἀστραπή, τολμᾷς λέγειν τῷ κυρίῳ,
βάλε σεαυτὸν ἐντεῦθεν κάτω, ᾧ τὰ ἐνόντα λελόγισται
ὡς μὴ ὄντα; καὶ εἰς κενοδοξίαν προσκαλέσαι τὸν οὐκ ἐπι-
δεικνύντα; καὶ προσποιῇ τὴν γραφὴν ἀναγινώσκειν
περὶ αὐτοῦ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, D
καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, τοῦ μὴ προσκόψαι πρὸς
λίθον τὸν πόδα σου. καὶ τὰ λοιπὰ προσποιῇ ἀγνοεῖν κλέ-
πτων. οὐ περὶ σοῦ καὶ τῶν σῶν προπόλων προεφήτευ-
σεν, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατή-
σεις λέοντα καὶ δράκοντα; εἰ τοίνυν σὺ πάτημα τῶν πο-
δῶν τοῦ κυρίου, πῶς πειράζεις τὸν ἀπείραστον, ἐπιλαθό-
μενος τοῦ νομοθέτου παρακελευομένου, ὅτι οὐκ ἐκπει-
ράσεις κύριον τὸν Θεόν σου; ἀλλὰ καὶ τολμᾷς, ἐναγέστατε,
τὰ τοῦ Θεοῦ ἔργα οἰκειοῦσθαι, καὶ σοὶ παραδεδόσθαι τὴν
τούτων ἀρχήν. καὶ τὴν σὴν πτῶσιν προτείνεις τῷ κυ- E
ρίῳ, καὶ διδόναι τὰ αὐτοῦ αὐτῷ ἐπαγγέλλῃ, ἐὰν πεσὼν ἐπὶ τῆς
γῆς προσκυνήσῃ σοι; καὶ πῶς οὐκ ἔφριξας τοιαύτην
φωνὴν κατὰ τοῦ δεσπότου προενεγκεῖν, ὦ πάντων πονη-
ρῶν πνευμάτων πονηρότερον ἐκ κακονοίας πνεῦμα; διὰ
γαστρὸς ἡττήθης, καὶ διὰ κενοδοξίας ἠτιμάσθης, διὰ φι-
λοχρηματίας καὶ φιλαρχίας, εἰς ἀσέβειαν ἐφέλκῃ. σὺ ὁ
Βελίαρ, ὁ δράκων, ὁ ἀποστάτης, ὁ σκολιὸς ὄφις, ὁ τοῦ Θεοῦ
ἀποστάς, ὁ τοῦ Χριστοῦ χωρισθείς, ὁ τοῦ ἁγίου πνεύμα-

tu ipse tortus," & potestate eius qui appare-
bat flagellatus, nesciēs quò te verteres: Hæc
videns, vertigine æstuas, virginē esse quæ pa-
rit, ignoras. At obstupefaciebant te angelorū
laudes, Magorū adoratio, stellæ exortus: ve-
rùm, rerum ipsarum vilitas," in ignorantiam
denuo te pellit. exigua enim quænam tibi vi-
dentur, fasciæ, passiones humanæ, circunci-
sio, lactentis educatio, vniuersa hæc Deo in-
digna tibi visa sunt. Rursus videbas hominē *Luc.2.*
quadraginta dies & noctes perdurare ieiunū
sine humano alimento, angelos ministrantes,
quos & horrebas, cùm primum" vidisses eū
vt communem hominem baptizatum, cau-
samque ignorabas, post ieiunium verò," esu-
rientem, sumpta denuò audacia tentabas, vt *Christus tentatus.*
communem hominem, nesciēs quis esset: di-
cebas enim, *Si filius Dei es, dic vt lapides hi pa-* *Mat.4.*
nes fiant. Illud enim, *Si filius Dei es,* ignorantiæ
argumentum est. Si enim id reuera agnouis-
ses, sciuisses quod ex æquo potest rerum con-
ditor vniuersarum, & facere quod non est, & *Dei in rebus transmutandis potentia.*
mutare quod est. Et ventris ingluuiē tentas
eum qui omnes nutrit famelicos; & tentas
Dominū gloriæ, oblitus ex animi maleuolē-
tia, Quòd *non in solo pane viuit homo, sed in om-* *Matt.4.*
ni verbo quod procedit ex ore Dei Si enim cogno-
uisses quod Dei filius erat, sciuisses quòd is
qui quadraginta diebus & totidem noctibus
ieiunum corpus, sine omni mediæ noxa con-
seruarat, etiam perpetuò idem conseruare
poterat. Cur igitur esurit? vt doceret quòd re- *Christus cur esurierit.*
uera corpus assūpserat iisdē obnoxiū passio-
nibus, quibus reliqui homines: per illud itaq;
ostendit se Deū esse, per hoc vero, hominē.
Tu itaq. qui elapsus es ex altissima illa gloria
", ceu fulgur, audes Domino dicere: *Mitte te
deorsum,* cui ea quæ sunt, reputantur quasi nō
sint: & ad vanā gloriā prouocare alienum ab
omni ostētatione? & falsò obtendis scripturā
de illo dicere; *Quoniam angelis suis mādauit de* *Psal.90.*
*te: Et, in manibus tollent te, vt non offendas ad la-
pidem pedem tuū.* Cætera simulas te ignorare,
furtim ea subtrahēs, quæ de te tuisque " mi-
nistris prophetauit: *Super aspidem & basiliscum
ambulabis, & conculcabis leonē & dracone?* Si ita-
que tu Dominicis conculcaris pedibus, quo-
modo tentas Dominū qui tētari nō potest, o-
blitus legislatoris præcipiētis, *Nō tētabis Do-* *Deut.16.*
minū Deū tuū? Sed etiam audes, scelestissime,
Dei opera tibi vendicare, tibiq; traditū horū
dominiū, & vt prolapsus, tuo more, cadat po-
stulas, quæq; ipsius sunt, hæc ipsi te daturum
promittis, si procidens in terram adoret te? Et
quomodo nō horruisti eiusmodi vocē aduer-
sus Dominū emittere, omniū malorū spirituū
sceleratissime spiritus ob malignitatē? per in-
gluuiē victus es, per vanā gloriā dedecore af-
fectus es, per auaritiam & ambitionem per-
trahis " ad impietatem. Tu Belial, draco, de-
sertor, serpens tortuose, qui à Deo defecisti,
qui à Christo separatus es, qui à Spiritu sācto

alienatus es, qui è choro angelorũ pulsus es, legum diuinarum violator, legitimorum hostis, qui contra primos parentes insurrexisti, & à " Dei præcepto auertisti eos qui nihil te læserant, qui aduersus Abel excitasti homicidam Cain, qui aduersus Iob arma sumpsisti, Domino dicis: *Si prolapsus adoraueris me.* O audaciam! ô vesaniam! serue fugitiue & verbero, recalcitras bono Domino: & tanto Domino, Deo omnium sensibilium & intelligibilium, dicis; *Si prolapsus adoraueris me.* Dominus verè lõganimus est, nec in nihilum redigit te qui talia per inscitiã audes, sed placidè respõdet, *Vade Satana.* Porrò non ait, *Vade post me:* " Nec enim fieri potest vt cõuertatur; sed, *Vade Satana*, ad ea quæ elegisti, vade ad ea " quibus per maleuolentiam prouocatus es. Ego enim qui sim cognosco, & à quo missus sum cognosco, & quem adorare oportet, scio. *Dominum enim tuum adorabis, & illi soli seruies.* Noui vnum, scio solum, " cuius tum desertor factus es, non sum Deo aduersus, confiteor excellentiam, cognoui generationis meæ auctorẽ Patrem. Affectus quem erga vos habeo, fratres, hæc me scribere cõpulit, ad Dei gloriam vos cohortantem, non quasi aliquid sim, sed vt frater. Subiecti este Episcopo, presbyteris, & diaconis, diligite vos mutuò in Domino, vt Dei similitudines. Videte viri, vt vxores vestras velut propria membra ametis. Itidem vxores ament suos viros, vtpote quę vnum sint coniunctione. Si quis castè, si quis continenter viuit, nõ extollatur, ne perdat mercedem. Festiuitates ne dehonestetis. Quadragesimale " ieiunium ne spernatis: continet enim imitationem conuersationis Dominicæ. Post passionis Dominicæ hebdomadam ieiunare quartis & sextis feriis ne negligatis, ciborum reliquias pauperibus elargientes. Si quis Dominicam " diem aut Sabbatum, vno excepto, ieiunarit, hic Christi interfector est. Orationes vestræ extendantur vsque ad Antiochenam Ecclesiam, vnde & vinctus Romam abducor. Saluto sanctum Episcopum Polycarpum. Saluto sanctum Episcopum Vitalium, & sacrum presbyterorum collegium, & conseruos meos diaconos, pro quorum animabus, vtinam commutare meam animam liceat. Extremam iterum salutem dico " Episcopo & presbyteris in Domino. Si quis cum Iudæis celebrat Pascha, aut symbola festiuitatis eorum recipit, particeps est eorum qui Dominum occiderũt & Apostolos eius. Salutãt vos Philo & Agathopus Diaconi. Saluto collegium virginum ", & cœtum viduarum, quibus vtinam fruar. Saluto populum Domini à paruo vsque ad magnũ. Trãsmisi vobis literas meas per Euphanium lectorem, virum à Deo honoratum & fidelissimum, fortè nactus eũ circa regionẽ " cùm iã nauem ascensurus esset.

Matth. 16. d *Mat. 8. a* *Deut. 16. Luc. 16.* *Officia Christiana.* *Coniugij Charitas.* *Castitas sit humilis.* *Festa non dehonestanda.* *Ieiunium quadragesimale.*

A τος ἀλλοτριωθεὶς, ὁ τοῦ χοροῦ τῶν ἀγγέλων ἐξωσθεὶς, ὁ τῶν νόμων τοῦ θεοῦ ὑβριστὴς, ὁ τῶν νομίμων ἐχθρὸς, ὁ τοῖς πρωτοπλάστοις ἐπαναστὰς, καὶ τῆς ἐντολῆς ἐξώσας τοὺς οὐδὲν ἀδικήσαντάς σε, ὁ κατὰ Ἄβελ ἐπαναστήσας τὸν ἀνθρωποκτόνον Κάϊν, ὁ τῷ Ἰὼβ ἐπιστρατεύσας, λέγεις τῷ κυρίῳ, ἐὰν πεσὼν προσκυνήσῃς μοι, ὢ τῆς τόλμης, ὢ τῆς παραπληξίας. δοῦλος δραπέτης, δοῦλος μαστιγίας, ἀφηνιάζεις τοῦ καλοῦ δεσπότου; δεσπότῃ τηλικούτῳ, θεῷ πάντων τῶν νοητῶν καὶ αἰσθητῶν λέγεις, ἐὰν πεσὼν προσκυνήσῃς μοι; ὁ δὲ κύριος μακροθυμεῖ, καὶ οὐκ εἰς τὸ μὴ ὂν B ἀναιρεῖ τὸν ἀπὸ ἀγνοίας τοιαῦτα θρασυνόμενον, ἀλλὰ πράως ἀποκρίνεται, ὕπαγε σατανᾶ. οὐκ εἶπεν, ὕπαγε ὀπίσω μου· οὐ γὰρ ὑποστρέψαι οἷός τε· ὕπαγε σατανᾶ, ἐν οἷς ἐπελέξω. ὕπαγε ἐν οἷς ἠρεθίσθης ἐκ κακονοίας. ἐγὼ γὰρ ὅστις εἰμὶ γινώσκω, καὶ ὑπὸ τίνος ἀπέσταλμαι, καὶ ὃν χρὴ προσκυνεῖν, ἐπίσταμαι· κύριον γὰρ τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. οἶδα τὸν ἕνα, ἐπίσταμαι τὸν μόνον οὗ σὺ ἀποστάτης γέγονας. οὐκ εἰμὶ ἀντίθεος, ὁμολογῶ τὴν ὑπεροχὴν, ἐπίσταμαι τὸν τῆς ἐμῆς γεννήσεως αἴτιον, τὸν πατέρα. Ταῦτα, ἀδελφοὶ, ἀπὸ διαθέσεως τῆς πρὸς ὑμᾶς ἠναγκάσθην ἐπιστεῖλαι, εἰς δόξαν C Θεοῦ παραινῶν, οὐχ ὡς ὤν τις, ἀλλ' ὡς ἀδελφός. ὑποτάσσεσθε τῷ ἐπισκόπῳ, τοῖς πρεσβυτέροις, τοῖς διακόνοις. ἀγαπᾶτε ἀλλήλους ἐν κυρίῳ, ὡς Θεοῦ ἀγάλματα. ὁρᾶτε οἱ ἄνδρες, ὡς ἴδια μέλη τὰς γαμετὰς στέργετε. αἱ γυναῖκες, ὡς ἓν οὖσαι τῇ συναφείᾳ, στέργετε τοὺς ἑαυτῶν ἄνδρας. εἴ τις ἁγνεύει ἢ ἐγκρατεύεται, μὴ ἐπαιρέσθω, ἵνα μὴ ἀπολέσῃ τὸν μισθόν. τὰς ἑορτὰς μὴ ἀτιμάζετε· τὴν τεσσαρακοστὴν μὴ ἐξουθενεῖτε· μίμησιν γὰρ περιέχει τῆς τοῦ κυρίου πολιτείας. μετὰ τὴν τοῦ πάθους ἑβδομάδα μὴ παρορᾶτε, τετράδα καὶ παρασκευὴν D νηστεύοντες, πένησιν ἐπιχορηγοῦντες τὸ περισσεῖον. εἴ τις κυριακὴν, ἢ σάββατον νηστεύει, πλὴν ἑνὸς σαββάτου, οὗτος χριστοκτόνος ἐστίν. αἱ προσευχαὶ ὑμῶν ἐκταθείησαν εἰς τὴν Ἀντιοχείας ἐκκλησίαν, ὅθεν καὶ δέσμιος ἀπάγομαι εἰς Ῥώμην. ἀσπάζομαι τὸν ἅγιον ἐπίσκοπον Πολύκαρπον. ἀσπάζομαι τὸν ἅγιον ἐπίσκοπον Βιτάλιον, καὶ τὸ ἱερὸν πρεσβυτέριον, καὶ τοὺς συνδούλους μου τοὺς διακόνους, ὧν ἐγὼ ἀντίψυχος γενοίμην. ἔτι συντάσσομαι τῷ ἐπισκόπῳ, καὶ τοῖς πρεσβυτέροις ἐν κυρίῳ. εἴ τις μετὰ Ἰουδαίων ἐπιτελεῖ τὸ E πάσχα, ἢ τὰ σύμβολα τῆς ἑορτῆς αὐτῶν δέχεται, κοινωνός ἐστι τῶν ἀποκτεινάντων τὸν κύριον, καὶ τοὺς ἀποστόλους αὐτοῦ. ἀσπάζονται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους οἱ διάκονοι. ἀσπάζομαι τὸ σύστημα τῶν παρθένων, τὸ τάγμα τῶν χηρῶν, ὧν καὶ ὀναίμην. ἀσπάζομαι τὸν λαὸν κυρίου ἀπὸ μικροῦ ἕως μεγάλου. ἀπέστειλα ὑμῖν ταῦτά μου τὰ γράμματα διὰ Εὐφανίου τοῦ ἀναγνώστου, ἀνδρὸς θεοτιμήτου καὶ πιστοτάτου, συντυχὼν περὶ Ῥηγίονα, ἀναγομένου ἐν πλοίῳ. μέ-

μνημονεύετέ μου τῶν δεσμῶν, ἵνα τελειωθῶ ἐν Χριστῷ. ἔρρωσθε σαρκὶ, ψυχῇ, καὶ πνεύματι, τέλεια φρονοῦντες, ἀποστρεφόμενοι τοὺς ἐργάτας τῆς ἀνομίας, καὶ τοῦ λόγου τῆς ἀληθείας φθορεῖς, ἐνδυναμούμενοι ἐν τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Φιλαδελφεῖς, θ.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ, ἐν ἀγάπῃ ἠλεημένῃ, καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ Θεοῦ, καὶ ἀγαλλωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἀδιακρίτως, καὶ ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ, ἐν παντὶ ἐλέει, ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ, ἥτις ἐστὶ χαρὰ αἰώνιος καὶ παράμονος, μάλιστα ἐν ἑνὶ οὖσι σὺν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, καὶ διακόνοις, ἀποδεδειγμένοις ἐν θελήματι Θεοῦ πατρὸς, διὰ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, ὃς κατὰ τὸ ἴδιον βούλημα ἐστήριξεν αὐτοῦ βεβαίως τὴν ἐκκλησίαν ἐπὶ τῇ πέτρᾳ, οἰκοδομῇ πνευματικῇ ἀχειροποιήτῳ, ᾗ προσκρούσαντες οἱ ἄνεμοι καὶ οἱ ποταμοὶ οὐκ ἴσχυσαν αὐτὴν ἀνατρέψαι, ἀλλὰ μηδὲ ἰσχύσαιεν ποτε τὰ πνευματικὰ τῆς πονηρίας· ἀλλ᾽ ἐξασθενήσαιεν δυνάμει Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

ΘΕΑΣΑΜΕΝΟΣ ὑμῶν τὸν ἐπίσκοπον, ἔγνων ὅτι οὐκ ἀφ᾽ ἑαυτοῦ, οὐδὲ δι᾽ ἀνθρώπων ἠξιώθη τὴν διακονίαν τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν ἐγχειρισθῆναι, οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ᾽ ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν, ὃς σιγῶν, πλέον δύναται τῶν πλέον λαλούντων· συνήρμοσται γὰρ ταῖς ἐντολαῖς κυρίου, καὶ τοῖς δικαιώμασιν, ὡς χορδαὶ τῇ κιθάρᾳ· καὶ ἔστιν ἄμεμπτος, οὐχ ἧττον Ζαχαρίου τοῦ ἱερέως. διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς Θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τελείαν οὖσαν, τὸ ἀκίνητον αὐτοῦ, καὶ τὸ ἀόργητον πάσῃ ἐπιεικείᾳ Θεοῦ ζῶντος. ὡς τέκνα οὖν φωτὸς, ἀληθείας, φεύγετε τὸν μερισμὸν τῆς ἑνότητος, καὶ τῆς κακοδιδασκαλίας τῶν αἱρεσιωτῶν, ἐξ ὧν μολυσμὸς ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν. ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. πολλοὶ γὰρ λύκοι κωδίοις ἠμφιεσμένοι, ἡδονῇ κακῇ αἰχμαλωτίζουσι τοὺς θεοδρόμους· ἀλλ᾽ ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσι τόπον. ἀπέχεσθε οὖν τῶν κακῶν βοτανῶν, ἃς τινὰς Ἰησοῦς Χριστὸς οὐ γεωργεῖ, ἀλλ᾽ ὁ ἀνθρωποκτόνος θὴρ, διὰ τὸ μὴ εἶναι αὐτὰς φυτείαν πατρὸς, ἀλλὰ σπέρμα τοῦ πονηροῦ. οὐχ ὅτι παρ᾽ ὑμῖν μερισμὸν εὗρον, ταῦτα γράφω· ἀλλὰ προασφαλίζομαι ὑμᾶς, ὡς τέκνα Θεοῦ.

A Memores estote vinculorum meorum, vt cõsummer in Christo. Valete corpore, anima & spiritu perfecta sententes, auersantes operarios iniquitatis & corruptores sermonis veritatis, confortati in gratia Domini nostri Iesu Christi.

EIVSDEM AD PHILADELPHIENSES, EPISTOLA IX.

IGNATIVS, qui & Theophorus, Ecclesiæ Dei Patris & Domini Iesu Christi, quę
B est Philadelphiæ, in charitate misericordiam consecutæ, & firmatæ in Dei concordia, exultanti in passione Christi sine omni hæsitatione; quæ per resurrectionem eius plenè instructa est in omni misericordia, quam saluto in sanguine Iesu Christi, quod est gaudium sempiternum & stabile, maximè iis qui vnum sunt cum Episcopo, presbyteris, & diaconis designatis per voluntatem Dei Patris, per Iesum Christum qui secundùm propriam voluntatem suam firmauit Ecclesiam super petram ædificatione spirituali, citra hu-
C manarum manuum operam, in quam collisa flumina & venti non potuerunt eam subuertere: nec id valeant vnquam spirituales nequitiæ, sed infirmentur virtute Domini nostri Iesu Christi.

Diaconi designati.

Ecclesia nunquam expugnanda.

CONSPECTO vestro Episcopo, cognoui quòd non à seipso neque per homines ad dignitatem euectus est vt susciperet ministerium hoc communis Ecclesiæ, nec per inanem gloriam, sed in charitate Iesu Christi, &
D Dei Patris qui suscitauit eum ex mortuis, cuius obstupui modestia, qui tacitus plus possit, quàm alij qui plurima loquuntur. Sese namque composuit ad Christi mandata & iustificationes, non secus atque nerui intenduntur in cithara, estq; inculpatus non minus quam Zacharias sacerdos. Quapropter beatam censeo illius animam, quòd cognoscam illam virtutibus ornatam & perfectam, nullis affectibus obnoxiam, omnisque iracundiæ victricem, vt qui viuat in omni mansuetudine Dei. Fugite itaque, vt filij lucis & veritatis, sectionem vnitatis, & prauam doctrinã
E hæreticorum, à quibus pollutio egressa est in omnem terram. Vbi verò pastor est, eodem & vos, vt oues, sequamini. Multi enim lupi velleribus tecti, in Dei stadio currentes perniciosis voluptatibus illiciunt & captiuos cõprehendunt, verùm in vestra concordia, nullus dabitur illis locus. Abstinete itaq; vos ab herbis noxiis, quas Iesus non excolit, sed fera humano gaudens sanguine: non enim sunt plantationes Dei Patris, sed semen mali. Non hæc scribo quod apud vos inuenerim schisma; sed præmunio vos, vt filios Dei.

Luc. 1.

Veri Episcopi typus.

Schisma fugiendum.

A Quotquot enim Christi, sunt partium Episcopi: qui verò ab illo declinant, & cum maledictis communionem amplectuntur, hi cum illis excidentur. Nec enim Christi agriculrura sunt, sed diaboli sementis, à quo eruamini semper precibus fidissimi & mansuetissimi pastoris qui vobis præsidet. Obsecro itaque vos; quotquot pœnitentia ducti redierint ad vnitatem Ecclesiæ, suscipite illos cum omni mansuetudioe, vt per bonitatem & patientiam vestram resipiscentes ex diaboli laqueis, digni iam Christo facti, salutem consequantur æternam in regno B Christi. Fratres ne erretis. Si quis eum sectatur qui se absciderit à veritate, regnum Dei non hæreditabit. Et qui non abscedit à mendaci concionatore, io gehennam condemnabirur: oec enim à piis discedendum, oec com impiis commercia sunt habenda. Si quis graditur cum aliena præscripta, hic non est Christi, oec particeps passionis Christi, sed est vulpes & corruptor vioeæ Christi: cum eiusmodi noo commisceamini: ue cum illo pereatis, quamuis pater sit, quamuis filius, quamuis frater, quamuis domesticus. *Non parcet*, inquit, *oculus vester super eum*. C Osores Dei & vos odisse oportet, & super inimicos illius tabescere; non autem verberare aut persequi illos, vt faciunt gentes quæ ignorant Deum & Dominum, sed pro hostibus habere tales, & ab iis segregari: eos tamen commonefacere & ad pœnitentiam cohortari, si fortè mauus dent, monitisque cedant. Clemens enim est Deus oozter, & *Omnes homines vult saluari, & ad veritatis agnitionem venire*. Quapropter, *Solem suum oriri facit super bonos & malos, & pluit super iustos & iniustos*: cuius benignitatis cùm vellet Domioos nos D esse imitatores, inquit, *Estote perfecti, sicut Pater vester cælestis perfectus est*. Ego persuasum habeo de vobis in Domino, quod nihil aliud sentietis. Quare & confisus charitati vestræ Deo dignæ, scribo ad vos mooeóque, vt vna fide, vna prædicatione, vna Eucharistia vtamini. Vna enim est caro Domini oostri Iesu Christi, vous illius sanguis qui pro oobis effusus est, vnus item panis omoibus confractus; & vnus calix, qui omnibus distriburus est; vnum al- I tare omni Ecclesiæ, & vnus Episcopus cum presbyterorum collegio, & diaconis cõseruis meis. Quandoqoidem & vous est ingenitus Deus & Pater; & vous vnigenitus filius Deus, Verbum & homo, vnus paracletus Spiritus veritatis, & vna prædicatio, & fides vna, & vnum baptisma, & vna Ecclesia, quam suis sudoribus & laboribus fuodarunt sancti Apostoli, à finibus terræ vsque ad fines, in sanguioe Christi. Et vos itaque oportet vt populum peculiarẽ & gentem sanctã, omnia perficere coocordibus animis in Christo.

Pœnitentes in Ecclesia recipiendi.

Deut. 13. b.

1. Tim. 2. a

Matth. 5. g

Ibidem.

A ὅσοι γὰρ Χριστοῦ εἰσιν, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσίν. ὅσοι δ' ἂν ἐκκλίνωσιν αὐτοῦ, καὶ τὴν κοινωνίαν ἀσπάσωνται μετὰ τῶν κατηραμένων, οὗτοι σὺν αὐτοῖς ἐκκοπήσονται. οὐ γάρ εἰσι γεώργιον Χριστοῦ, ἀλλ' ἐχθροῦ σπορά. οὗ ῥυσθείητε πάντοτε εὐχαῖς τοῦ προεστηκότος ὑμῶν ποιμένος, τοῦ πιστοτάτου καὶ πραοτάτου. παρακαλῶ οὖν ὑμᾶς ἐν κυρίῳ, ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, προσδέξασθε αὐτοὺς μετὰ πάσης πραότητος, ἵνα διὰ τῆς χρηστότητος καὶ τῆς ἀνεξικακίας ἀνανήψαντες ἐκ τῆς τοῦ διαβόλου παγίδος, B ἄξιοι Ἰησοῦ Χριστοῦ γενόμενοι, σωτηρίας αἰωνίου τύχωσιν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ. ἀδελφοί, μὴ πλανᾶσθε. εἴ τις σχίζοντι ἀπὸ τῆς ἀληθείας ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομήσει· καὶ εἴ τις οὐκ ἀφίσταται τοῦ ψευδολόγου κήρυκος, εἰς γέενναν κατακριθήσεται· οὔτε γὰρ εὐσεβῶν ἀφίστασθαι χρή, οὔτε δυσσεβέσι συγκεῖσθαι δεῖ. εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος οὐκ ἔστι Χριστοῦ, οὔτε τοῦ πάθους αὐτοῦ κοινωνός· ἀλλ' ἔστιν ἀλώπηξ, φθορεὺς ἀμπελῶνος Χριστοῦ. τῷ τοιούτῳ μὴ συναναμίγνυσθε, ἵνα μὴ συναπόλησθε αὐτῷ. C κἂν πατὴρ ᾖ, κἂν υἱός, κἂν ἀδελφός, κἂν οἰκεῖος· οὐ φείσεται γάρ σου, φησίν, ὁ ὀφθαλμὸς ἐπ' αὐτῷ. τοὺς μισοῦντας οὖν τὸν Θεόν, μισεῖν χρὴ καὶ ὑμᾶς, καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτήκεσθαι, οὐ μὴν καὶ τύπτειν αὐτούς, ἢ διώκειν, καθὼς τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν κύριον καὶ Θεόν· ἀλλ' ἐχθροὺς μὲν ἡγεῖσθαι καὶ χωρίζεσθαι ἀπ' αὐτῶν· νουθετεῖν δὲ αὐτούς, καὶ ἐπὶ μετάνοιαν παρακαλεῖν, ἐάν ἄρα ἀκούσωσιν, ἐάν ἄρα ἐνδῶσι· φιλάνθρωπος γάρ ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· διὸ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέ- D χει τὸν ὑετὸν ἐπὶ δικαίους καὶ ἀδίκους· οὗ τῆς χρηστότητος θέλων καὶ ἡμᾶς εἶναι μιμητὰς ὁ κύριος, λέγει, γίνεσθε τέλειοι, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν. ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. διὸ καὶ θαρρῶν γράφω τῇ ἀξιοθέῳ ἀγάπῃ ὑμῶν, παρακαλῶν ὑμᾶς μιᾷ πίστει, καὶ ἑνὶ κηρύγματι, καὶ μιᾷ εὐχαριστίᾳ χρῆσθαι. μία γάρ ἐστιν ἡ σὰρξ τοῦ κυρίου Ἰησοῦ, καὶ ἓν αὐτοῦ τὸ αἷμα τὸ ὑπὲρ ἡμῶν ἐκχυθέν· εἷς καὶ ἄρτος τοῖς πᾶσιν ἐθρύφθη, καὶ ἓν ποτήριον τοῖς ὅλοις διενεμήθη, ἓν I θυσιαστήριον πάσῃ τῇ ἐκκλησίᾳ, καὶ εἷς ἐπίσκοπος ἅμα τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις τοῖς συνδούλοις μου· ἐπείπερ καὶ εἷς ἀγέννητος, ὁ Θεὸς καὶ πατήρ· καὶ εἷς μονογενὴς υἱός, Θεὸς λόγος καὶ ἄνθρωπος, καὶ εἷς ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας· ἓν δὲ καὶ τὸ κήρυγμα, καὶ ἡ πίστις μία, καὶ τὸ βάπτισμα ἕν, καὶ μία ἡ ἐκκλησία, ἣν ἱδρύσαντο οἱ ἅγιοι ἀπόστολοι ἀπὸ περάτων ἕως περάτων, ἐν τῷ αἵματι τοῦ Χριστοῦ, οἰκείοις ἱδρῶσι καὶ πόνοις. καὶ ὑμᾶς οὖν χρή, ὡς λαὸν περιούσιον, καὶ ἔθνος ἅγιον, ἐν ὁμονοίᾳ πάντα ἐν Χριστῷ ἐπιτελεῖν.

A αἱ γυναῖκες, τοῖς ἀνδράσιν ὑποτάγητε ἐν φόβῳ Θεοῦ· αἱ παρθένοι, τῷ Χριστῷ ἐν ἀφθαρσίᾳ, οὐ βδελυσσόμεναι γάμον, ἀλλὰ τοῦ κρείσσονος ἐφιέμεναι, οὐκ ἐπὶ διαβολῇ συναφείας, ἀλλ' ἕνεκα τῆς τοῦ νόμου μελέτης. τὰ τέκνα, πειθαρχεῖτε τοῖς γονεῦσιν ὑμῶν, καὶ στέργετε αὐτοὺς, ὡς συνεργοὺς Θεοῦ εἰς τὴν ὑμετέραν γέννησιν. οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ἐν Θεῷ, ἵνα Χριστοῦ ἀπελεύθεροι γένησθε. οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, ὡς ὁμοδούλους Θεοῦ, ὡς οἰκεῖον σῶμα, ὡς κοινωνοὺς βίου, καὶ συνεργοὺς τεκνογονίας. αἱ παρθένοι, μόνον τὸν Χριστὸν πρὸ ὀφθαλμῶν ἔχετε, καὶ τὸν αὐτοῦ πατέρα ἐν ταῖς εὐ-
B χαῖς, φωτιζόμεναι ὑπὸ τοῦ πνεύματος. ὀναίμην ὑμῶν τῆς ἁγιωσύνης ὡς Ἠλία, ὡς Ἰησοῦ τοῦ Ναυῆ, ὡς Μελχισεδὲκ, ὡς Ἐλισσαίου, ὡς Ἱερεμίου, ὡς τοῦ Βαπτιστοῦ Ἰωάννου, ὡς τοῦ ἠγαπημένου μαθητοῦ, ὡς Τιμοθέου, ὡς Τίτου, ὡς Εὐωδίου, ὡς Κλήμεντος, τῶν ἐν ἁγνείᾳ ἐξελθόντων τὸν βίον. οὐ ψέγων τοὺς λοιποὺς μακαρίους, ὅτι γάμοις προσωμίλησαν, τούτων ἐμνήσθην ἄρτι· εὔχομαι γὰρ ἄξιος Θεοῦ εὑρεθεὶς, πρὸς τοῖς ἴχνεσιν αὐτῶν εὑρεθῆναι ἐν τῇ βασιλείᾳ· ὡς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ὡς Ἰωσὴφ, καὶ Ἡσαΐου, καὶ τῶν ἄλλων προφητῶν· ὡς Πέτρου, καὶ
C Παύλου, καὶ τῶν ἄλλων ἀποστόλων τῶν γάμοις προσομιλησάντων· ἀλλ' ὑπὸ προθυμίας τῆς περὶ τὸ πρᾶγμα, ἐπ' ἐννοίας αὐτοὺς ἔσχον ἐκείνους. οἱ πατέρες, ἐκτρέφετε τοὺς ἑαυτῶν παῖδας ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου, καὶ διδάσκετε αὐτοὺς τὰ ἱερὰ γράμματα, καὶ τέχνας, πρὸς τὸ μὴ ἀργίᾳ χαίρειν· καλῶς γὰρ, φησὶν, ἐκτρέφει πατὴρ δίκαιος· ἐπὶ υἱῷ συνετῷ εὐφρανθήσεται ἡ καρδία αὐτοῦ. οἱ κύριοι, εὐμενῶς τοῖς οἰκέταις προσέχετε, ὡς ὁ ἅγιος Ἰὼβ ἐδίδαξε· μία γὰρ φύσις, καὶ ἓν τὸ γένος τῆς ἀνθρωπότητος· ἐν γὰρ Χριστῷ, οὔτε δοῦλος, οὔτε
D ἐλεύθερος. οἱ ἄρχοντες, πειθαρχείτωσαν τῷ Καίσαρι· οἱ στρατιῶται, τοῖς ἄρχουσιν· οἱ διάκονοι, τοῖς πρεσβυτέροις ἀρχιερεῦσιν, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ ὁ λοιπὸς κλῆρος, ἅμα παντὶ τῷ λαῷ, καὶ τοῖς στρατιώταις, καὶ τοῖς ἄρχουσι, καὶ τῷ Καίσαρι, τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος τῷ Χριστῷ, ὡς ὁ Χριστὸς τῷ πατρί. καὶ οὕτως ἡ ἑνότης διὰ πάντων σώζεται. ἔστωσαν δὲ καὶ αἱ χῆραι, μὴ ῥεμβοί, μὴ λίχνοι, μὴ περιτροχάδες, ἀλλ' ὡς Ἰουδὶθ ἡ σεμνοτάτη, ὡς ἡ Ἄννα ἡ σωφρονεστάτη. ταῦτα οὐχ ὡς ἀπόστολος διατάσσομαι. τίς γὰρ εἰμὶ ἐγὼ, ἢ τίς ὁ οἶκος
E τοῦ πατρός μου, ἵνα ἰσότιμον ἑαυτὸν ἐκείνων εἴπω; ἀλλ' ὡς συστρατιώτης ὑμῶν, ὑποφωνητοῦ τάξιν ἐπέχων. ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς. οὐκ ἐγὼ δὲ, ἀλλὰ δι' ἐμοῦ ὁ κύριος Ἰησοῦς, ἐν ᾧ δεδεμένος, φοβοῦμαι μᾶλλον· ἔτι γάρ εἰμι ἀναπάρτιστος· ἀλλ' ἡ προσευχὴ ὑμῶν, εἰς Θεόν με ἀπαρτίσει, ἵνα ἐν ᾧ ἐκλήθην, ἐπιτύχω, προσφυγὼν τῷ εὐαγγελίῳ, ὡς σαρκὶ Ἰησοῦ Χριστοῦ· καὶ τοῖς ἀποστόλοις, ὡς πρεσβυτερίῳ ἐκκλησίας. καὶ τοὺς προφήτας δὲ ἀγα-

Vxores maritis subditæ sint in timore Dei, virgines Christo, in puritate, non abominantes nuptias, sed id quod præstantius est amplectentes, non in calumniam matrimonij, sed vt liberius diuinam legem meditentur. Filij obedite parentibus vestris, & amate eos vt Dei cooperatores ad generationem vestram. Serui parete dominis in Deo, vt liberti sitis Christi. Viri diligite vxores vestras vt conseruas Dei, vt proprium corpus, vt socias vitæ, vt cooperatrices procreationis liberorum. Virgines solum Christum in precibus vestris ante oculos habete, & Patrem illius, illuminatæ à Spiritu. Vtinam fruar vestra sanctimonia, vt Iesu filij Naue, vt Melchisedech, vt Helisæi, vt Ieremiæ, vt Baptistæ Ioannis, vt Timothei, vt Titi, vt Euodij, vt Clementis, qui in castitate exegerunt hanc vitam; non quòd vituperem reliquos quòd rei vxoriæ se dederint, horum tantummodo memini (opto enim vt dignus sim in regno cœlorum ad horum pedes inueniri, vt Abrahæ, Isaac, Iacob, vt Ioseph, Isaiæ, & aliorum Prophetarum, vt Petri & Pauli, & aliorum Apostolorum qui nuptiis operam dederunt, sed studio virginitatis, de qua loquor, illi in mentem mihi venerunt. Patres educate filios vestros in disciplina & admonitione Domini, & docete eos sacras literas, & artes, vt non dedant se otio & inertiæ. *Honestè* (inquit) *educat iustus pater liberos: in filio sapienti lætabitur cor eius.* Domini placido animo sitis erga seruos, vt S. Iob docet: vna enim est omnium natura humana, & vnum genus. In Christo *neque seruus, neque liber est.* Principes obediant Cæsari, milites principibus, diaconi presbyteris sacrorum præfectis, Presbyteri, Diaconi & reliquus Clerus vnà cum populo vniuerso, militibus, Principibus & Cæsare, ipsi Episcopo pareant, Episcopus Christo, vt Christus Patri obediuit, & hac ratione per omnia conseruabitur vnitas. Sint autem viduæ non vagæ, non gulosæ, non circumcursantes; sed vt Iudith illa pudicissima, vt Anna illa honestissima. Porrò hæc non vt Apostolus præcipio, *Quis enim ego sum, & quæ domus Patris mei,* vt parem me illis dicam? sed vt commilito vester, vt monitor quispiam. Fratres mei, nimis effusus sum amore vestri, & supra modum exultans, tutos cautósque vos reddo, non ego, sed per me Dominus Iesus, in quo vinctus plus timeo. Necdum enim perfectus sum, sed precatio vestra ad Deum me perficiet, vt id consequar ad quod vocatus sum, confugiens ad Euangelium, tanquam ad carnem Christi: & ad Apostolos, velut ad Ecclesiæ presbyterorum collegium. Prophetas etiam diligo,

Sancti virginitatis cultores.

Prou 23.

Luc. 19. Iob. 3. Gal. 3. Col. 3.

Iudith. 8. Luc. 2.

D. Ignatius de sua salute necdum securus.

qui Christum annunciarint, & eiusdem Spiritus principes fuerint, cuius & Apostoli. Quemadmodum enim pseudoprophetæ & pseudoapostoli, vnũ & eundem spiritũ malũ, fallacem & populi " seductorem acceperunt, sic & Prophetæ & Apostoli, vnum & eũdem Spiritum sanctum, bonum, eximium, verum, & doctorem rectum acceperunt à Deo per Iesum Christum. Vnus enim Deus veteris & noui Testamenti, *Vnus mediator Dei & hominum*; ad opificium intelligibilis & sensibilis creaturæ & ad prouidentiam vtilem rebúsq; accommodam, & vnus Paracletus, qui operatus est in Moyse & Prophetis, & Apostolis. Omnes itaque sancti in Christo saluati sunt, sperantes in eum, & illum expectantes, & per ipsum salutem cõsecuti sunt, digni qui amarentur & admirationi nobis essent, à Iesu Christo testimonium adepti in Euãgelio spei communis. " Si quis Deum vnum prædicat legis & Prophetarum, Christum verò negat esse Deum, mendax est, quemadmodum & Pater ipsius diabolus, & est hic terrenæ circuncisionis pseudo-Iudæus. Si quis confiteatur Christum Iesum Dominum, neget autem Deum legis & Prophetarum, dicens Patrem Christi non esse opificem cœli & terræ, hic in veritate non stetit, sicut nec pater eius diabolus; & talis, est sectator Simonis Magi, non autem Spiritus sancti discipulus. Si quis dicat vnum quidem esse Deum, & confiteatur Christum Iesum, sed eundem nudum esse hominem putet, nõ autem Deum vnigenitum, sapientiam, & Verbum Dei, sed sola anima & corpore illum constare cẽset; huiusmodi serpens est; fraudem & errorem prædicãs in exitium hominum, & est eiusmodi inops sensu " cognomento Ebion. Si quis vniuersa hæc confiteatur, sed legitimam commixtionem & liberorum procreationem, corruptelam & pollutionem appellet, aut cibos aliquos detestandos putet; talis apostatam illum draconem in se habitãtem fouet. Si quis Patrem & Filium & Spiritum sanctum confiteatur, & creaturam laudet; sed opinionem solamque phantasiam esse dicat incarnationem, passionemque pudenda dicat, talis fidem negauit, non minus quam Iudæi, qui Christum necarunt. Porrò si quis hæc confiteatur, & quòd Deus in humano corpore habitabat Verbum existens in ipso, sicut anima in corpore; &, propter inhabitans Verbum, Christum esse Deum; sed non fuisse in Christo animam humanam, & dicat illegitimos cõcubitus bonũ quoddã esse, & finem beatitudinis constituat voluptatem, vt is qui falso nomine Nicolaita dicitur, hic nec Dei nec Christi amator esse potest, sed proprię carnis corruptor, & ob hoc Spiritu sãcto vacuus, & à Christo est alienus. Omnes eiuscemodi, colũnæ sepulchrales & mortuorũ sunt " monumẽta, quib⁹ mortuorum hominũ nomina dũtaxat inscripta sunt.

Omnes omnium temporum sancti in Christo salui.

Heresis Simonis Magi.

Heresis Ebionis.

Heresis Nicolaitarum.

Heretici sunt monumenta mortuorum.

A πη ὡς Χριστὸν καταγγείλαντας, ὡς τοῦ αὐτοῦ πνεύματος μετασχόντας, οὗ καὶ οἱ ἀπόστολοι· ὡς γὰρ οἱ ψευδοπροφῆται, καὶ οἱ ψευδαπόστολοι, ἓν καὶ τὸ αὐτὸ εἵλκυσαν πονηρὸν, καὶ ἀπατηλὸν, καὶ λαοπλάνον πνεῦμα· οὕτω καὶ οἱ προφῆται καὶ οἱ ἀπόστολοι, ἕν καὶ τὸ αὐτὸ ἅγιον πνεῦμα, ἀγαθὸν, καὶ ἡγεμονικὸν, ἀληθές τε, καὶ διδασκαλικὸν ἔλαβον παρὰ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ, εὐθὲς πνεῦμα· εἷς γὰρ ὁ Θεὸς παλαιᾶς καὶ καινῆς διαθήκης· Εἷς ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, εἴς τε δημιουργίαν νοητῶν καὶ αἰσθητῶν, καὶ πρόνοιαν πρόσφορον καὶ κατάλληλον· B Εἷς δὲ καὶ ὁ παράκλητος, ὁ ἐνεργήσας ἐν Μωσῇ, καὶ προφήταις, καὶ ἀποστόλοις. πάντες οὖν οἱ ἅγιοι ἐν Χριστῷ ἐσώθησαν, ἐλπίσαντες εἰς αὐτὸν, καὶ αὐτὸν ἀναμείναντες· καὶ δι' αὐτοῦ σωτηρίας ἔτυχον, ὄντες ἀξιαγάπητοι, καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος. ἐάν τις Θεὸν νόμου καὶ προφητῶν κηρύττῃ ἕνα, Χριστὸν δὲ ἀρνῆται υἱὸν εἶναι Θεοῦ, ψεύστης ἐστὶν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος, καὶ ἔστιν ὁ τοιοῦτος τῆς κάτω περιτομῆς, ψευδοϊουδαῖος. ἐάν τις ὁμολογῇ Χριστὸν Ἰησοῦν κύριον, ἀρνῆται δὲ τὸν Θεὸν τοῦ νόμου καὶ τῶν C προφητῶν, οὐκ εἶναι λέγων τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, πατέρα τοῦ Χριστοῦ, ὁ τοιοῦτος ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος· καὶ ἔστιν ὁ τοιοῦτος, Σίμωνος τοῦ μάγου, ἀλλ' οὐ τοῦ ἁγίου πνεύματος μαθητής. ἐάν τις λέγῃ μὲν ἕνα Θεὸν, ὁμολογῇ δὲ καὶ Χριστὸν Ἰησοῦν, ψιλὸν δὲ ἄνθρωπον εἶναι νομίζῃ τὸν κύριον, οὐχὶ Θεὸν μονογενῆ καὶ σοφίαν, καὶ λόγον Θεοῦ, ἀλλ' ἐκ ψυχῆς καὶ σώματος αὐτὸν μόνον εἶναι νομίζῃ, ὁ τοιοῦτος ὄφις ἐστὶν, ἀπάτην καὶ πλάνην κηρύττων ἐπ' ἀπωλείᾳ ἀνθρώπων· καὶ ἔστιν ὁ τοιοῦτος πένης τὴν διά- D νοιαν, ὡς ἐπίκλην Ἐβίων. ἐάν τις ταῦτα μὲν ὁμολογῇ, φθορὰν δὲ καὶ μολυσμὸν καλῇ τὴν νόμιμον μίξιν, καὶ τὴν τῶν παίδων γένεσιν, ἤ τινα τῶν βρωμάτων βδελυκτὰ, ὁ τοιοῦτος ἔνοικον ἔχει τὸν δράκοντα τὸν ἀποστάτην. ἐάν τις πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογῇ, καὶ τὴν κτίσιν ἐπαινῇ, δόκησιν δὲ λέγῃ τὴν ἐνσωμάτωσιν, καὶ τὸ πάθος ἐπαισχύνηται, ὁ τοιοῦτος ἤρνηται τὴν πίστιν, οὐχ ἧττον τῶν χριστοφόνων Ἰουδαίων. ἐάν τις ταῦτα μὲν ὁμολογῇ, καὶ ὅτι Θεὸς λόγος ἐν ἀνθρωπίνῳ σώματι κατῴκει, ὢν ἐν αὐτῷ ὁ λόγος, ὡς ψυχὴ ἐν σώματι, διὰ τὸ ἔνοικον εἶναι E Θεὸν, ἀλλ' οὐχὶ ἀνθρωπείαν ψυχήν· λέγῃ δὲ τὰς παρανόμους μίξεις ἀγαθόν τι εἶναι, καὶ τέλος εὐδαιμονίας ἡδονὴν τίθεται, οἷος ὁ ψευδώνυμος Νικολαΐτης, οὗτος, οὔτε φιλόθεος, οὔτε φιλόχριστος εἶναι δύναται, ἀλλὰ φθορεὺς τῆς οἰκείας σαρκὸς, καὶ διὰ τοῦτο τοῦ ἁγίου πνεύματος κενὸς, καὶ Χριστοῦ ἀλλότριος. οἱ τοιοῦτοι πάντες, στῆλαί εἰσι καὶ τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα νεκρῶν ἀνθρώπων.

Fugite

φεύγετε οὖν τὰς κακοτεχνίας, καὶ ἐνέδρας τοῦ πνεύματος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τοῦ αἰῶνος τούτου, μήποτε οἱ θλιβέντες ἐξασθενήσητε ἐν τῇ ἀγάπῃ· ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ, καὶ ψυχῇ θελούσῃ σύμψυχοι, τὸ ἓν φρονοῦντες, πάντοτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν δοξάζοντες, ἔν τε ἀνέσει, καὶ κινδύνοις, καὶ ἐν λύπαις, καὶ ἐν χαρμοναῖς. εὐχαριστῶ τῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ὅτι εὐσυνείδητός εἰμι ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι, οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησά τινα, ἢ ἐν μικρῷ, ἢ ἐν μεγάλῳ. καὶ πᾶσιν ἐν οἷς ἐλάλησα, εὔχομαι ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται. Εἰ γὰρ κατὰ σάρκα μέ τινες ἠθέλησαν πλανῆσαι, ἀλλὰ τὸ πνεῦμά μου οὐ πλανᾶται· παρὰ γὰρ Θεοῦ αὐτὸ εἴληφα. οἶδε γὰρ πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκραύγασα μεταξὺ ὢν ἐλάλουν μεγάλῃ φωνῇ, οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ Θεοῦ, τῷ ἐπισκόπῳ προσέχετε, καὶ τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις. εἰ δὲ ὑποπτεύετέ με, ὡς προμαθόντα τὸν μερισμόν τινων, λέγειν ταῦτα, μάρτυς μοι δι' ὃν δέδεμαι, ὅτι ἀπὸ στόματος ἀνθρώπου οὐκ ἔγνων· τὸ δὲ πνεῦμα ἐκήρυξέ μοι λέγον τάδε· χωρὶς ἐπισκόπου μηδὲν ποιεῖτε· τὴν σάρκα ὑμῶν ὡς ναὸν Θεοῦ τηρεῖτε· τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε· μιμηταὶ γίνεσθε Παύλου, καὶ τῶν λοιπῶν ἀποστόλων, ὡς καὶ αὐτοὶ τοῦ Χριστοῦ. ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος, ἐπιλέγων καὶ τοῦτο, ὅτι οὗ διάστασις γνώμης, καὶ ὀργὴ καὶ μῖσος, ἐκεῖ Θεὸς οὐ κατοικεῖ. πᾶσιν οὖν τοῖς μετανοοῦσιν ἀφίησιν ὁ Θεός, ἐὰν συνδράμωσιν εἰς ἑνότητα Χριστοῦ, καὶ συνεδρείαν τοῦ ἐπισκόπου. πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὅτι λύσει ἀφ' ὑμῶν πάντα σύνδεσμον ἀδικίας. παρακαλῶ οὖν ὑμᾶς, μηδὲν κατ' ἐρίθειαν πράσσετε, ἀλλὰ κατὰ χριστομαθίαν· ἤκουσα γάρ τινων λεγόντων, ὅτι ἐὰν μὴ ἐν τοῖς ἀρχείοις εὕρω τὸ εὐαγγέλιον, οὐ πιστεύω. τοῖς δὲ τοιούτοις ἐγὼ λέγω, ὅτι ἐμοὶ ἀρχεῖά ἐστιν Ἰησοῦς ὁ Χριστός, οὗ παρακοῦσαι, πρόδηλος ὄλεθρος. ἄθικτόν μοι ἐστὶν ἀρχεῖον ὁ σταυρὸς αὐτοῦ, καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ, καὶ ἡ πίστις ἡ περὶ τούτων, ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι. ὁ ἀπιστῶν τῷ εὐαγγελίῳ, πάντα ὁμοῦ ἀπιστεῖ· οὐ γὰρ προκρίνεται τὰ ἀρχεῖα τοῦ πνεύματος. σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν, σκληρὸν τὸ Χριστῷ ἀπιστεῖν, σκληρὸν τὸ ἀθετεῖν τὸ κήρυγμα τῶν ἀποστόλων· καλοὶ μὲν οἱ ἱερεῖς, καὶ οἱ τοῦ λόγου διάκονοι· κρείσσων δὲ ὁ ἀρχιερεύς, ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ Θεοῦ. καλαὶ αἱ λειτουργικαὶ τοῦ Θεοῦ δυνάμεις· ἅγιος ὁ παράκλητος, καὶ ἅγιος ὁ λόγος, ὁ τοῦ πατρὸς υἱός, δι' οὗ ὁ πατὴρ τὰ πάντα πεποίηκε, καὶ τῶν ὅλων προνοεῖ. οὗτός ἐστιν ἡ πρὸς τὸν πατέρα ἄγουσα ὁδός, ἡ πέτρα, ὁ φραγμός, ἡ κλείς, ὁ ποιμήν, τὸ ἱερεῖον, ἡ θύρα τῆς γνώσεως, δι' ἧς εἰσῆλθον Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ Ἰακώβ, Μωσῆς,

A Fugite igitur maleficia & insidias spiritus qui nunc operatur in filiis huius seculi, nequando afflicti charitatis affectum in vobis languescere permittatis, sed omnes in vnum sitis corde indiuulso & animo voluntario, vnanimes, semper eadem de iisdem sentientes, in quiete, in periculis, in mœrore & gaudio. Gratias ago Deo per Iesum Christum, quod pacatam habeam de vobis conscientiam, nec habet quispiam quod glorietur vel secretò vel palàm, me quemquam grauasse, vel in paruo vel in magno. Et omnes oro inter quos locutus sum, ne illud in testimoniū conseruent. B Quanquam enim secūdum carnem voluerunt quidam me seducere, at spiritus meus non seducitur, à Deo namque illum accepi. Scit enim vnde venit, & quò vadit, & secreta coarguit. Exclamaui magna voce inter eos quibus locutus sum: Nō mens est sermo, sed Dei. Episcopo attendite, & presbyteris, & diaconis. Si autem suspicamini me hæc dicere, quod intellexerim quosdam diffidere, testis mihi est propter quem vinctus sum, quòd non cognouerim istud ab ore[14] humano, sed spiritus annuntiauit mihi. C *Sine Episcopo nihil facite, carnem vestram, vt Dei templum, custodite, vnitatem amate, diffidia fugite, imitatores este Pauli & aliorum Apostolorum, sicut & ipsi fuere Christi.* Ego itaque quod meum erat feci, vt homo in vnitatem redactus compositúsque, adiiciens & hoc: Vbi animorum discordia est, & ira & odium, ibi Deus minimè habitat. Omnibus igitur pœnitentibus remittit Deus, si concurrant ad vnitatem Christi & Episcopi concilium. Credo gratiæ Iesu Christi, quod soluet auferétque à vobis omne vinculum iniquitatis. Obsecro itaque vos, vt nihil per contentionem faciatis, sed omnia iuxta Christi disci- D plinam. Audiui enim quosdam dicentes: Nisi Euangeliū inuenero in archiuis, nō credo. Talibus ego dico, quod Iesus mihi pro archiuis est; quem nolle audire, manifesta pernicies est. Illibatum mihi est Archiuum crux eius, & mors & resurrectio eius, & fides horum, per quæ cupio iustificari precationibus vestris. Qui non credit Euangelio, nihil ceterorum credit. Nec enim spiritui debent archiua[15] præferri. *Durum est contra stimulum calcitrare*, durum est Christo nolle credere, durum est prædicationem Apostolorum E reiicere. Boni sunt sacerdotes, sermonisque ministri, præstantior est Pontifex, cui Sancta sanctorum & secreta Dei credita sunt. Bonæ sunt administratoriæ illæ virtutes Dei. Sanctus est Paraclerus, & sanctum illud Verbum filius Patris, per quem Pater fecit omnia, omnibúsque prouidet: hæc est quæ ad Patrem ducit via, hæc Petra, hoc septum, hæc clauis, hic pastor, hæc hostia, hoc cognitionis ostium quod ingressus est Abraham, Isaac, Iacob, Moses,

Quanam Dei fuerit ad Ignatium reuelatio.

Euangelium Traditionibus roboratur.

Act. 6.

&c vniuersus Prophetarum chorus, & orbis columnæ Apostoli, & sponsa Christi, pro qua dotis loco effudit proprium sanguinem, vt eam redimeret. Porro omnia ad vnitatem vnius & veri Dei spectant. Eximium autem quiddam habet Euangelium, nimirum aduentum Saluatoris nostri Iesu Christi, passionem, ipsamque resurrectionem. Quæ namque Prophetæ annuntiauerunt, *Donec*[16] *veniat cui repositum est: & ipse erit expectatio gentium*; hæc in Euangelio impleta sunt, dicente Domino; *Ite, docete omnes gentes, baptizantes eos in nomine Patris, & Filij, & Spiritus sancti.* Omnia igitur in vniuersum bona, Lex, Prophetæ, Apostoli, totúsque cœtus per ipsos credentium: hoc vnum reliquum est, vt nos mutuò diligamus. Quoniam per orationem vestram, & viscera quæ habetis in Domino Iesu, nuntiatum est mihi pacem habere Ecclesiam Antiochenam, quæ in Syria est. Decet itaque vos, vt Dei Ecclesiam, eligere Episcopum vt obeat legationem Dei, vt concedatur illis in eundem locum congregatis, etiam glorificare nomen Dei. Beatus ille in Christo Iesu, qui dignus habitus fuerit eiusmodi ministerio, & vos studium vestrum adhibentes, in Christo glorificabimini. Volentibus enim vobis non erit prorsus impossibile pro nomine Dei, vt semper fecerunt proximæ Ecclesiæ, quorum aliæ misere Episcopos, nonnullæ verò presbyteros & diaconos. De Philone diacono, viro à Cilicia testimonium habente, qui & mihi in sermone ministrat, vnà cum Gauia & Agathopode viro electo, qui à Syria me comitatur, scite, quòd[17] vitæ renuntiauit, & de vobis testificantur. Deo meo gratias vestro nomine, quòd officiosè illos accepistis; suscipiat & vos Dominus. Qui verò illos ignominia affecerunt, liberentur gratia Christi, cuius voluntas non est mors, sed pœnitentia peccatoris. Salutat vos charitas fratrum qui sunt in Troade, [18] vnde & scribo vobis per Burgum, qui missus est vnà ab Ephesiis & Smyrnensibus honoris causa, quibus beneficium reponat Dominus Iesus Christus, in quem sperant, carne, anima & spiritu sancto.

Quid eximium contineat Euangelium.

Gen. 49.

Matth. 28.

A καὶ ὁ σύμπας τῶν προφητῶν χορὸς, καὶ οἱ στύλοι τοῦ κόσμου οἱ ἀπόστολοι, καὶ ἡ νύμφη τοῦ Χριστοῦ, ὑπὲρ ἧς, φερνῆς λόγῳ, ἐξέχεε τὸ οἰκεῖον αἷμα, ἵνα αὐτὴν ἐξαγοράσῃ. πάντα ταῦτα εἰς ἑνότητα τοῦ ἑνὸς, καὶ μόνου ἀληθινοῦ Θεοῦ. ἐξαίρετον δέ τι ἔχει τὸ εὐαγγέλιον, τὴν παρουσίαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος, αὐτὴν τὴν ἀνάστασιν. ἃ γὰρ οἱ προφῆται κατήγγειλον λέγοντες, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν, ταῦτα ἐν τῷ εὐαγγελίῳ πεπλήρωται· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες
B αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· πάντα οὖν ὁμοῦ καλά, ὁ νόμος, οἱ προφῆται, οἱ ἀπόστολοι, τὸ πᾶν σύστημα τὸ δι' αὐτῶν πιστευσάντων· μόνον ἐὰν ἀγαπῶμεν ἀλλήλους. ἐπεὶ κατὰ τὴν προσευχὴν ὑμῶν, καὶ τὰ σπλάγχνα ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι εἰρηνεύειν τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας. πρέπον ἐστὶν ὑμῖν, ὡς ἐκκλησίᾳ Θεοῦ, χειροτονῆσαι ἐπίσκοπον, εἰς τὸ πρεσβεῦσαι ἐκεῖ Θεοῦ πρεσβείαν, εἰς τὸ συγχαρῆναι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γενομένοις, καὶ δοξάσαι τὸ ὄνομα τοῦ Θεοῦ. μακάριος ἐν Χρι-
C στῷ Ἰησοῦ ὃς καταξιωθῇ τῆς τοιαύτης διακονίας. καὶ ὑμεῖς δὲ σπουδάσαντες, ἐν Χριστῷ δοξασθήσεσθε. θέλουσι δὲ ὑμῖν, οὐ πάντῃ ἀδύνατον, ὑπὲρ ὀνόματος Θεοῦ, ὡς καὶ ἀεὶ αἱ ἔγγιστα ἐκκλησίαι, ἔπεμψαν ἐπισκόπους· αἱ δὲ πρεσβυτέρους καὶ διακόνους. περὶ δὲ Φίλωνος τοῦ διακόνου, ἀνδρὸς ἀπὸ Κιλικίας μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ ὑπηρετεῖ μοι, ἅμα Γαΐῳ καὶ Ἀγαθόποδι, ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ, ἀποταξάμενοι τῷ βίῳ, οἳ καὶ μαρτυροῦσιν ὑμῖν. κἀγὼ τῷ Θεῷ εὐχαριστῶ περὶ ὑμῶν, ὑπὲρ ὧν ἐδέξασθε αὐτοὺς, προσ-
D δέξεται καὶ ὑμᾶς ὁ κύριος. οἱ δὲ ἀτιμάσαντες αὐτοὺς, λυτρωθείησαν ἐν τῇ χάριτι Ἰησοῦ Χριστοῦ, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν. ἀσπάζεται ὑμᾶς ἐν ἀγάπῃ τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν, διὰ Βούργου, πεμφθέντος ἅμα ἀπὸ Ἐφεσίων καὶ Σμυρναίων, εἰς λόγον τιμῆς, οὓς ἀμείψεται ὁ κύριος Ἰησοῦς Χριστὸς, εἰς ὃν ἐλπίζουσι, σαρκί, ψυχῇ, πνεύματι, πίστει, ἀγάπῃ, ὁμονοίᾳ. ἔρρωσθε ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι
E ἡμῶν, ἐν ἁγίῳ πνεύματι.

EIVSDEM AD SMYRNENSES,

Epistola X.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Σμυρναίους, ί.

Ex hac Epistola desumpta sunt, quæ perperam (nescio vnde nato errore) citat ex eiusdem S. Ignatij Epistola ad Romanos, Theodoritus Cyrensis in Eranite, dialogo 1. de veritate humanitatis Christi: meliùs verò D. Hieronymus in scriptorum Ecclesiasticorum libro, ex hac eadem Epistola.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ πατρὸς ὑψίστου, καὶ τοῦ ἠγαπημένου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληροφορημένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι καὶ λόγῳ Θεοῦ, πλεῖστα χαίρειν.

ΔΟΞΑΖΩ τὸν Θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν δι᾽ αὐτοῦ οὕτως ὑμᾶς σοφίσαντα. ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ, σαρκί τε καὶ πνεύματι, καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι τοῦ Χριστοῦ, πεπληροφορημένους ὡς ἀληθῶς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν τοῦ Θεοῦ υἱὸν, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν Θεὸν λόγον, τὸν μονογενῆ υἱὸν, ὄντα δὲ ἐκ γένους Δαβὶδ κατὰ σάρκα, ἐκ Μαρίας τῆς παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ᾽ αὐτοῦ· πολιτευσάμενον ὁσίως ἄνευ ἁμαρτίας, καὶ ἐπὶ Ποντίου Πιλάτου, καὶ Ἡρώδου τοῦ τετράρχου, καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκὶ ἀληθῶς· ἀφ᾽ οὗ καὶ ἡμεῖς ἐσμὲν, ἀπὸ τοῦ θεομακαρίτου αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσημον εἰς τοὺς αἰῶνας, διὰ τῆς ἀναστάσεως, εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ. ταῦτα γὰρ πάντα ἔπαθε δι᾽ ἡμᾶς· καὶ ἀληθῶς ἔπαθε, καὶ οὐ δοκήσει, ὡς καὶ ἀληθῶς ἀνέστη· ἀλλ᾽ οὐχ ὥσπερ τινὲς τῶν ἀπίστων ἐπαισχυνόμενοι τὴν τοῦ ἀνθρώπου πλάσιν, καὶ τὸν σταυρὸν, καὶ αὐτὸν τὸν θάνατον, λέγουσιν, ὅτι δοκήσει καὶ οὐκ ἀληθείᾳ ἀνείληφε τὸ ἐκ τῆς παρθένου σῶμα, καὶ τῷ δοκεῖν πέπονθεν, ἐπιλαθόμενοι τοῦ εἰπόντος, ὁ λόγος σὰρξ ἐγένετο. καὶ, λύσατε τὸν ναὸν τοῦτον, καὶ διὰ τριῶν ἡμερῶν ἐγερῶ αὐτόν· καὶ, ἐὰν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. οὐκοῦν ὁ λόγος ἐν σαρκὶ ᾤκησεν· ἡ σοφία γὰρ ἑαυτῇ ᾠκοδόμησεν οἶκον. ὁ λόγος τὸν ἑαυτοῦ ναὸν λυθέντα ὑπὸ τῶν χριστομάχων Ἰουδαίων, ἀνέστησε τῇ τρίτῃ ἡμέρᾳ. ὁ λόγος, ὑψωθείσης αὐτοῦ τῆς σαρκὸς, κατὰ τὸν ἐν τῇ ἐρήμῳ χαλκοῦν ὄφιν, πάντας εἵλκυσε πρὸς ἑαυτὸν εἰς σωτηρίαν αἰώνιον. ἐγὼ δὲ οὐκ ἐν τῷ γεννᾶσθαι καὶ σταυροῦσθαι γινώσκω αὐτὸν ἐν σώματι γεγονέναι μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα· καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς, λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον· πνεῦμα γὰρ σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· καὶ τῷ Θωμᾷ λέγει, φέρε τὸν δάκτυλόν σου ὧδε εἰς τὸν τύπον τῶν ἥλων, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου. καὶ εὐθὺς ἐπίστευσαν, ὡς αὐτὸς εἴη ὁ Χριστός. διὸ καὶ Θωμᾶς φησιν αὐτῷ, ὁ κύριός μου, καὶ ὁ Θεός μου.

IGNATIVS, qui & Theophorus, Eccleſiæ Dei Patris altiſſimi & dilecti Filij ipſius Ieſu Chriſti miſericordiam conſecutæ in omni dono, plenè inſtructæ in fide & charitate, nullius gratiæ experti, diuiniſſimæ & ſacroſanctæ, quæ eſt Smyrnæ in Aſia, in Spiritu immaculato & verbo Dei, Salutem plurimam.

GLORIFICO Deum & Patrem Domini noſtri Ieſu Chriſti, qui per eum vos ita erudiuit. Cognoui enim vos abſolutè perfectos in fide ſtabili, vtpote vnà affixos cruci Domini noſtri Ieſu Chriſti carne & ſpiritu, firmatos in charitate, in ſanguine Chriſti, & verè ad plenum inſtructos in Domino noſtro Ieſu Chriſto filio Dei, primogenito omnis creaturæ, qui Dei Verbum eſt, & vnicus filius, ſecundùm carnem de genere Dauid ex Maria virgine, baptizatus à Ioanne vt impleretur ab eo omnis iuſtitia, qui verſatus eſt inter homines ſine peccato, & ſub Pōtio Pilato & Herode tetrarcha affixus eſt cruci pro nobis, in vera carne: à quo & nos ſumus redempti, per diuinam beatámque paſſionem eius, vt tolleret ſignum in ſecula per reſurrectionem eius, ſanctis & fidelibus; ſiue Iudæis ſiue gentibus, in vnum corpus Eccleſiæ ſuæ. Omnia enim hæc paſſus eſt propter nos, & verè perpeſſus eſt, non opinione, quemadmodum & verè reſurrexit, ſed non, veluti quidam increduli, quos pudet, incarnationis & crucis, dicentes quòd mortem non in rei veritate obierit, ſed opinione tantùm hominum, & quòd non verè ex virgine corpus aſſumpſit, & quòd ſola opinione paſſus ſit, obliti illius Euangelici dicti, *Verbum caro factum eſt.* Et, *Soluite templum hoc, & triduo reſuſcitabo illud.* Et, *Si exaltatus fuero à terra, omnia traham ad meipſum.* An non itaque Verbum in carne habitauit? *Sapientia enim ædificauit ſibi domum:* Verbum, ſuum ipſius templum, quod ſolutum erat à Iudæis Chriſtum oppugnantibus, excitauit tertia die; & Verbum omnes ad ſe traxit ad obtinendam ſalutem æternam, poſtquam caro ipſius exaltata eſt, ad ſimilitudinem ænei illius ſerpentis in eremo. Ego verò non modo in carne veniſſe ipſum cognoſco ex natiuitate & crucifixione eius; ſed & poſt reſurrectionem, vidi eum in carne, & credo etiam nunc eſſe. Etenim, quando ad Petrum venit, inquit ipſis; *Accipite & palpate me, & videte quòd non ſum dæmonium incorporale, Spiritus enim carnem & oſſa non habet, quemadmodum me videtis habere.* Et Thomæ dicit, *Infer digitum tuum in fixuram clauorum, & adfer manum tuam, & mitte in latus meum*, & continuo crediderunt quod ipſe eſſet Chriſtus. Quare & Thomas dicit ipſi, *Dominus meus, & Deus meus:*

Ioan.1. Ioan.2. Ioan.12. Prov.9. Num.21. Luc.24. Ioan.20.

& ob id mortem contempserunt, parum enim fuerit, si dicam, iniurias & verbera. Quinetiam & postquam ostendisset seipsum illis, quòd verè & non per phantasiam resurrexerat, & cum illis comedit & bibit quadraginta perpetuos dies, & ita cum carne, videntibus illis, assumptus est ad illum qui miserat eum, cum ipsa carne venturus iterum, cum gloria & potestate. Aiunt enim oracula: *Hic Iesus qui assumptus est à vobis in cœlum, sic veniet quemadmodum vidistis illum euntem in cœlum.* Si verò sine corpore dicunt eum venturum in consummatione seculi, quomodo ipsum videbunt qui illum pupugerūt; & agnoscentes, plangent in semetipsis? Incorporalium enim rerum, neque species est neque figura, neque particula animantis habentis formam aliquam, propter naturæ simplicitatem. De his autem admoneo vos charissimi, sciens vos non aliter atque me, de his sentire. Sed præmunio vos contra feras humanam formam præ se ferentes, quas non modo auersari oportet, sed etiam fugere, solúmque pro iis orare, si quando pœnitentia ducantur. Si enim opinione sola in corpore fuit Dominus, & phantasia crucifixus est, & ego, opinione solùm, vinctus sum: cur verò me ipsum morti prorsus tradidi, ad ignes, ad gladios, ad feras? At non opinione, sed reuera omnia sustineo propter Christum, vt cum illo patiar, ipso me confortante (nec enim mihi tantæ vires) quem quidam ignorantes negarunt, & patrocinantur mendacio magis quàm veritati. quos nec prophetiæ persuasere, nec Mosaïca lex, nec ipsum Euangelium in hunc vsque diem, sed neque nostri, quos singuli perferimus, cruciatus: nam & de nobis idipsum sentiunt. Quid enim mihi prodest si quis me laudet, & Dominum meum blasphemet, non confitens ipsum Deum esse carne vestitum? Qui verò id non dicit, prorsus ipsum negauit, cadauer circumferens: nec enim libuit eorum infida nomina his literis inserere: absit verò à me vt eorum mentionem faciam, donec pœnitentia ducantur. Nemo erret, nisi crediderit Iesum Christum in carne conuersatum, & crucem illius confessus fuerit, & passionem, & sanguinem quem effudit pro mundi salute, non assequetur vitam æternam, siue rex fuerit, siue sacerdos, siue Princeps, siue priuatus homo, siue dominus, siue seruus, siue vir, siue fœmina. Qui capit, capiat, qui audit, audiat. Locus, dignitas, diuitiæ neminem efferant: ignobilitas & paupertas neminem deiiciant. Totum namque & præcipuum, est fides in Deum, & spes in Christum, & fruitio eorum quæ expectamus bonorum, charitas in Deum & proximū. *Diliges* enim *Dominum Deum tuum ex toto corde tuo, & proximū tuū sicut teipsum.* Et Dominus inquit;

Act. 1.

Ioan. 19.

Haeretici feræ humanam formam ferentes.

A διὰ γὰρ τοῦτο καὶ θανάτου κατεφρόνησαν· μικρὸν γὰρ εἰπεῖν, ὕβρεων καὶ πληγῶν. οὐ μόνον δὲ ἀλλὰ καὶ μετὰ τὸ ἐπιδεῖξαι ἑαυτὸν αὐτοῖς, ὅτι ἀληθῶς, ἀλλ' οὐ τῷ δοκεῖν ἐγήγερται, καὶ συνέφαγεν αὐτοῖς, καὶ συνέπιεν, ἄχρις ἡμερῶν ὅλων τεσσαράκοντα· καὶ οὕτω σὺν τῇ σαρκὶ, βλεπόντων αὐτῶν, ἀνελήφθη πρὸς τὸν ἀποστείλαντα αὐτὸν, σὺν αὐτῇ πάλιν ἐρχόμενος μετὰ δόξης καὶ δυνάμεως· φασὶ γὰρ τὰ λόγια, Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευό-
B μενον εἰς τὸν οὐρανόν. Εἰ δὲ ἄνευ σώματός φασιν ἔρχεσθαι ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, πῶς αὐτὸν καὶ ὄψονται οἱ ἐκκεντήσαντες, καὶ ἐπιγνόντες κόψονται ἐφ' ἑαυτοῖς; ἀσωμάτων γὰρ, οὔτε εἶδος, οὔτε χαρακτήρ ἐστιν, ἢ τμῆμα ζώου μορφὴν ἔχοντος, διὰ τὸ ἁπλοῦν τῆς φύσεως. Ταῦτα δὲ παραινῶ ὑμῖν ἀγαπητοὶ, εἰδὼς ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, ἃ οὐ μόνον ἀποστρέφεσθαι χρὴ, ἀλλὰ καὶ φεύγειν· μόνον δὲ, προσεύχεσθε ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν· εἰ γὰρ τῷ δοκεῖν ἐν σώματι γέγονεν ὁ κύριος, καὶ τῷ
C δοκεῖν ἐσταυρώθη, κἀγὼ τῷ δοκεῖν δέδεμαι· τί δὲ καὶ ἐμαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; ἀλλ' οὐ τῷ δοκεῖν, ἀλλὰ τῷ ὄντι πάντα ὑπομένω διὰ Χριστὸν, εἰς τὸ συμπαθεῖν αὐτῷ, αὐτοῦ με ἐνδυναμοῦντος· οὐ γάρ μοι τοσοῦτον σθένος· ὃν τινὲς ἀγνοοῦντες ἠρνήσαντο, καὶ συνηγοροῦσι τῷ ψεύδει μᾶλλον, ἢ τῇ ἀληθείᾳ. οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι, οὐδὲ ὁ νόμος ὁ Μωσέως, ἀλλ' οὐδὲ μέχρι νῦν τὸ εὐαγγέλιον, ἀλλ' οὐδὲ τὰ ἡμέτερα τῶν κατ' ἄνδρα παθήματα· καὶ γὰρ περὶ ὑμῶν τὸ αὐτὸ φρονοῦσι. τί γὰρ ὠφελεῖ, εἰ ἐμὲ ἐπαινεῖ τις, τὸν
D δὲ κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον Θεόν· ὁ δὲ τοῦτο μὴ λέγων, τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. τὰ δὲ ὀνόματα αὐτῶν ὄντα ἄπιστα, νῦν οὐκ ἔδοξέ μοι ἐγγράψαι· μηδὲ γένοιτό με αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσι. μηδεὶς πλανάσθω, ἐὰν μὴ πιστεύσῃ Χριστὸν Ἰησοῦν ἐν σαρκὶ πεπολιτεῦσθαι, καὶ ὁμολογήσῃ τὸν σταυρὸν αὐτοῦ, καὶ τὸ πάθος, καὶ τὸ αἷμα, ὃ ἐξέχεεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας· οὐ τῆς ζωῆς αἰωνίου τεύξεται,
E κἂν βασιλεὺς ᾖ, κἂν ἱερεὺς, κἂν ἄρχων, κἂν ἰδιώτης, κἂν δεσπότης, ἢ δοῦλος, κἂν ἀνὴρ, ἢ γυνή. ὁ χωρῶν χωρείτω, ὁ ἀκούων ἀκουέτω· τόπος, καὶ ἀξίωμα, καὶ πλοῦτος, μηδένα φυσιούτω· ἀδοξία, καὶ πενία, μηδένα ταπεινούτω· τὸ γὰρ ὅλον ἐστὶ, πίστις ἡ εἰς Θεὸν, καὶ ἡ εἰς Χριστὸν ἐλπὶς, ἡ τῶν προσδοκωμένων ἀγαθῶν ἀπόλαυσις, ἀγάπη τε πρὸς τὸν Θεὸν, καὶ τὸ ὁμόφυλον. ἀγαπήσεις γὰρ κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. καὶ ὁ κύριός φησιν,

αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν. καί, ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται. καταμάθετε οὖν τοὺς ἑτεροδοξοῦντας, πῶς νομοθετοῦσιν ἄγνωστον εἶναι τὸν πατέρα τοῦ Χριστοῦ, πῶς ἄπιστον ἔχθραν μετ' ἀλλήλων ἔχουσιν. ἀγάπης αὐτοῖς οὐ μέλει, τῶν προσδοκωμένων ἀμελοῦσι, τὰ παρόντα ὡς ἑστῶτα λογίζονται, τὰς ἐντολὰς παρορῶσι, χήραν καὶ ὀρφανὸν παρορῶσι, θλιβόμενον διαπτύουσι, δεδεμένον γελῶσι, τοῦ σταυροῦ ἐπαισχύνονται, τὸ πάθος χλευάζουσι, τὴν ἀνάστασιν κωμῳδοῦσιν· ἔγγονοί εἰσι τοῦ ἀρχεκάκου πνεύματος, τοῦ τὸν Ἀδὰμ διὰ τῆς γυναικὸς τῆς ἐντολῆς ἐξώσαντος, τοῦ τὸν Ἄβελ διὰ τοῦ Κάϊν ἀποκτείναντος, τοῦ τῷ Ἰὼβ ἐπιστρατευσαμένου, τοῦ κατηγοροῦντος Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδέκ, τοῦ ἐξαιτησαμένου σινιασθῆναι τῶν ἀποστόλων τὴν πίστιν, τοῦ τὸ Ἰουδαϊκὸν πλῆθος ἐπεγείραντος τῷ κυρίῳ, τοῦ καὶ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· ὧν ῥύσεται ἡμᾶς ὁ κύριος Ἰησοῦς Χριστός, ὁ δεηθεὶς μὴ ἐκλείπειν τὴν πίστιν τῶν ἀποστόλων, οὐχ ὡς μὴ αὐτάρκη φυλάξαι αὐτήν, ἀλλ' ὡς χαίρων τῇ τοῦ πατρὸς ὑπεροχῇ. πρέπον οὖν ἐστιν ἀπέχεσθαι τῶν τοιούτων, καὶ μήτε κατ' ἰδίαν περὶ αὐτῶν λαλεῖν, μήτε κοινῇ· προσέχειν δὲ τῷ νόμῳ, καὶ τοῖς προφήταις, καὶ τοῖς εὐαγγελισαμένοις ὑμῖν τὸν σωτήριον λόγον. τὰς δὲ δυσωνύμους αἱρέσεις, καὶ τοὺς τὰ σχίσματα ποιοῦντας φεύγετε, ὡς ἀρχὴν κακῶν. πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς ὁ Χριστὸς Ἰησοῦς τῷ πατρί· καὶ τῷ πρεσβυτερίῳ δέ, ὡς τοῖς ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε, ὡς Θεοῦ ἐντολὴν διαχονοῦντας. μηδεὶς χωρὶς ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω, ὥσπερ ὅπου ὁ Χριστός, πᾶσα ἡ οὐράνιος στρατιὰ παρέστηκεν, ὡς ἀρχιστρατήγῳ τῆς δυνάμεως κυρίου, καὶ διανομεῖ πάσης νοητῆς φύσεως. οὐκ ἐξὸν ἐστι χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν, οὔτε προσφέρειν, οὔτε θυσίαν προσκομίζειν, οὔτε δοχὴν ἐπιτελεῖν· ἀλλ' ὃ ἂν ἐκείνῳ δοκῇ κατ' εὐαρέστησιν Θεοῦ, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ ἂν πράττητε. εὔλογόν ἐστι λοιπὸν ἀνανῆψαι ἡμᾶς, ὡς ἔτι καιρὸν ἔχομεν εἰς Θεὸν μετανοεῖν· ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ὁ ἐξομολογούμενος. ἰδοὺ γὰρ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. τίμα, φησίν, υἱὲ τὸν Θεόν, καὶ βασιλέα. ἐγὼ δέ φημι, τίμα μὲν τὸν Θεόν, ὡς αἴτιον τῶν ὅλων καὶ κύριον· ἐπίσκοπον δέ, ὡς ἀρχιερέα, Θεοῦ εἰκόνα φοροῦντα, κατὰ μὲν τὸ ἄρχειν Θεοῦ, κατὰ δὲ τὸ ἱερατεύειν Χριστοῦ, καὶ μετὰ τοῦτον, τιμᾶν χρὴ καὶ βασιλέα. οὔτε γὰρ Θεοῦ τις κρείττων, ἢ παραπλήσιος ἐν πᾶσι τοῖς οὖσιν·

A *Hæc est vita æterna, vt cognoscant te solum verum Deum, & quem misisti Iesum Christum.* Et, *Mandatum nouum do vobis, vt diligatis vos mutuò; in his duobus mandatis pendet tota lex & Prophetæ.* Considerate itaque eos qui aliena sectantur dogmata, quomodo infidam simultatem inter se exerceant, charitatis nullam habeant rationem. Futura negligunt, præsentia ceu stabilia bona curant, præcepta contemnunt, viduam & orphanum despiciunt, oppressum despuunt, vinctum rident, crucis illos pu- *Dæmonis malitia.* B det, passionem subsannant, resurrectionem pro fabula traducunt, posteri sunt & nepotes spiritus illius malorum principis, qui *Gen. 4.* Adam fecit Dei mandatum auersari per *Iob. 1.* fœminam, Abel per Cain occidit, qui Iob oppugnauit, qui Iesum filium Iosedec accusauit, *Zach 3.* qui postulauit cribrare fidem Apostolorum, *Luc 12.* qui plebem Iudaïcam *Ephes. 2.* concitauit aduersus Dominum, *Luc. 22.* qui & nunc vim efficaciamque exerit in filiis inobedientiæ, à quibus eripiet nos Dominus Iesus Christus: qui rogauit ne deficeret fides Apostolorum, non quod per se non pos- C set custodire illam, sed velut gaudens patris excellentia. Decet itaque abstinere ab eiusmodi, nec in priuato, nec in communi colloquio de illis verba facere, attendere autem legi & prophetis, & iis qui annuntiauerunt vobis salutarem sermonem. Nefandas autem hæreses, & eos qui schismata faciunt, fugite, vt fontem malorum. Omnes Episcopum sequimini, vt Christus Patrem; & presbyterorum collegium, vt Apostolos. *Quanta sit dignitas Episcoporum.* Diaconos reueremini, vt ex Dei præcepto ministrantes ". Sine Epis- D copo nemo quicquam faciat eorum quæ ad Ecclesiam spectant. Rata " Eucharistia habeatur illa quæ sub Episcopo fuerit, vel cui ipse concesserit. Vbi comparuerit Episcopus, ibi & multitudo sit; quemadmodum vbi Christus, ibi omnis astat exercitus cœlestis velut imperatori, potestatis dominicæ, omnisque intellectualis naturæ gubernatori. Non licet sine Episcopo baptizare, neque offerre, neque sacrificium immolare, neque Dochen " celebrare: sed quodcumque illi visum fuerit secundùm beneplacitum Dei, vt tutum & ratum sit, faciatis. Cõsentaneum E est nos deinceps recreare & pœnitere, dum " pœnitendi locum apud Deum habemus. *In inferno* enim *nullus est qui confiteatur.* *Psalm. 6. Isa. 38.* Ecce enim homo, & opera eius ante faciem illius. *Prou. 24.* *Honora*, inquit, *fili, Deum & regem.* Ego vero dico: Honora Deum, vt omnium auctorem, & dominum, Episcopum vero vt principem sacerdotum imaginem Dei referentem, Dei quidem, propter principatum, Christi vero, propter sacerdotium. Honorare oportet & regẽ, *Reges honorandi.* nec enim Deo " quisquam præstantior est, aut similis ei in rebus omnibus creatis:

nec Episcopo, qui Deo consecratus est pro totius mundi salute, quicquam maius in Ecclesia: nec inter principes quisquam similis Regi, pacem & æquitatem subditis procuranti. Qui honorat Episcopum, à Deo honorabitur, sicut qui ignominia afficit illum, à Deo punietur. Si enim iure censebitur pœna dignus, qui aduersus reges insurgit, vt qui violet bonas legum constitutiones, quanto putatis grauiori subiacebit supplicio, qui sine Episcopo quid volet agere, concordiam rumpens, & decentem rerum ordinem confundens? Sacerdotium enim est omnium bonorum, quæ in hominibus sunt, apex: qui aduersus illud furit, non hominem ignominia afficit, sed Deum, & Christum Iesum primogenitum, qui natura solus est summus sacerdos Patris. Omnia igitur vestra, decenti ordine perficiantur in Christo. Laici diaconis subiiciantur, diaconi presbyteris, presbyteri Episcopo, Episcopus Christo, vt ipse Patri. Quemadmodum me recreastis, fratres, ita & vos recreet Iesus Christus: absentem me & præsentem dilexistis, retribuat vobis Deus propter quem hæc in vinctum illius contulistis. Etsi enim non sum par beneficiis, at magna res est animi vestri propensio. Qui enim *honorat prophetam in nomine prophetæ, mercedem prophetæ accipiet*, nimirum qui honorat vinctum Iesu Christi, Martyrum accipiet mercedem. Quod Philonem, Gaium, & Agathopodē, qui comites mei sunt & verbi Dei ministri, vt Christi ministros exceperitis, bene fecistis; qui & plurimas Deo pro vobis gratias agunt, quòd omnibus modis illos refeceritis. Nihil vobis apud Deum peribit eorum quæ in illos contulistis: det vobis Dominus vt inueniatis misericordiam à Domino in illa die: vtinam meus spiritus cum vestro commutari possit, & vincula hæc mea quæ non fastiditis, nec ob ea erubuistis. Quare nec de vobis erubescet consummata spes Iesus Christus. Precationes vestræ appropinquarunt ad Antiochenam Ecclesiam, & pacem habet: vnde, vinctus omnes saluto, qui non sum dignus, cùm extremus sim eorum qui ibi sunt, sed " Dei voluntate dignus effectus sum, non iuxta conscientiam meam, sed ex gratia Dei quam opto perfectam mihi dari, vt per orationes vestras Deum assequar. Vt itaque opus vestrum absolutum sit super terram, & in cœlo, decet ad Dei honorem vt Ecclesia vestra eligat Sacrum" Legatum, vt cùm in Syria fuerit, congratuletur illis quòd pacem consecuti sint, & suam receperint magnitudinem, & restitutum sit illis suum corpusculum. Quod operæ pretium mihi visum fuit, id est, vt aliquem vestrûm mittatis cum epistola, vt vnà cum illis glorificet Deum de tranquillitate quam in Deo cōsecuti sūt,

Sacerdotij dignitas.

Ecclesiastica Hierarchia.

Matth. 10.

A οὔτε δὲ ἐν ἐκκλησίᾳ ἐπισκόπου τι μεῖζον ἱερωμένου Θεῷ, ὑπὲρ τῆς τοῦ κόσμου παντὸς σωτηρίας· οὔτε βασιλέως τις παραπλήσιος ἐν ἄρχουσιν, εἰρήνην καὶ εὐνομίαν τοῖς ἀρχομένοις πρυτανεύοντος. ὁ τιμῶν ἐπίσκοπον, ὑπὸ Θεοῦ τιμηθήσεται. ὥσπερ οὖν ὁ ἀτιμάζων αὐτὸν, ὑπὸ Θεοῦ κολασθήσεται. Εἰ γὰρ ὁ βασιλεῦσιν ἐπεγειρόμενος, κολάσεως ἄξιος δικαίως γενήσεται, ὥς γε παραλύων τὴν κοινὴν εὐνομίαν, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ ἄνευ ἐπισκόπου τι ποιεῖν προαιρούμενος, καὶ τὴν ὁμόνοιαν B διασπῶν, καὶ τὴν εὐταξίαν συγχέων; ἱερωσύνη γάρ ἐστι, τὸ πάντων ἀγαθῶν ἐν ἀνθρώποις ἀναβεβηκός· ᾗ ὁ καταμαινεὶς, οὐκ ἄνθρωπον ἀτιμάζει, ἀλλὰ Θεὸν, καὶ Χριστὸν Ἰησοῦν, τὸν πρωτότοκον, καὶ μόνον τῇ φύσει τοῦ πατρὸς ἀρχιερέα. πάντα οὖν ὑμῖν μετ' εὐταξίας ἐπιτελείσθω ἐν Χριστῷ. οἱ λαϊκοὶ τοῖς διακόνοις ὑποτασσέσθωσαν· οἱ διάκονοι τοῖς πρεσβυτέροις· οἱ πρεσβύτεροι τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος τῷ Χριστῷ, ὡς αὐτὸς τῷ πατρί. καθά με ἀνεπαύσατε ἀδελφοὶ, καὶ ὑμᾶς Ἰησοῦς ὁ Χριστός. ἀπόντα C με καὶ παρόντα ἠγαπήσατε· ἀμείψεται ὑμᾶς ὁ Θεὸς, δι' ὃν ταῦτα εἰς τὸν δέσμιον αὐτοῦ ἐνεδείξασθε· εἰ γὰρ καὶ μὴ εἰμὶ ἱκανὸς, ἀλλὰ τὸ τῆς προθυμίας ὑμῶν μέγα. ὁ τιμῶν γὰρ προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· δῆλον ὅτι καὶ ὁ τιμῶν δέσμιον Ἰησοῦ Χριστοῦ, μαρτύρων λήψεται μισθόν. Φίλωνα, καὶ Γάϊον, καὶ Ἀγαθόποδα, οἳ ἐπηκολούθησάν μοι, εἰς λόγον Θεοῦ διάκονοι Χριστοῦ ὄντες, καλῶς ἐποιήσατε ὑποδεξάμενοι, ὡς διακόνους Χριστοῦ· οἳ καὶ σφόδρα εὐχαριστοῦσι τῷ κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. οὐδὲν ὑμῖν παραλογισθή- D σεται ὧν εἰς αὐτοὺς ἐποιήσατε. δώῃ ὑμῖν ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου, καὶ τὰ δεσμά μου, ἃ οὐχ ὑπερηφανήσατε, οὐδὲ ἐπῃσχύνθητε. διὸ οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία ἐλπὶς, Ἰησοῦς ὁ Χριστός· αἱ προσευχαὶ ὑμῶν ἤγγισαν εἰς τὴν Ἀντιοχέων ἐκκλησίαν, καὶ εἰρηνεύεται· ὅθεν δεδεμένος, πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος, ἐκεῖθεν ἔσχατος αὐτῶν. κατὰ θέλημα κατηξιώθην, οὐκ ἐκ συνειδήσεως ἐμῆς, ἀλλ' ἐκ E χάριτος Θεοῦ, ἣν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν ταῖς προσευχαῖς ὑμῶν Θεοῦ ἐπιτύχω. ὅπως οὖν ὑμῶν τὸ ἔργον τέλειον γένηται ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ οὐρανῷ, πρέπει εἰς Θεοῦ τιμὴν, χειροτονῆσαι τὴν ἐκκλησίαν ὑμῶν, Θεοπρεσβύτην, εἰς τὸ γενόμενον ἐν Συρίᾳ συγχαρῆναι αὐτοῖς, ὅτι εἰρηνεύουσι, καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀποκατεστάθη αὐτοῖς τὸ ἴδιον σωματεῖον. ὃ ἐφάνη μοι ἄξιον, τοῦτό ἐστιν, ὥστε πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιστολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ Θεὸν αὐτοῖς γενομένην εὐδίαν,

καὶ ὅτι λιμένος εὐόρμου τετύχηκα, Χριστοῦ, διὰ τῆς A προσευχῆς ὑμῶν. τέλειοι ὄντες, τέλεια καὶ φρονεῖτε· θέλουσι γὰρ ὑμῖν εὖ πράττειν, καὶ Θεὸς ἕτοιμος εἰς τὸ παρασχεῖν. ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν ὑμῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, ὃν ἀπεστείλατε μετ' ἐμοῦ, ἅμα Ἐφεσίοις τοῖς συναδελφοῖς ὑμῶν· ὃς κατὰ πάντα με ἀνέπαυσε. καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον Θεοῦ διακονίας. ἀμείψεται αὐτὸν ἡ χάρις τοῦ κυρίου κατὰ πάντα. ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον ὑμῶν Πολύκαρπον, καὶ τὸ θεοπρεπὲς πρεσβυτέριον, καὶ τοὺς B χριστοφόρους διακόνους, τοὺς συνδούλους μου, καὶ τοὺς κατ' ἄνδρα καὶ κοινῇ πάντας, ἐν ὀνόματι Χριστοῦ Ἰησοῦ καὶ τῆς σαρκὸς αὐτοῦ, καὶ τοῦ αἵματι, πάθει τε καὶ ἀναστάσει, σαρκικῇ τε καὶ πνευματικῇ ἑνότητι Θεοῦ καὶ ὑμῶν. χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονὴ διὰ παντὸς ἐν Χριστῷ. ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου, σὺν γυναιξὶ καὶ τέκνοις· καὶ ἀειπαρθένους, καὶ τὰς χήρας. ἔρρωσθέ μοι ἐν δυνάμει πνεύματος. ἀσπάζεται ὑμᾶς Φίλων ὁ συνδιάκονος, ὁ ὢν σὺν ἐμοί. ἀσπάζομαι τὸν οἶκον Γαυΐας, ἣν εὔχομαι ἑδράσθαι πίστει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. ἀσπάζομαι Ἀλκην, τὸ ποθητόν μοι ὄνομα, καὶ Δάφνον τὸν ἀσύγκριτον, καὶ Εὔτεκνον, καὶ πάντας κατ' ὄνομα. ἔρρωσθε ἐν C χάριτι Θεοῦ καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πεπληρωμένοι πνεύματος ἁγίου, καὶ σοφίας θείας καὶ ἱερᾶς.

& quod commodissimum portum, Christum nimirum, obtinuerim, per orationes vestras. Cùm perfecti sitis, perfecta sentite. Cupientibus enim vobis feliciter viuere, etiam Deus idem " largiri paratus est. Salutat vos charitas fratrum vestrorum quæ est Troade, vnde & scribo vobis per Burgum, quem misistis mecum, vnà cum Ephesiis confratribus vestris, qui per omnia me refocillauit, & vtinam omnes illum " imitentur, qui est specimen diuini ministerij: retribuet illi per omnia gratia Domini. Saluto Deo dignum Episcopum vestrum Polycarpum, & diuinis exornatum dotibus presbyterium, & Christo plenos diaconos conseruos meos; & sigillatim, & in vniuersum omnes in nomine Christi Iesu, & carnis ipsius, & in sanguine, passione, & resurrectione corporali, & spirituali vnitate Dei & vestra. Gratia vobis, misericordia, pax, patientia per omnia, in Christo. Saluto familias fratrum meorum cum vxoribus & liberis, atque eas quæ in perpetua degunt virginitate, & viduas. Incolumes in virtute " spiritus este mihi. Salutat vos Philo syndiaconus, qui mecum est. Saluto familiam Gauiæ, quam opto solidari fide & charitate corporali & spirituali. Saluto Alcen desiderabile mihi nomen, & Daphnon incompatabilem, & bonum filium, & omnes nominatim. Valete in gratia Dei & Domini nostri Iesu Christi, repleti Spiritu sancto, & diuina sanctáque sapientia.

In Ecclesia perpetua virgines.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ
Πολύκαρπον ἐπίσκοπον Σμύρνης, ια'.

D ΙΓΝΑΤΙΟΣ ἐπίσκοπος Ἀντιοχείας, ὁ καὶ μάρτυς Ἰησοῦ Χριστοῦ, Πολυκάρπῳ ἐπισκόπῳ ἐκκλησίας Σμυρναίων, μᾶλλον ἐπισκοπημένῳ ὑπὸ Θεοῦ πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ, πλεῖστα χαίρειν.

ΑΠΟΔΕΧΟΜΕΝΟΣ σου τὴν ἐν Θεῷ γνώμην ἡδρασμένην, ὡς ἐπὶ πέτραν ἀκίνητον, ὑπερδοξάζω, καταξιωθεὶς τοῦ προσώπου σου τοῦ ἀμώμου, οὗ ὀναίμην ἐν Θεῷ. παρακαλῶ σε ἐν χάριτι ᾗ ἐνδέδυσαι, προσθεῖναι τῷ δρόμῳ σου, καὶ πάντας παρακαλεῖν ἵνα σώζωνται. ἐκδί- E κει σου τὸν τόπον, ἐν πάσῃ ἐπιμελείᾳ σαρκικῇ τε καὶ πνευματικῇ. τῆς ἑνώσεως φρόντιζε, ἧς οὐδὲν ἄμεινον· πάντας βάσταζε, ὡς καί σε ὁ κύριος· πάντων ἀνέχου ἐν ἀγάπῃ, ὥσπερ καὶ ποιεῖς· προσευχαῖς σχόλαζε ἀδιαλείπτοις. αἰτοῦ σύνεσιν πλείονα ἧς ἔχεις. γρηγόρει, ἀκοίμητον πνεῦμα κεκτημένος. τοῖς κατ' ἄνδρα κατ' ὁμόνοιαν Θεοῦ λάλει· πάντων τὰς νόσους βάσταζε, ὡς τέλειος ἀθλητὴς, ὡς καὶ ὁ κύριος πάντων. αὐτὸς γὰρ, φησὶ,

EIVSDEM AD POLYCARPVM
Episcopum, Smyrnæ.
EPISTOLA XI.

IGNATIVS Episcopus Antiochiæ, & martyr Iesu Christi, Polycarpo, Ecclesiæ Smyrnensis Episcopo ' & Inspectori, imò qui inspectus est potius à Deo Patre & Iesu Christo, salutem plurimam.

PROBANS & suscipiens animum tuum in Deo firmatum velut super immobilem petram, summis eueho laudibus, dignus habitus inculpata tua persona, qua vtinam fruar in Deo. Obsecro te per gratiam qua indutus ' es, vt ad cursum hunc tuum incrementa adiicias, omnésque adhorteris vt saluentur. Vindica & tuere locum tuum cum omni diligentia tam corporali quàm spirituali. vnitatis curam habe, qua nihil melius; omnes porta quemadmodum te Dominus; omnes tolera per charitatem, sicut & facis, precibus vaca sine intermissione, postula intellectum ampliorem quàm habes, vigila, insomnem spiritum habens, singulis iuxta diuinam ' concordiam loquere: omnium infirmitates perfer, vt athleta perfectus; sicut & omnium Dominus: *Ipse enim* (inquit) *Isa. 53.*

Episcopi officium.

infirmitates nostras portauit: vbi laboris ' plus est, ibi & plus emolumenti. Bonos si amas discipulos, nulla tibi est gratia, pestilentiores autem, mansuetudine subige. Non omne vulnus eodem emplastro curatur: vehementiores morbi accessiones, instillationibus seda. Prudens in omnibus esto, vt serpens: & simplex perpetuò vt columba. Propter hoc, ex anima & corpore constitutus es, ideo corporalis & spiritalis es, vt ea quę palàm oculis subiiciuntur, corrigas, quæ autem non videntur, postula vt ea tibi manifestentur, ne quicquam tibi desit, & omni gratia abundes. Tempus flagitat vt preceris. Vt enim gubernatori secūdus ventus adiumento est, & vt naui tempestate quassatæ, commodi portus saluti sunt, ita & tibi, Deum assequi. Sobrius esto vt athleta Dei, cuius voluntas est incorruptio & vita æterna, de qua & tu persuasus es per omnia. Vtinam pro tua hanc meam animam commutem, & hæc mea vincula quæ amasti. Qui aliena docent, & fide digni videntur, non te perterrefaciāt: sta firmus velut incus quæ verberatur. Magni athletæ est, vapulare & vincere. Dei autem nomine maximè sustinere oportet omnia, vt ipse nos expectet in suum transferendos regnum. Plus adiice huic studio quod in te est, ardentius curre, temporis occasiones disce. Sicuti hic es, vince. Hic enim stadium, ibi verò coronæ. Expecta Christum filium Dei in tempore, qui omni tempore caret, inuisibilem naturâ, visibilem in carne, impalpabilem omnémque cōtactum refugientem, vtpote incorporeum, propter nos verò in corpore tangibilem & palpabilem, omnibus passionibus carentem, vt Deum, propter nos verò " passionibus obnoxium factum " vt hominem, quas omnibus modis propter nos tolerauit. Viduæ non negligantur, post Dominum tu earum curator esto: nihil sine tuo arbitrio agatur, nec item tu quicquam præter Dei facies voluntatem, sicut nec facis. Constans & strenuus esto. Crebriùs celebrentur conuentus, synodique: nominatim omnes inquire, seruos & ancillas ne fastidias, sed nec ipsi inflentur fastu, sed ad gloriam Dei officiosiùs seruiant, vt potiorem libertatem à Deo consequantur, neque eligant communibus " sumptibus manumitti, ne serui inueniantur concupiscentiæ. Maleficia fuge, imò verò de his verba ne facito. Sororibus " meis dicito, vt Dominum ament, vt vitæ sociis contentæ sint, & carne & spiritu: itidem & fratribus meis præcipe, vt coniuges suas ament sicut Dominus Ecclesiam. Si quis potest in castitate permanere, ad honorem carnis Dominicæ, sine iactantia permaneat: si gloriatus fuerit, perit, & si idipsum statuatur sine Episcopo, corruptum est. Decet vero vt ducentes vxores ", & nubentes, cum Episcopi arbitrio coniungantur,

Matth.10.

A τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἡμῶν ἐβάστασεν. ὅπου πλείων κόπος, πολὺ κέρδος. καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔστι· μᾶλλον δὲ, τοὺς λοιμοτέρους ἐν πρᾳότητι ὑπότασσε. οὐ πᾶν τραῦμα τῇ ἐμπλάστρῳ θεραπεύεται· τοὺς παροξυσμοὺς ἐμβροχαῖς παῦε. φρόνιμος γίνου, ὡς ὄφις, ἐν πᾶσι· καὶ ἀκέραιος εἰσαεὶ, ὡς περιστερά. διὰ τοῦτο ἐκ ψυχῆς καὶ σώματος εἶ σαρκικὸς καὶ πνευματικὸς, ἵνα τὰ φαινόμενά σοι εἰς πρόσωπον ἐπανορθώσῃς. τὰ δὲ ἀόρατα αἴτει, ἵνα σοι φανερωθῇ, ἵνα μηδενὸς λείπῃ, καὶ παντὸς χαρίσματος περισσεύῃς. ὁ καιρὸς ἀ-
B παιτεῖ σε εὔχεσθαι· ὥσπερ γὰρ κυβερνήτῃ ἄνεμος συμβάλλεται, καὶ ὡς νηῒ χειμαζομένῃ λιμένες εὔθετοι εἰς σωτηρίαν· οὕτω καὶ σοὶ τὸ ἐπιτυχεῖν Θεοῦ. νῆφε, ὡς Θεοῦ ἀθλητὴς, οὗ τὸ θέλημα, ἀφθαρσία καὶ ζωὴ αἰώνιος. περὶ ἧς καὶ σὺ πέπεισαι κατὰ πάντα. σοῦ ἀντίψυχος ἐγὼ, καὶ τὰ δεσμά σου ἃ ἠγάπησας. οἱ δοκοῦντες ἀξιόπιστοι εἶναι, καὶ ἑτεροδιδασκαλοῦντες, μή σε καταπληττέτωσαν· στῆθι δὲ ἑδραῖος, ὡς ἄκμων τυπτόμενος. μεγάλου ἐστὶν ἀθλητοῦ, δέρεσθαι, καὶ νικᾷν. μάλιστα δὲ ἕνεκεν Θεοῦ πάντα ὑπομένειν ἡμᾶς δεῖ, ἵνα καὶ αὐτὸς ἡμᾶς ἀναμείνῃ εἰς τὴν βασιλείαν. πλέον
C προσέθης τῇ σπουδῇ οὗ εἶ· σφοδρότερον δράμε, τοὺς καιροὺς καταμάνθανε. ὡς ἐνταῦθα εἶ, νίκησον· ὧδε γάρ ἐστι τὸ στάδιον, ἐκεῖ δὲ οἱ στέφανοι. προσδόκα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν ἄχρονον ἐν χρόνῳ, τὸν ἀόρατον τῇ φύσει, ὁρατὸν ἐν σαρκί· τὸν ἀψηλάφητον καὶ ἀναφῆ, ὡς ἀσώματον δι' ἡμᾶς δὲ ἁπτὸν καὶ ψηλαφητὸν ἐν σώματι, τὸν ἀπαθῆ, ὡς Θεὸν, δι' ἡμᾶς δὲ παθητὸν, ὡς ἄνθρωπον, τὸν κατὰ πάντα τρόπον δι' ἡμᾶς ὑπομείναντα. αἱ χῆραι μὴ ἀμελείσθωσαν· μετὰ τὸν κύριον σὺ αὐτῶν φροντιστὴς ἔσο. μηδὲν ἄνευ τῆς γνώμης σου γινέσθω, μηδὲ σὺ ἄνευ Θεοῦ γνώμης τι πρᾶσσε, ὅπερ οὐδὲ
D πράττεις. εὐστάθει. πυκνότερον συναγωγαὶ γινέσθωσαν· ἐξ ὀνόματος πάντας ζήτει· δούλους καὶ δούλας μὴ ὑπερηφάνει, ἀλλὰ μηδὲ αὐτοὶ φυσιούσθωσαν, ἀλλ' εἰς δόξαν Θεοῦ πλέον δουλευέτωσαν, ἵνα κρείττονος ἐλευθερίας τύχωσιν ἀπὸ Θεοῦ. μὴ αἱρείτωσαν ἀπὸ τοῦ κοινοῦ ἐλευθεροῦσθαι, ἵνα μὴ δοῦλοι εὑρεθῶσιν ἐπιθυμίας. τὰς κακοτεχνίας φεῦγε, μᾶλλον δὲ περὶ τούτων ὁμιλίαν μὴ ποιοῦ. ταῖς ἀδελφαῖς μου προσλάλει ἀγαπᾷν τὸν κύριον, καὶ τοῖς συμβίοις ἀρκεῖσθαι, σαρκὶ καὶ πνεύματι· ὁμοίως καὶ τοῖς ἀδελ-
E φοῖς μου παράγγελλε, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἀγαπᾷν τὰς συμβίους, ὡς ὁ κύριος τὴν ἐκκλησίαν. εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν εἰς τιμὴν τῆς σαρκὸς τοῦ κυρίου, ἐν ἀκαυχησίᾳ μενέτω· ἐὰν καυχήσηται, ἀπώλετο· καὶ ἐὰν γνωσθῇ πλὴν τοῦ ἐπισκόπου, ἔφθαρται. πρέπει δὲ τοῖς γαμοῦσι καὶ ταῖς γαμούσαις, μετὰ γνώμης τοῦ ἐπισκόπου τὴν ἕνωσιν ποιεῖσθαι.

ἵνα ὁ γάμος ᾖ κατὰ κύριον, καὶ μὴ κατ' ἐπιθυμίαν. πάντα εἰς τιμὴν Θεοῦ γινέσθω. τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὁ Θεὸς ὑμῖν. ἀντίψυχον ἐγὼ τῶν ὑποτασσομένων ἐπισκόπῳ, πρεσβυτερίῳ, διακόνοις· μετ' αὐτῶν μοι τὸ μέρος γένοιτο ἔχειν παρὰ Θεοῦ. συγκοπιᾶτε ἀλλήλοις, συναθλεῖτε, συντρέχετε, συμπάσχετε, συγκοιμᾶσθε, συνεγείρεσθε, ὡς Θεοῦ οἰκονόμοι, καὶ πάρεδροι, καὶ ὑπηρέται. ἀρέσκετε ᾧ στρατεύεσθε, ἀφ' οὗ καὶ τὰ ὀψώνια κομίσεσθε. μή τις ὑμῶν δεσέρτωρ εὑρεθῇ. τὸ βάπτισμα ὑμῶν μενέτω ὡς ὅπλα· ἡ πίστις, ὡς περικεφαλαία· ἡ ἀγάπη, ὡς δόρυ· ἡ ὑπομονή, ὡς πανοπλία· τὰ δεπόσιτα ὑμῶν, τὰ ἔργα ὑμῶν· ἵνα τὰ ἄκκεπτα ὑμῶν, ἄξια Θεοῦ κομίσησθε. μακροθυμεῖτε οὖν μετ' ἀλλήλων ἐν πραότητι, ὡς ὁ Θεὸς μεθ' ὑμῶν. ὀναίμην ὑμῶν διὰ παντός. ἐπεὶ ἡ ἐκκλησία ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας εἰρηνεύει, ὡς ἐδηλώθη μοι, διὰ τῆς προσευχῆς ὑμῶν, κἀγὼ εὐθυμότερος ἐγενόμην ἐν ἀμεριμνίᾳ Θεοῦ, ἐάνπερ διὰ τοῦ παθεῖν, Θεοῦ ἐπιτύχω, εἰς τὸ εὑρεθῆναί με ἐν τῇ αἰτήσει ὑμῶν μαθητήν. πρέπει, Πολύκαρπε θεομακαριστότατε, συμβούλιον ἀγαγεῖν θεοπρεπέστατον, καὶ χειροτονῆσαι εἴ τινα ἀγαπητὸν λίαν ἔχετε, καὶ ἄοκνον, ὃς δυνήσεται θεόδρομος καλεῖσθαι· τοῦτον καταξιῶσαι πορευθῆναι εἰς Συρίαν, ἵνα πορευθεὶς εἰς Συρίαν, δοξάσῃ ὑμῶν τὴν ἄοκνον ἀγάπην εἰς δόξαν Θεοῦ. ὁ Χριστιανὸς ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει, ἀλλὰ Θεῷ σχολάζει· τοῦτο τὸ ἔργον Θεοῦ ἐστι καὶ ὑμῶν, ὅταν αὐτὸ ἀπαρτίσητε· πιστεύω γὰρ τῇ χάριτι, ὅτι ἕτοιμοί ἐστε εἰς εὐποιΐαν Θεῷ ἀνήκουσαν. εἰδὼς ὑμῶν τὸ σύντονον τῆς ἀληθείας, δι' ὀλίγων ὑμᾶς γραμμάτων παρεκάλεσα. ἐπεὶ οὖν πάσαις ταῖς ἐκκλησίαις οὐκ ἠδυνήθην γράψαι, διὰ τὸ ἐξαίφνης πλεῖν με ἀπὸ Τρωάδος εἰς Νεάπολιν, ὡς τὸ θέλημα προστάσσει, γράψεις ταῖς ἔμπροσθεν ἐκκλησίαις, ὡς Θεοῦ γνώμην κεκτημένος, εἰς τὸ καὶ αὐτοὺς τοῦτο ποιῆσαι· οἱ μὲν δυνάμενοι, πεζοὺς πέμψαι· οἱ δὲ, ἐπιστολὰς, διὰ τῶν ὑπὸ σοῦ πεμπομένων, ἵνα δοξασθῆτε ἐν αἰωνίῳ ἔργῳ. ὡς ἄξιος ὤν, ἀσπάζομαι πάντας ἐξ ὀνόματος, καὶ τὴν τοῦ Ἐπιτρόπου σὺν ὅλῳ τῷ οἴκῳ αὐτῆς, καὶ τῶν τέκνων. ἀσπάζομαι Ἄτταλον τὸν ἀγαπητόν μου. ἀσπάζομαι τὸν μέλλοντα καταξιοῦσθαι εἰς Συρίαν πορεύεσθαι· ἔσται ἡ χάρις μετ' αὐτοῦ διὰ παντὸς, καὶ τοῦ πέμποντος αὐτὸν Πολυκάρπου. ἐρρῶσθαι ὑμᾶς διὰ παντὸς ἐν Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ εὔχομαι, ἐν ᾧ διαμείνατε ἐν ἑνότητι Θεοῦ καὶ ἐπισκόπου. ἀσπάζομαι Ἄλκην τὸ ποθητόν μοι ὄνομα. ἀμήν. ἡ χάρις, ἔρρωσθε ἐν κυρίῳ.

A vt nuptiæ iuxta Domini præceptum sint, non autem ad concupiscentiam. Omnia ad honorem Dei fiant. Episcopo attendite, vt & Deus vobis. Meam animam libens commutauero cum animabus eorum qui Episcopo parent, presbyteris, & diaconis: faxit Deus vt cum illis mihi portio contingat à Deo. Collaborate vobis mutuò, vnà certate, concurrite, compatimini, vnà ad quietem vos componite. vnà exurgite, vt Dei dispensatores, assessores, & ministri, placete illi cui militatis, à quo & stipendia referetis. Nemo vestrum B desertor [15] inueniatur. Baptismus vester maneat velut arma, fides vt galea, charitas vt hasta, patientia vt omnis generis armatura. Deposita vestra, sunt opera vestra, vt quæ accepistis, eadem digna Deo reportetis. Longanimes [16] itaque estote inter vos cum mansuetudine, & Deus ita vobiscum aget. Vtinam fruar vobis per omnia, quandoquidem Antiochena Ecclesia, quæ in Syria est, pacem est nacta (vt significatum est) per orationes vestras, & ego tranquilliori animo factus sum in securitate Dei, si per passionem Deum assecutus fuero, vt discipulus inueniar per C orationes vestras. Decet, beatissime Polycarpe, Concilium cogere sacrosanctum, & eligere, si quem vehementer dilectum habetis & impigrum, vt possit diuinus appellari cursor; & huiusmodi creare, vt in Syriam profectus laudibus celebret impigram charitatem vestram ad gloriam Dei. Christianus homo sui potestatem non habet, sed Deo vacat: hoc est opus Dei & vestrum, quando idipsum perfeceritis. Credo enim gratiæ, quod parati estis ad benefacta Deo congruentia. Cúmque nouerim firmitatem robúrque ve- D ritatis vestræ, breuibus literis vos cohortatus sum. Quoniam verò omnibus Ecclesiis scribere nequiui, quòd repentè iussus sim à Troade nauigare Neapolim, prout [17] iubet decretum, scribes vlterioribus Ecclesiis, vt qui Dei voluntatem teneas, quo & ipsæ idem faciant, quæ possunt pedites mittant, aliæ verò epistolas per eos qui à te mittentur, vt opere hoc æterno glorificemini. Licèt minùs dignus [18] sim, saluto omnes nominatim, & Epitropi [19] vxorem cum tota familia sua & liberis. Saluto dilectum mihi Attalum. Saluto eum qui designandus est, vt in Syriam mit- E tatur: erit cum illo semper gratia, & cum eo qui mittit illum Polycarpo. Opto vos semper valere in Deo nostro Iesu Christo, in quo manete per vnitatem Dei & Episcopi. Saluto Alcen, desiderabile mihi nomen. Amen, [20] Gratia. Valete in Domino.

Bona opera.

A

EIVSDEM AD ANTIOCHENOS,

Epistola XII.

IGNATIVS, qui & Theophorus; Ecclesiæ à Deo misericordiam consecutæ, electæ à Christo, habitanti in Syria, & primùm Christi appellationem sortitæ, quæ est Antiochiæ, in Deo Patre, & Domino Iesu Christo, salutem.

B LEVIA minusque grauia vincula mea Dominus fecit, vbi didicissem vos pacem habere, & in omni concordia & corporali & spirituali degere. Obsecro itaque vos ego vinctus in Domino, vt ambuletis dignè, vocatione qua vocati estis, cauentes maligni hæreses quæ impudenter se ingesserunt ad fraudem & exitium illorum qui credunt iis. *Scripturæ testimonia de Trinitate, & Christi mysteriis.* Sed attendentes Apostolicæ doctrinæ, & legi, & Prophetis credentes, abiicite omnem gentilem & Iudaïcum errorem, vt nec multitudinem introducatis deorum, nec prætextu vnius Dei negetis Christum. C Moses enim Dei famulus fidelis, dicens, *Deut. 6. Marc. 12.* *Dominus Deus tuus, Dominus vnus est;* & vnum solum prædicans Deum, continuo confessus est & Dominum nostrum, dicens; *Dominus pluit super Sodomam & Gomorrham à Domino ignem & sulphur.* Et rursus, *Gen. 1.* *Dixit Deus: Faciamus hominem ad imaginem nostram.* Et, *Fecit Deus hominem, ad imaginem Dei fecit illum.* Et deinde, *Ad imaginem Dei fecit hominem.* Et quod fieret homo, inquit, *Deut. 18. Act. 3. 7.* *Prophetam vobis suscitabit Dominus è fratribus vestris, sicut me.* Prophetæ autem dicentes ex persona Dei: *Isa. 4.* *Ego Deus primus, & ego post hæc:* Et, D *Præter me non est Deus;* de Patre vniuersorum dicunt. Et de Domino nostro Iesu Christo: *Isa. 9.* *Filius*, inquiunt, *datus est nobis, cuius imperium super humerum eius desuper, & vocabitur nomen eius magni consilij Angelus, Admirabilis, consiliarius, Deus fortis potestate præditus*, Et de illius incarnatione, *Isa. 7. Matt. 1.* *Ecce virgo in vtero concipiet, & pariet filium, & vocabunt nomen eius Emmanuel.* Et de passione, *Isa. 53. Act. 5.* *Tanquam ouis ad occisionem ductus est, & quasi agnus coram tondente ipsum, obmutuit.* Et, *Hier. 11.* *Ego quasi agnus innocens qui ad victimam ducitur.* E Et Euangelistæ dicentes vnum Patrem solum verum Deum, non reliquerunt ea quæ sunt Domini nostri, sed scripserunt, *Ioan. 1.* *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum, Hoc erat in principio apud Deum, omnia per ipsum facta sunt, & sine ipso factum est nihil, quod factum est.* Et de incarnatione ipsius, *Ioan. 1.* *Verbum*, inquit, *caro factum est, & habitauit in nobis.* Et, *Liber generationis Iesu Christi, filij Dauid, filij Abraham.* Apostoli vero dicentes quod Deus vnus est;

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ

Ἀντιοχεῖς, ιβ.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ ἠλεημένῃ ὑπὸ Θεοῦ, ἐκλελεγμένῃ ὑπὸ Χριστοῦ, παροικούσῃ ἐν Συρίᾳ, καὶ πρώτῃ Χριστοῦ ἐπωνυμίαν λαβούσῃ, τῇ ἐν Ἀντιοχείᾳ, ἐν Θεῷ πατρὶ, καὶ κυρίῳ Ἰησοῦ Χριστῷ, χαίρειν.

ΕΛΑΦΡΑ μοι καὶ κοῦφα τὰ δεσμὰ ὁ κύριος πεποίηκε, μαθόντι εἰρηνεύειν ὑμᾶς, καὶ ἐν πάσῃ ὁμονοίᾳ σαρκικῇ τε καὶ πνευματικῇ διάγειν. παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, φυλαττόμενοι τὰς εἰσκωμασάσας αἱρέσεις τοῦ πονηροῦ, ἐπ᾽ ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πειθομένων αὐτῷ· προσέχειν δὲ τῇ τῶν ἀποστόλων διδαχῇ, καὶ νόμῳ, καὶ προφήταις πιστεύειν· πᾶσαν Ἰουδαϊκὴν καὶ Ἑλληνικὴν ἀπορρίψαι πλάνην, καὶ μήτε πλῆθος θεῶν ἐπεισάγειν, μήτε τὸν Χριστὸν ἀρνεῖσθαι προφάσει τοῦ ἑνὸς Θεοῦ. Μωσῆς τε γὰρ ὁ πιστὸς θεράπων τοῦ Θεοῦ εἰπὼν, κύριος ὁ Θεός σου, κύριος εἷς ἐστὶ καὶ τὸν ἕνα καὶ μόνον κηρύξας Θεὸν, ὡμολόγησεν εὐθέως καὶ τὸν κύριον ἡμῶν λέγων, κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ κυρίου πῦρ καὶ θεῖον· καὶ πάλιν, εἶπεν ὁ Θεὸς ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· καὶ ἑξῆς, ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον. καὶ ὅτι γενήσεται ἄνθρωπος, φησὶ, προφήτην ὑμῖν ἀναστήσει κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. οἱ δὲ προφῆται εἰπόντες, ὡς ἐκ προσώπου τοῦ Θεοῦ, ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός, περὶ τοῦ πατρὸς τῶν ὅλων λέγουσι· καὶ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· υἱὸς, φασὶν, ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ ἐστιν ἄνωθεν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς ἐξουσιαστής. καὶ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουήλ. καὶ περὶ τοῦ πάθους, ὡς πρόβατον, ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς, ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος· κἀγὼ ὡς ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι· οἵ τε εὐαγγελισταὶ εἰπόντες τὸν ἕνα πατέρα μόνον ἀληθινὸν Θεὸν, καὶ τὰ κατὰ τὸν κύριον ἡμῶν οὐ παρέλειπον, ἀλλ᾽ ἔγραψαν, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε. καὶ περὶ τῆς ἐνανθρωπήσεως, ὁ λόγος, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. οἱ δὲ ἀπόστολοι εἰπόντες, ὅτι Θεὸς εἷς ἐστιν,

εἶπον οἱ αὐτοί, ὅτι εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. καὶ τὴν ἐνσωμάτωσιν καὶ τὸ πάθος οὐκ ἐπῃσχύνθησαν. Τί γάρ φησιν· ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ δοὺς ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. πᾶς οὖν ὅστις ἕνα καὶ μόνον καταγγέλλει Θεόν, ἐπ' ἀναιρέσει τῆς τοῦ Χριστοῦ θεότητος, ἐστὶ διάβολος, καὶ ἐχθρὸς πάσης δικαιοσύνης· ὅ, τε ὁμολογῶν Χριστόν, οὐ τοῦ ποιήσαντος τὸν κόσμον υἱόν, ἀλλ' ἑτέρου τινὸς ἀγνώστου, παρ' ὃν ἐκήρυξεν ὁ νόμος, καὶ οἱ προφῆται, οὗτος ὄργανόν ἐστιν αὐτοῦ τοῦ διαβόλου· ὅ, τε τὴν ἐνανθρώπησιν παραιτούμενος, καὶ τὸν σταυρὸν ἐπαισχυνόμενος, δι' ὃν δέδεμαι, οὗτος ἐστὶν ἀντίχριστος· ὅ, τε ψιλὸν ἄνθρωπον λέγων τὸν Χριστόν, ἐπάρατός ἐστι κατὰ τὸν προφήτην, οὐκ ἐπὶ Θεῷ πεποιθώς, ἀλλ' ἐπὶ ἀνθρώπῳ· διὸ καὶ ἄκαρπός ἐστι, παραπλησίως τῇ ἀγριομυρίκῃ. Ταῦτα γράφω ὑμῖν, ὦ τοῦ Χριστοῦ νεελαία, οὐ συνειδὼς ὑμῖν τὸ τοιοῦτο φρόνημα, ἀλλὰ προφυλαττόμενος ὑμᾶς, ὡς πατὴρ τὰ ἑαυτοῦ τέκνα. Βλέπετε οὖν τοὺς κακεντρεχεῖς ἐργάτας, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. Βλέπετε τοὺς κύνας τοὺς ἐνεούς, τοὺς ὄφεις τοὺς συρομένους, τὰ φολιδωτὰ δρακόντια, τὰς ἀσπίδας, τοὺς βασιλίσκους, τοὺς σκορπίους. οὗτοι γάρ εἰσι θῶες ἀλωποί, ἀνθρωπόμιμοι πίθηκοι. Παύλου καὶ Πέτρου γεγόνατε μαθηταί· μὴ ἀπολέσητε τὴν παραθήκην· μνημονεύσατε Εὐοδίου τοῦ ἀξιομακαρίστου ποιμένος ὑμῶν, ὃς πρῶτος ἐνεχειρίσθη παρὰ τῶν ἀποστόλων τὴν ὑμετέραν προστασίαν. μὴ καταισχύνωμεν τὸν πατέρα· γενώμεθα γνήσιοι παῖδες, ἀλλὰ μὴ νόθοι. οἴδατε ὅπως συνανεστράφην μεθ' ὑμῶν· ἃ παρὼν ἔλεγον ὑμῖν, ταῦτα καὶ ἀπὼν γράφω. Εἴ τις οὐ φιλεῖ τὸν κύριον Ἰησοῦν, ἔστω ἀνάθεμα. μιμηταί μου γίνεσθε· ἀντίψυχον ὑμῶν γενοίμην, ὅταν Ἰησοῦ ἐπιτύχω. μνημονεύετέ μου τῶν δεσμῶν. οἱ πρεσβύτεροι ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον, ἕως ἀναδείξῃ ὁ Θεὸς τὸν μέλλοντα ἄρχειν ὑμῶν· ἐγὼ γὰρ ἤδη σπένδομαι, ἵνα Χριστὸν κερδήσω. οἱ διάκονοι γινωσκέτωσαν οἵου εἰσὶν ἀξιώματος, καὶ σπουδαζέτωσαν ἄμεμπτοι εἶναι, ἵνα ὦσι μιμηταὶ Χριστοῦ. ὁ λαός, ὑποτασσέσθω τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις. αἱ παρθένοι, γινωσκέτωσαν τίνι καθιέρωσαν ἑαυτάς. οἱ ἄνδρες, στεργέτωσαν τὰς ὁμοζύγους, μνημονεύοντες, ὅτι μία ἑνί, οὐ πολλαὶ ἑνὶ ἐδόθησαν ἐν τῇ κτίσει. αἱ γυναῖκες, τιμάτωσαν τοὺς ἄνδρας, ὡς σάρκα ἰδίαν· μηδὲ ἐξ ὀνόματος αὐτοὺς τολμάτωσαν καλεῖν· σωφρονιζέτωσαν δέ, μόνους ἄνδρας τοὺς ὁμοζύγους εἶναι νομίζουσαι, οἷς καὶ ἡνώθησαν κατὰ γνώμην Θεοῦ. γονεῖς, τὰ τέκνα παιδεύετε παιδείαν ἱεράν. τὰ τέκνα, τιμᾶτε τοὺς γονεῖς, ἵνα εὖ ὑμῖν ᾖ. οἱ δεσπόται, μὴ ὑπερηφάνως τοῖς δούλοις προσέχετε, μιμούμενοι τὸν τλήμονα Ἰὼβ, εἰπόντα,

A iidem dixerunt, *quòd vnus est mediator Dei & hominum*, nec de incarnatione, nec de passione eius erubuerunt. Quid enim inquiunt: *Homo Iesus Christus, qui dedit semetipsum pro mundi vita & salute?* Omnis itaque qui annunciat vnum & solum Deum, vt tollat Christi diuinitatem; is est diabolus, & hostis omnis iustitiæ. Et qui confitetur Christum non esse filium eius qui mundum fecit, sed alterius cuiusdam ignoti, præter eum quem lex annuntiauit & Prophetæ, instrumentum est ipsius diaboli. Et qui incarnationem reiicit, B & quem crucis pudet, propter quam vinctus sum, hic est Antichristus: & qui Christum dicit nudum hominem, maledictus est, iuxta Prophetam, cùm non in Deo confidat, sed *in homine*: quare & infructuosus est, vt agrestes myricæ. Hæc scribo vobis, ô Christi nouella oliua, non quòd conscius sim vos eiusmodi sentire, sed vt præmuniam vos, vobísque cautum velim, vt pater filiis. Cauete itaque improbos operarios *inimicos crucis Christi, quorum finis interitus, quorum* C *gloria est in confusione eorum.* Cauete canes mutos, serpentes super pectus repentes, dracones squammosos, aspides, basiliscos, scorpios: hi namque sunt thoës astuti, simiæ hominum imitatrices. Pauli & Petri fuistis discipuli, ne perdatis depositum. Mementote Euodij beatissimi pastoris vestri, qui primus vobis ordinatus est ab Apostolis antistes, ne simus pudori patri, simus genuini filij, non autem adulterini. Nostis quomodo vobiscum conuersatus sum, quæ præsens dicebam, vobis, hæc & absens scribo. Si qui non D amat Dominum Iesum, anathema sit. Imitatores mei estote, animam meam pro vestra libens commutem, cùm Christum adeptus fuero. Memores estote vinculorum meorum. Presbyteri pascite gregem qui inter vos est, donec Deus designauerit eum qui principatum in vobis habiturus est: Ego enim iam immolor, vt Christum lucrifaciam. Diaconi agnoscant cuius sint dignitatis, & enitantur vt inculpati sint, vt sint Christi imitatores. Populus pareat presbyteris, & diaconis, virgines agnoscant E cui seipsas consecrarunt: viri ament coniuges suas, memores quòd vna vni viro, non plures vni datæ sunt in creaturæ exordio. Mulieres honorent viros suos vt propriam carnem, nec ex nomine eos appellare audeant, sint autem castæ, solos coniuges suos, viros esse existimantes, quibus iuxta Dei arbitrium iunctæ sunt. Parentes, erudite liberos vestros sacris disciplinis: filij, honorate parentes, vt bene vobis sit. Domini, nolite superbè seruis vti, imitantes patientissimum Iob, dicentem,

1. Tim. 2.

Hier. 17.

Phil. 3.

Euodius Episcopus Antiochenus ab Apostolis ordinatus.

Virgines consecratæ.

Gen. 2.

Iob. 31.

Si verò etiam vilipendi iudicium famuli mei aut ancillæ meæ disceptantium aduersum me: quid enim faciam, si atla mea explorauerit Deus? & ea quæ sequuntur scitis. Serui, nolite ad iram prouocare dominos in vlla re, ne ipsi vobis sitis auctores immedicabilium malorum.

Otium fugiendum.

Nemo iners & otiosus edat, ne vagus fiat & scortator. Ebrietas, ira, inuidia, conuitium, clamor, blasphemia, ne nominetur quidem in vobis. Viduæ non dedant se deliciis, ne intemperanter se gerant aduersus verbum Dei. Cæsari subiecti estote in iis, in quibus subdi, nullum animæ periculum est. Principes nolite irritare, ita " vt exacerbentur, ne ansam detis eis qui illam contra nos quærunt. De incantatione, homicidio, obscœno puerorum amore superuacuum est scribere; quando & gentibus vetitum est hæc patrare. Porro hæc non vt Apostolus præcipio, sed vt conseruus vester commonefacio vos. Saluto sanctum presbyterorum collegium, saluto sacros diaconos, optabile illud nomen eius quem video in spiritu, locum meum tenere, vbi Christum nactus fuero; pro cuius anima, meam libens commutauero. Saluto Hypodiaconos, Lectores, Cantores, Ianitores, Laborantes, Exorcistas, Confessores.

Varij Clericorum in Ecclesia ordines.

Saluto custodes sacrorum vestibulorum in Christo Diaconissas". Saluto Christo afflatas Virgines, quibus vtinam fruar in Domino Iesu. Saluto populum Domini à paruo vsque ad magnum, & omnes sorores meas in Domino. Saluto Cassianum & coniugem illius, & chatissimos liberos illius. Salutat vos Polycarpus dignissimus Episcopus, cui & vos curæ estis, cuique vos commendaui in Domino: & vniuersa Ecclesia Smyrnæorum memor est vestri, in precibus, in Domino. Salutat vos Onesimus Ephesiorum pastor: Salutat vos Demas Magnesiæ Episcopus. Salutant vos Philo & Agathopus diaconi, qui vnà me comitati sunt. Salutate inuicem in osculo sancto. Hæc è Philippis scribo vobis. Is qui solus ingenitus est, per eum qui ante secula natus est, custodiat vos incolumes spiritu & carne, & videam vos in regno Christi. Saluto eum qui in vobis pro me principatum obtinebit, " quo ego vtinam fruar in Domino. Valete Deo & Christo, illuminati Spiritu sancto.

EIVSDEM AD HERONEM Diaconum, Antiochiæ.

Epistola XIII.

IGNATIVS, qui & Theophorus, à Deo honorato, exoptatissimo, ornatissimo, Christo spirituque pleno, germano filio in fide & charitate, Heroni Diacono Christi

A Εἰ γὰρ καὶ ἐφαυλισα κρίμα θεράποντός μου, ἢ θεραπαίνης μου, κρινομένων αὐτῶν πρὸς με· τί γὰρ ποιήσω, ἐὰν ἐτασίν μου ὁ κύριος ποιήσηται; καὶ τὰ ἑξῆς ἐπίστασθε. οἱ δοῦλοι, μὴ παροργίζετε τοὺς δεσπότας ἐν μηδενὶ, ἵνα μὴ κακῶν ἀνηκέστων ἑαυτοῖς αἴτιοι γένησθε. μηδεὶς ἀργὸς ἐσθιέτω, ἵνα μὴ ῥέμβος γένηται, καὶ πορνοκόπος. μέθη, ὀργὴ, φθόνος, λοιδορία, κραυγὴ, βλασφημία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. αἱ χῆραι, μὴ σπαταλάτωσαν, ἵνα μὴ καταστρηνιάσωσι τοῦ λόγου. τῷ Καίσαρι ὑποτάγητε, ἐν οἷς ἀκίνδυνος ἡ ὑποταγή. τοὺς ἄρχοντας μὴ ἐρεθίζετε εἰς παροξυσμόν, ἵνα μὴ B δῶτε ἀφορμὴν τοῖς ζητοῦσι καθ' ὑμῶν. περὶ δὲ γοητείας, ἢ παιδεραστίας, ἢ φόνου, περιττὸν τὸ γράφειν, ὁπότε ταῦτα καὶ τοῖς ἔθνεσιν ἀπηγόρευται πράττειν. ταῦτα, οὐχ ὡς ἀπόστολος παραγγέλλομαι, ἀλλ' ὡς σύνδουλος ὑμῶν ὑπομιμνήσκω ὑμᾶς. ἀσπάζομαι τὸ ἅγιον πρεσβυτέριον. ἀσπάζομαι τοὺς ἱεροὺς διακόνους, καὶ τὸ ποθεινόν μοι ὄνομα, ὃν ἐπίδοιμι ἀντ' ἐμοῦ ἐν πνεύματι ἁγίῳ, ὅταν Χριστοῦ ἐπιτύχω· οὗ ἀντίψυχον γενοίμην. ἀσπάζομαι ὑποδιακόνους, ἀναγνώστας, ψάλτας, πυλωρούς, τοὺς κοπιῶντας, ἐπορκιστὰς, ὁμολογητάς. ἀσπάζομαι τοὺς φρουροὺς τῶν ἁγίων C πυλώνων, τὰς ἐν Χριστῷ διακόνους. ἀσπάζομαι τὰς χριστολήπτους παρθένους, ὧν ὀναίμην ἐν κυρίῳ Ἰησοῦ. ἀσπάζομαι τὸν λαὸν κυρίου ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ πάσας τὰς ἀδελφάς μου ἐν κυρίῳ. ἀσπάζομαι Κασσιανὸν, καὶ τὴν ὁμόζυγον αὐτοῦ, καὶ τὰ φίλτατα αὐτοῦ τέκνα. ἀσπάζεται ὑμᾶς Πολύκαρπος, ὁ ἀξιοπρεπὴς ἐπίσκοπος, ᾧ καὶ μέλει περὶ ὑμῶν, ᾧ καὶ παρεθέμην ὑμᾶς ἐν κυρίῳ. καὶ πᾶσα δὲ ἡ ἐκκλησία Σμυρναίων μνημονεύει ὑμῶν ἐν ταῖς προσευχαῖς ἐν κυρίῳ. ἀσπάζεται ὑμᾶς Ὀνήσιμος, ὁ Ἐφεσίων ποιμήν. ἀσπάζεται ὑμᾶς Δημᾶς, ὁ Μαγνησίας ἐπί- D σκοπος. ἀσπάζεται ὑμᾶς Πολύβιος, ὁ Τραλλαίων. ἀσπάζεται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους, οἱ διάκονοι, οἱ συνακόλουθοί μου. ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. ταῦτα ἀπὸ Φιλίππων γράφω ὑμῖν. ἐρρωμένους ὑμᾶς ὁ μόνος ἀγέννητος, διὰ τοῦ πρὸ αἰώνων γεγεννημένου, διαφυλάξει πνεύματι, καὶ σαρκί. καὶ ἴδοιμι ὑμᾶς ἐν τῇ τοῦ Χριστοῦ βασιλείᾳ. ἀσπάζομαι τὸν ἀντ' ἐμοῦ μέλλοντα ἄρχειν ὑμῶν· οὗ καὶ ὀναίμην ἐν Χριστῷ. ἔρρωσθε Θεῷ καὶ Χριστῷ, πεφωτισμένοι τῷ ἁγίῳ πνεύματι.

E

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Ἥρωνα διάκονον Ἀντιοχείας, ιγ.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος τῷ θεοτιμήτῳ, ποθεινοτάτῳ, σεμνοπρεπεστάτῳ, χριστοφόρῳ, πνευματοφόρῳ, γνησίῳ τέκνῳ ἐν πίστει καὶ ἀγάπῃ, Ἥρωνι διακόνῳ

Χριστοῦ, ὑπηρέτῃ Θεοῦ, χάρις, ἔλεος, καὶ εἰρήνη ἀπὸ τοῦ παντοκράτορος Θεοῦ, καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς, ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

ΠΑΡΑΚΑΛΩ σε ἐν Θεῷ προσθεῖναι τῷ δρόμῳ σου, καὶ ἐκδικεῖν σου τὸ ἀξίωμα. τῆς συμφωνίας τῆς πρὸς τοὺς ἁγίους φρόντιζε· τοὺς ἀσθενεστέρους βάσταζε, ἵνα πληρώσῃς τὸν νόμον Χριστοῦ. νηστείαις καὶ δεήσεσι σχόλαζε, ἀλλὰ μὴ ἀμέτρως, ἵνα μὴ σαυτὸν καταβάλῃς. οἴνου καὶ κρεῶν μὴ πάντῃ ἀπέχου. οὐ γάρ ἐστι βδελυκτά. τὰ γὰρ ἀγαθὰ τῆς γῆς, φησὶ, φάγεσθε, καὶ ἔδεσθε κρέα ὡς λάχανα· καὶ, οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, καὶ ἔλαιον ἱλαρυνεῖ, καὶ ἄρτος στηρίζει. ἀλλὰ μεμετρημένως καὶ εὐτάκτως, ὡς Θεοῦ χορηγοῦντος. τίς γὰρ φάγεται, ἢ τίς πίεται πάρεξ αὐτοῦ; ὅ, τι εἴη καλὸν, αὐτοῦ· καὶ εἴ τι ἀγαθὸν, αὐτοῦ. τῇ ἀναγνώσει πρόσεχε, ἵνα μὴ μόνον αὐτὸς εἰδῇς τοὺς νόμους, ἀλλὰ καὶ ἄλλοις αὐτοὺς ἐξηγῇ, ὡς Θεοῦ ἀθλητής. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. ἀντίψυχόν σου ἐγὼ ὁ δέσμιος. πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοι φαινέσθω, ἐν προβάτου δορᾷ προβάτων φθορὰν κατεργαζόμενος. εἴ τις ἀρνεῖται τὸν σταυρὸν, καὶ τὸ πάθος ἐπαισχύνεται, ἔστω σοι ὡς αὐτὸς ὁ ἀντικείμενος, κἂν ψωμίσῃ τὰ ὑπάρχοντα πτωχοῖς, κἂν ὄρη μεθιστᾷ, κἂν παραδιδῷ τὸ σῶμα εἰς καῦσιν, ἔστω σοι βδελυκτός. εἴ τις φαυλίζει τὸν νόμον, ἢ τοὺς προφήτας, οὓς ὁ Χριστὸς παρὼν ἐπλήρωσεν, ἔστω σοι ὡς ὁ ἀντίχριστος. Εἴ τις ἄνθρωπον μόνον λέγῃ τὸν κύριον, Ἰουδαῖός ἐστι χριστοκτόνος. χήρας τίμα, τὰς ὄντως χήρας. ὀρφανῶν προΐστασο· ὁ Θεὸς γάρ ἐστι πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν. μηδὲν ἄνευ τῶν ἐπισκόπων πρᾶττε· ἱερεῖς γάρ εἰσι, σὺ δὲ διάκονος τῶν ἱερέων. ἐκεῖνοι βαπτίζουσιν, ἱερουργοῦσι, χειροτονοῦσι, χειροθετοῦσι· σὺ δὲ αὐτοῖς διακονεῖ, ὡς Στέφανος ὁ ἅγιος ἐν Ἱεροσολύμοις Ἰακώβῳ, καὶ τοῖς πρεσβυτέροις. τῶν συνάξεων μὴ ἀμέλει· ἐξ ὀνόματος πάντας ἐπιζήτει. μηδείς σου τῆς νεότητος καταφρονείτω· ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ. οἰκέτας μὴ ἐπαισχύνου· κοινωνεῖ γὰρ ἡμῖν καὶ αὐτοῖς ἡ φύσις. γυναῖκας μὴ βδελύττου· αὗται σε γὰρ γεγεννήκασι, καὶ ἐξέθρεψαν· ἀγαπᾶν οὖν χρὴ τὰς αἰτίας τῆς γεννήσεως, μόνον δὲ, ἐν κυρίῳ· ἄνευ δὲ γυναικὸς ἀνὴρ οὐ παιδοποιήσει· τιμᾶν οὖν χρὴ τὰς συνεργοὺς τῆς γεννήσεως· οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, εἰ μὴ ἐπὶ τῶν πρωτοπλάστων.

A Christi, famulo Dei, Gratia, misericordia, & pax ab omnipotenti Deo, & Christo Iesu Domino nostro vnigenito eius filio, qui tradidit semetipsum pro peccatis nostris, vt eriperet nos ex seculo hoc maligno, & saluaret in regnum suum cœleste.

Obsecro te in Deo, adiicias ad cursum tuum, & dignitatem tuam vindices & tuearis. Cōcordiæ erga sanctos curam habe; imbecilliores gesta, vt impleas legem Christi. Ieiuniis & precibus vaca; at caue ne immodicè id agas, ne ipse te deiicias; vino &
B carnibus ne prorsus abstineas, nec enim abominanda sunt, *Bona terræ*, inquit, *comedetis*: Gen. 9.
Et, *Edite carnes & holera*: Et, *Vinum lætificat cor hominis*: Et, *oleum exhilarat*: Et, *panis confirmat*. Psal. 103.
Sed omnia hæc moderatè & ordinatè vsurpa, velut Deo suppeditante. Quis enim edet, aut quis bibet sine eo? Quodcunque fuerit bonum, ipsius est: quodcunque fuerit commodum, ipsius est. Lectioni attende, vt non modò ipse leges noueris, sed & aliis easdem interpreteris, vt Dei athleta. *Nemo militans implicat se negotiis secularibus*, vt ei placeat qui illum in militiam ascripsit. 1. Tim. 2.
C *Si quis autem certauerit, non coronabitur nisi legitimè certauerit*. Pro anima tua libens meam commutauerim ego vinctus. Quicunque dixerit quippiam præter ea quæ cōstituta sunt, tametsi fide dignus sit, quamuis ieiunet, quamuis in virginitate degat, quamuis signa edat, quamuis prophetet; pro lupo illum habeas, qui sub ouina pelle exitium pestémque adfert ouibus. Si quis crucem neget, quemque crucis pudeat, sit tibi vt ipse aduersarius, tametsi omnia distribuat pauperibus, tametsi montes transferat, tametsi tradat corpus suum incendio, sit tibi detestandus. Si quis
D aspernatur Legem aut Prophetas, quos Christus præsens impleuit, sit tibi vt Antichristus. Si quis Christum dicat solum hominem, Iudæus est Christi interfector. *Viduas honora quæ verè viduæ sunt*. Pupillis patrocinare: Deus enim pater est orphanorum, & iudex viduarum. Nihil sine Episcopis facito. Sacerdotes enim sunt, tu verò sacerdotum minister: baptizant, sacrificant, eligunt, manus imponūt, tu verò illis ministras, vt sanctus ille Stephanus Iacobo & presbyteris qui erant Hierosolymis. Synaxes ne negligas, omnes no-
E minatim inquire. *Adolescentiam tuam nemo contemnat*, sed forma esto fidelium in verbo & conuersatione, famulorum te non pudeat, communis est enim & illis & nobis natura. Fœminas non abominaberis, ipsæ enim te genuerunt & educarunt: amare itaque eas oportet, vt causas natiuitatis nostræ, verum duntaxat in Domino; sine fœmina enim nunquam liberos procreabit vir. Honorare itaque oportet cooperatrices generationis nostræ. Nec vir sine muliere, nec mulier sine viro, nisi in primis parentibus.

Habendus est pro lupo, quisquis præter Traditionem docet.

1. Tim. 5.

Synaxes in prima Ecclesia frequētes.

1. Tim. 4.

D

A Adæ, namque corpus ex quatuor elementis confectum est; Euæ corpus, ex ipsius Adæ latere: & insolens admirandusque partus ille Domini ex sola virgine: non quod detestanda sit legitima commixtio, sed quod eiusmodi partus decebat Deum. Decebat namque Creatorem, non consueto sed peregrino & admirando vti partu, vtpote omnium opificem. Superbiam fuge, superbis enim Deus resistit. Mendacium detestare. *Perdes* enim, inquit, *omnes qui loquuntur mendacium.* Inuidiam fuge, auctor enim illius diabolus est, & successor Cain, qui fratri inuidit, & inuidia B stimulatus ei necem machinatus est. Sorores meas hortare, vt Deum ament, & solis viris suis contentæ sint: itidem hortare & fratres meos, vt vxoribus suis contenti sint. Virgines serua, vt pretiosa Christi monilia. Longanimis esto, vt prudentia in te cumuletur. Pauperes noli negligere, sicubi copia tibi adsit. Eleemosyna enim & fide expiantur peccata. Teipsum castum custodi, vt Christi habitaculum: templum Christi es, spiritus es instrumentum. Nosti quomodo te enutriuerim; etsi minimus sum, æmulator mei esto, imitare conuersationem C meam: non glorior in mundo, sed in Domino. Heronem filium meum adhortor. *Qui gloriatur, in Domino glorietur.* Vtinam fruar te, filiole exoptate, quem custodiat solus ingenitus Deus, & Dominus Iesus Christus. Ne omnibus credas, ne omnibus confidas, neque si quis blandiatur tibi. Multi enim sunt ministri Satanæ. Et, *qui citò credit, leuis est corde.* Memento Dei, & non peccabis: *ne sis duplici animo in precatione tua,* Beatus enim qui non ambigit. Credo enim in Patrem Domini Iesu Christi, & in vnigenitum eius Filium, quod ostendet mihi D Deus Heronem super thronum meum. Adiice ergo, ad cursum tuum. Præcipio tibi coram Deo vniuersorum, & coram Christo præsente, & sancto Spiritu, & ministratoriis Angelorum ordinibus, custodi depositum meum, quod ego & Christus tibi commendauimus: nec indignum te iudica iis quæ de te ostensa sunt à Deo. Commendo tibi Ecclesiam Antiochenam. Polycarpo vos commendaui in Domino Iesu Christo. Salutant te Episcopi, Onesimus, Bitus, Demas, Polybius, & omnes qui sunt Philippis E in Christo, vnde & hæc vobis scripsi. Saluto diuinis dotibus ornatum presbyterium. Saluto sanctos condiaconos tuos, quibus vtinam fruar in Christo & corpore & spiritu. Saluta populum Domini nominatim, à paruo vsque ad magnum, quos commendo tibi, vt Moses ipsi Iosue post se duci exercitus. Nec graue videatur aut insolens quod a nobis dictum est: etsi enim non sumus tales, quales illi, verùm optamus tales fieri, quandoquidè & Abrahæ filij sumus.

Christus cur natus ex virgine.

Psalm. 5.

Virgines obseruandæ.

1. Cor. 10.

Ecclesiast. 19.

Eccl. 2.

Deut. 31.

A τοῦ γὰρ Ἀδὰμ τὸ σῶμα, ἐκ τῶν τεσσάρων στοιχείων, τῆς δὲ Εὔας, ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ· καὶ ὁ παράδοξος δὲ τόκος τοῦ κυρίου, ἐκ μόνης τῆς παρθένου, οὐ βδελυκτῆς οὔσης τῆς νομίμου μίξεως, ἀλλὰ θεοπρεποῦς τῆς γεννήσεως· ἔπρεπε γὰρ τῷ δημιουργῷ, μὴ τῇ συνήθει ἀποχρήσασθαι γεννήσει, ἀλλὰ τῇ παραδόξῳ, καὶ ξένῃ, ὡς δημιουργῷ. ὑπερηφανίαν φεῦγε· ὑπερηφάνοις γὰρ ἀντιτάσσεται κύριος. ψευδολογίαν βδελύττου· ἀπολεῖς γὰρ, φησὶ, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. φθόνον φυλάττου· ἀρχηγὸς γὰρ αὐτοῦ ἐστιν ὁ διάβολος, καὶ διά- B δοχος ὁ Κάϊν, ἀδελφῷ βασκήνας, καὶ ἐκ φθόνου φόνον κατεργασάμενος. ταῖς ἀδελφαῖς μου παραίνει ἀγαπᾶν τὸν Θεὸν, καὶ μόνοις ἀρκεῖσθαι τοῖς ἰδίοις ἀνδράσιν· ὁμοίως καὶ τοῖς ἀδελφοῖς μου παραίνει ἀρκεῖσθαι ταῖς ὁμοζύγοις. τὰς παρθένους φύλαττε, ὡς Χριστοῦ κειμήλια. μακρόθυμος ἔσο, ἵνα ᾖς πολὺς ἐν φρονήσει. τῶν πενήτων μὴ ἀμέλει, ἐν οἷς ἂν εὐπορῇς· ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. σεαυτὸν ἁγνὸν τήρει, ὡς Θεοῦ οἰκητήριον· ναὸς Χριστοῦ ὑπάρχεις, ὄργανον εἶ τοῦ πνεύματος. οἶδας ὅπως σε ἀνέθρεψα. Εἰ C καὶ ἐλάχιστός εἰμι, ζηλωτής μου γενοῦ, μιμητής μου τῆς ἀναστροφῆς. οὐ καυχῶμαι ἐν κόσμῳ, ἀλλ' ἐν κυρίῳ. Ἥρωνι τῷ ἐμῷ τέκνῳ παραινῶ· ὁ δὲ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. ὀναίμην σου παιδίον ποθητόν· οὗ φύλαξ γένοιτο ὁ μόνος ἀγέννητος Θεός, καὶ ὁ κύριος Ἰησοῦς Χριστός. μὴ πᾶσι πίστευε, μὴ πᾶσι θάῤῥει, μηδὲ αὐτοῖς ὑποκρίζεσθαί σε· πολλοὶ γάρ εἰσιν ὑπηρέται τοῦ Σατανᾶ. καὶ ὁ ταχὺ ἐμπιστεύων, κοῦφος τῇ καρδίᾳ. μέμνησο τοῦ Θεοῦ, καὶ οὐχ ἁμαρτήσεις ποτέ. μὴ γίνου δίψυχος ἐν προσευχῇ σου· μακάριος γὰρ ὁ μὴ διστάσας· πιστεύω γὰρ εἰς τὸν πατέρα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸν μο- D νογενῆ υἱὸν, ὅτι δείξει μοι ὁ Θεὸς Ἥρωνα ἐπὶ τοῦ θρόνου μου. πρόσθες οὖν ἐπὶ τῷ δρόμῳ. παραγγέλλω σοι ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων, καὶ ἐπὶ τοῦ Χριστοῦ παρόντος, καὶ τοῦ ἁγίου πνεύματος, καὶ τῶν λειτουργικῶν ταγμάτων, φύλαξόν μου τὴν παραθήκην, ἣν ἐγὼ καὶ ὁ Χριστὸς παρεθέμεθά σοι, καὶ μὴ ἑαυτὸν ἀνάξιον κρίνῃς τῶν δειχθέντων περὶ σοῦ Θεῷ. παρατίθημί σοι τὴν ἐκκλησίαν Ἀντιοχέων. Πολυκάρπῳ παρεθέμην ὑμᾶς ἐν κυρίῳ Ἰησοῦ Χριστῷ. ἀσπάζονταί σε οἱ ἐπίσκοποι, Ὀνήσιμος, Βίτος, Δάμας, Πολύβιος, καὶ πάντες οἱ ἀπὸ Φιλίππων ἐν Χριστῷ, ὅθεν καὶ ἐπέ- E σταλκά σοι. ἀσπάζομαι τὸ θεοπρεπὲς πρεσβυτέριον· ἀσπάζομαι τοὺς ἁγίους συνδιακόνους σου, ὧν ἐγὼ ὀναίμην ἐν Χριστῷ, σαρκί τε καὶ πνεύματι. ἀσπάζομαι τὸν λαὸν κυρίου, ἀπὸ μικροῦ ἕως μεγάλου κατ' ὄνομα, οὓς παρατίθημί σοι, ὡς Μωσῆς Ἰησοῦ τῷ μετ' αὐτὸν στρατηγῷ. καὶ μή σοι φανῇ βαρὺ τὸ λεχθέν· Εἰ γὰρ καὶ μὴ ἐσμὲν τοιοῦτοι οἷοι ἐκεῖνοι, ἀλλ' οὖν γε εὐχόμεθα γενέσθαι, ἐπεὶ καὶ τοῦ Ἀβραάμ ἐσμεν παῖδες.

ἴσχυε οὖν, ὦ Ἥρων, ἡρωϊκῶς καὶ ἀνδρικῶς. σὺ γὰρ εἰσάξεις ἀπὸ τοῦ νῦν, καὶ ἐξάξεις τὸν λαὸν κυρίου τὸν ἐν Ἀντιοχείᾳ, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου, ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν. ἀσπάσαι Κασσιανὸν τὸν ξένον μου, καὶ τὴν σεμνοτάτην αὐτοῦ ὁμόζυγον, καὶ τὰ φίλτατα αὐτῶν παιδία, οἷς δῴη ὁ Θεὸς εὑρεῖν ἔλεος παρὰ κυρίου, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τῆς εἰς ἡμᾶς διακονίας, οὓς καὶ παρατίθημί σοι ἐν Χριστῷ. ἀσπάσαι τοὺς ἐν Λαοδικείᾳ πιστοὺς ἅπαντας κατ' ὄνομα ἐν Χριστῷ. τῶν ἐν Ταρσῷ μὴ ἀμέλει, ἀλλὰ συνεχέστερον αὐτοὺς ἐπίβλεπε, ἐπιστηρίζων αὐτοὺς εἰς τὸ εὐαγγέλιον. Μάριν τὸν ἐν Νεαπόλει τῇ πρὸς Ἀναζάρβῳ ἐπίσκοπον, προσαγορεύω ἐν κυρίῳ, προσεῖπε δὲ καὶ τὴν σεμνοτάτην Μαρίαν, τὴν θυγατέρα μου τὴν πολυμαθεστάτην, καὶ τὴν κατ' οἶκον αὐτῆς ἐκκλησίαν, ἧς ἀντίψυχον γενοίμην, τὸ ἐξεμπλάριον τῶν εὐσεβῶν γυναικῶν. ὑγιαίνοντά σε, καὶ ἐν πᾶσιν εὐδοκιμοῦντα ὁ πατὴρ τοῦ Χριστοῦ, δι' αὐτοῦ τοῦ μονογενοῦς φυλάξοι ἐπὶ μήκιστον βίου χρόνον, εἰς ὠφέλειαν τῆς τοῦ Θεοῦ ἐκκλησίας. ἔρρωσο ἐν κυρίῳ, καὶ προσεύχου ἵνα τελειωθῶ.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Ἐφεσίους, ιδ'.

ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν μεγέθει Θεοῦ πατρὸς καὶ πληρώματι, τῇ καὶ προωρισμένῃ πρὸ αἰώνων εἶναι διὰ παντὸς εἰς δόξαν παράμονον, ἄτρεπτον, ἡνωμένην, καὶ ἐκλελεγμένην ἐν πάθει ἀληθινῷ, ἐν θελήματι Θεοῦ πατρὸς, καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σωτῆρος ἡμῶν τῇ ἐκκλησίᾳ τῇ ἀξιομακαρίστῳ, τῇ οὔσῃ ἐν Ἐφέσῳ τῆς Ἀσίας, πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, καὶ ἐν ἀμώμῳ χαρᾷ χαίρειν.

ΑΠΕΔΕΞΑΜΗΝ ὑμῶν ἐν Θεῷ τὸ πολυπόθητον ὄνομα, ὃ κέκτησθε φύσει δικαίᾳ, κατὰ πίστιν καὶ ἀγάπην ἐν Χριστῷ Ἰησοῦ, τῷ σωτῆρι ἡμῶν, μιμηταὶ ὄντες Θεοῦ φιλανθρωπίας. ἀναζωπυρήσαντες ἐν αἵματι Χριστοῦ, τὸ συγγενικὸν ἔργον τελείως ἀπηρτίσατε. ἀκούσαντες γάρ με δεδεμένον ἀπὸ Συρίας ὑπὲρ Χριστοῦ τῆς κοινῆς ἐλπίδος, πεποιθότα τῇ προσευχῇ ὑμῶν ἐπιτυχεῖν ἐν Ῥώμῃ θηριομαχῆσαι, ἵνα διὰ τοῦ μαρτυρίου δυνηθῶ μαθητὴς εἶναι τοῦ ὑπὲρ ἡμῶν ἑαυτὸν ἀνενεγκόντος Θεῷ προσφορὰν καὶ θυσίαν. ἐγὼ μὲν οὖν τὴν πολυπλήθειαν ὑμῶν ἐν ὀνόματι Θεοῦ ἀπείληφα ἐν Ὀνησίμῳ τῷ ἐν ἀγάπῃ ἀδιηγήτῳ, ὑμῶν δὲ ἐπισκόπῳ· ὃν εὔχομαι κατὰ Χριστὸν Ἰησοῦν ὑμᾶς ἀγαπᾷν· καὶ πάντας ὑμᾶς, ἐν ὁμοιώματι αὐτοῦ εἶναι. εὐλογητὸς γὰρ ὁ Θεὸς, ὁ χαρισάμενος ὑμῖν τοιούτοις οὖσι, τοιοῦτον ἐπίσκοπον κεκτῆσθαι ἐν Χριστῷ. περὶ δὲ τοῦ συνδούλου ἡμῶν Βίῤῥου, τοῦ κατὰ Θεὸν διακόνου ὑμῶν,

A Esto itaque robustus, ô Hero, virili & heroïco animo esto: tu enim introduces & educes posthac populũ Domini, qui est Antiochiæ, & non erit grex Domini sicut oues quibus non est pastor. Saluta Cassianum hospitem meum, & pudicissimam eius coniugem, & charissimos eorum liberos, quibus det Deus inuenire misericordiam à Domino in die illa, propter officium & ministerium erga nos, quos & commendo tibi in Christo. Saluta omnes fideles, nominatim, qui sunt Laodiceæ, eósque qui Tarsi sunt ne negligas, sed studio magis continuo eos respice & visita, B confirmans eos [9] in Euangelio. Marin Episcopum Neapoleos quæ est prope [10] Anazarbon, saluto in Domino. Saluto quoque pudicissimam Mariam filiam meam eruditissimam, & quæ in domo illius est Ecclesiam, pro cuius anima meam libens commutem, quæ specimen est piarum fœminarum. Incolumem te & in omnibus probatum, pater Christi per suum vnigenitum custodiat longissimæ vitæ spatio ad Ecclesiæ suæ vtilitatem. Vale in Domino, & ora vt consummer.

C

EIVSDEM AD EPHESIOS, EPISTOLA XIV.

IGNATIVS, qui & Theophorus, benedictæ in magnitudine Dei Patris cum plenitudine, prædestinatæ ante secula, vt esset semper in singulari gloria, incommutabilis, vnita & electa in vera passione, per voluntatem Dei Patris, & Domini nostri Iesu Christi Saluatoris nostri, Ecclesiæ meritò beatissimæ, quæ est Ephesi in Asia, plurimam in Christo Iesu, & gaudio inculpato, Salutem.

D COMMENDAVI [1] vestrum in Deo exoptatissimum nomen [2] quod possidetis natura iusta, secundum fidem & charitatem in Christo Iesu Saluatore nostro, cum imitatores sitis clementiæ Dei, excitantes in vobis ignem charitatis per sanguinem Christi, cognatum opus omnibus suis numeris absoluistis: postquam audistis me vinctum à Syria abduci (idque pro Christo communi spe nostra) confidere, vestris precibus me consecuturum, vt Romæ aduersus bestias pugnem, quo per martyrium discipulus esse possim illius, E qui seipsum pro nobis obtulit Deo Patri oblationem & hostiam. Postquam itaque numerosam vestram multitudinem in Onesimo, [4] viro nunquam satis ob charitatem prædicando, vestro autem Episcopo, exceperim, eum obsecro vt iuxta Christum Iesum vos amet, vosque omnes vt illius similes sitis. Benedictus Deus, qui donauit vobis, qui tales estis, talem habere in Christo Episcopum. De Birrho autem conseruo nostro, & secundùm Deum diacono vestro,

& in omnibus benedicto, oro vt inculpa-
tus permaneat ad Ecclesiæ honorem, &
beatissimi Episcopi vestri. Crocus autem,
& Deo & vobis dignus, quem velut ex-
emplar vestræ charitatis accepimus, per
omnia me recreauit, & illum catenæ meæ
non puduit: quo modo & ipsum refrigeret
Pater Iesu Christi, vnà cum Onesimo, Bir-
rho, Euploë & Frontone, per quos, omnes
vos in charitate cognoui. Vtinam fruar
vobis perpetuò, si dignus fuero. Decet
itaque vos & conuenit omnibus modis glo-
rificare Dominum Iesum Christum qui glo-
rificauit vos, vt obedientia vna sitis perfecti,
eadem mente, eadémque sententia, idem-
que dicatis de eodem omnes, vt subiecti
Episcopo & presbyteris, per omnia sitis
sanctificati. Non præcipio vobis quasi sim
aliquid, quamuis enim vinctus sum propter
nomen eius, nec dum tamen perfectus sum
in Christo Iesu. Nunc incipio discipulus
esse, & alloquor vos vt conseruus. Me e-
nim oportebat à vobis commoneri de fide,
admonitione, patientia, longanimitate: at
quando charitas non finit me tacere de vo-
bis, propterea anteuerti vos admonere, vt
concurratis cum Dei voluntate. Etenim
Iesus Christus omnia facit iuxta volunta-
Ioan. 8. tem Patris, vt ipse quodam loco dicit, *Ego
quæ illi placita sunt, facio semper.* Igitur &
1. Cor. 11. nos oportet viuere iuxta voluntatem Dei
in Christo, & eum sectari, vt Paulus: *Imi-
tatores* enim *mei*, inquit, *estote sicut & ego
Christi.* Hinc & vos decet accedere senten-
tiæ Episcopi, qui secundùm Deum vos pas-
Episcopi & sacerdotes, vt chorda citharæ cōsentiant. scit, quemadmodum & facitis edocti à Spi-
ritu (nam memorabile sacerdotum ve-
strorum collegium dignum Deo, est coa-
ptatum consentitque Episcopo, vt chor-
Ioan. 17. dæ ipsi citharæ) ita colligati consensu &
concordi charitate, cuius est dux & cu-
stos Iesus Christus. Qui sunt sigillatim
omnes vnus chorus fiant, vt consoni per
concordiam, Deóque coniuncti per v-
nitatem, vnum sitis concordia animorum
Deo Patri & dilecto filio eius Iesu Chri-
Ioan. 17. sto Domino nostro. *Da* enim *ipsis*, in-
quit, *Pater sancte, vt sicut ego & tu v-
num sumus, & ipsi in nobis vnum sint.*
Vtile itaque vobis est, per inculpatam
vnitatem coniunctos Deo, imitatores es-
se Christi, cuius & membra estis. Si
enim ego breui temporis spatio talem
consuetudinem contraxi cum Episcopo
vestro, quæ non humana, sed spiritualis
est, quanto vos beatiores iudico qui de-
pendetis ab illo, vt Ecclesia à Domino Iesu,
Altare & sacrificium in Ecclesia. & Dominus à Patre suo, vt omnia per vni-
tatem consentiant? Nemo erret, Nisi quis
intra altaris septa sit, priuatur pane Dei. Si
enim vnius siue alterius precatio tantarum
virium est, vt Christum inter illos statuat,

A καὶ ἐν πᾶσιν εὐλογημένου, εὔχομαι παραμεῖναι αὐτὸν
ἄμωμον, εἰς τιμὴν τῆς ἐκκλησίας, καὶ τοῦ ἐπισκόπου
ὑμῶν τοῦ μακαριωτάτου. Κρόκος δὲ, ὁ Θεοῦ ἄξιος καὶ
ὑμῶν, ὃν ὡς ἐξεμπλάριον τῆς ἀφ' ὑμῶν ἀγάπης ἀπε-
λάβομεν, κατὰ πάντα με ἀνέπαυσε, καὶ τὴν ἅλυσίν μου
οὐκ ἐπῃσχύνθη, ὡς καὶ αὐτὸν ὁ πατὴρ Ἰησοῦ Χριστοῦ
ἀναψύξει, ἅμα Ὀνησίμῳ, καὶ Βίῤῥῳ, καὶ Εὔπλῳ, καὶ
Φρόντωνι, δι' ὧν πάντας ὑμᾶς κατὰ ἀγάπην εἶδον. ὀναί-
μην ὑμῶν διὰ παντὸς, ἐάνπερ ἄξιος ὦ. πρέπον
οὖν ὑμᾶς ἐστὶ κατὰ πάντα τρόπον δοξάζειν Ἰησοῦν Χρι-
στὸν τὸν δοξάσαντα ὑμᾶς, ἵνα ἐν μιᾷ ὑποταγῇ ἦτε
B κατηρτισμένοι τῷ αὐτῷ νοΐ, καὶ τῇ αὐτῇ γνώμῃ, καὶ
τὸ αὐτὸ λέγητε πάντες περὶ τοῦ αὐτοῦ, ἵνα ὑποτασ-
σόμενοι τῷ ἐπισκόπῳ, καὶ τῷ πρεσβυτερίῳ, κατὰ πάν-
τα ἦτε ἡγιασμένοι. Οὐ διατάσσομαι ὑμῖν, ὡς ὤν τι· εἰ
γὰρ καὶ δέδεμαι διὰ τὸ ὄνομα, οὔπω ἀπήρτισμαι ἐν Ἰησοῦ
Χριστῷ· νῦν γὰρ ἀρχὴν ἔχω τοῦ μαθητεύεσθαι· καὶ
προσλαλῶ ὑμῖν, ὡς ὁμοδούλοις· ἐμὲ γὰρ ἔδει παρ' ὑμῶν
ὑπομνησθῆναι πίστει, νουθεσίᾳ, ὑπομονῇ, μακροθυ-
μίᾳ· ἀλλ' ἐπεὶ ἡ ἀγάπη οὐκ ἐᾷ με σιωπᾶν περὶ ὑ-
μῶν, διὰ τοῦτο προέλαβον παρακαλεῖν ὑμᾶς, ὅπως
συντρέχητε τῇ γνώμῃ τοῦ Θεοῦ. καὶ γὰρ Ἰησοῦς Χρι-
C στὸς, πάντα κατὰ γνώμην πράττει τοῦ πατρὸς, ὡς αὐ-
τός που λέγει· ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. οὐ-
κοῦν καὶ ἡμᾶς χρὴ ζῆν κατὰ γνώμην Θεοῦ, ἐν Χρι-
στῷ, καὶ ζηλοῦν ὡς Παῦλος· μιμηταί μου, φησὶ,
γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. ὅθεν καὶ ὑμῖν πρέπει συν-
τρέχειν τῇ τοῦ ἐπισκόπου γνώμῃ, τοῦ κατὰ Θεὸν ποιμαί-
νοντος ὑμᾶς· ὅπερ καὶ ποιεῖτε αὐτοὶ, σοφισθέντες ὑπὸ
τοῦ πνεύματος· (τὸ γὰρ ἀξιονόμαστον πρεσβυτέριον, ἄ-
ξιον ὂν τοῦ Θεοῦ, οὕτως συνήρμοσται τῷ ἐπισκόπῳ, ὡς
χορδαὶ κιθάρᾳ.) συνδεδεμένοι οὕτω τῇ ὁμονοίᾳ, συμ-
φώνῳ ἀγάπῃ, ἧς ἐστιν ἀρχηγὸς καὶ φύλαξ Ἰησοῦς ὁ
D Χριστός. καὶ οἱ κατ' ἄνδρα δὲ χορὸς γίνεσθε εἷς, ἵνα
σύμφωνοι ὄντες ἐν ὁμονοίᾳ, συνάφειαν Θεοῦ λαβόν-
τες, ἐν ἑνότητι εὐφρανθῆτε τῇ συμφωνίᾳ, τῷ Θεῷ πα-
τρὶ καὶ τῷ ἠγαπημένῳ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ τῷ
κυρίῳ ἡμῶν· δὸς γὰρ αὐτοῖς, φησὶ, πάτερ ἅγιε, ἵνα ὡς
ἐγὼ καὶ σὺ ἕν ἐσμεν, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι. χρήσιμον
οὖν ἐστὶν ὑμᾶς, ἐν ἀμώμῳ ἑνότητι συνημμένους Θεῷ,
μιμητὰς εἶναι Χριστοῦ, οὗ καὶ μέλη ὑπάρχετε. εἰ γὰρ
ἐγὼ ἐν μικρῷ χρόνῳ τοιαύτην συνήθειαν ἔσχον πρὸς
τὸν ἐπίσκοπον ὑμῶν, οὐκ ἀνθρωπίνην οὖσαν ἀλλὰ
E πνευματικὴν, πόσῳ μᾶλλον ὑμᾶς μακαρίζω τοὺς
ἀνακεκραμένους αὐτῷ, ὡς ἡ ἐκκλησία τῷ κυρίῳ
Ἰησοῦ, καὶ ὁ κύριος τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ, ἵνα
πάντα ἐν ἑνότητι σύμφωνα ᾖ. μηδεὶς πλανάσθω,
ἐὰν μή τις ἐντὸς ᾖ τοῦ θυσιαστηρίου, ὑστερεῖται τοῦ ἄρτου
τοῦ Θεοῦ. Εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ το-
σαύτην ἰσχὺν ἔχει, ὥστε τὸν Χριστὸν ἐν αὐτοῖς ἑστάναι,

πόσῳ μᾶλλον ἥ τε τοῦ ἐπισκόπου καὶ πάσης τῆς ἐκκλησίας προσευχὴ σύμφωνος, ἀποδοθεῖσα πρὸς Θεὸν, πείσει παρασχεθῆναι αὐτοῖς πάντα τὰ ἐν Χριστῷ αἰτήματα; ὁ οὖν τῶν τοιούτων χωριζόμενος, καὶ μὴ συνερχόμενος ἐν βουλῇ θυσιῶν καὶ ἐκκλησίᾳ, πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ, λύκος ἐστὶν ἐν προβάτου δορᾷ, ἥμερον ἐπιδεικνὺς μορφήν. σπουδάσατε, ἀγαπητοὶ, ὑποτάσσεσθαι τῷ ἐπισκόπῳ, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις. ὁ γὰρ τούτοις ὑποτασσόμενος, ὑπακούει Χριστῷ τῷ προχειρισαμένῳ αὐτούς. ὁ δὲ ἀπειθῶν αὐτοῖς, ἀπειθεῖ Χριστῷ Ἰησοῦ. ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. αὐθάδης γάρ ἐστι καὶ δύσερις, ὑπερήφανος, ὁ μὴ πειθαρχῶν τοῖς κρείττοσιν. ὑπερηφάνοις γὰρ, φησὶν, ὁ Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καὶ ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. λέγει δὲ καὶ ὁ κύριος πρὸς τοὺς ἱερεῖς, ὁ ὑμῶν ἀκούων, ἐμοῦ ἀκούει· καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ πέμψαντός με πατρός. ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν πέμψαντά με. ὅσῳ οὖν βλέπετε σιωπῶντα τὸν ἐπίσκοπον, πλεῖον αὐτὸν φοβεῖσθε. πάντα γὰρ ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτως αὐτὸν δεῖ ὑμᾶς δέχεσθαι, ὡς αὐτὸν τὸν πέμψαντα. τὸν οὖν ἐπίσκοπον, δῆλον ὅτι ὡς αὐτὸν τὸν κύριον δεῖ προσβλέπειν, τῷ κυρίῳ παρεστῶτα. ὁρατικὸν γὰρ ἄνδρα καὶ ὀξὺν τοῖς ἔργοις, βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνθρώποις νωθροῖς. αὐτὸς μέντοι Ὀνήσιμος ὑπερεπαινεῖ ὑμῶν τὴν ἐν Θεῷ εὐταξίαν, ὅτι πάντες κατὰ ἀλήθειαν ζῆτε, καὶ ὅτι ἐν ὑμῖν οὐδεμία αἵρεσις κατοικεῖ· ἀλλ' οὐδὲ ἀκούετέ τινος, ἢ μόνου Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ ποιμένος καὶ διδασκάλου· καὶ ἐστὲ, ὡς Παῦλος ὑμῖν ἔγραφεν, ἓν σῶμα, καὶ ἓν πνεῦμα. διότι καὶ ἐν μιᾷ ἐλπίδι κεκλῆσθε τῆς πίστεως. ἐπειδὴ καὶ εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. ὑμεῖς μὲν οὖν ἐστὲ τοιοῦτοι, ὑπὸ τοιούτων γὰρ παιδευτῶν στοιχειωθέντες, Παύλου τοῦ χριστοφόρου, καὶ Τιμοθέου τοῦ πιστοτάτου. τινὲς δὲ φαυλότατοι εἰώθασι δόλῳ πονηρῷ τὸ ὄνομα περιφέρειν, ἄλλα τινὰ πράσσοντες ἀνάξια Θεοῦ, καὶ φρονοῦντες ἐναντία τῆς τοῦ Χριστοῦ διδασκαλίας, ἐπ' ὀλέθρῳ ἑαυτῶν καὶ τῶν πειθομένων αὐτοῖς. οὓς δεῖ ὑμᾶς, ὡς θηρία, ἐκκλίνειν· δίκαιος γὰρ ἐκκλίνας, σώζεται εἰς τὸν αἰῶνα· προχείρως δὲ τῶν καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. εἰσὶ γὰρ κύνες ἐνεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν, λυσσῶντες, λαθροδῆκται, οὓς φυλάσσεσθαι χρή· ἀνίατα γὰρ νοσοῦσιν. ἰατρὸς δὲ ἡμῶν ἐστιν, ὁ μόνος ἀληθινὸς Θεὸς, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ τῶν ὅλων κύριος, τοῦ δὲ μονογενοῦς πατὴρ καὶ γεννήτωρ. ἔχομεν ἰατρὸν καὶ τὸν κύριον ἡμῶν Θεὸν Ἰησοῦν τὸν Χριστὸν, τὸν πρὸ αἰώνων υἱὸν μονογενῆ, καὶ λόγον ὕστερον δὲ καὶ ἄνθρωπον ἐκ Μαρίας τῆς παρθένου·

A quantò plus Episcopi & totius Ecclesiæ oratio consona, ascendens ad Deum, exorabit vt omnia quæ petiuerint in Christo, dentur ipsis? Quisquis igitur ab huiusmodi separat se, nec consentit in voluntate sacrificiorum aut Ecclesia cum primogenitis conscriptis in cœlis, lupus est sub ouina pelle faciem indutus mansuetam. Enitimini, charissimi, subiecti esse Episcopo, & presbyteris, & diaconis. Qui enim his obedit, obedit Christo, qui hos constituit. Qui verò his reluctatur, reluctatur Christo Iesu; qui autem non obedit Filio, non videbit vitam, sed ira Dei manet super eum. Præfractus enim, B contentiosus, & superbus est, qui non obtemperat superioribus. *Superbis* autem, inquit, *resistit Deus, humilibus autem dat gratiam.* Et, *Superbi iniquè agebant vsquequaque.* Dicit quoque Dominus ad Sacerdotes; *Qui vos audit, me audit, & qui me audit, audit Patrem qui misit me: Qui autem spernit vos, me spernit: qui autem me spernit, spernit eum qui misit me.* Quanto itaque taciturniorem videritis Episcopum, tanto magis eum reueremini. Quemcumque enim Paterfamilias mittit ad gubernandam familiam, hunc ita accipere debetis vt illum ipsum qui mittit. Episcopum igitur profectò C aspicere oportet vt ipsum Dominum, cum Domino assistat & famuletur. Regibus autem assistere oportet perspicacem & acrem operibus virum, ipsum autem non oportet segnibus hominibus eiusmodi assistere. Onesimus supra modum laudat vestrum decentē compositumque ordinem, quódque omnes secundum veritatem viuitis, & quòd inter vos nullus sit hæresi locus, sed nec auditur nomen vllius, nisi solius Iesu Christi veri pastoris & magistri, & estis, vt Paulus ad vos scripsit, *vnum corpus, & vnus spiritus*, propterea quòd *vocati estis in vna spe vocationis vestræ.* D *Quandoquidem & vnus Dominus, vna fides, & vnum baptisma, vnus Deus Pater omnium & super omnia & in omnibus.* Vos itaque estis eiusmodi, à talibus instructoribus eruditi, à Paulo Christi pleno, & fidissimo Timotheo. Nonnulli autē improbissimi solēt, malo dolo, nomē quidem circūferre; sed patrant quædā indigna Deo, & sentiunt ea quæ pugnant cum Dei doctrina, in exitium proprium & eorum qui illis credūt, quos oportet vos vt feras euitare. Iustus enim declinans ab illis saluabitur: at velox iámque parata, & quæ gaudium E ferat aliis, impiorū perditio. *Sunt enim canes muti, non valentes latrare*, rabidi, clam mordentes, quos vitare oportet; laborant enim incurabili morbo. Medicus autem est solus Deus ingenitus, & inaccessus, vniuersorúmque Dominus: vnigeniti autem Pater & genitor. Habemus etiā medicū Iesum Christum, ante secula vnigenitum & Verbum; postea verò & hominem factum ex Maria Virgine.

Episcopi, presbyteri & diaconi à Deo constituti.

1. Pet. 5. Iac. 4. Psalm. 118.

Luc. 10.

Pauli epistola ad Ephesios.

Ephes. 4.

Isa. 56.

Verbum enim *caro factum est*, incorporeus in corpore, impassibilis in corpore passibili, immortalis in corpore mortali, vita in corruptione: vt à morte & corruptione liberaret & curaret animas nostras, impietate & malis concupiscentiis ægrotas. Ne quis igitur vos seducat, sicut nec seducimini, toti namque estis Dei. Cùm enim nulla in vobis sit concupiscentia quæ vos inquinet & supplicium adferat, profectò secundùm Deum viuitis. Et erit Christi, purgamentum vestrum, & purissimæ Ephesiorum Ecclesiæ, celeberrimæque & ab omnibus plurimùm laudandæ seculis. Carnales spiritualia, & spirituales carnalia exercere nequeunt: igitur nec fides, quæ incredulitatis sunt; nec incredulitas, quæ fidei sunt. Vos autem pleni sancto Spiritu, nil carnale, sed spiritualia omnia exerceris. In Christo Iesu perficimini, qui Saluator est omnium hominum, maximè autem fidelium. Noui nonnullos per vos transeuntes habere peruersam doctrinam peregrini & maligni spiritus, quibus negastis transitum ad spargendum zizania, obturatis auribus, ne reciperetis errorem quem docent: persuasum habentes, spiritum illum populi seductorem, non Christi sed sua ipsius loqui: mendax enim est. Sanctus autem Spiritus non sua sed Christi loquitur: nec à seipso sed à Domino, quemadmodum & Dominus, ea quæ à Patre accepit, annunciauit nobis. *Sermo* enim, inquit, *quem audistis, non est meus, sed eius qui misit me Patris.* Et de Spiritu sancto, *Non loquetur*, inquit, *à seipso, sed quæcunque audierit à me* Et de seipso loquitur ad Patrem; *Glorificaui te super terram, opus quod dedisti mihi consummaui, manifestaui nomen tuum hominibus.* Et de Spiritu sancto: *Ille me clarificabit, quia de meo accipiet.* Verùm erraticus ille & falsus spiritus, seipsum prædicat, sua loquitur, sibi namque placet, seipsum glorificat: plenus enim fastu est, mendax, fraudulentus, assentatione & adulatione gaudens, subdolus, [10] versuum consarcinator, nugax, inconstans, verbosus, lubricus, meticulosus; à cuius vi liberet vos Iesus Christus, qui supra petram vos fundauit ceu lapides electos, coaptatos in diuinum Patris ædificium, sublatos in altum per Christum pro nobis crucifixum, sancto Spiritu vtentes pro perpendiculo, fide [11] subiectos, charitate eleuatos à terra ad cœlum; vnà cum immaculatis ambulantes. *Beati*, namque; inquit, *immaculati in via, qui ambulant in lege Domini.* Porrò via omnis erroris expers est, Iesus Christus: *Ego* enim, inquit, *via & vita.* Docet vtique viam ad Patrem, *Nemo* enim *venit ad Patrem, nisi per me.* Beati itaque estis vos, qui Deo spirituque pleni, qui templum, qui sancta fertis,

Ioan.6.

Ephesii transitum negauerunt hæreticis.

Ioan.14.

Ioan.16.

Ioan.17.

Qualis hæreticorum spiritus.

Ioan.19.

Psalm 118.

Ioan.14.

A ὁ λόγος γὰρ σὰρξ ἐγένετο· ὁ ἀσώματος ἐν σώματι, ὁ ἀπαθὴς ἐν παθητῷ σώματι, ὁ ἀθάνατος ἐν θνητῷ σώματι, ἡ ζωὴ ἐν φθορᾷ, ὅπως θανάτου καὶ φθορᾶς ἐλευθερώσῃ καὶ ἰατρεύσῃ τὰς ψυχὰς ἡμῶν, καὶ ἰάσηται αὐτὰς νοσηλευθείσας ἐν ἀσεβείᾳ καὶ πονηραῖς ἐπιθυμίαις. μὴ οὖν τις ὑμᾶς ἐξαπατάτω, ὥσπερ οὐδὲ ἐξαπατᾶσθε· ὅλοι γάρ ἐστε Θεοῦ. ὅταν γὰρ μηδεμία ἐπιθυμία ἐν ὑμῖν ὑπάρχῃ, δυναμένη ὑμᾶς ῥυπᾶναι, καὶ βάσανον ἐπαγαγεῖν, ἄρα κατὰ Θεὸν ζῆτε. καὶ ἔσται Χριστοῦ περίψημα ὑμῶν, καὶ τῆς ἁγνοτάτης Ἐφεσίων ἐκκλησίας τῆς διαβοήτου καὶ πολυϋμνήτου τοῖς αἰῶσιν. οἱ σαρκικοὶ, τὰ πνευματικὰ

B πράττειν οὐ δύνανται, οὐδὲ οἱ πνευματικοὶ τὰ σαρκικά· ὥστε οὐδὲ ἡ πίστις τὰ τῆς ἀπιστίας, οὐδὲ ἡ ἀπιστία τὰ τῆς πίστεως. ὑμεῖς δὲ, πλήρεις ὄντες τοῦ ἁγίου πνεύματος, οὐδὲν σαρκικὸν, ἀλλὰ πνευματικὰ πάντα πράσσετε. ἐν Χριστῷ Ἰησοῦ τελειοῦσθε, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. ἔγνων δέ τινας παροδεύσαντας δι' ὑμῶν, ἔχοντας κακὴν διδαχὴν ἀλλοκότου καὶ πονηροῦ πνεύματος· οἷς οὐκ ἐδώκατε πάροδον σπεῖραι τὰ ζιζάνια, βύσαντες τὰ ὦτα, εἰς τὸ μὴ παραδέξασθαι τὴν ὑπ' αὐτῶν καταγγελλομένην πλάνην· πεπεισ-

C μένοι τὸ λαοπλάνον πνεῦμα, οὐ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἴδια λαλεῖ· ψευδολόγον γάρ ἐστι. τὸ δὲ ἅγιον πνεῦμα, οὐ τὰ ἴδια, ἀλλὰ τὰ τοῦ Χριστοῦ, καὶ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ ἀπὸ τοῦ κυρίου· ὡς καὶ ὁ κύριος τὰ παρὰ τοῦ πατρὸς ἡμῖν κατήγγειλεν. ὁ λόγος, γάρ φησιν, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός· καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου, οὐ λαλήσει, φησίν, ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ' ἐμοῦ. καὶ περὶ ἑαυτοῦ φησὶ πρὸς τὸν πατέρα, ἐγώ σε, φησίν, ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ὃ δέδωκάς μοι, ἐτελείωσα· ἐφανέρωσά σου τὸ

D ὄνομα τοῖς ἀνθρώποις. καὶ περὶ τοῦ ἁγίου πνεύματος, ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει. τὸ δὲ πλάνον πνεῦμα, ἑαυτὸ κηρύττει, τὰ ἴδια λαλεῖ. αὐτάρεσκον γάρ ἐστιν, ἑαυτὸ δοξάζει· τύφου γάρ ἐστι μεστὸν, ψευδολόγον ὑπάρχει, ἀπατηλὸν, θωπευτικὸν, κολακευτικὸν, ὕπουλον, ῥαψῳδὸν, φλύαρον, ἀσύμφωνον, ἀμετροεπὲς, γλίσχρον, ψοφοδεές. οὗ τῆς ἐνεργείας ῥύσεται ὑμᾶς Ἰησοῦς Χριστὸς, ὁ θεμελιώσας ὑμᾶς ἐπὶ τὴν πέτραν, ὡς λίθους ἐκλεκτοὺς συναρμολογουμένους εἰς οἰκοδομὴν θείαν πατρὸς, ἀναφερομένους εἰς τὰ ὕψη διὰ

E Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος, σχοινίῳ χρωμένους τῷ ἁγίῳ πνεύματι, πίστει δὲ ἀναγομένους, καὶ ἀγάπῃ κουφιζομένους ἐκ γῆς πρὸς οὐρανὸν, συνοδοιποροῦντας ἅμα ἀμώμοις. μακάριοι γὰρ, φησὶν, οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου. ὁδὸς δέ ἐστιν ἀπλανὴς, Ἰησοῦς ὁ Χριστός· ἐγὼ γὰρ, φησίν, εἰμὶ ἡ ὁδὸς καὶ ἡ ζωή. ὁδηγεῖ δὲ ἡ ὁδὸς πρὸς τὸν πατέρα. οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. μακάριοι οὖν ἐστε ὑμεῖς οἱ θεοφόροι, πνευματοφόροι, ναοφόροι, ἁγιοφόροι,

κατὰ πάντα κεκοσμημένοι ἐν ταῖς ἐντολαῖς Ἰησοῦ Χριστοῦ, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, δι' οὓς ἀγαλλιώμενος ἠξιώθην δι' ὧν γράφω, προσομιλῆσαι τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, τοῖς πιστοῖς ἐν Χριστῷ Ἰησοῦ. χαίρω οὖν ἐφ' ὑμῖν, ὅτι μὴ τῇ ματαιότητι προσέχετε· οὐδὲν κατὰ σάρκα ἀγαπᾶτε, ἀλλὰ κατὰ Θεόν, καὶ ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων ἀδιαλείπτως προσεύχεσθε· ἔστι γὰρ αὐτοῖς ἐλπὶς μετανοίας, ἵνα Θεοῦ τύχωσι· μὴ ὁ πίπτων γὰρ οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἐπιστρέψατε οὖν αὐτοὺς μαθητευθῆναι ὑμῖν· γίνεσθε οὖν διάκονοι Θεοῦ, καὶ στόμα Χριστοῦ. λέγει γὰρ ὁ κύριος, ἐὰν ἐξαγάγητε ἐξ ἀναξίου τίμιον, ὡς στόμα μου ἔσεσθε. γίνεσθε πρὸς τὰς ὀργὰς αὐτῶν ὑμεῖς ταπεινόφρονες. ἀντιτάξατε πρὸς τὰς βλασφημίας αὐτῶν ὑμεῖς τὰς ἐκτενεῖς εὐχάς. αὐτῶν πλανωμένων, στήκετε ὑμεῖς ἐν τῇ πίστει ἑδραῖοι. νικήσατε τὸ ἄγριον ἦθος, ἐν ἡμερότητι τὸ ὀργίλον, πραότητι. μακάριοι γὰρ οἱ πρᾳεῖς. καὶ Μωσῆς πρᾷος παρὰ πάντας ἀνθρώπους, καὶ Δαβὶδ πρᾷος σφόδρα· διὸ παραινεῖ Παῦλος, δοῦλον, λέγων, κυρίου, οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μὴ σπουδάζοντες ἀμύνεσθαι τοὺς ἀδικοῦντας ὑμᾶς· εἰ ἀνταπέδωκα γάρ, φησί, τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἀδελφοὺς αὐτοὺς ποιήσωμεν τῇ ἐπιεικείᾳ· εἴπατε γὰρ τοῖς μισοῦσιν ὑμᾶς, ἀδελφοὶ ἡμῶν ἐστέ, ἵνα τὸ ὄνομα τοῦ κυρίου δοξασθῇ, καὶ μιμησώμεθα τὸν κύριον, ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει· σταυρούμενος, οὐκ ἀντέτεινε· πάσχων, οὐκ ἠπείλει. ἀλλ' ὑπὲρ τῶν ἐχθρῶν προσηύχετο, πάτερ ἄφες αὐτοῖς, οὐκ οἴδασιν ὃ ποιοῦσιν. ἐάν τις πλέον ἀδικηθεὶς πλείονα ὑπομείνῃ, οὗτος μακάριος· ἐάν τις ἀποστερηθῇ, ἐάν τις ἀθετηθῇ διὰ τὸ ὄνομα τοῦ κυρίου, οὗτος ὄντως Χριστοῦ ἐστί. βλέπετε μὴ τοῦ διαβόλου βοτάνη εὑρεθῇ ἐν ὑμῖν· πικρὰ γάρ ἐστι καὶ ἁλμυρά τις αὕτη. νήψατε, σωφρονήσατε ἐν Χριστῷ Ἰησοῦ. ἔσχατοι καιροὶ λοιπόν εἰσιν. αἰσχυνθῶμεν, φοβηθῶμεν τὴν μακροθυμίαν τοῦ Θεοῦ. μὴ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καταφρονήσωμεν. ἢ γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χαρὰν ἀγαπήσωμεν ἐν τῷ νῦν βίῳ, μόνον, ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι, εἰς τὸ ἀληθινῶς ζῆν· χωρὶς τούτου, μηδὲ ἀναπνεῦσαί ποτε ἐθέλητε. οὗτος γάρ μου ἡ ἐλπίς, οὗτος τὸ καύχημα, οὗτος ἀνελλιπὴς πλοῦτος· ἐν ᾧ τὰ δεσμὰ ἀπὸ Συρίας μέχρι Ῥώμης περιφέρω, τοὺς πνευματικοὺς μαργαρίτας, ἐν οἷς γένοιτό μοι τελειωθῆναι, τῇ προσευχῇ ὑμῶν, μέτοχον τῶν παθημάτων Χριστοῦ, καὶ κοινωνὸν τοῦ θανάτου αὐτοῦ γενέσθαι, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς ἀνεκλείπτου ζωῆς· ἧς γένοιτό μοι ἐπιτυχεῖν, ἵνα ἐν κλήρῳ Ἐφεσίων εὑρεθῶ τῶν Χριστιανῶν, οἳ καὶ τοῖς ἀποστόλοις πάντοτε συνῆσαν, ἐν δυνάμει Ἰησοῦ Χριστοῦ,

A per omnia ornati præceptis Iesu Christi, regale sacerdotium, gens sancta, populus in acquisitionem; propter quos exulto, dignus habitus verba communicare cum sanctis qui sunt Ephesi, fidelibus in Christo Iesu, per quos scribo. Gaudeo itaque de vobis quòd non attenditis vanitati, neque carnaliter " vos mutuò amatis, sed iuxta Dei præceptum, & pro aliis hominibus indesinenter oratis: est enim ipsis spes pœnitentiæ, quòd Deum nanciscentur: *Num enim qui cadit, non resurgit?* & qui auertit, non conuertitur? *Psalm. 40.*
B Conuertite itaque ipsos, vt vestræ disciplinæ se tradant. Estote ministri Dei, & os Christi. *Si separaueritis " pretiosum à vili, quasi os meum eritis.* *Ierem. 15.* Sitis vos aduersus iras eorum humiles, & eorum maledictis opponite intensas continuasque preces. *Vitæ Christianæ officia.* Ipsis errantibus, vos firmi permanete in fide, efferos mores illorum mansuetudine vincite, iracundiam lenitate. *Beati* enim *mites.* *Mat 5.* Et Moses mitis erat super omnes homines, & *Num. 12.* Dauid admodum mansuetus. Quare admonet Paulus inquiens, Seruum Domini non oportet depugnare, sed mansuetum esse erga *2. Tim. 2.*
C omnes, aptum ad docendum, patientem, monentem cum mansuetudine eos qui refragantur: non enitentes vt vlciscamur nos de iis qui nos lædunt: *Si retribui*, inquit, *retribuentibus mihi mala.* *Psalm. 7.* Efficiamus eos nobis fratres benignitate & humanitate. Dicite autem odientibus vos, Fratres nostri estis, vt nomen Domini glorificetur: & imitemur Dominum, qui conuitiis læsus non regessit conuitia, cùm crucifigeretur, non obnitebatur, *Cùm pateretur, non comminabatur,* *1. Pet. 2.* sed pro inimicis orabat: *Pater dimitte illis,* *Luc. 23.*
D *nesciunt quid faciunt.* Si quis plus læsus plura toleret, hic beatus est. Si quis defraudatur, si quis spernitur propter nomen Domini, hic verè est Christi. Cauete ne germen diaboli in vobis inueniatur, amarum est enim & falsum quid. Sobrij estote & temperantes in Christo Iesu. Nouissima iam sunt tempora, reuereamur & timeamus Dei longanimitatem, *ne diuitias bonitatis & patientiæ eius contemnamus.* *Rom. 2.* Aut enim futuram " timeamus iram, aut præsens gaudium in hac vita amemus, nimirum vt in Christo Iesu tantum ad veram obtinendam vitam in-
E ueniamur; & sine hoc ne respirare " quidem aliquando velitis. Hic enim mea spes, hic mea gloriatio, hic meæ indeficientes diuitiæ, in quo à Syria Romam usque hæc vincula circumfero, spiritales margaritas, in quibus contingat mihi consummari precibus vestris, & participem fieri passionum Christi, & mortis ipsius, & ex mortuis resurrectionis, & vitæ æternæ consortem; quam faxit Deus vt assequar, vt inueniar in sorte Ephesiorum Christianorum, qui & cum Apostolis in virtute Iesu Christi semper conuersati sunt,

A Paulo, Ioanoe, & fidelissimo Timotheo. Scio qui sum, & quibus scribo. Ego minimus Ignatius, similis iis qui periculo & iudicio obnoxij sunt, vos autem misericordiam assecuti, firmati io Christo Iesu. Traditus quidem sum vous è numero eorum qui propter Christum ioterempti sunt à sanguine Abel iusti, vsque ad sanguinem Ignatij minimi. Pauli symmistæ [16] estis, qui sanctificatus & testimonium consecutus est, quod vas electionis sit. Contingat mihi, vt ad eius & reliquorum sanctorum vestigia locum inueniam, vbi Iesum Christum nactus fuero,

3 qui semper in precibus suis est memor vestri. Date itaque operam vt crebriùs coogregemini ad Eucharistiam & gloriam Dei. Quando enim sæpius in idem loci cooueniris, labefactantur vires Satanæ, & ignita illius ad peccatum iacula irrita resiliunt. Vestra enim concotdia & consensus fidei, exitium illius & satellitum eius supplicium est. Nihil præstantius [17] pace Christi: qua frangitur aboletúrque omne bellum, tam aëriorum quàm terrenorum spirituum. *Nec enim luctandum nobis est aduersus carnem & sanguinem, sed aduersus principatus & potestates,* C *aduersus rectores tenebrarum, aduersus spiritalia nequitiæ in cœlestibus.* Non itaque vos lædet aliqua diabolica cogitatio, si vt Paulus perfectam habueritis in Christum & fidem & charitatem, quæ initium vitæ & finis est. Principium vitæ, fides; finis eiusdem charitas: hæc autem duo quoties in vnum coeunt, Dei hominem perficiunt: omoia vero alia, ad probitatem consectanea sunt. Nemo qui fidem prædicat, peccare debet, oec qui charitatem possidet, odisse fratrem. Qui enim dixit, *Diliges Dominum Deum* D *tuum*, etiam dixit; *Et proximum tuum sicut teipsum.* Qui profitentur se Christi esse, non modo ex iis quæ dicunt atque loquuntur, verùm etiam ex iis quæ faciunt, cognoscuotur: *Ex fructu* enim *arbor dignoscitur.* Præstat enim esse & tacere, quàm loqui & non esse. *Non in sermone regnum Dei*, sed in virtute. *Corde creditur, ore fit confessio*; illo quidem *ad iustitiam, hoc verò ad salutem.* Bonum est docere, siquis dicit, idem faciat. Qui namque *fecerit & docuerit, hic magnus in regno cœlorum.* Domious noster & Deus Iesus Christus filius Dei E viuentis *primum fecit*, & tuoc docuit, vt testatur Lucas, cuius laus est in Euaogelio per omnes Ecclesias. Nihil latet Dominum, sed, & arcana oostra in illius conspectu. Omnia itaque faciamus, Deo in nobis habitante: vt illius simus templum, & ipse in nobis Deus, Christus io vobis loquator, vt in Paulo: Spiritusq; sanctus doceat vos, ad illius similitudinem ea loqui quæ Christi sunt. Ne erretis fratres mei, familiarum corruptores regnum Dei noo hereditabũt. Si autem ij, qui humanas domos corrumpunt, morte plectuntur:

S. Ignatij humilitas.

Frequens cõmunio commendatur.

Ephes. 6.

Fides & charitas hominẽ perficiunt.

Matt. 5.

Matt. 12.

Rom. 10.

Matt. 5.

Act. 2.

Luca laus in Euangelio.

A Παύλῳ, Ἰωάννῃ, Τιμοθέῳ τῷ πιστοτάτῳ. οἶδα τίς εἰμι, καὶ τίσι γράφω, ἐγὼ ὁ ἐλάχιστος Ἰγνάτιος, καὶ τοῖς ὑπὸ κίνδυνον καὶ κρίσιν ὢν ὅμοιος· ὑμεῖς δὲ, ἠλεημένοι, ἐστηριγμένοι ἐν Χριστῷ. παραδοθεὶς γε τῶν διὰ Χριστὸν ἀναιρουμένων, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ἰγνατίου τοῦ ἐλαχίστου. Παύλου συμμύσται ἐστὲ, ἡγιασμένου, μεμαρτυρημένου, ὅτι σκεῦος ἐστὶν ἐκλογῆς. οὗ γένοιτό μοι ὑπὸ τὰ ἴχνη εὑρεθῆναι, καὶ τῶν λοιπῶν ἁγίων, ὅταν Ἰησοῦ Χριστοῦ ἐπιτύχω, ὃς πάντοτε ἐν ταῖς δεήσεσιν αὐτοῦ μνημονεύει ὑμῶν. σπου-

3 δάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν Θεοῦ, καὶ δόξαν. ὅταν γὰρ συνεχῶς ἐπὶ τὸ αὐτὸ γίνησθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ Σατανᾶ, καὶ ἄπρακτα αὐτοῦ ἐπιστρέφει τὰ πεπυρωμένα βέλη πρὸς ἁμαρτίαν· ἡ γὰρ ὑμετέρα ὁμόνοια καὶ σύμφωνος πίστις, αὐτοῦ μὲν ἐστὶν ὄλεθρος, τῶν δὲ ὑπασπιστῶν αὐτοῦ βάσανος. οὐδὲν ἄμεινον τῆς κατὰ Χριστὸν εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται, ἀερίων καὶ ἐπιγείων πνευμάτων· οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ πρὸς ἐξουσίας, καὶ C πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. οὐκοῦν οὐ λήσεται ὑμᾶς τι τῶν νοημάτων τοῦ διαβόλου, ἐὰν ὡς Παῦλος τελείως εἰς Χριστὸν ἔχητε τὴν πίστιν καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος. ἀρχὴ ζωῆς, πίστις· τέλος δὲ, ἀγάπη· τὰ δὲ δύο ἐν ἑνότητι γινόμενα, Θεοῦ ἄνθρωπον ἀποτελεῖ. τὰ δὲ ἄλλα πάντα, εἰς καλοκαγαθίαν ἀκόλουθά ἐστιν. οὐδεὶς πίστιν ἐπαγγελλόμενος, ὀφείλει ἁμαρτάνειν· οὐδὲ ἀγάπην κεκτημένος, μισεῖν τὸν ἀδελφόν. ὁ γὰρ εἰπὼν, ἀγαπήσεις κύριον τὸν Θεόν σου, εἶπε, καὶ τὸν πλησίον σου, ὡς σεαυτόν. οἱ ἐπαγ- D γελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ καὶ ἐξ ὧν πράττουσι γνωρίζονται. ἐκ γὰρ τοῦ καρποῦ, τὸ δένδρον γινώσκεται. ἄμεινόν ἐστι σιωπᾷν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι. οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ᾽ ἐν δυνάμει. καρδίᾳ πιστεύεται, στόματι δὲ ὁμολογεῖται· τὸ μὲν, εἰς δικαιοσύνην· τὸ δὲ, εἰς σωτηρίαν. καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ. ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας ἐν τῇ βασιλείᾳ. ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, πρῶτος E ἐποίησε, καὶ τότε ἐδίδαξεν, ὡς μαρτυρεῖ Λουκᾶς, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ, διὰ πασῶν τῶν ἐκκλησιῶν. οὐδὲν λανθάνει τὸν κύριον, ἀλλὰ καὶ τὰ κρυπτὰ ἡμῶν, ἐγγὺς αὐτοῦ ἐστι. πάντα οὖν ποιῶμεν, ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοὶ, καὶ αὐτὸς ἐν ἡμῖν Θεός. Χριστὸς ἐν ὑμῖν λαλείτω, ὡς καὶ ἐν Παύλῳ· τὸ πνεῦμα τὸ ἅγιον διδασκέτω ὑμᾶς τὰ Χριστοῦ φθέγγεσθαι, παραπλησίως αὐτῷ. μὴ πλανᾶσθε, ἀδελφοί μου. οἱ οἰκοφθόροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν· εἰ δὲ οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες, θανάτῳ καταδικάζονται.

πόσῳ μᾶλλον οἱ τὴν Χριστοῦ διδασκαλίαν νοθεύειν ἐπιχειροῦντες, αἰωνίαν ὑποστήσονται δίκην; ὑπὲρ ἧς σταυρὸν καὶ θάνατον ὑπέμεινεν ὁ κύριος Ἰησοῦς, ὁ τοῦ Θεοῦ μονογενὴς υἱός; οὗ τὴν διδασκαλίαν ὁ ἀθετήσας, λιπανθεὶς καὶ παχυνθεὶς, εἰς γέενναν χωρήσει. ὁμοίως δὲ καὶ πᾶς ἄνθρωπος, ὁ τὸ διακρίνειν παρὰ Θεοῦ εἰληφὼς, κολασθήσεται, ἀπείρῳ ποιμένι ἐξακολουθήσας, καὶ ψευδῆ δόξαν ὡς ἀληθῆ δεξάμενος. τίς κοινωνία φωτὶ πρὸς σκότος, ἢ Χριστῷ πρὸς Βελίαρ· ἢ τίς μερὶς πιστοῦ πρὸς ἄπιστον, ἢ ναῷ Θεοῦ μετὰ εἰδώλων; φημὶ δὲ κἀγὼ, τίς κοινωνία ἀληθείας πρὸς ψεῦδος, ἢ δικαιοσύνης πρὸς ἀδικίαν, ἢ δόξης πρὸς ψευδοδοξίαν; διὰ τοῦτο μύρον ἔλαβεν ὁ κύριος ἐπὶ κεφαλῆς, ἵνα ἡ ἐκκλησία πνέῃ τὴν ἀφθαρσίαν. μύρον γὰρ, φησὶν, ἐκκενωθὲν ὄνομά σου· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε, ὀπίσω εἰς ὀσμὴν μύρων σου δραμούμεθα. μὴ ἀλειφέσθω δυσωδίαν, διδασκαλίαν τοῦ αἰῶνος τούτου, ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία· μὴ αἰχμαλωτισθῇ ὑπὸ τῆς πανουργίας αὐτοῦ, ὡς ἡ προτέρα γυνή. διὰ τί λογικοὶ ὄντες, οὐ γινόμεθα φρόνιμοι; διὰ τί ἔμφυτον τὸ περὶ Θεοῦ παρὰ Χριστοῦ λαβόντες κριτήριον, εἰς ἄγνοιαν καταπίπτομεν; ἐξ ἀμελείας ἀγνοοῦντες τὸ χάρισμα ὃ εἰλήφαμεν, ἀνοήτως ἀπολλύμεθα; ὁ σταυρὸς τοῦ Χριστοῦ, τοῖς μὲν ἀπίστοις, σκάνδαλόν ἐστι· τοῖς δὲ πιστοῖς, σωτηρία, καὶ ζωὴ αἰώνιος· ποῦ σοφός; ποῦ συζητητής; ποῦ καύχησις τῶν λεγομένων δυνατῶν; ὁ γὰρ τοῦ Θεοῦ υἱὸς, ὁ πρὸ αἰώνων γεννηθεὶς, καὶ τὰ πάντα γνώμῃ τοῦ πατρὸς συστησάμενος, οὗτος ἐκυοφορήθη ἐκ Μαρίας κατ' οἰκονομίαν, ἐκ σπέρματος μὲν Δαβὶδ, πνεύματος δὲ ἁγίου· ἰδοὺ γὰρ, φησὶν, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ κληθήσεται Ἐμμανουήλ. οὗτος ἐγεννήθη, ἐβαπτίσθη ὑπὸ Ἰωάννου, ἵνα πιστοποιήσηται τὴν διάταξιν τὴν ἐγχειρισθεῖσαν τῷ προφήτῃ. καὶ ἔλαθε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας, καὶ ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ κυρίου, τρία μυστήρια κραυγῆς, ἅτινα ἐν ἡσυχίᾳ ἐπράχθη, ἡμῖν δὲ ἐφανερώθη. ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ, καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν, καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ τοῖς ὁρῶσιν αὐτόν· τὰ δὲ λοιπὰ πάντα ἄστρα, ἅμα ἡλίῳ καὶ σελήνῃ, χορὸς ἐγίνοντο τῷ ἀστέρι. αὐτὸς δὲ ἦν ὑπερβάλλων αὐτοὺς τῷ φωτί. ταραχή τε ἦν, πόθεν ἡ καινότης ἡ φαινομένη. ἔνθεν ἐμωραίνετο σοφία κοσμικὴ, παίγνια ὕθλος ἦν, καὶ γέλως ἡ μαγεία· πᾶς δεσμὸς κακίας ἠφανίζετο, ἀγνοίας ζόφος διεσκεδάννυτο, καὶ τυραννικὴ ἀρχὴ καθῃρεῖτο, Θεοῦ ὡς ἀνθρώπου φαινομένου, καὶ ἀνθρώπου ὡς Θεοῦ ἐνεργοῦντος. ἀλλ' οὔτε τὸ πρότερον δόξα, οὔτε τὸ δεύτερον ψιλότης· ἀλλὰ τὸ μὲν ἀλήθεια, τὸ δὲ οἰκονομία. ἀρχὴν δὲ ἐλάμβανε, τὸ παρὰ Θεῷ ἀπηρτισμένον, ἔνθεν τὰ πάντα συνεκινεῖτο,

A quanto grauiores pœnas perpetuo dabunt, qui moliuntur Christi doctrinam adulterare, pro qua crucem & mortem sustinuit Dominus Iesus Dei vnicus filius? cuius doctrinam si quis impinguatus & saginatus spreuerit, in gehennam ibit. Similiter & omnis homo qui discernendi vim à Deo accepit, *Ignorantia non excusat.* supplicio subiicietur, si imperitum sequatur pastorem, & falsam opinionem [18] amplectatur pro vera. *Quæ communio luci cum tenebris? Christo cum Belial? aut quæ pars fideli cum infideli? aut templo Dei cum idolis?* *2. Cor.* Ego verò etiam dico; Quæ communio veritati B cum mendacio? aut iustitiæ cum iniustitia, aut veræ opinioni cum falsa? Ob id & Dominus in capite accepit vnguentum, vt Ecclesia spiret incorruptionem. *Vnguentum enim effusum est nomen tuum, propterea adolescentulæ dilexerunt te, traxerunt te* [19], *post te in odorem vnguentorum tuorum curremus.* *Cant 1.* Non vngatur retro aliquo odore, nimirum doctrina huius seculi, sancta Dei Ecclesia, non captiuetur illius astutia, vt prima illa mulier. Cur enim, cùm ratione vtamur, non sumus prudentes? cur accepta à Christo insita nobis diiudicandi facultate, in ignorantiam prola- C bimur, & per socordiam, non agnoscentes donum quod accepimus, imprudenter perimus? Crux Christi incredulis scandalum est; credentibus verò salus, & vita æterna. Vbi sapiens? vbi gloriatio eorum, qui dicuntur potentes; Filius enim Dei ante secula genitus, vbi iuxta Patris voluntatem & arbitrium omnia condidisset, in vtero gestatus est, ex Maria iuxta dispensationem natus ex semine Dauid, conceptus de Spiritu sancto: *Ecce enim, inquit, Virgo in vtero concipiet, & pariet filium, & vocabitur Emmanuel.* *Isa. 7.* Hic D natus est, hic à Ioanne baptizatus est, vt ratum faceret oraculum à Deo traditum Prophetæ: & principem huius mundi latuit Mariæ virginitas, & partus ipsius, similiter & mors Domini, *Dæmones ignorantes.* Tria mysteria clamoris [20] quæ silentio patrata sunt, at nobis manifestata sunt. Stella fulsit, splendore exuperans omnes quotquot antè fuerant. *Stella Magorum.* Lux enim illius ineffabilis erat, & stuporem incutiebat omnibus aspicientibus eam rei nouitas. Omnia autem reliqua astra vnà cum Sole & E Luna, chorus fuere stellæ illius, ipsa verò claritate exuperabat omnes, ac perturbatio sequebatur, vnde prodiret hæc quæ apparebat nouitas: hinc euanuit mundi sapientia: præstigiæ factæ sunt nugæ, magia risus, omnes ritus malitiæ aboliti, ignorantiæ caligo fugata, & tyrannicus principatus destructus, cū Deus vt homo apparuit, & homo vt Deus operatus est. Verū nec illud opinio erat, nec hoc erat mera humanitas: sed illud, veritas; hoc, dispensatio. Principatum verò accepit id quod à Deo omnibus suis partibus absolutum erat, [21] vnde omnia commouebantur

quòd meditaretur mortis abolitionem. Firmi state, fratres, in fide Iesu Christi, & in eius charitate, in passione eius, & in resurrectione. Omnes nominatim congregamini, in vna & communi fide Dei patris, & Iesu Christi vnigeniti illius filij, iuxta carnem verò ex genere Dauid, ducem sequentes Paracletum, obedientes Episcopo & presbyterorum cœtui mente indiuulsa, frangentes panem vnum,“ quod pharmacum immortalitatis est, mortis antidotum, vitamque in Deo concilians per Iesum Christum, & medicamentum omnia expellens mala. Vtinam meam pro vestra liceat commutare animam, & pro iis „ quos ad honorem Dei misistis Smyrnam, vnde & scribo vobis, gratias agens Domino, diligens Polycarpum sicut & vos. Memineritis mei, sicut & vestri Iesus Christus benedictus in secula. Orate pro Ecclesia Antiochena, quæ est in Syria, vnde vinctus Romam abducor nouissimus fidelium eorum qui ibi sunt; qui ad honorem Dei has gestare catenas dignus habitus sum. Valete in Deo Patre & Domino Iesu Christo, communi spe nostra, in Spiritu sancto. Valete. Amen. Gratia. Ignatij [14] Ephesiis.

Eucharistia est pharmacū immortalitatis.

A διὰ τὸ μελετᾶσθαι θανάτου κατάλυσιν. στήκετε ἀδελφοὶ ἑδραῖοι ἐν τῇ πίστει Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, ἐν πάθει αὐτοῦ καὶ ἀναστάσει. πάντες ἐν χάριτι ἐξ ὀνόματος συναθροίζεσθε κοινῇ, ἐν μιᾷ πίστει Θεοῦ πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, κατὰ σάρκα δὲ ἐκ γένους Δαβίδ· ὁδηγούμενοι ὑπὸ τοῦ παρακλήτου, ὑπακούοντες τῷ ἐπισκόπῳ, καὶ τῷ πρεσβυτερίῳ, ἀπερισπάστῳ διανοίᾳ· ἕνα ἄρτον κλῶντες, ὅς ἐστι φάρμακον ἀθανασίας, ἀντίδοτον τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ F ζῇν ἐν Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, καθαρτήριον ἀλεξίκακον. εἴην ὑμῶν ἀντίψυχον, καὶ ὧν ἐπέμψατε εἰς Θεοῦ τιμὴν εἰς Σμύρναν, ὅθεν καὶ γράφω ὑμῖν, εὐχαριστῶν τῷ κυρίῳ, ἀγαπῶν Πολύκαρπον, ὡς καὶ ὑμᾶς. μνημονεύετέ μου, ὡς καὶ ὑμῶν Ἰησοῦς ὁ Χριστὸς, ὁ εὐλογητὸς εἰς τοὺς αἰῶνας. προσεύχεσθε ὑπὲρ τῆς ἐκκλησίας Ἀντιοχέων τῆς ἐν Συρίᾳ, ὅθεν δεδεμένος εἰς Ῥώμην ἀπάγομαι, ἔσχατος ὢν τῶν ἐκεῖ πιστῶν· ὅσπερ C ἠξιώθην εἰς Θεοῦ τιμὴν φορῆσαι ταυτασὶ τὰς ἁλύσεις. ἔῤῥωσθε ἐν Θεῷ πατρὶ, καὶ κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν, ἐν πνεύματι ἁγίῳ. ἔῤῥωσθε. ἀμήν, ἡ χάρις. Ἰγνατίου Ἐφεσίοις.

EIVSDEM AD ROMANOS, Epistola XV.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Ῥωμαίους, ιε´.

Totam hanc S. Ignatij ad Romanos Epistolam ad verbum transcripsit Simeon Metaphrastes in historia Martyrij eiusdem S. Ignatij. Eiusdem verò Epistolæ Argumētum mihi videtur his paucis perstrinxisse: *Cùm videret autem Smyrnenses,* inquit, *valde perturbatos, & quodam modo pendentes ab illius anima; & non ferendum damnum existimantes, separationem eius & mortem: de Romanis timens ne ipsi quoque similiter affecti non sustinerent videre eum tradi bestiis, sed manus afferrent iis quibus mandatum erat vt eum traderent; & ei clauderent apertam Martyrij ianuam; statuit mittere ad eos, vt ij quoque orarent pro eo ne exercitationis suæ cursus ei impediretur, sed per feras citò resolueretur ad dilectum Dominum.*

Ecclesia Romana tituli.

IGNATIVS, qui & Theophorus, misericordiam consecutæ in magnificentia altissimi Dei Patris, & Iesu Christi vnigeniti eius Filij, Ecclesiæ sanctificatæ & illuminatæ per voluntatem Dei qui omnia creauit, quæ pertinent ad fidem & charitatem Iesu Christi Dei Saluatoris nostri, quæ præsidet in loco Romanæ regionis, Deo digna, decentissima, beatificanda, laudanda, digna quà [1] quis potiatur, castissima, & eximiæ charitatis, Christi & Patris nomine fruens, Spirituque plena, quam & saluto in nomine Patris omnipotentis, & Iesu Christi filij ipsius, quos & spiritu & corpore coniunctos omnibus mandatis ipsius, repletos omni gratia Dei absque hæsitatione, & repurgatos [2] ab omni alieno colore; plurimùm in Deo Patre & Domino nostro Iesu Christo, immaculatè gaudere iubeo.

D ΙΓΝΑΤΙΟΣ ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι ὑψίστου Θεοῦ πατρὸς καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ἐκκλησίᾳ ἡγιασμένῃ, καὶ πεφωτισμένῃ ἐν θελήματι Θεοῦ τοῦ ποιήσαντος τὰ πάντα, ἅ ἐστι κατὰ πίστιν καὶ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, ἥτις προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπὴς, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιεπίτευκτος, ἀξίαγνος, καὶ προκαθημένη τῆς ἀγάπης, χριστώνυμος, πατρώνυμος, πνευματοφόρος· ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Θεοῦ E παντοκράτορος, καὶ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ· τοῖς κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις πάσης χάριτος Θεοῦ ἀδιακρίτως, καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος, πλεῖστα ἐν Θεῷ καὶ πατρὶ, καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἀμώμως χαίρειν.

A ΕΠΕΥΞΑΜΕΝΟΣ τῷ Θεῷ, ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, ὃ καὶ πλέον ᾐτούμην λαβεῖν. δεδεμένος γὰρ ἐν Χριστῷ Ἰησοῦ, ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάν περ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. ἡ μὲν γὰρ ἀρχὴ, εὐοικονόμητός ἐστιν, ἐάν περ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρόν μου εἰς πέρας ἀνεμποδίστως ἀπολαβεῖν. φοβοῦμαι γὰρ τὴν ἀγάπην ὑμῶν, μὴ αὐτή με ἀδικήσῃ· ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι· ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάν περ ὑμεῖς μὴ φείσησθέ μου προφάσει φιλίας σαρκίνης. οὐ θέλω γὰρ ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε. οὔτε γὰρ ἐγὼ ἕξω B ποτὲ καιρὸν τοιοῦτον, ὥστε Θεοῦ ἐπιτυχεῖν· ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι· ἐάν τε γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι τρέχων. πλέον δέ μοι παράσχησθε τοῦ σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν, ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι, ᾄσητε τῷ πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας κατηξίωσεν ὁ Θεὸς εὑρεθῆναι, εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος, τὸν ἑαυτοῦ παθημάτων μάρτυρα καλῶν, τοῦ διαλυθῆναι ἀπὸ κόσμου πρὸς Θεὸν, ἵνα εἰς αὐτὸν ἀνατείλω. οὐδέποτε ἐβασκάνατε οὐδενί. C ἄλλους ἐδιδάξατε· ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. μόνον δύναμίν μοι αἰτεῖσθέ μοι ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ὅπως μὴ μόνον λέγωμαι Χριστιανὸς, ἀλλὰ καὶ εὑρεθῶ· ἐὰν γὰρ εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. οὐδὲν φαινόμενον αἰώνιον· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστίν. ὁ Χριστιανισμὸς, ὅταν μισῆται ὑπὸ κόσμου, φιλεῖται παρὰ Θεοῦ· εἰ ἐκ τοῦ κόσμου γάρ φησι, τοῦτο ἦτε, ὁ κόσμος ἂν ἐφίλει τὸ ἴδιον· νυνὶ δὲ οὐκ ἐστὲ ἐκ τοῦ D κόσμου, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς· μείνατε παρ' ἐμοί. ἐγὼ γράφω πάσαις ταῖς ἐκκλησίαις, καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἑκὼν ὑπὲρ Θεοῦ ἀποθνήσκω, ἐάν περ ὑμεῖς μὴ κωλύσητε. παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι· ἄφετέ με θηρίων εἶναι βρῶμα, δι' ὧν ἔστι Θεοῦ ἐπιτυχεῖν· σῖτός εἰμι τοῦ Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος Θεοῦ εὑρεθῶ· μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλείπωσι τῶν τοῦ E σώματός μου, ἵνα μὴ κοιμηθεὶς, βαρύς τινι εὑρεθήσομαι. τότε δὲ ἔσομαι μαθητὴς ἀληθὴς Ἰησοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. λιτανεύσατε τὸν κύριον ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων Θεῷ θυσία εὑρεθῶ· οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν· ἐκεῖνοι ἀπόστολοι Ἰησοῦ Χριστοῦ, ἐγὼ δὲ ἐλάχιστος. ἐκεῖνοι ἐλεύθεροι,

DEPRECATVS Deum , obtinui vt viderem diuinam vestram faciem, quam plurimum expetebam. Vinctus enim in Christo Iesu , spero me salutaturum vos , si voluntas Dei sit , vt dignus indicer ad metam peruenire. Exordium enim constitutum est bene, si modò gratiam consequar , vt sortem meam sine impedimento ad finem vsque percipiam. Metuo enim charitatem vestram , ne ipsa me lædat. Vobis enim facile est , quod vultis , facere : mihi verò , difficile est Deum assequi , si vos mihi peperceritis , prætextu carnalis amicitiæ. Nolo autem vos hominibus , sed Deo placere , sicut & placetis ; nec enim ego habiturus sum eiusmodi occasionem Deum assequendi : at vos, si taceatis, præstantiori operi subscribere poteritis. Si enim de me tacueritis , ego Dei fiam , sin autem carnem meam dilexeritis , denuò currendum erit mihi. At vos potius operam date, vt immoler Deo , quandoquidem adhuc altare paratum est , vt in charitate chorum constituentes canatis Patri & Christo Iesu, quòd Episcopum Syriæ voluit inueniri , ab Oriente in Occidentem accersitum, testem suarum passionum vocans , vt è mundo ad Deum profectus in ipso [4] exoriar. Numquam inuidistis cuiquam , alios docuistis. Ego autem volo , vt & illa rata sint quæ docentes præcipitis : id solùm petite mihi, vt vires & intus & foris suppetant, vt non modo dicam , sed & velim , vt non solùm dicar Christianus , sed & inueniar. Si enim inuentus fuero , etiam dici potero ; & tunc fidelis esse , cùm mundo non apparuero. Nihil perpetuum quod videtur. Quæ enim videntur , temporalia sunt , quæ autem non videntur , æterna. Non persuasionis hoc opus , sed magnitudinis est. Christianus cùm odio habetur à mundo , diligitur à Deo : *Si enim de mundo , inquit , fuissetis , mundus quod suum erat diligeret , nunc verò non estis de mundo , sed ego vos elegi de mundo , manete apud me.* Ego omnibus Ecclesiis scribo , quod voluntarius morior , si modo vos non prohibueritis. Obsecro vos ne intempestiua beneuolentia me complectamini. Sinite me ferarum escam fieri , per quas licebit Deum adipisci. Frumentum [5] sum Dei , dentibus feratum molar, vt mondus panis Dei inueniar. Immo blanditiis demulcete potiùs Feras , vt mihi sepulchrum fiant , vt nihil de corpore meo relinquant , ne cùm obdormiero , molestus cuiquam inoeniar. Tunc ero vetus Iesu Christi discipulus , cùm mundus nec corpos meum viderit. Deprecemini Dominum pro me , vt per hæc instrumenta, Deo efficiar hostia. Non vt Petrus & Paulus hæc præcipio vobis : Illi Apostoli Iesu Christi, ego vero minimus. Illi liberi,

Ioan. 18.

Ardens Ignatij votum.

vtpote serui Dei; ego verò etiamnum seruus: at si passus fuero, libertus fiam Iesu Christi, & resurgam in illo liber. Nunc in ipso vinctus, disco nihil rerum mundanarum atque vanarum penitus concupiscere. A Syria Romam vsque terra marique cum bestiis depugno, noctu diúque alligatus decem Leopardis, quæ est militaris custodia, qui & beneficio affecti peiores fiunt: at ego eorum iniuriis magis erudior, verùm non in hoc iustificatus sum. Vtinam fruar bestiis mihi paratis, quas opto veloces mihi inueniri, quas & blanditiis demulcebo vt citiùs me deuorent; non vt quosdam, metuentes non attigerunt: & si sponte nolint, ego illas vi adigam. Ignoscite mihi; quid mihi vtile sit ego noui. Nunc incipio discipulus esse, cùm nihil expetam aut visibilium aut inuisibilium, vt Iesum Christum assequar. Ignes, crux, ferarum concursus, sectiones, laniena, ossium discerptiones, membrorum concisiones, totius corporis solutio, & diaboli tormenta in me veniant, tantummodo vt Iesum nanciscar. Nil me iuuabunt fines mundi, nec regna huius seculi. Melius est mihi emori propter Iesum Christum, quàm imperare finibus terræ. *Quid enim prodest homini, si totum mundum lucretur, animæ verò suæ detrimentum patiatur?* Dominum desidero filium veri Dei & Patris Iesum Christum, illum quæro qui pro nobis mortuus est, & resurrexit. Ignoscite mihi, fratres, ne mihi impedimento sitis, ne ad vitam perueniam. Iesus enim est vita fidelium. Ne me velitis mori; mors namque est, vita sine Christo, cúmque cupiam me Dei esse, ne gratificemini mundo. Sinite me purum lumen haurire, cùm illic fuero, homo Dei ero. Permittite mihi, vt æmulator sim passionis Christi Dei mei. Si quis ipsum hîc possidet, intelligat quid volo, & compatiatur mihi, cùm sciat quæ me constringunt. Princeps huius seculi rapere me vult, & animam meam voluntatemque, quam erga Deum habeo, corrumpere. Nullus itaque vestrum qui præsentes estis, opituletur illi: potiùs, mei sitis, id est, Dei. Ne loquamini Iesum Christum, & mundum præferatis. Inuidia in vobis non habitet; neque si ego præsens vos obsecrem, obtemperetis, verum his potius credite quæ vobis scribo. Viuens enim scribo vobis amore captus moriendi propter Christum. *Meus amor* * *crucifixus est.* Non est in me ignis quippiam amans; sed aqua viua saliens in me, intus mihi dicit; Veni ad Patrem. non gaudeo corruptibili nutrimento, nec voluptatibus huius vitæ: panem Dei volo, panem cœlestem, * qui est caro Christi Filij Dei, qui factus est posterioribus temporibus ex semine Dauid & Abrahę:

A ὡς δοῦλοι Θεοῦ, ἐγὼ δὲ μέχρι νῦν δοῦλος· ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος γενήσομαι Ἰησοῦ Χριστοῦ, καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. νῦν μανθάνω ἐν αὐτῷ δεδεμένος μηδὲν ἐπιθυμεῖν κοσμικὸν, ἢ μάταιον. ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα· οἳ καὶ εὐεργετούμενοι, χείρους γίνονται· ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν, μᾶλλον μαθητεύομαι, ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι. ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων· ἃ καὶ εὔχομαι σύν-
B τομά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο· καὶ αὐτὰ δὲ ἐὰν ἑκόντα μὴ θέλῃ, ἐγὼ προσβιάσομαι. συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει, ἐγὼ γινώσκω· νῦν ἄρχομαι μαθητὴς εἶναι, μηθέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ τῶν ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω· πῦρ, καὶ σταυρὸς, θηρίων τε συστάσεις, ἀνατομαί, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλυσμοὶ ὅλου τοῦ σώματος, καὶ κόλασις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθω, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. οὐδέν με ὠφελήσει
C τὰ πέρατα τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. καλόν ἐμοὶ ἀποθανεῖν διὰ Ἰησοῦν Χριστὸν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ; τὸν κύριον ποθῶ, τὸν υἱὸν τοῦ ἀληθινοῦ Θεοῦ καὶ πατρὸς, Ἰησοῦν τὸν Χριστόν· ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα καὶ ἀναστάντα. συγγνωμονεῖτέ μοι ἀδελφοί, μὴ ἐμποδίσητέ μοι εἰς ζωὴν φθάσαι· Ἰησοῦς γάρ ἐστιν ἡ ζωὴ τῶν πιστῶν· μὴ θελήσητέ με ἀποθανεῖν. θάνατος γάρ ἐστιν, ἡ ἄνευ Χριστοῦ ζωή. τοῦ Θεοῦ θέλοντά με εἶναι, κόσμῳ μὴ χαρίσησθε. ἄ-
D φετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ παραγενόμενος, ἄνθρωπος Θεοῦ ἔσομαι. ἐπιτρέψατέ μοι μιμητὴν εἶναι πάθους Χριστοῦ τοῦ Θεοῦ μου· εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με. ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται, καὶ τὴν εἰς τὸν Θεόν μου γνώμην διαφθεῖραι· μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ· μᾶλλον ἐμοὶ γίνεσθε, τουτ' ἔστι τοῦ Θεοῦ. μὴ λαλῆτε Ἰησοῦν Χριστὸν, κόσμον δὲ προ-
E τιμᾶτε. βασκανία ἐν ὑμῖν μὴ κατοικείτω. μηδὲ ἐὰν ἐγὼ ὑμᾶς παρὼν παρακαλῶ, πείθητε· τούτοις δὲ μᾶλλον πιστεύσατε, οἷς γράφω ὑμῖν· ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ διὰ Χριστὸν ἀποθανεῖν. ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλοῦν τι· ὕδωρ δὲ ζῶν, ἀλλόμενον ἐν ἐμοὶ, ἔσωθέν μοι λέγει, δεῦρο πρὸς τὸν πατέρα. οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου. ἄρτον τοῦ Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅ ἐστι σὰρξ τοῦ Χριστοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐν ὑστέρῳ ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ·

& potum

A καὶ πόμα θέλω, τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, καὶ ἀέναος ζωή. Οὐκ ἔτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θέλητε. Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ἐπειδήπερ ζῇ ἐν ἐμοὶ ὁ Χριστός. δι᾽ ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς, μὴ παραιτήσασθέ με. πιστεύσατέ μοι, ὅτι τὸν Ἰησοῦν φιλῶ τὸν ὑπὲρ ἐμοῦ παραδοθέντα. τί ἀνταποδώσω τῷ κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; αὐτὸς δὲ ὁ Θεὸς καὶ πατήρ, καὶ ὁ κύριος Ἰησοῦς ὁ Χριστός; φανερώσει ὑμῖν ταῦτα, ὅτι ἀληθῶς λέγω· καὶ ὑμεῖς συνεύξασθέ μοι, ἵνα τοῦ σκοποῦ τύχω, ἐν πνεύματι ἁγίῳ. οὐ κατὰ σάρκα
Coiſtis enim aduerſus Dominum quidem, vt Deum & ſeruatorem: aduerſus verò Chriſtum, vt hominem verum: ſiquidem Deus erat, & homo natus erat. Quòd ſi vis veriùs & explanatiùs intelligere, Herodes & Pilatus aſtiterunt, & Annas & Caïphas cum cæteris, aduerſus Dominum, & aduerſus Chriſtum eius. Vt autem confirmeris, quod eiuſmodi aduerſus Deum fremuerunt, remunerationem ipſorum à Deo, & id quod ipſis huius fremitus cauſa retributum ac repenſum fuit, ſubiungens deinde Propheta dicit: *Qui habitat in cœlis, irridebit eos, & Dominus ſubſannabit eos. Tunc loquetur ad eos in ira ſua & in furore ſuo turbabit eos.* Vides Dei & Patris aduerſus eos, qui ipſum cruci confixerunt, indignationem. Quòd autem falſum teſtimonium in eum dicebant, affirmat: *Quia inſurrexerunt in me teſtes iniqui, & mentita eſt iniquitas ſibi.* Et quòd flagris ceciderunt ipſum, & colaphos ei impegerunt, & eundem conſpuerunt, teſtatur ſuo vaticinio Propheta Eſaias: *Dorſum meum dedi ad flagella, & genas ad colaphos: faciem meam non auerti à fœditate ſputorum.* Et ſi dixeris ipſum præ inſania & amentia hæc ſuſtinuiſſe, non inuenies. Quòd verò ductus eſt, vt crucifigeretur, nihil contradicens, prædixit rurſus Eſaias: *Tanquam ouis ad occiſionem ductus eſt: & ſicut agnus coram tondente ſe mutus* [*ſic non aperuit os ſuum.*] Quòd autem ei illuſerunt milites, cúmque cruci panxerunt: & quod lux obſcurata eſt, & ſol tenebris repentè obductus, & luna caligine offuſa. Præterea quòd ei acetum & fel potum dediſtis, & veſtimenta eius partiti eſtis, prædixit Dauid: *Quoniam ſubſannauerunt me ſubſannatione: frenduerunt ſuper me dentibus ſuis. Domine quando inſpicies?* Et Ieremias de cruce: *Venite, immittamus lignum in panem eius, & eradamus ipſum è terra viuentium, & nomen eius non memoretur amplius.* Et de iis qui eum probris afficiebant, cùm in ligno penderet, Dauid dicit: *Omnes qui videbant me, ſubſannauerunt me. Locuti ſunt labiis, mouerunt caput. Sperauit in Domino, liberet ipſum: ſaluum faciat ipſum, quia vult eum.* De Clauis, quibus defixerunt pedes & manus eius, cùm ſuſpenderunt, populo Hieroſolymitano circumſtante & ſpectante, ait: *Circundederunt me canes multi.* Quod autem ex veſtra Synagoga fuerunt, quæ afflicta & proſtrata eſt, audi: *Concilium malignantium obſedit me.* Et de Clauis: *Foderunt manus meas & pedes meos, dinumerauerunt omnia oſſa mea.* Et de partitione veſtimentorum eius: *Partiti ſunt ſibi veſtimenta mea, & ſuper veſtem meam miſerunt ſortem.* Et de aceto, quo potus fuit, & felle: *Dederunt in eſcam meam fel, & in ſiti mea potauerunt me aceto.* Et de obtenebratione diei,

A συνήχθητε μὲν κατὰ τοῦ κυρίου μὲν, ὡς Θεοῦ καὶ σωτῆρος· κατὰ δὲ τοῦ Χριστοῦ, ὡς ἀνθρώπου ἀληθοῦς, ἐπεὶ Θεὸς ἦν, καὶ ἄνθρωπος ἐγεγόνει. εἰ δὲ βούλει τρανώτερον συνιέναι, Ἡρώδης καὶ Πιλᾶτος παρέστησαν, καὶ Ἄννας καὶ Καϊάφας σὺν τοῖς λοιποῖς, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. ἵνα καὶ βεβαιωθῇς, ὅτι κατὰ τοῦ Θεοῦ ἐφρυάξαντο τοιοῦτοι· τὸ ἀνταπόδομα αὐτῶν τὸ παρὰ τοῦ Θεοῦ ἕνεκα τῆς φρυάξεως αὐτῶν ἀντιμετρηθὲν αὐτοῖς, ἐπάγων μετέπειτα ὁ προφήτης λέγει· Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς· B τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ὁρᾷς τὴν κατὰ τῶν σταυρωσάντων αὐτὸν τοῦ Θεοῦ καὶ πατρὸς ἀγανάκτησιν; Ὅτι δὲ καὶ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγει, Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. Ὅτι ἐμαστίγωσαν αὐτὸν, καὶ ἐρράπισαν, καὶ ἐνέπτυσαν, προφητεύει ὁ Ἡσαΐας· Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Καὶ ἐὰν εἴπῃς, ὅτι διὰ ἀφροσύνης ταῦτα ὑπομεμένηκεν, οὐχ εὑρήσεις. C ὅτι δὲ ἤγετο εἰς τὸ σταυρωθῆναι μηδὲν ἀντιλέγων, εἶπε καὶ πάλιν Ἡσαΐας, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν * ἄφωνος. Ὅτι δὲ ἐνέπαιξαν αὐτὸν οἱ στρατιῶται, καὶ ἐσταύρωσαν, καὶ συνεσκότασε τὸ φῶς καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη ζόφῳ περιεβάλλετο· ὄξος τε καὶ χολὴν ἐποτίσατε αὐτὸν, καὶ τὰ ἱμάτια αὐτοῦ διεμερίσασθε, προεῖπεν ὁ Δαβίδ, Ὅτι ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε πότε ἐπόψῃ; Καὶ ὁ Ἱερεμίας περὶ τοῦ σταυροῦ, Δεῦτε, καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν D ἄρτον αὐτοῦ. καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. Καὶ περὶ τῶν ὀνειδιζόντων αὐτὸν, ὅτε ἐκρέματο ἐπὶ ξύλου, Δαβὶδ λέγει, Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με. ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Καὶ περὶ τῶν ἥλων, ὧν ἥλωσαν εἰς τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, ὅτε ἐκρέμασαν, τοῦ λαοῦ κύκλῳ τῆς Ἱερουσαλὴμ ἑστῶτος καὶ θεωροῦντος, φησὶ, Περιεκύκλωσάν με κύνες πολλοί. Οἱ δὲ καὶ ἐκ τῆς συναγωγῆς E ἦσαν τῆς * κεκερατημένης, τῆς ἐξ ὑμῶν, ἄκουσον, Συναγωγὴ πονηρευομένων περιέσχον με. Καὶ περὶ τῶν ἥλων, Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Καὶ περὶ τοῦ μερισμοῦ τῶν ἱματίων αὐτοῦ, Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ περὶ τοῦ ὄξους, οὗ ἐποτίσθη, καὶ τῆς χολῆς, Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Καὶ περὶ τοῦ σκοτασμοῦ τῆς ἡμέρας,

Ἀμμώς ὁ προφήτης ᾐνίξατο, Δύσεται ὁ ἥλιος μεσημβρίας, εἰπών, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. Ὅτι τελευτήσει ἐπὶ σταυροῦ, Ἡσαΐας λέγει, Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί· σημεῖά σε πρὸ τοῦ πάθους ὁρῶντες τελούμενα. οὕτως ἀδοξήσει ἐξ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἔθνη πολλὰ θαυμάσονται ἐπὶ σέ. εἴδομεν γὰρ αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, οὔτε δόξαν, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον τὸ εἶδος αὐτοῦ ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Ὅτι δὲ ἐκεντήθη τὴν πλευρὰν τῇ λόγχῃ, λέγει, Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν. Ὅτι * ἀπέστρεπτο τὸ πρόσωπον αὐτοῦ, Ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. ἵνα δείξῃ ὁ προφήτης, ὅτι ἔκειτο αὐτὸν παθεῖν, οὐ δι' ἑαυτόν, οὐδὲ γὰρ ἐκέκτητο αὐτὸς ἁμαρτίαν, ἀλλὰ διὰ τὰ ἡμέτερα ἁμαρτήματα, ἐπάγει λέγων, Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν ἐν πόνῳ καὶ πληγῇ καὶ ἐν κακώσει ὑπὸ Θεοῦ, αὐτὸς δὲ διὰ τὰς ἁμαρτίας ἡμῶν πάσχει, ἐτραυματίσθη, καὶ μεμαλάκισται. Προσέχεις οὖν, ὦ Ἑρβὰν Ἰουδαῖε, τί λέγει Ἡσαΐας ὁ προφήτης περὶ τῶν παθῶν τοῦ Χριστοῦ, καὶ δι' ἣν αἰτίαν πέπονθε. καὶ αὐτὸς λέγεις, ὅτι ἐφ' ᾧ ἔπαθε, σκανδαλίζομαι μᾶλλον τῷ πνεύματι. Ὁρᾷς ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ἤτοι τοῦ κόσμου παρεδόθη εἰς θάνατον. ἐνωτίσθητι καὶ τὸ ἑξῆς· παιδεία γάρ, φησίν, εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τοῦτ' ἔστι, πλημμελούντων ἡμῶν ἐπαιδεύθη ἐκεῖνος, ἵνα ἡμᾶς καταλλάξῃ τῷ πατρί, τὴν ἔχθραν τὴν τῆς παραβάσεως ἀποκτείνας ἐν τοῖς ἑαυτοῦ παθήμασιν, ὅπως τὸ λοιπὸν εἰρήνην ἔχωμεν πρὸς Θεόν. Ἄκουσον τοίνυν τοῦ προφήτου, ὦ Ἑρβάν, καὶ πείσθητι· τῷ μώλωπι αὐτοῦ, λέγοντος, ἡμεῖς πάντες ἰάθημεν. Ὁ γὰρ κύριος ἡμῶν παρέδωκεν ἑαυτὸν εἰς θάνατον ταῖς ἁμαρτίαις ἡμῶν. ἀπὸ τῶν ἀνομιῶν μου, φησίν, ἥκει εἰς θάνατον, καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς ἐν πλεονασμῷ ἀδικιῶν ἀντὶ τοῦ θανάτου αὐτοῦ. Καὶ ὁ Δαβὶδ φάσκει, Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν. καὶ οὗτοι μὲν οἱ βλέποντες τὴν περὶ αὐτοῦ ἀλήθειαν ἐμαρτύρησαν· ὑμεῖς δὲ οἱ τυφλοί, οἱ ἄφρονες, οἱ ἀνόητοι, οἱ κακότροποι, οἱ μωροί, οἱ ἄπιστοι, οἱ λωβοί, οἱ πεφυρμένοι καὶ ἐσκοτισμένοι, ἐλέγετε πρὸς αὐτόν, Δαιμόνιον ἔχεις· καὶ ἄραντες λίθους, κατεδιώκετε ὀπίσω αὐτοῦ, φάσκοντες, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' * ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν. ὢ τῆς ὑμῶν ἀθλιότητος· ἐλεεινότεροι πάντων ἀνθρώπων. ὅμως πρόσεχε τοῖς λεγομένοις· Οὐχ εὑρέθη, φησί, δόλος ἐν τῷ στόματι αὐτοῦ· τοῦτο λέγει ὁ πατὴρ καὶ Θεὸς διὰ στόματος τοῦ προφήτου, περὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, ἀνθ' ὅσον ἔπαθεν ἀναμάρτητος ὤν. Δώσω αὐτῷ τοὺς ἐν πλούτῳ ἀδικιῶν, εἰς σωτηρίαν·

Amos Propheta ænigmate quodam dixit: *Occidet sol in meridie, simul etiam in terra per diem lux obtenebrascet.* Quod in cruce moriturus esset, Esaias dicit: *Quemadmodum obstupescent super te multi*, Signa te ante passionem videntes facientem: *Sic dedecorabitur ab hominibus tua species: Et Gentes multæ admirabuntur super te. Vidimus eum, & non habebat speciem, neque pulchritudinem, neque gloriam: sed species eius spreta & contempta, relinquens speciem suam à filiis hominum.* Quod vero latus lancea perfossum habuit, dicit: *Homo qui plagam ferat, & qui sciuit ferre languorem.* Quod auersa erat facies eius: *Contemptus fuit, & non reputatus.* Vt ostenderet Propheta, quod incumbebat ipsum pati, non propter seipsum, (Non enim habuit ipse peccatum) sed propter nostra peccata, subiungit, dicens: *Ipse baiulat nostra peccata, & pro nobis dolore cruciatur: & nos reputauimus ipsum in labore & vulnere, & in afflictione à Deo. Ipse autem propter peccata nostra patitur, vulneratus est, & attritus elanguit.* Intelligis igitur, ô Herbane Iudæe, quid Esaias Propheta dicit de Christi cruciatibus & passionibus, & quam ob causam passus est. Interim dicis te offendi magis spiritu, & scandalo affici, quod Christus perpessus est. vides quod propter nostra peccata, siue mundi, traditus est ad mortem. Auribus percipe quod deinceps sequitur. *Disciplina enim* (inquit) *pax nostra in ipso*: id est, peccantibus nobis, correptus est ille, vt nos inimicos reconciliaret patri, inimicitiam ob transgressionem conflatam destruens in suis passionibus, vt postea pacem habeamus cum Deo. Audi igitur, ô Herbane, Prophetam dicentem & crede: *Liuore eius omnes sanati sumus.* Nam Dominus noster seipsum in mortem dedit peccatis nostris. *Ab iniquitatibus meis* (ait) *venit ad mortem, & dabo improbos pro sepultura eius, & eos qui iniustitia abundant, pro morte eius.* Et Dauid dicit: *Qui non egit dolum in lingua sua, nec fecit proximo suo malum.* Atque illi quidem videntes de ipso veritatem testati sunt: Vos autem cæci, amentes, insipientes, improbi, stulti, perfidi, increduli, mutili, fermentati, obtenebrati, ei dixistis, *Dæmonium habes*: & sublatis lapidibus insequebamini eum à tergo, dicentes, *De bono opere non lapidamus te*, [*sed de blasphemia*, &] *quia tu homo cùm sis, facis teipsum Deum.* O vestram miseriam: miserabiliores estis omnibus hominibus. Veruntamen mentem adhibe his quæ dicuntur. *Non est* (inquit) *inuentus dolus in ore eius.* Hoc dicit pater & Deus per os Prophetæ de vnigenito filio suo, quia passus est, cum esset ipse innocens, & peccati expers: *Dabo ipsi eos qui diuitiis iniquitatum abundant, in salutem:*

Psal 68. Amos 8. Esa.52. Esa.53.

* ὅτι οὐκ ἀπ. Quod non auertit faciem suam.

Esa.53. Ibid. Psal.14. Ioan.8. Ioan.10.

* Deest, ἀλλὰ περὶ βλασφημίας, καὶ

Esa.53. 1.Pet 2.

qui sunt publicani, fornicatores, & peccatores, & crediderunt nomini eius. Et pro eo quòd sepeliri suscepit, sicut filij hominum, *filius meus dilectus & charissimus*, pro generis humani salute, *Dabo ei omnes gentes, Quæ in idolorum peruersitate impioque cultu frustra occupantur, & credent in ipsum, & regno cœlorum dignæ iudicabuntur.* Mercedem (inquit) his præbebo ipsum, pro eo quod passus est peccati exsors & innocens meus filius, & pro iis veterem supplantorem, huiusque potentiam vicit. Hæc omnia, ô Herbane, sic se habent: atque tu ipse melius scis hæc ita esse: sed sciens volensque veritatem negas, neque vis ad id quod conducit & expedit, venire.

His omnibus auditis, Herbanus exanimatus fuit, & in multam horam mutus stabat, vt qui non posset quicquam respondere, & se tueri. Iudæorum autem turba stans & audiens erat attonita: cognoscentes quod vocibus & vaticiniis Esaiæ seipsos conuictos condemnauerat. Christiani verò Pontificem siue sacerdotum antistitem & principem laudibus ornabant. Necnon Rex cum magnatibus valde gaudebat audiens quæ nunquam tam purè & disertè ab vllo antea audierat. HERBANVS. Disputationis tuæ vertigine attonitus, nihil iam efficere queo, & in eiusmodi rebus mea mens & cogitatio nunc huc nunc illuc distracta diuiditur. Nam cùm Mosem audio, imo vero Deum ipsum per hunc loquentem, *Audi Israel, Dominus Deus tuus, Dominus vnus est, & præter ipsum non est Deus alius.* Deinde, *Dominum Deum tuum adorabis, & ei soli seruies.* Hîc contra audiens Dauidem & Esaiam de hoc, qui putatur Christus, in veritate loquentes, quid agam, aut quò me vertam, nescio. SANCTVS ARCHIEPISCOPVS. Ob eam igitur causam Esaias, sciens vestram lubricam inconstantiam, mẽtisque mutabilitatem, & in omnibus incredulitatem, iterum dixit: *Domine, quis credidit auditui* nostro? & brachium Domini cui reuelatum?* Non aliis, opinor, quàm omnibus gentibus: sciebat enim Esaias vestram perfidiam & contumaciam. Ideóque alibi aduersus vestrã impudentiam dicit: *Auditu audietis, & non intelligetis, & videntes videbitis: Incrassatum enim cor populi huius, & auribus grauiter audierunt, & oculos suos occluserunt, nequando videant oculis, & cognoscant, & auribus audiant, & corde intelligant, & conuertantur, & sanem eos.* Nunquid hæc ita sunt? Si enim patres vestri eum mortuos ipsorum ab inferis excitantem, paralyticos, id est, membris captos ac resolutos vincientem ac roborantem viderunt, & alia non enarrabilia operantem: si hæc ipsum perficientem spectantes, non in eum crediderunt, vos viperarum progenies, nihil tale conspicati, ex solo auditu in ipsum credere poteritis? Nequaquam.

Iudæorum Doctor ad tot oracula de Christi passione & morte tam manifesta penitus attonitus torpet, & est multò quam fuit ante minor.

Deut. 6.
Matt. 4.

Nostra prædicationi siue Euangelio.
Esa. 53.
Rom. 10.
Esa. 6.
Matth. 13.
Iudæorum insanabilis execratio.
* ἀκούετε
* βλέψετε

A οἵτινές εἰσι τελῶναι, καὶ πόρνοι, καὶ ἁμαρτωλοί, καὶ πεπιστεύκασι τῷ ὀνόματι αὐτοῦ. καὶ ἀνθ' ὅτου κατεδέξατο ταφῆναι ὡς υἱοὶ τῶν ἀνθρώπων, ὁ υἱός μου, ὁ ἀγαπητός τε καὶ φίλτατος, διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, δώσω οὖν αὐτῷ πάντα τὰ ἔθνη, ἅτινά εἰσιν ἐν πονηρίᾳ εἰδώλων ματαιούμενα, καὶ πιστεύσουσιν εἰς αὐτόν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν καταξιωθήσονται· μισθόν, φησί, τούτοις παρέξω αὐτόν, ἀνθ' ὅσον ἔπαθεν ἀναμάρτητος ὢν ὁ υἱός μου, καὶ ἀντ' αὐτῶν νενίκηκε τὸν παλαιὸν πτερνιστὴν καὶ τὴν δύναμιν αὐτοῦ. Ταῦτα ἅπαντα, ὦ Ερβᾶνε, οὕτως ἔχει, B καὶ αὐτὸς κάλλιον ἐπίστασαι, ὅτι οὕτως ἔχει· ἀλλ' ἐθελοντὶ ἀρνῇ τὴν ἀλήθειαν, καὶ οὐ βούλει ἐλθεῖν ἐπὶ τὸ συμφέρον.

Ἐξέστη οὖν Ερβᾶν τούτων πάντων ἀκούσας, καὶ ἐπὶ πολλὴν ὥραν ἐνεὸς ἵστατο, μὴ δυνάμενός τι ἀπολογήσασθαι. Τὸ δὲ πλῆθος τῶν Ἰουδαίων τὸ ἑστὼς καὶ ἀκοῦον κατεπλήττοντο, γινώσκοντες ὅτι ἀπὸ τῶν φωνῶν Ἠσαΐου ἑαυτοὺς κατεδίκασεν. Οἱ δὲ Χριστιανοὶ ἐπαίνοις ἔστεφον τὸν ἀρχιερέα, καὶ ὁ βασιλεὺς σὺν τοῖς μεγιστᾶσιν ἔχαιρε σφόδρα, ἀκούων ἃ μηδέ- C ποτε καθαρῶς οὕτως ἀκήκοε παρά τινος. Ερβᾶν. Ἰλιγγιῶ τι διαπράξασθαι, καὶ μερίζεταί μου ἡ διάνοια ἐν τοῖς τοιούτοις πράγμασιν. Ὅταν γὰρ ἀκούω Μωϋσέως λέγοντος, μᾶλλον δὲ αὐτοῦ τοῦ Θεοῦ, Ἄκουε Ἰσραήλ, κύριος ὁ Θεός σου, κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος Θεός. Καὶ ἔπειτα Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Ἐνταῦθα πάλιν τὸν Δαβὶδ, καὶ τὸν Ἠσαΐαν φάσκοντας ἐν ἀληθείᾳ περὶ τοῦδε τοῦ νομιζομένου Χριστοῦ, τί διαπράξασθαι οὐκ ἐπίσταμαι. Καὶ ὁ ἅγιος. Διὰ τοῦτο τοιγαροῦν ὁ Ἠσαΐας πάλιν λελά- D ληκεν, Εἰδὼς ὑμῶν τὸ εὐόλισθόν τε καὶ ἄπιστον, κατὰ πάντα, φησί, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; οὐχ ἑτέροις οἶμαι, ἀλλ' ἢ πᾶσι τοῖς ἔθνεσιν; ᾔδει γὰρ Ἠσαΐας τὴν ὑμῶν ἀπιστίαν. Καὶ διὰ τοῦτο καὶ ἑτέρωθι λέγει πρὸς τὴν ὑμῶν ἀναίδειαν, Ἀκοῇ* ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες *βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, E μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι, καὶ ἀκούσωσι τοῖς ὠσί, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Οὐκοῦν οὐκ ἔστι ταῦτα οὕτως; Εἰ γὰρ οἱ πατέρες ὑμῶν, νεκροὺς αὐτὸν ἐγείραντα, παραλύτους σφίγξαντα ἐθεάσαντο, καὶ ἕτερα τὰ ἀπόρρητα ἐργαζόμενον· εἰ ταῦτα αὐτὸν τελοῦντα θεασάμενοι οὐκ ἐπίστευσαν, ὑμεῖς τὰ τῶν ἐχιδνῶν γεννήματα μηδὲν τοιοῦτον θεασάμενοι, ἐξ ἀκοῆς μόνης ἕξετε εἰς αὐτὸν πιστεῦσαι; οὐδαμῶς.

Ερβαν. Ἄκουσον ὦ Ἀρχιεπίσκοπε, τὰ μὲν ῥήματά σου ἀληθῆ τυγχάνουσιν ἤδη καὶ βέβαια· ἀπεριέργως γὰρ λέγεις, καὶ κατ᾽ ἔπος τὰ ἐνδεχόμενα, καὶ οὐκ ἔστι δόλος ἐν τῷ στόματί σου· οὐ γὰρ ἀπὸ τῶν σεαυτοῦ διαλεγόμενος * πεποίηκας ἡμᾶς, ἀλλά γε ἀπὸ τῶν θείων γραφῶν τοῦ νόμου· διὰ τοῦτο ἄξιος εἶ πειθοῦς καὶ εἰσακούσεως· πλὴν, διὰ τὸ ἐν πρώτοις τὸν ἡμέτερον νόμον δοθῆναι * ἡμᾶς, καὶ ἔπειτα τὸν ὑμέτερον, δοκῶ τὸν ἐν πρώτοις δοθέντα, ἐπικρατέστερον εἶναι. ἀναγκαῖον τοίνυν ἐστὶν, ἡμᾶς μὲν τηρεῖν τὸν ἡμέτερον, ὑμᾶς δὲ τὸν ὑμέτερον. Καὶ ὁ ἅγιος. Τοῦ Μωσέως λέγοντος, ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ὑμῶν, ὡς ἐμὲ, τουτέστι, νομοθέτην. ἔσται δὲ πᾶσα ψυχὴ, ἥτις οὐκ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. Τούτου δὲ οὕτως λέγοντος, πρόδηλόν ἐστιν ὅτι μέχρι τοῦ ἐρχομένου προφήτου ἦν εὐαπόδεκτος ὁ νόμος· παραγεγονότος δὲ τοῦ ζητουμένου, καὶ ἕτερον νόμον εἰσφέροντος, ἔδει λοιπὸν τὸν πρῶτον σιγῆσαι· οὐκοῦν οὐκ ἔτι εὐδοκεῖ κύριος ἐπὶ τῷ νόμῳ ὑμῶν, κἂν ὅλην τὴν ἡμέραν ἐργάζησθε αὐτόν. Ερβαν. Καὶ λίαν εὐδοκεῖ ἐν αὐτῷ κύριος, ἐπεὶ λέγει διὰ τοῦ προφήτου περὶ αὐτοῦ, Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχὰς τοῦ συνιέναι τὸν κύριον· πῶς οὐκ εὐδοκεῖ ἐν αὐτῷ κύριος; Καὶ ὁ ἅγιος. Πρῶτον νόησον περὶ τοῦ ποίου νόμου ὁ προφήτης λελάληκεν· εἶθ᾽ οὕτως τὸ κῦρος ἐπίστελλε, καὶ μὴ ἀπεντεῦθεν ἤδη τὰ γεγραμμένα παράστρεφε. Καὶ γὰρ οἱ προφῆται οὐ περὶ τῶν ἔμπροσθεν αὐτῶν ὑπαρξάντων πραγμάτων προεφήτευον, ἀλλὰ περὶ τῶν μελλόντων. τοῦτο γὰρ εἰρηκὼς ὁ προφήτης, περὶ τοῦ βραβευθέντος νόμου τοῖς ἔθνεσιν εἴρηκεν. ὁ νόμος γὰρ, φησὶ, Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς. ποίας ψυχὰς ἐπιστρέφων, καὶ ὅθεν, καὶ ποῦ ἄρα ὁδηγῶν αὐτάς; Ερβαν. Τὰς πλανωμένας ἀπὸ τοῦ νόμου, ὁ αὐτὸς νόμος ἐν τῷ ἀναπτύσσεσθαι, θᾶττον ἐπιστρέφει πρὸς ἑαυτὸν, καὶ δι᾽ ἑαυτοῦ πρὸς τὸν Θεὸν ὁδηγεῖ πάντας. Καὶ ὁ ἅγιος. Ἀτάκτως ἀπατᾷ· πάντες γὰρ ὑμεῖς πλανᾶσθε ἀπὸ τοῦ νόμου μοιχείαις καὶ ἀνδρομανίαις, εἶτα καθ᾽ ἕκαστον σάββατον ὑμῶν ἀναγινώσκοντες τὸν νόμον, ἀλλ᾽ εἰκῆ καὶ μάτην· οὐδεμία γὰρ ψυχὴ ἀφ᾽ ὑμῶν ἐπιστρέφεται πρὸς Κύριον ἐν ἀληθείᾳ. Τίς γὰρ ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; ὡς οἶμαι, οὐδείς. διὰ τοῦτο καὶ ὁ Θεὸς ἀπεστράφη ὑμῶν, καὶ ἐξεδίωξεν ὑμᾶς, καὶ διεσκόρπισεν ὑμᾶς εἰς τὰ πέρατα τῆς οἰκουμένης· δι᾽ ἣν γὰρ αἰτίαν, εἰπέ μοι, διεσκορπίσθητε εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καὶ ἐστὲ ὡσεὶ κατάρα ἐν πᾶσι τοῖς ἔθνεσιν; Ερβαν. Διὰ τὰς ἁμαρτίας ἡμῶν πρόδηλον.

A HERBANVS. Audi, ô Archiepiscope, tua verba sunt quidem vera & valida & firma: non enim affectatè loqueris, & quæ ad verbũ contingunt, neque est dolus in ore tuo. Non enim ex tuis inuentis disputãdo affecisti nos, sed ex diuinis scripturis legis: Quapropter dignus es fide, attentione, & docilitate. Verumtamen, quia primùm nobis lex nostra data est, deinde vestra, puto legem primam datam potiorem esse & præualere. Quare necesse est nos quidem seruare nostram, vos verò vestram retinere ac tueri. SANCTVS ARCHIEPISCOPVS. Cùm Moses dixerit, *Prophetam vobis suscitabit Dominus Deus* B *vester, sicut me*, id est, legislatorem, *Omnis itaque anima, quæ non audierit Prophetam illum, exterminabitur è populo suo.* Cùm hæc (inquam) dixerit Moses, perspicuum est, quòd, donec venerit Propheta ille, lex est approbanda & ritè seruanda. Cùm verò aduenerit ille qui expectatur & quæritur, & qui alteram legem allaturus est, primam legem silere oportet & abrogari. Non igitur amplius Dominus sibi placet in vestra lege, etiamsi totum diem ipsam exercentes operemini. HERBANVS. Et valdè quidem in ea sibi placet Dominus, quandoquidem de ipsa per Prophetam dicit: *Lex Domini inculpata*, id C est, perfecta, & omni carens reprehensione, *conuertens animas, vt intelligant Dominum.* Quomodo igitur in ea non acquiescit, nec sibi placet Dominus? SANCTVS ARCHIEPISCOPVS. Primùm cogita & intellige, qua de lege Propheta locutus est: deinde sic autoritatem & firmamentum mitte, neque inde iam quæ scripta sunt, detorque. Etenim Prophetæ non de præteritis & anteactis rebus vaticinabãtur, sed de futuris. Hoc enim effatus Propheta, de lege, quæ gentibus tanquam à brabeutê, id est, à moderatore & arbitro certaminis, & præmij iu- D dice (qui Christus est) dispensata est & tradita, prædixit. *Lex* (inquit) *Domini immaculata, conuertens animas.* Quas animas conuertens, & vnde, & quam in viam eas dirigens? HERBANVS. Eas animas, quæ à lege deuiæ aberrant, eadem lex dum explicatur, ocyùs conuertit ad seipsam, & per se ad Deum omnes deducit. SANCTVS ARCHIEPICOPVS. Perturbatè & inordinatè falleris. Omnes enim vos à lege aberratis, adulteriis, & in masculos furoribus: deinde cùm legẽ singulis sabbatis legatis, sed teme- E rè & frustrà, nulla interim vestrum anima re verâ ad Dominum conuertitur. Quis enim vestrum legem implet? Nullus, vt opinor. Quocirca & Deus à vobis auersus est, & vos persecutus est, & dissipauit vos ad terræ terminos. Quam ob causam, cedo, ad quatuor cœli ventos dispersi estis, & apud omnes gentes estis tanquam maledictum & execratio? HERB. Nimirum propter peccata nostra.

* πέπεικας
* Fort. ὑμῖν.
Deut. 18.
Act. 3.
Oraculum de Christo promisso valẽtissimum contra Iudaeos.
Christus finis legis.
Psalm. 18.
Non est qui faciat bonum, &c.
Rom. 9. ex Psal. 13. & aliis.

A SANCTVS ARCHIEPISCOPVS. Iam ego prædixi vobis, quod propter peccata veſtra diſperſi eſtis, & ex terra Promiſſionis exterminati: quomodo igitur dixiſti, quod lex animas veſtras ad gratiæ Domini captationem conuertit? An verò Deus eos, qui ſibi placent, expellit, reprobat, & diſſipat? Vide, quomodo tua dicta infinitam calumniam continent. HERBANVS. Tu ipſe ediſſere, quid caput declarat. SANCTVS ARCHIEPISCOPVS. Lex Domini, eſt meus Ieſus Chriſtus, qui cum è cœlo deſcendit, & homo factus eſt, multitudinem filiorum Iſraëlis ad B patris bonitatem conuertit, quos Chriſtianos fieri edocuit, quorum primus Petrus, & cæteri. Nec hos ſolos, verumetiam ex omnibus gentibus millies decies mille, id eſt, infinitam turbam ſancto ſuo ſpiritu, per ſuos diſcipulos, ad ſanctæ Trinitatis cognitionem conuertit. Hic igitur tam inculpatus, & culpæ exors fuit, vt de eo Eſaias clamarit, *Et ipſe peccatum non fecit, & dolus in ore eius non eſt inuentus.* HERBANVS. Propheta quidem virtutes ibidem enumerans, hæc locutus eſt: ſiquidem his addidit: *Teſtimonium Domini fidele, paruulos erudiens. Iuſtificationes Domini rectæ, lætificantes cor: & præceptum Domini, & timor,* C &c. Tu verò impoſturis quibuſdam & malitioſa interpretatione & vafritie, artéque acutiſſima, ad te ipſum trahis: directa ſiquidem lingua omnem ſenſum & notionem cogens, in tuum auxilium & commodum ſubtiliter & accuratè detorquens. SANCTVS ARCHIEPISCOPVS. Non audis quid dicat Abacuc de his quæ dixiſti, quod virtutes enumerans locutus eſt Propheta. Erant enim hæ virtutes Dei & Chriſti mei, quas Abacuc Propheta enumerauit: *Operuit cœlos virtus eius, & intelligentiæ eius plena eſt terra.* D HERBANVS. De Deo legis auctore dixit. Quis enim huic æqualis eſt in virtutibus? SANCTVS ARCHIEPISCOPVS. Non quis te ſeduxit, quod Verbum Dei (id eſt, filius) qui de cœlis deſcendit, non fuit Deus legis? Nihil tibi ad hæc, ô ſtulte. Nam meus Dominus, & veſtræ legis Dominus eſt, & nouæ gratiæ Deus & Rex. Dicit enim Abacuc, *Deus à Thæman veniet, & ſanctus de monte obumbratæ denſitatis.* HERBANVS. Thæman, quid ſignificat? & mons [Pharan] obumbratus quid indicat? SANCTVS ARCHIEPISCOPVS. Thæman quidem eum è ſupernis E venire declarat, nempe è cœlo, id eſt ab ortu: veritas autem demonſtrat, quòd è virginali corpore Propheta affirmat ipſum habiturum eſſe humanitatem, quemadmodum euenit, & ex ſancta Domina noſtra Dei genitrice, ſempérque virgine Maria. Mons verò obumbratus, ipſa eſt Virgo, ex qua prodiit ineffabiliter carne indutus. Montem autem, ipſam dicit, eo quòd, vt in montem Sina, ſic in ipſam deſcendit Deus,

Eſa.53.
Solus Chriſtus per ſe ἀναμάρτητος.
Pſalm.18.

* *ἀπαριθμήσας*
Abac.3.
* *Fort. μωρέ*
Ibid.
Variam huius vaticinij interpretationẽ vide li.18.c.32 D. Aug. de C. D. Aly interpretati ſunt ab Auſtro vel ab Africo: per quod ſignificatur Meridies. id eſt feruor charitatis, & ſplendor veritatis D. Aug.
Ibid.
Montem vmbroſum atque condenſum quamuis multis modis intelligi poſſit D. Auguſt. ibid accipit ſcripturarum altitudinem diuinarum, quibus prophetatus eſt Chriſtus.

A Καὶ ὁ ἅγιος. Καὶ ἐγὼ προεῖπον ὑμῖν, ὅτι διὰ τὰς ἁμαρτίας ὑμῶν ἐσκορπίσθητε, διωχθέντες ἀπὸ τῆς γῆς τῆς ἐπαγγελίας. πῶς δὲ εἴρηκας, ὅτι ὁ νόμος ἐπιστρέφει πρὸς ἀρέσκειαν τοῦ δεσπότου τὰς ψυχὰς ὑμῶν; τοὺς ἀρέσκοντας οὖν αὐτῷ ὁ Θεὸς ἀπωθεῖται, καὶ διασκορπίζει; ὅρα, πῶς ἃ λέγεις, διαβολὴν ἄπειρον κέκτηνται. Ερβαν. Καὶ λέγε αὐτὸς σύ, τί δηλοῖ τὸ κεφάλαιον. Καὶ ὁ ἅγιος. Νόμος Κυρίου πέφυκεν ὁ ἐμὸς Ἰησοῦς Χριστός, ὅστις καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ἐνανθρωπήσας, πλῆθος υἱῶν Ἰσραὴλ ἐπέστρεψε B πρὸς τὴν τοῦ πατρὸς ἀγαθότητα, χριστιανίζειν παιδεύσας, ὧν πρῶτος Πέτρος καὶ οἱ λοιποί. οὐ μὴν, ἀλλὰ καὶ ἀπὸ πάντων τῶν ἐθνῶν χιλιάδας καὶ μυριάδας ἐπέστρεψε τῷ πνεύματι τῷ ἁγίῳ αὐτοῦ, διὰ τῶν μαθητῶν αὐτοῦ, πρὸς τὴν τῆς ἁγίας τριάδος ἐπίγνωσιν. τηλικοῦτος δὲ ἦν ἄμωμος, ὅτι κέκραγεν Ἡσαΐας περὶ αὐτοῦ, Καὶ αὐτὸς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ερβαν. Ὁ μὲν προφήτης ἀρετὰς ἐνταῦθα ἐπαριθμήσας, ταῦτα λελάληκεν. ἐπεὶ προσέθηκε τούτοις τό, Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια· τὰ δικαιώματα C Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν, καὶ ἡ ἐντολὴ Κυρίου καὶ ὁ φόβος· καὶ τὰ ἑξῆς· σὺ δὲ πάντα μαγγανείαις τισὶ καὶ πανουργίαις, τέχνῃ τε ὀξυδερκεστάτῃ, πρὸς ἑαυτὸν ἐπισύρεις· εὐθεία γὰρ γλώττῃ ἐπισυνάγων περιέλικῶς ἅπαν νόημα εἰς τὴν σεαυτοῦ βοήθειαν. Καὶ ὁ ἅγιος. Οὐκ ἀκούεις τί λέγει ὁ Ἀββακοὺμ περὶ ὧν εἴρηκας, ὅτι ἀρετὰς *ἐπαριθμήσας λελάληκεν. Αἱ γὰρ ἀρεταὶ τοῦ Θεοῦ καὶ Χριστοῦ μού εἰσιν, ἃς ἐπηρίθμησε καὶ ὁ Ἀββακούμ, ὅτι ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ πλήρης D ἡ γῆ. Ερβαν. Περὶ τοῦ Θεοῦ τοῦ νόμου τοῦτο εἴρηκε πάντως. τίς γὰρ καὶ ἴσος τούτου ἐν ἀρεταῖς; Καὶ ὁ ἅγιος. Μή τίς σε πεπλάνηκεν, ὅτι ὁ λόγος τοῦ Θεοῦ, ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, οὐκ ἐχρημάτιζε Θεὸς τοῦ νόμου; μηδὲν σοι πρὸς ταῦτα, *μαύζηρε. Ὁ γὰρ ἐμὸς κύριος, καὶ τοῦ καθ' ὑμᾶς νόμου κύριός ἐστι, καὶ τῆς νέας χάριτος Θεὸς καὶ βασιλεύς. λέγει γὰρ ὁ Ἀββακούμ, Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως. Ερβαν. Τὸ Θαιμάν, τί δηλοῖ; τό, τε ὄρος τὸ κατάσκιον, τί διαγορεύει; Καὶ E ὁ ἅγιος. Τὸ μὲν Θαιμάν, ἐκ τῶν ἄνω δηλοῖ αὐτὸν ἥκειν, ἤτοι ἐκ τοῦ οὐρανοῦ, τουτ' ἔστι, τῆς ἀνατολῆς. ἡ δὲ ἀλήθεια δείκνυσιν, ὅτι ἐκ τοῦ παρθενικοῦ σώματος φάσκει αὐτὸν ἕξειν τὴν ἐνανθρώπησιν, καθὼς καὶ παρεγένετο, καὶ ἐκ τῆς ἁγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ὄρος δὲ κατάσκιον, αὐτὴ ἡ παρθένος ἐστίν, ἐξ ἧς καὶ προῆλθεν ἀφράστως σαρκωθείς. ὄρος δὲ αὐτὴν λέγει, διὰ τό, ὡς ἐν τῷ Σινᾶ ὄρει, παραπλησίως καταβεβηκέναι ἐν αὐτῇ τὸν Θεόν,

& obum-

καὶ κατασκιάσαι, εἴτε καὶ διὰ τὸ ἀδιώδευτον τῆς παρθενίας. (ἐπειδὴ τὸ δάσος τῶν ὀρέων δύσβατόν ἐστιν, ἢ καὶ παντελῶς ἀδιώδευτον.) κατάσκιον δὲ αὐτὴν ἐμφαίνει, διὰ τὸ συσκιάζειν ἐν αὐτῇ τῷ πλήθει τῶν ἀρετῶν τὸ μυστήριον τῆς αὐτῆς παρθενίας· πρὸς τὸ μὴ διαγινώσκεσθαι ποίῳ τρόπῳ γεγέννηκεν αὐτή. παρθένος γὰρ ἔτεκε, καὶ μετὰ τόκον παρθένος σῶα πάλιν διέμεινεν. Ερβαν. Οὐ περὶ Χριστοῦ τοῦτό φησιν. ἀλλ' οὔτε περὶ ἧς αὐτὸς ἀπηριθμήσω παρθένου, ἀλλά γε περὶ τοῦ Θεοῦ τοῦ νόμου, τοῦ ἐν τῷ ὄρει Σινᾶ τῷ Μωϋσῇ κατεμφανισθέντος. Εἰ γὰρ οὕτως ἦν, ἔδει αὐτὸν εἰπεῖν, Ὁ Χριστὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ οὐχὶ ὁ Θεός. Θαιμὰν δὲ ἡμεῖς τὸν τόπον, ὅθεν ἀναπνεῖ ὁ νότος, προσαγορεύομεν. Καὶ ὁ ἅγιος. Θαιμὰν δὲ ἡμεῖς, ὅθεν προσκυνοῦμεν, τοῦτο προσαγορεύομεν. κατὰ ἀνατολὰς γὰρ ἐδιδάχθημεν προσεύχεσθαι, διότι ἐκεῖ εὑρίσκομεν τὸν Θεὸν πλάσαντα τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον ποιήσαντα. πρόδηλον οὖν, ὅτι κἀκεῖνος ὁ τὰ πάντα πληρῶν, τοῖς ἐκεῖσε ἐναυλίζεται. καὶ ὑμεῖς ὅθεν προσκυνεῖτε, Θαιμὰν τοῦτο προσαγορεύετε. ἐπὶ τὴν δύσιν γὰρ ὑμεῖς προσκυνεῖτε, καὶ οὐδὲν ἀμφίβολον περὶ τούτου. ἀνοίας γὰρ τὰ ῥήματα πέπληστο, ἃ σὺ παρεισάγεις, μὴ καλῶς γινώσκων τὰς προφητείας. Ὁ Θεός, εἴρηκεν, ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους. τίς ἐστιν ὁ Θεός, καὶ τίς ἐστιν ἅγιος, διήγησαί μοι. Ερβαν. Θεὸς αὐτός ἐστι καὶ ἅγιος, δύο προσηγοριῶν κειμένων ἐν ἑνὶ πράγματι. Καὶ ὁ ἅγιος, Ποῖόν ἐστι μεῖζον, ὁ Θεός, ἢ ὁ ἅγιος; Ερβαν. Τὸ Θεὸς μεῖζον ἢ τὸ ἅγιος. Καὶ ὁ ἅγιος. Βλέπε πῶς ἐμπίπτεις, καὶ οὐ διαγινώσκεις. ἀνωτέρω γὰρ εἴρηκας, ὅτι τὸ Θεὸς τοῦ ἅγιος ἐπικρατέστερον πέφυκεν. ἔστιν οὖν ἐν τῷ Θεῷ ὄνομα μικρὸν ἢ μέγα. Ερβαν. Καὶ διήγησαί μοι αὐτός, τί δηλοῖ τὸ κεφάλαιον. Καὶ ὁ ἅγιος. Ὅτι ἥξει, ἀλλὰ διὰ σώματος. τὸ γὰρ θεῖον οὐ μεταβαίνει τόπον ἐκ τόπου, ὥσπερ τὰ σώματα. τὸ δέ, καὶ ὁ ἅγιος ἐξ ὄρους, τοῦτ' ἔστιν ἡ ἀνθρωπότης, ἥξει μετὰ τῆς οὐσίας τῆς θεότητος, ἐκ τῆς ἀμολύντου κοιλίας, τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας. λέγομεν οὖν τό, ὁ Θεός, διὰ τὴν οὐσίαν τῆς θεότητος, τὸ δέ, καὶ ὁ ἅγιος, διὰ τὴν οὐσίαν τῆς ἀνθρωπότητος, ἐπειδὴ καθὼς ἀνωτέρω λελάληκα, διπλοῦς ἦν ὁ κύριός μου Ἰησοῦς, Θεός τε καὶ ἄνθρωπος. λέγει γὰρ ὁ αὐτὸς προφήτης ἀνωτέρω περὶ αὐτοῦ· Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ· τοῦτ' ἔστιν, ἀναμεταξὺ τῶν δύο οὐσιῶν, καὶ τῶν * ἑκατέρων φύσεων, εἷς καὶ αὐτὸς τοῦ Θεοῦ λόγος ὁ ἐνυπόστατος ἐπιγνωσθήσῃ. Καὶ ὅτι ἥξει, καὶ οὐ χρονιεῖ, φησίν, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Ερβαν. Συνετῶς μὲν ἀποκρίνῃ· πλὴν ἀνιώμεθα διὰ παντὸς ἡμεῖς οἱ Ἰουδαῖοι τοῦ καταλιπεῖν τὴν πατρῴαν πίστιν, καὶ προσελθεῖν τὴν νεαράν.

A & obumbrauit: vel propter virginitatis imperuium accessum (siquidem montium densitas accessu est perdifficilis) vel potius omnino inuia. Obumbratam autem ipsam indicat, propterea quod in ipsa simul cum virtutum multitudine, virginitatis ipsius mysterium obumbrat: adde quod nescitur quomodo hęc genuit. Virgo enim peperit, & post partum, Virgo salua & integra permansit. HERBANVS. Non de Christo hoc dicit, neque de ea quam annumerasti virgine, sed potiùs de Deo Legis, qui in monte Sina Mosi apparuit. Si enim ita esset, oportebat ipsum dicere, Christus è Thaman veniet, & non B Deus. Nos autem Thaman, locum vnde spirat Notus, siue Auster, appellamus. SANCTVS ARCHIEPISCOPVS. Nos vero Thaman, vnde adoramus, nuncupamus. Nam ad solis ortum orare edocti sumus, quoniam illic Deum inuenimus, qui hominem formauit, & qui Paradisum condidit. Perspicuum igitur, quod ille, qui omnia implet, in illis partibus inhabitat. Vos autem locum vnde adoratis, Thaman, vocatis. Nam vos ad occasum adoratis, neque hoc dubium & controuersum est. Amentiæ quidem verba plena sunt, quæ tu profers, haud rectè vaticinia siue Prophetias intelligens. *Deus (dixit) ex Tha-* C *man veniet, & sanctus ex monte.* Quis est Deus ille, & quis sanctus, expone, rogo. HERBANVS. Deus ipse est, & sanctus, duæ appellationes in re vna positæ sunt. SANCTVS ARCHIEPISCOPVS. Vtrum maius est, Deus, an sanctus? HERBANVS. Deus quidem maius quàm sanctus. SANCTVS ARCHIEPISCOPVS. Vide quomodo imprudens laberis, neque dignoscis. Nam paulo antè dixisti, quod Deus quiddam valẽtius est quàm Sanctus. In Deo igitur nomen paruum & magnum. HERBANVS. Tu vero mihi edissere & explica, quid sibi vult caput. D SANCTVS ARCHIEPISCOPVS. Quod veniet, sed per corpus. Numen enim non locum è loco transit, sicut corpora. Illud vero, Sanctus è monte, id est, humanitas cum Deitatis essentia veniet, ex impolluto vtero semper Virginis & Deiparæ Mariæ. Dicimus igitur, Deus, propter essentiam Deitatis, & Sanctus, propter humanam naturam: quandoquidem, sicut superiùs dixi, duplex erat Dominus meus Iesus, & Deus, & homo. Dicit itaque idem Propheta superiùs de ipso: *In medio duorum animalium cognosceris:* id E est, in medio duarum essentiarum, & vtrarumque naturarum, vnus & idem Dei filius subsistens cognoscêris. Et quod veniet, & non tardabit, ait: *Dum appropinquant anni, cognoscêris: dum tempus pertransit, demonstraberis.* HERBANVS. Sapienter quidem respondes. Verumenimuero nos auitam illam & patriam fidem deserere, & ad nouam accedere, semper dolemus, & vehementer angimur:

Christiani ad ortum solis spectãtes: Iudæi verò ad Occasum cũ adorãt: Christus verus sol Oriens, lex Mosaica velut Sol occiduus.

Abac. 3.

Videtur aliquid esse prætermissum à scriba: quod licet conijcere ex ipso exemplari manuscripto, in margine cuius sunt hæc verba, τὸ Θεὸς μεῖζον ἢ τὸ ἅγιος

Abac. c. 3. in Græco, non in vulgari editione Latina.

* ἐν ἑκ.

Vinum enim vetus nouo melius est. SANCTVS ARCHIEPISCOPVS. Vinum vetus lex vestra est, sed vappidum: & acescens inutile euasit. Verùm hoc scio, quod velum semper cordibus vestris obtenditur, quod non sinit vos ad eam quam oportet veritatem annuere, [cámque amplecti & approbare] & verba vitæ ac veræ fidei audire, & dignè credere. Attamen Propheta vestra iure abdicans ac renuntians, dixit: *Domine, à paucis de terra diuide eos in vita eorum. Constitue Domine legislatorem super eos, sciant gentes quoniam homines sunt.* HERBANVS. De alia quadam hypothesi dixit Propheta, quoniam de nobis idem dicit: *Libera Deus Israelem ex omnibus tribulationibus suis.* Deinde: *Lauda, Ierusalem, Dominum, lauda Deum tuum, Sion. Quoniam roborauit vectes portarum tuarum, & benedixit filiis tuis in te.* Atque Esaias: *Israel* (inquit) *seruabitur à Domino.* SANCTVS ARCHIEPISCOPVS. Illud, *à paucis de terra diuide eos*, hoc declarat, nimirum vestram dispersionem è terra Promissionis in omnes gentes breui factam. Hoc verò, *Constitue Domine legislatorem super eos*, &c. de Seruatore nostro Iesu Christo Propheta vaticinatus est. Ipsum enim Deus pater constituit legislatorem in Gentes, dum vos increduli diffiditis, non bene & præclarè ciuitatem vestram administrare. Quod autem dixit Propheta, *Libera Deus Israelem*, &c nihil mirum neque inopinatum. Nam pro gente sua inuocabat Dominum: siquidem nos Christiani, vt par est, Deum timentes, quotidie preces ad Deum pro vobis fundimus, vt quod vobis vtile est & salutare, cognoscatis. Atque illud, *Lauda, Ierusalem, Dominum*, &c. & hoc verum est. Antequam enim esset Christianismus, hoc verbum congruebat; neque ipse inficior. Et priusquam è cœlo in mundum Dominus deuenisset, & ego si fuissem, Iudæus fuissem. Nam temporibus illis tantummodo in lege Israëlis erat salus. Quod autem dixisti, vinum vetus nouo melius esse, illud vetus vinum expletum est & exhaustum, nihilque relictum est in doliis vestris, præter fæcem, quemadmodum testatur Propheta. Dicit enim: *Quia calix in manu Domini, vini meri plenus mixto: & inclinauit ex hoc in hoc.* E vetere lege inclinauit Deus in nouam, repletione mellifluorum verborum diuinorum Prophetarum & intelligentiarum. Et nihil ampliùs in vetere lege, cùm sit euacuata in nouam, vobis remansit præter fæcem: id est, adimpletæ scripturæ, in posterum sunt superuaneæ & inutiles. HERBANVS. Tu omnino quæ sunt Israëlis, excludis, & tua per crucifixum Deo omnipotenti accommodatè applicas, nesciens verbum Domini quod altè clamat, *Quia non repellet Dominus plebem suam,*

Quod antiquatur & senescit, in propinquo est vt euanescat.
Hebr. 8.
Hoc velum adumbratur per velamen quod vsque in hodiernum diẽ in lectione veteris Testamẽti manet, nec tollitur quod per Christum aboletur. hoc idem Iudæorũ cordibus obtentum est.
2. Cor. 3.
Psal. 16.
Psal. 9.
Psal 24.
Psal. 14.
Esa. 45.

* καὶ μὴ

Psal. 147.

Quia salus ex Iudæis.
Ioan. 4.

Psal. 74.

Figuras & ceremonias intelligit, quæ exoleuerunt illucescente rerum adumbratarum veritate. Erant enim æternorũ & cœlestium imagines.
Psal. 93.

A οἶνος γὰρ παλαιὸς κρείττων ὑπὲρ τὸν νέον. Καὶ ὁ ἅγιος. Οἶνος παλαιὸς ὁ νόμος ὑμῶν ἐστιν, ἀλλ' ὀξώσας λοιπὸν κατηχρείωται· πλὴν οἶδα ὅτι κάλυμμα διὰ παντὸς κεῖται ἐν ταῖς καρδίαις ὑμῶν, καὶ οὐκ ἐᾷ ὑμᾶς ἀνανεῦσαι πρὸς τὴν δέουσαν ἀλήθειαν, καὶ ἀκοῦσαι τοὺς λόγους τῆς ζωῆς καὶ τῆς πίστεως τῆς ὄντως καὶ ἀξίως πιστεῦσαι. ὅμως μέντοι δικαίως ἀπειπὼν τὰ πρὸς ὑμᾶς ὁ προφήτης λελάληκεν, Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. κατάστησον κύριε νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Ερβαν.
B Περὶ ἄλλης τινὸς ὑποθέσεως εἴρηκεν ὁ προφήτης, ἐπεὶ περὶ ὑμῶν ὁ αὐτὸς λέγει, λύτρωσαι ὁ Θεὸς τὸν Ισραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. Καὶ ἔπειτα, Επαίνει Ιερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου, Σιών, ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου. εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Καὶ ὁ Ησαΐας, ὁ Ισραήλ, φησί, σωθήσεται ὑπὸ Κυρίου. Καὶ ὁ ἅγιος. Τό, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτούς, τοῦτο δηλοῖ, τὸν διασκορπισμὸν ὑμῶν, τὸν ἀπὸ τῆς γῆς τῆς ἐπαγγελίας εἰς πάντα τὰ ἔθνη κατ' ὀλίγον γεγονότα. Τὸ δέ, κατάστησον κύριε νο-
C μοθέτην ἐπ' αὐτούς, καὶ ἑξῆς, περὶ τοῦ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ, τοῦτο ὁ προφήτης ἠνίξατο. αὐτὸν γὰρ κατέστησεν ὁ πατὴρ ἐν τῷ ἀπειθεῖν ὑμᾶς * μὴ καλῶς πολιτεύεσθαι, νομοθέτην ἐπὶ τὰ ἔθνη. Ὅτι δὲ εἴρηκεν ὁ προφήτης, λύτρωσαι ὁ Θεὸς τὸν Ισραήλ· καὶ τὸ ἑξῆς· οὐδὲν παράδοξον. ὑπὲρ γὰρ τοῦ ἰδίου ἔθνους παρεκάλει τὸν κύριον. ἡμεῖς δὲ οἱ Χριστιανοὶ ὡς εἰκός, τὸν Θεὸν φοβούμενοι, καθ' ἑκάστην ὑπὲρ ὑμῶν προσευχόμεθα, ἵνα ἐπιγνῶτε τὸ συμφέρον. Τό, Επαίνει Ιερουσαλὴμ τὸν κύριον, καὶ τὸ ἑξῆς, καὶ τοῦτο ἀληθές ἐστι. πρὸ γὰρ τοῦ γενέσθαι τὸν Χριστιανισμόν, ἥρμοζε τὸ ῥῆμα, καὶ οὐδὲ
D αὐτὸς ἀντιλέγω. καὶ γὰρ πρὸ τοῦ παραγενέσθαι ἐκ τοῦ οὐρανοῦ εἰς τὸν κόσμον τὸν Κύριον, κἀγὼ εἴπερ ἤμην, Ιουδαῖος ἂν ἐγενόμην. Καὶ γὰρ τοῖς καιροῖς ἐκείνοις ἐν τῷ νόμῳ τοῦ Ισραὴλ μόνον ἐχρημάτιζεν ἡ σωτηρία. Ὅτι δὲ εἴρηκας, κρείττων ὁ παλαιὸς οἶνος παρὰ τὸν νέον, πεπλήρωται ὁ παλαιὸς οἶνος ἐκεῖνος, καὶ οὐδὲν κατελείφθη ἐν τοῖς πίθοις ὑμῶν, πλὴν ὁ τρυγίας, κατὰ τὸν προφήτην. λέγει γάρ, Ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. ἐκ παλαιοῦ νόμου ἔκλινεν ὁ
E Θεὸς ἐπὶ τὸν νέον, τῇ ἀποπληρώσει τῶν μελιρρύτων ῥήσεων τῶν θείων προφητῶν καὶ τῶν νοημάτων. καὶ οὐδὲν πλέον ἐν τῇ παλαιᾷ, κενωθείσης αὐτῆς εἰς τὴν νέαν, ἀπέμεινεν ἡμῖν, πλὴν ὁ τρυγίας, τουτέστιν, αἱ πληρωθεῖσαι γραφαί, τὸ λοιπὸν διακενῆς. Ερβαν. Σὺ παντελῶς ἐκμυζᾷς τὰ τοῦ Ισραήλ, καὶ τὰ σὰ προσοικειοῖς διὰ τοῦ ἐσταυρωμένου τῷ παντοκράτορι, καὶ μὴ ἐπιστάμενος τὸ ῥῆμα τοῦ Κυρίου τὸ κραυγάζον, Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ,

A καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει. Καὶ ὁ ἅγιος. Καὶ τὸ ἑξῆς τοῦ στίχου τῆς περιοχῆς, πῶς οὐκ ἀνέγνως; Ὅτι μὲν γὰρ οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ, εὖ οἶδα ἢ σύ· καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, σαφῶς ἐπίσταμαι· πλὴν, ἕως πότε, λέξον. ὁ γὰρ ἔμπροσθεν τῆς λέξεως ταύτης στίχος, διορισμὸν προθεσμίας ἐπικέκτηται, ἕως πότε φάσκων· ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν πνευματικήν. τὸν Χριστιανισμὸν φημί. ἐλθὼν ὁ Χριστός μου καὶ κύριος, οὗτός ἐστιν ἡ ἀληθὴς δικαιοσύνη. ἐπιστρέψει δὲ τοὺς ὑπηκόους. οὗτοι γάρ εἰσιν οἱ ἐχόμενοι

B αὐτῆς τῆς νέας χάριτος, οἱ εὐθεῖς τῇ καρδίᾳ, οἵτε ἀπὸ τῶν Ἰουδαίων, καὶ οἱ ἀπὸ τῶν ἐθνῶν πεπιστευκότες εἰς αὐτόν. Περὶ δὲ ὑμῶν τῶν ἀπίστων Ἰουδαίων, λέγει ὁ αὐτὸς προφήτης, Τίς ἀναστήσεται ἐπὶ πονηρευομένοις, ἢ τίς συμπαραστήσεται ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν; ἀνέστη δὲ πάντως προδήλως ἐπ' ἐσχάτων Οὐεσπασιανὸς καὶ Τίτος, κατὰ τὴν προφητείαν, καὶ ἠφάνισεν αὐτούς. Καὶ δὴ τηνικαῦτα ὀδυνώμενοι, ἐλέγετε, καθὼς Ἡσαΐας προεφήτευσε·

C Νῦν τὴν κρίσιν μου, εἰπὼν, ἦρε Κύριος, καὶ ἀπέστη ἀπ' ἐμοῦ, καὶ τοῖς ὀδοῦσιν ἀλλότριοι κατεσθίουσιν ἡμᾶς. καὶ μάλα εἰκότως. Ερβαν. Πάλιν ἀναστησόμεθα ἡμεῖς οἱ Ἰσραηλῖται, καὶ ἡ πόλις ἡμῶν οἰκοδομηθήσεται. καὶ ὑμεῖς οἱ Χριστὸν κηρύττοντες αἰσχυνθήσεσθε· γέγραπται γὰρ ἡμῖν παρὰ Κυρίου, Ὅτι οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει· ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. κἂν οὖν ἐν πρώτοις, καὶ ἐπὶ τέλει, τὸ ῥῆμα τοῦτο

D πληρωθήσεται, καὶ τί ἐμοὶ καὶ σοὶ τὸ λοιπὸν Ἀρχιεπίσκοπε; Καὶ ὁ ἅγιος. Ἐὰν μίαν οἰκοδομήσητε, καὶ εἰς μίαν συναχθῆτε, τί σοὶ μᾶλλον ἢ παρ' ἐμοί; Οὐ Ναβουχοδονόσωρ ᾐχμαλώτευσε τὴν Ἱερουσαλὴμ, καὶ ἀπῆρε τὸν λαὸν αὐτῆς, καὶ ταύτην κατέστρεψεν; οὐ μετὰ ταῦτα σπλαγχνισθεὶς ὁ Κύριος αὐτὴν ᾠκοδόμησεν, καὶ ὑμᾶς διασπαρέντας ἐπισυνήγαγεν; οὐ παρεδόθη ἡ πόλις ἐπὶ Ἱερεμίου καὶ Βαρούχ τῶν προφητῶν τοῖς ὑπεναντίοις, καὶ κατεσκάφη, καὶ πάλιν φιλανθρωπίας ἀξιωθεῖσα ᾠκοδομήθη; Καὶ τὸ τελευταῖον, ἵνα

E μὴ τοὺς πολλὰ λέγω κινδύνους αὐτῆς, ὑπὸ τῶν Ῥωμαίων ὄλωλε διὰ παντός. Τί οὖν τὸ λοιπὸν προσκαθήμενος ἀναμένεις προφητείαν πληρωθεῖσαν καὶ δὶς καὶ τρὶς, καὶ μηδὲν τὸ λοιπὸν βεβαίαν ἔχουσαν; Οὐκοῦν ἄκουσον τὴν ἀπόφασιν, ἣν εἶπεν ὁ Θεὸς καθολικῶς περὶ ὑμῶν, ἵνα ἐπιγνώσῃ ἀκριβῶς, ὅτι ἀπὸ καρδίας αὐτοῦ ἀπώσατο ὑμᾶς ὁ Θεός. Ἰδὼν γὰρ ὅτι οὐκ ὠφελήσεται τὸ λοιπὸν τὰ πρὸς αὐτὸν, συνελὼν εἴρηκεν, Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

A *& hæreditatem suam non derelinquet.* SANCTVS ARCHIEPISCOPVS. Et reliquum periochæ versus quomodo non legisti? Quod enim Dominus non repellet populum suum, meliùs noui quàm tu: & quod hæreditatem suam non derelinquet, certo scio: sed quousque, dic. Qui enim præcedit versus hanc locutionem, præscripti temporis definitionem complexus est, dum dicit, *Quousque.* Quoad vsque iustitia conuertatur in iudicium spiritale: Christianismum dico. Cùm venit Christus meus & Dominus, hic enim est vera iustitia. Conuertet autem obedien-

B tes. hi enim sunt, qui ipsam nouam gratiam consequuntur, & qui sunt recti corde, quique siue ex Iudæis, siue ex gentibus, in ipsum crediderunt. De vobis autem peruicacibus & incredulis Iudæis dicit idem Propheta: *Quis exurget aduersus malignè agentes, aut quis stabit mecum aduersus operantes iniquitatem?* Surrexit omnino, quod perspicuum est, in extremis temporibus Vespasianus & Titus, secundum Prophetiam, & ipsos aboleuit: & tunc dolore cruciati dicebatis, quemadmodum Esaias vaticinatus

C est: *Nunc iudicium* (inquit) *tulit Dominus, & à me recessit, & dentibus alieni comedunt nos,* & quidem merito. HERBANVS. Nos rursus Israëlitæ resurgemus, & ciuitas nostra instaurabitur, & vos qui Christum prædicatis, erubescetis. Scriptum est enim nobis à Domino, *Quòd ædificans Hierusalem Dominus, dispersiones Israelis congregabit: Qui sanat contritos corde, & alligat contritiones eorum.* Siue quamprimùm, siue longè post ad extremum, hoc verbum adimplebitur, quid tibi & mihi, ô Archiepiscope?

D SANCTVS ARCHIEPISCOPVS. Si vnam [ciuitatem] ædificassetis, atque in vnam cuncti reducti essetis, quid tibi magis quàm mihi? non Nabuchodonosor Hierusalem captam in seruitutem redegit, & populum eius abstulit, & hanc euertit? Non postea misertus Dominus hanc reædificauit, & vos dispersos in vnum coëgit? Non etiam temporibus Ieremiæ & Baruchi Prophetarum, ciuitas vestra hostibus tradita est, direpta, & funditùs diruta: rursúsque clementia & benignitate digna existimata, fuit instaurata? Tandem, ne sæpè eius pericula

E referam, à Romanis funditus deleta periit. Quid adhuc igitur desidens expectas vt Prophetia adimpleatur, quæ iam bis & ter fuit adimpleta, neque quicquam amplius firmum habet? Audi igitur affirmationem, quam Deus de vobis in vniuersum protulit, vt accuratè certóque cognoscas, Deum vos è corde suo repulisse. Videns enim, sciénsque vestra ad ipsum sacrificia nihil in posterum profutura, sermonem contrahendo dixit: *Non congregabo conuenticula eorum de sanguinibus, neque recordabor nominum ipsorum per labia mea.*

Non repulit Deus populum suum quem præsciuit.

Non præcedit sed continuò sequitur.

Ibid.

Iudæi, quia Christum occiderunt, & in eum credere noluerunt, vastati infelicius à Romanis, funditúsque à suo regno, vbi iam alienigenæ dominabantur, eradicati sũt, dispersíque in terras. D. August. l. 18. c 46. de C. Dei.

Psal. 146.

4. Reg. 24. & 25.

Septuagesimo anno post captiuitatem Iudaicam, dirutúmque tẽplũ, populus in antiquas sedes remigrauit. Vide quæ annotauit. Lod. Vines in l. 18. c. 26. D. Aug. de C. D.

Iudæorũ multiplex captiuitas, Ægyptiaca, Babylonica, Antiochena, Romana. Gregor Naz. in sanct. Pent. & in orat. de Pace.

Psal. 15.

Iudæorum reprobatio propter Christum contemptum & abnegatũ.

Ibid.

A De hæreditate quæ ad eum pertinet, dixit ipsi Deo vnigenitus eius filius: *Tu es qui restitues hæreditatem meam mihi.* Vides igitur, ô Herbane, quomodo ex ipso corde vos odit Deus, & contra vos, & omnes vestras Synagogas pronuntiauit, *Non congregabo conuenticula eorum de sanguinibus, neque memor ero nominum ipsorum per labia mea.* Quoniam igitur neque per labia vult vestri meminisse Deus, quanam re amplius digni estis, obtenebrati, cæci, supra modum fermentati & immemorabiles? HERBANVS. Vide, nonne ait Propheta, *Beatus cuius Deus Iacob adiutor eius: spes eius in Domino ipsius.* B Non etiam Moses dicit: *Peribitis, nisi legem ad auxilium habueritis.* Et de vobis gentibus subiunxit Dauid, *Peribitis gentes de terra illius.* Ac rursus Moses, *Quòd gens consilium amisit, nec in ipsius est scientia.* Nónne etiam Esaias dicit: *Ne exultetis omnes alienigenæ: contritum enim est iugum cædentis nos.* Quoniam igitur à Prophetis interdicti estis & abdicati, frustrà exultatis, inania & vana expectantes. SANCTVS ARCHIEPISCOPVS. Primùm dignosce ac discerne, dicta quænam declarant, deinde ita nos condemna. C Nam illud, *Beatus cuius Deus Iacob*, de Patriarcha Iacob dictum est: & tu dicis, quòd spes nostra in Domino Deo est, sicut significat. Ego verò dico, erat olim, nunc autem amplius non est. Nam vobis spes periit, præsertim cùm spem illam præclaram quidem & diuinam, quam cœlitus ad vos demisit Deus, abnegaueritis. Quod autem ait, *Peribitis gentes de terra illius*, non de nobis hoc simpliciter enuotiat, sed potiùs de vobis Iudæis. Postquam enim vobis data lege abusi estis, & gentibus mixti fuistis, D & ipsarum opera didicistis, vos etiam gentes, ô insipiens, vocauit. Tu verò hoc mihi dicito, vtri è sua terra perierunt, nos gentiles, an vos Iudæi? qui transgressores ac scelerati, impij, & Dei abuegatores, sicut loqueris. Non in terra patrum vestrorum hîc versamur, vos autem nefarios persequens Dominus Deus, è terra gentium exterminauit? quas geotes dixerat se vobis traditurum, vt eas exterminaretis, & in terra ipsarum habitaretis, neque tamen ipsas extermioastis, sed cum ipsis commercium habuistis, & opera ipsarum didicistis. E Vsqueadeo enim fuistis ætumoosi & extorres, vt neque vnquam propriam terram possederitis. Ecce igitur secundum quod à Domino: *Dispergam* (inquit) *eos:* dispersi estis inter omnes gentes, & estis io opprobrium ipsis & in interitum. De quibus autem locutus est Esaias, *Ne lætemini omnes alienigenæ*, dè interitu Assyriorum vaticioans, hæc velamento quodam protulit. Paulò pòst enim de ipso ostendit. *Quemadmodum* (inquit) *deliberaui, sic permanebit: perdere nimirum Assyrios è terra mea,*

* ἐκλείπει, καθ' ὑμῶν, ἢ τὸ μέσον, ἢ περιλ-ται.

Psal. 145.

* Fort. ἰδοὺ

Deut. 8.

Psal. 9.

Esa. 14.

Christum intelligit Deum & hominem.

Psal. 9.

Ier. 9.

Esa 14.

A περὶ δὲ τῆς ἐπιποθήτης αὐτῷ κληρονομίας, εἶπεν αὐτῷ τῷ Θεῷ ὁ μονογενὴς υἱὸς αὐτοῦ, Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. Βλέπεις οὖν, ὦ Ἑρβάν, πῶς ἀπ' αὐτῆς τῆς καρδίας μεμίσηκεν ὑμᾶς ὁ Θεός, καὶ ἀπεφήνατο * καὶ κατὰ πασῶν τῶν συναγωγῶν ὑμῶν. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς ὑμῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. ἐπεὶ οὖν οὐδὲ διὰ χειλέων βούλεται μεμνῆσθαι ὑμᾶς ὁ Θεός, τίνος ἐστὲ τοῦ λοιποῦ ἄξιοι, σκοτεινοί, καὶ τυφλοί, καὶ συμπεφυρμένοι ὑπερέχοντες, καὶ ἀμνημόνευτοι; Ἑρβάν. Οὐκ * ἰδοὺ λέγει B ὁ προφήτης, Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεόν; οὐκ ἰδοὺ λέγει καὶ Μωσῆς, Ἀπολεῖσθε εἰ μὴ νόμον εἰς βοήθειαν ἔχοντες; Καὶ περὶ ὑμῶν τῶν ἐθνῶν ἐπήγαγε Δαβίδ, Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ· καὶ πάλιν Μωσῆς, ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. οὐκ ἰδοὺ Ἡσαΐας λέγει, Μὴ εὐφρανθείητε πάντες οἱ ἀλλόφυλοι· συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ἡμᾶς. ἐπεὶ οὖν ἀπηγορεύθητε παρὰ τῶν προφητῶν, μάτην καυχᾶσθε, κενὰ προσδοκῶντες. Καὶ ὁ ἅγιος. Πρῶτον C διανάγνωθι τὰ εἰρημένα τίνα δηλοῦσιν, εἶθ' οὕτως ἡμῶν καταγίνωσκε. Καὶ γὰρ τὸ, Μακάριος οὗ ὁ Θεὸς Ἰακώβ, περὶ τοῦ πατριάρχου Ἰακὼβ εἴρηται. καὶ σὺ ἐρεῖς ὅτι ἡ ἐλπὶς ἡμῶν ἐπὶ Κύριον πέφυκε, καθὰ σημαίνει. ἐγὼ δὲ λέγω, ἦν τὸ παλαιόν, οὐκ ἔτι δὲ ὁμοίως. ἐλπὶς γὰρ ἤδη τὸ λοιπὸν ἀπόλωλεν ἐξ ὑμῶν, ἐπειδὴ ἠρνήσασθε τὴν ἐλπίδα καλήν τε καὶ θείαν, ἣν ἀπέστειλεν ὑμῖν ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ. Περὶ δὲ οὗ φάσκεις, ὅτι ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ, οὐ περὶ ἡμῶν λέγει τοῦτο ἁπλῶς, ἀλλὰ περὶ ὑμῶν μᾶλλον τῶν Ἰουδαίων. ἐπειδὴ γὰρ κακῶς ἐχρήσασθε τῷ δεδομένῳ ὑμῖν νόμῳ, D καὶ ἐμίγητε τοῖς ἔθνεσι, καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν, ἔθνη, ἀσύνετε, καὶ ὑμᾶς ἐκάλεσε. Καὶ ἀπάγγειλον δή μοι τίς ἀπώλετο ἐκ τῆς γῆς αὐτοῦ, ἡμεῖς, ἢ ὑμεῖς; οἱ παραβάται καὶ ἀρνησίθεοι, καθὼς σὺ ἀγορεύεις. οὐκ ἰδοὺ ἐν τῇ γῇ τῶν πατέρων ὑμῶν τοῦ δεῦρο ἀναστρεφόμεθα, ὑμᾶς δὲ τοὺς παρανόμους διώκων ἐξεδίωξεν Κύριος ὁ Θεὸς τῆς γῆς τῶν ἐθνῶν; ἅτινα εἶπεν ὑμῖν παραδώσειν τοῦ ἐξολοθρεῦσαι, καὶ οἰκῆσαι ἐν τῇ γῇ αὐτῶν, καὶ οὐκ ἐξωλοθρεύσατε αὐτά, ἀλλ' ἐμίγητε αὐτοῖς, καὶ ἐμάθετε τὰ ἔργα αὐτῶν; E τοσοῦτον γὰρ ἦτε ταλαίπωροι, ὅτι οὐδὲ ἰδίαν γῆν ἐκτήσασθε πώποτε. Ἰδοὺ οὖν κατὰ τὸ εἰρημένον παρὰ Κυρίου, ὅτι εἶπε, διασπερῶ αὐτούς, διεσπάρητε ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ ἐστὲ εἰς ὀνειδισμὸν ἑαυτοῖς καὶ ἀπώλειαν. Περὶ δὲ ὧν λελάληκεν Ἡσαΐας, Μὴ εὐφρανθείησαν πάντες οἱ ἀλλόφυλοι, περὶ τῆς ἀπωλείας τῶν Ἀσσυρίων προφητεύων, τάδε ᾐνίξατο. κατωτέρω γὰρ ἐμφαίνει περὶ αὐτοῦ. ὃν τρόπον γάρ, φησί, βεβούλευμαι, οὕτω μενεῖ, τοῦ ἀπολέσαι με τοὺς Ἀσσυρίους ἀπὸ τῆς γῆς τῆς ἐμῆς.

A καὶ ἀπὸ τῶν ὁρίων μου, καὶ ἔσονται εἰς καταπάτημα. Τί οὖν σοι δοκεῖ πρὸς ταῦτα; Ἑρβαν. Πρὸς σπερμολόγον ἄνδρα τίς ἱκανὸς χρήσασθαι ῥήμασιν; Ὅσα γὰρ ἂν ἐρῶμεν πρὸς σε, πάντα διαβάλλεις. Τί οὖν ὁ προφήτης Ζαχαρίας λέγει ὡς ἐκ προσώπου Κυρίου; Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν *, καὶ εἰσάξω * αὐτοὺς [εἰς * τὴν γῆν αὐτῶν,] καὶ * κατασκηνώσουσιν ἐν μέσῳ Ἱερουσαλήμ, καὶ ἔσονταί μοι εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ. Καὶ μετά τινα. Καὶ * ἔσται ὃν τρόπον * ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν οἶκος Ἰούδα καὶ οἶκος Ἰσραήλ, οὕτω διασώσω ὑμᾶς, καὶ ἔσεσθε * εἰς εὐλογίαν. Θαρσεῖτε καὶ B κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν, διότι τάδε λέγει Κύριος· ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργῆσαί με τοὺς πατέρας ὑμῶν, καὶ οὐ * μετενόησαν, οὕτω παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι τὸν Ἰσραὴλ ἐν τῷ οἴκῳ Ἰούδα. Θαρσεῖτε, οὗτοι οἱ λόγοι * τοῦ Θεοῦ. Τί οὖν ἐρεῖς πρὸς ταῦτα, ὦ Ἀρχιεπίσκοπε; Καὶ ὁ ἅγιος. Ἐν ἀληθείᾳ ταῦτα ὁ προφήτης ἠνίξατο, καὶ δὶς καὶ τρὶς ἀνεκλήθητε ἀπὸ τῶν ἐθνῶν, καὶ τὴν Ἱερουσαλὴμ ἀπελάβετε, καὶ μέχρι τινὸς ἐν εὐλογίαις * διαρκέσαντες, ἔπειτα εἰς διαρπαγὴν παρεδόθητε καὶ εἰς προνομήν, εἰς κατά- C ραν τοῖς ἔθνεσι διαμαρτήσαντες. Οὐκοῦν ἀνωτέρω οὐκ ἀπηριθμησάμην σοι ποσάκις ᾐχμαλώτευται Ἰσραήλ, καὶ ποσάκις ἀνεκλήθητε; Οὐκέτι εἰς τὸν αἰῶνα, οὐκοῦν· εἰ μὴ ὁπόταν παραγένηται ὁ Σατανᾶς καὶ Ἀντίχριστος εἰς τὸν κόσμον· ἀπεδοκιμάσθητε γάρ, καὶ εὑρέθητε τελείως ἀνωφελεῖς, ὅτι ἐκάλεσεν ὁ Θεὸς τὰ ἔθνη ἀντὶ ὑμῶν. Καὶ ἄκουσον τοῦ Ἡσαΐου λέγοντος· τάδε λέγει Κύριος παντοκράτωρ· ὅτι ἥξουσι λαοὶ πολλοί, κατοικοῦντες πόλεις πολλάς, καὶ συνελεύσονται εἰς μίαν * πόλιν, λέγοντες πορευθῶμεν πορευόμενοι, δεηθῆναι προσώ- D που Κυρίου παντοκράτορος. Βλέπεις ὅπως πρὸς τὸν Θεὸν τὴν ὁρμὴν τῶν ἐθνῶν προεῖπεν Ἡσαΐας, μᾶλλον δὲ ὁ Θεός, ἥξουσι, φησί, λαοὶ πολλοὶ καὶ ἔθνη πολλά, ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος. Τί οὖν δοκεῖ σοι πρὸς ταῦτα; Ἑρβαν. Μιχαίας ὁ προφήτης εἶπεν· ἐν ταῖς ἡμέραις ἐκείναις λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι. Καὶ καλέσω οὓς ἀπωσάμην, καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα· καὶ τὴν ἀπωσμένην E εἰς ἔθνος ἰσχυρόν· καὶ βασιλεύσει Κύριος ἐπ' αὐτοὺς ἐν Σιών, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Οὐκοῦν οὐ δοκεῖ σοι, ὅτι ὀψέ ποτε τοῦ ἀνακαλέσαι Κύριος ὁ Θεὸς τὸν Ἰσραὴλ πάλιν ὃν ἀπώσατο; καὶ δεῖ καὶ αὐτὸν εἰς ἔθνος ἰσχυρὸν καὶ βασίλειον φοβερώτατον. Καὶ ὁ ἅγιος. Σφάλλῃ ὦ Ἑρβανὲ ἀσφαλῶς, ἐπὶ τὸ ἴδιον ἔθνος τὴν προφητείαν σφετεριζόμενος· συντετριμμένην γὰρ εἰπών, τὴν τῶν ἐθνῶν παροικίαν ἀπῄκασε.

A *& à montibus meis : & erunt in conculcationem.* Quid igitur tibi videtur ad hæc? HERBANVS. Aduersus verborum funditatorem & blateronem, quis in respondendo satis idoneus esse queat? Quæcunque enim contra te dicimus, calumniaris omnia. Quid igitur Propheta Zacharias dicit tanquam è persona nomini? *Ecce ego saluum facio populum meum à terra Orientali, & de terra occasus solis, & adducam eos [in terram suam] & habitabunt in medio Hierusalem: Et erunt mihi in populum, & ego ero ipsis in Deum in veritate & iustitia.* Et postea: *Et erit, sicut eratis maledictio in gentibus, domus Iuda, & domus Israel,* B *sic conseruabo vos, & eritis benedictio. Confidite & præualete in manibus vestris, eò quòd hæc dicit Dominus: Quemadmodum cogitaui malis vos affligere, cùm patres vestri me ad iracundiam prouocassent, neque eos pœnituit: sic statui & cogitaui in his diebus Israel, benefacere in domo Iuda. Confidite, hi sunt sermones Dei.* Quid igitur dices ad hæc, ô Archiepiscope? SANCTVS ARCHIEPISCOPVS. Re vera hæc Propheta vaticinatus est, & bis térque à gentibus reuocati estis, & Hierusalem recepistis, & ad aliquod vsque tempus perdurantes in benedictionibus, deinde in direptionem & prædam traditi fui- C stis, & in depastionem atque in execrationem gentibus, qui grauiter peccastis. Non igitur paulò antè tibi enumeraui, quoties captiuus ductus est Israel, & quoties reuocati fuistis? Non amplius in seculum, nónne? nisi quando Satanas & Antichristus in mundum venerit. Nam reprobati estis, ac planè inutiles inuenti. Quòd vocauit Deus gentes pro vobis, audi Esaiam sic loquentem: *Hæc dicit dominus omnipotens: Quòd venient populi multi ædificantes ciuitates multas, & conuenient in vnam ciui-* D *tatem dicentes: Eamus euntes orasum faciem domini omnipotentis.* Vides quomodo gentium ad Deum impetum & concursum Esaias Propheta, imò verò Deus ipse prædixit. *Venient*, inquit, *populi multi & gentes multæ ad inquirendum faciem Domini omnipotentis.* Quid ad hæc tibi respondendum esse censes? HERBANVS. Michæas Propheta dixit: *In diebus illis dicit dominus, congregabo contritam, & abiectam suscipiam. Et quos abieci vocabo, & ponam contritam ad* E *residuum, & abiectam in gentem fortem: & regnabit dominus super ipsis in Sion ex hoc nunc & in seculum.* Ergo non videtur tibi, quòd aliquando dominus Deus Israëlem quem abiecit, reuocaturus est, & quòd oportet ipsum esse in gentem fortem, & regiam & maximè formidandam. SANCTVS ARCHIEPISCOPVS. Fallis, ô Herbane, haud dubiè Prophetæ vaticinium tuæ genti proprium faciens. Nam contritam cùm dixit, gentium accolatum adumbrauit:

* *Desunt hæc* καὶ ἀπὸ γῆς δυσμῶν.

Zach. 8.

* αὐτοὺς

* *Inclusa non sunt in textu.*

* κατασκηνώσω

* ἦτε

* ἦτε ὡς

* ἐν εὐλογίᾳ *fort.* εὐλογία.

* μετενόησαν.

In vulg. ed. & non sum misertus. sic cōuersus cogitaui in diebus istis vt benefaciam domui Iudæ & Hierusalem, *&c.*

In textu [*Prophetæ*, hæc sūt ergo [verba quæ facietis, *&c.*

* οὐ πάντοτε.

Non Esaias, sed idem Zachar. c. 8. *editio vulgaris aliter habet.*

* διαρκέσαντες

* μίαν εἰς μίαν τ.

Esa. 4.

Mich. 4.

* διὰ σοῦ.

Et cùm dixit abiectam, idolorum cultum reprobatum ac reiectum ipsarum gentium obscurè intellexit. Atque nunc nónne Romanum imperium est in gentem magnam & fortem? Non Hierusalem Ecclesiis & sacris ac diuinis templis Christi crucifixi plena est? Nónne ex Bethleem processit Iesus Christus filius Dei, quem vos negastis? non regnat in omnibus propemodum totius orbis terrarum finibus? à monte Sion, id est, ab altitudine supercælesti? attentissimè audi quid dicat Micheas postea: *Et tu Bethleem domus Euphrata, non minima es in millibus Iudæ: Ex te enim exibit dux, qui regat Israelem. Exitus eius ab initio, ex diebus æternitatis.* Etenim, ait, vt homo nuper natus est, sed vitæ eius ex diebus seculi. quòd & Deus ante secula fuit: ob eam causam dabit ipsis vsque ad tempus parientis, id est, dabit vobis Iudæis firmare legem Mosis vsque ad tempus parientis diuinam legem, & ducem ex Bethleem venientem: hoc est semper virgine & Deipara Maria. *Pariet enim* (inquit) *Virgo principem Israelis.* Scriptum est enim, quòd neque fratres eius qui ex Iosepho huic esse putabantur, in ipsum credebant. *Et ipse*, ait, *stabit, & videbit quinam erit grex eius.* Et scias, quòd iam gentes ei traditæ sunt, & pascet gregem suum in fortitudine Dominus. *Et in gloria nominis domini Dei sui aderunt gentes.* Quocirca nunc magnificabitur pastor egregius vsque ad extremum terræ, id est, ex virgine & Deipara Maria vsque ad consummationem. Quòd si inficiari vis, non esse magnificatum illum qui pascit gentes dominum Iesum Christum filium Dei, respice & vide tuis oculis ad orbis terrarum vsque fines, quomodo magnificatur Dominus noster Iesus Christus, filius Dei ex hoc nunc & vsque in seculum vsque ad consummationem. hoc enim declarat, quòd magnificabitur vsque ad extremum terræ. HERBANVS. Si ita est, quam ob causam non dixit Propheta, quòd ex te mihi exibit, qui sit princeps in gentibus, sed in Israële subiunxit? SANCTVS ARCHIEPISCOPVS. Mens siue intellectus Deum cernens & intuens exponitur Israël. Postquam igitur vos Iudæi, qui aliquando fuistis mens Deum videns, cùm ad vos Dei vnigenitus filius venit, sententia sponte concitata vestros clausistis oculos ne viderent vespere carentem lucem, continuò excæcati fuistis, & pereuntes desistis esse mens Deum cernens: ob eámque causam gentes quæ antea cæcutiebant, mentem ad Deum sustulerunt, & vnigenæ Dei filio crediderunt: & mox lucem intuitæ sacrosanctum lauacrum acceperunt. Atque illico ipsis nomen Israël inditum atque impositum fuit, quod Dei manu vobis sublatum fuit.

* Εὐφραθᾶ, ἑρμηνεύεται ἡ [illegible]

Mich. 5.
Matt. 2.

De hoc oraculo vide D. Aug lib. 18. c. 30. de C. D. & quæ annotauit L. Viues.

Mich. 5.

Hoc erit in fine præmium sanctorum. D. Aug. l. 16. c. 39. de C. D.

A καὶ ἀπωσμένην εἰρηκώς, τὴν * εἰδωλολατρείαν ἀποδοκιμασθεῖσαν, φησί, τῶν αὐτῶν ἐθνῶν ᾐνίξατο. Καὶ νῦν οὐκ ἔστιν ἡ τῶν Ῥωμαίων βασιλεία εἰς ἔθνος μέγα, καὶ ἰσχυρόν; οὐ πέπλησται Ἱερουσαλὴμ ἐκκλησιῶν καὶ θείων τεμενῶν τοῦ ἐσταυρωμένου Χριστοῦ; οὐχὶ ἐκ Βηθλεὲμ προῆλθεν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὃν ὑμεῖς ἠρνήσασθε; οὐ βασιλεύει πάντων σχεδὸν καὶ πάσης τῆς οἰκουμένης, ἀπὸ τοῦ ὄρους Σιών, τοῦτ᾽ ἔστι, τοῦ ὕψους τοῦ ἐπουρανίου; πρόσεχε γὰρ τί λέγει Μιχαίας μετὰ ταῦτα. Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ * Εὐ-
B φραθᾶ, μὴ ὀλιγοστὸς εἶ ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα Ἰσραήλ. αἱ ἔξοδοι αὐτοῦ, ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Καὶ γάρ, φησίν, ὡς ἄνθρωπος ἀρτίως ἐγεννήθη· ἀλλ᾽ αἱ ἔξοδοι αὐτοῦ, ἐξ ἡμερῶν αἰῶνος· ὅτι καὶ Θεὸς προαιώνιος πέφυκε· διὰ τοῦτο δώσει αὐτοῖς ἕως καιροῦ τικτούσης τοῦτ᾽ ἔστι, δώσει ὑμῖν τοῖς Ἰουδαίοις κρατῦναι τὸν νόμον Μωσέως, ἕως καιροῦ τικτούσης τὸν θεῖον νόμον, καὶ ἡγούμενον, τὸν ἐκ Βηθλεὲμ προερχόμενον· τοῦτ᾽ ἔστιν ἐκ τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας. τέξεται γὰρ ἡ
C κόρη, φησί, τὸν ἄρχοντα τοῦ Ἰσραήλ· γέγραπται γάρ, ὅτι οὔτε οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἐξ Ἰωσὴφ αὐτῷ εἶναι νομιζόμενοι, ἐπίστευον εἰς αὐτόν. Καὶ αὐτὸς δέ, φησί, στήσεται καὶ ὄψεται, ποῖον ἄρ᾽ ἔσται τὸ ποιμνίον αὐτοῦ. Καὶ ἴδε, ὅτι τὰ ἔθνη ἐπεδόθη αὐτῷ. καὶ ποιμανεῖ τὸ ποιμνίον αὐτοῦ ἐν ἰσχύϊ κύριος. καὶ ἐν τῇ δόξῃ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ὑπάρξουσι τὰ ἔθνη. διότι νῦν μεγαλυνθήσεται ὁ ποιμὴν καλός, ἕως ἄκρων τῆς γῆς. τοῦτ᾽ ἔστιν, ἐκ τῆς παρθένου καὶ θεοτόκου Μαρίας, μέχρι τῆς συντελείας. Καὶ εἰ βούλει ἀντειπεῖν ὅτι οὐκ ἐμεγαλύνθη ὁ ποιμαίνων τὰ ἔθνη κύ-
D ριος Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ἀνάβλεψον καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου εἰς τὰ πέρατα τῆς οἰκουμένης, ὅπως μεγαλύνεται ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα, μέχρι τῆς συντελείας. τοῦτο γὰρ δηλοῖ τό, ὅτι μεγαλυνθήσεται ἕως ἄκρου τῆς γῆς. Ἐρβάν. Καὶ εἰ οὕτως ἐστί, δι᾽ ἣν αἰτίαν οὐκ εἶπεν ὁ προφήτης, ὅτι ἐκ σοῦ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τοῖς ἔθνεσιν, ἀλλ᾽ ἐν τῷ Ἰσραὴλ ἐπήγαγεν; Καὶ ὁ ἅγιος. Νοῦς ὁρῶν τὸν Θεόν, Ἰσραὴλ ἑρμηνεύεται. ἐπεὶ οὖν ὑμεῖς οἱ Ἰουδαῖοι, οἱ ποτὲ νοῦς ὁρῶν τὸν
E Θεὸν πεφυκότες, παραγινομένου πρὸς ὑμᾶς τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἑκουσίᾳ τῇ γνώμῃ ἐκαμμύσατε τοὺς ὀφθαλμοὺς ὑμῶν τοῦ μὴ ἰδεῖν τὸ ἀνέσπερον φῶς, ἀπετυφλώθητε εὐθέως καὶ ἀπωλέσατε τὸ εἶναι νοῦς ὁρῶν τὸν Θεόν, ἀνθ᾽ ὧν τὰ ἔθνη τὰ ποτὲ τυφλὰ χρηματίζοντα ἀνένευσαν πρὸς τὸν Θεόν, καὶ ἐπίστευσαν τῷ μονογενεῖ αὐτοῦ υἱῷ, παραχρῆμα ἀναβλέψαντες, τὸ ἅγιον βάπτισμα ἐδέξαντο. καὶ εὐθέως ἐπετέθη αὐτοῖς, καὶ τὸ Ἰσραὴλ ὄνομα, χειρὶ Θεοῦ ἀρθὲν ἀφ᾽ ὑμῶν.

ἀρτίως γοῦν οἱ Θεὸν ὁρῶντες ἐπ' ἀληθείας Ἰσραὴλ ἀξίως προσαγορεύονται. οἱ δὲ τῇ ἀπιστίᾳ ἀποτυφλωθέντες, ἀπώλεσαν τὸ εἶναι καὶ ἀκούειν Ἰσραήλ. ἐπεὶ οὖν μετετέθη τὸ ὄνομα ἐξ ὑμῶν αὐτὸ τὸ, Ἰσραὴλ, ἐτέθη ἐν τοῖς ἔθνεσι· περὶ τῶν ἐθνῶν εὔδηλον εἶπεν ὁ προφήτης τοῦ νέου Ἰσραὴλ, ὅτι ἐξελεύσεται ὁ κύριος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. Ερβαν. Πλεῖστα λέγεις εἰς ἀπόγνωσιν ἐμπηρῶν τὸ γένος τῶν Ἰουδαίων, τοῦ μηκέτι προσδοκᾷν ἀνακλήσεως. ἀλλ' ἐγὼ, οὐκ ἀνέξομαί σου τῶν ῥημάτων, ἐπειδὴ ἀκούω τοῦ προφήτου Ἡσαΐου λέγοντος, ἐπιλάμψει ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ. ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ. Καὶ μετέπειτα, ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών. Καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαρεῖ ἐκ μέσου αὐτῶν, πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. οὐκοῦν δεῖ ἡμᾶς ἀνακληθῆναι καθὼς ἀκούεις τῆς προφητείας, καὶ γενέσθαι πάλιν εἰς τὴν ἀρχαίαν τιμὴν, μᾶλλον δὲ καὶ περισσοτέραν. τὸ λοιπὸν μηκέτι μοι πολυλογίᾳ χρώμενος ἀντίπιπτε, ἀλλὰ πίστευσον ὅτι οὕτως ἔσται, κἂν πρῶτον, κἂν ὕστερον. Καὶ ὁ ἅγιος. Μὴ συνιεὶς τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, λόγοις κιβδήλοις καὶ ἀνωφελέσιν ἐννοίαις, χαροποιεῖς σεαυτόν. Τὸ γὰρ, ἐπιλάμψει, φησὶν, ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ, ἤδη γεγόνηται. λάμψας γὰρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου ἐν Ἱερουσαλὴμ, ἐδόξασε καὶ ὕψωσε τὸ κατάλειμμα τοῦ Ἰσραήλ. Πνευματικῶς δὲ ἐδόξασε τοῦτο, καὶ οὐχὶ σωματικῶς, ὡς σὺ σαρκικὸς Ἰουδαῖος φαντάζῃ. τί ἐστι τὸ καταλειφθὲν, καὶ διὰ τίνος γραφὲν, πρόσεχε ἀκριβῶς, ἵνα γνῷς τι ἀγαθὸν, καὶ εἰς σωτηρίαν σου εὕρῃς βουλὴν ἐπιτήδειον· τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ, τὸ ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ πιστεῦσαν πλῆθος τῶν Ἑβραίων ἐστί. κατελείφθη γὰρ ὑπὸ Κυρίου, ἤγουν ἐκλεχθὲν ἐτηρήθη ἀπὸ τῶν τυραννουμένων νοητῶς περιλήψει παθῶν δαιμόνων, τὸ γένος τῶν ἀνθρώπων, ἵνα πιστεύσῃ τῷ υἱῷ τοῦ Θεοῦ, καὶ σωθῇ, ὅπως μὴ παντελῶς ἀπόληται ἀπιστοῦν τὸ γένος τῶν Ἑβραίων. λέγει γὰρ περὶ τοῦ κεφαλαίου τούτου ὁ προφήτης, εἰ μὴ κύριος ἐγκατέλιπεν ὑμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθητε, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθητε· σημαίνων τοὺς ἐξ ὑμῶν πιστεύσαντας καὶ σωθέντας. τὸ δὲ γραφὲν, εἰς ζωὴν, εἰς τὴν ἐπουράνιον γραφὲν ζωὴν, παρὰ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, σημαίνει.

A Nunc igitur qui Deum contemplantur & mentis oculis cernunt, re vera & dignè ac meritò Israëlitæ vocantur: qui autem perfidia & peruicaci incredulitate occæcati sunt, cum sua pernicie & exitio desierunt nomen Israëlis habere & audire. Quoniam igitur Israëlis nomen ex vobis trāslatum est, & gentibus inditum, notum est & perspicuum, Prophetam dixisse de gentibus, de nouo Israële, venturum Dominum, vt sit princeps & dux in Israële. HERBAN. Plurima dicis in desperationem, mutilans genus Iudæorum, ne amplius reuocationem expectent. Verùm ego B non amplius tua verba sustinebo: quandoquidem Prophetam audio Esaiam dicentem: *Fulgebit Deus in illa die in consilio cum gloria in terra, vt extollat & gloria illustret residuū Israëlis in Sione, & quod reliquum est in Hierusalem. Sancti omnes vocabuntur, qui conscripti ad vitam in Hierusalem.* Ac deinde, *Quòd eluet Dominus sordes filiorum & filiarum Sionis, & sanguinem Hierusalem expurgabit è medio ipsorum, spiritu iudicij, & spiritu ardoris.* Oportet igitur nos reuocari, quemadmodum audis Prophetarum oracula, iterúmque in pristinum honorem te- C staurari, imò vero in præstantiorem. Quamobrem ne mihi amplius multiplici verborum profluentia fretus obsiste, nec aduersare, sed crede & persuasissimū habe ita futurum esse, siue quamprimum, siue in posterum, nihil refert. S. ARCH. Diuinæ scripturæ accuratam subtilitatem haudquaquam intelligens, vanis & adulterinis, futilibus & inutilibus notitiis teipsum oblectas. Quod enim ait, *Fulgebit Deus in die illa in consilio cum gloria in terra, vt extollat & gloria cumulet reliquias Israelis*, hoc iam adimpletum est. Nam Dei filius vnigena fulgens ex sancta Virgine Deipara in Hierusalem, reliquias Israëlis gloria & honore D extulit: spiritaliter autem gloria illustrauit, & non corporaliter, sicut tu carnalis Iudæus animo fingis. Quid autem relictum sit, & cuius causa scriptum, attende diligenter, vt boni aliquid inde perdiscas, & quod ad salutem tuam, si velis, commodum sit & conducibile, intelligas. Quod reliquum est ex Israële, multitudo est Hebræorum, quæ cùm Christus aduenit, in eum credidit: relicta enim fuit à Domino, videlicet electa. Nam genus humanum à Dæmonum tyrannide & E vexatione, quæ animo & mente intelligitur, seruatum fuit, vt Dei filio crederet, & saluum esset: vt non funditus genus Hebræorum interiret, si fidem non habuisset, & incredulum omnino permansisset. De hac enim summa Propheta dicit: *Nisi Dominus vobis reliquisset semen, sicut Sodoma facti fuissetis, & Gomorrhæ similes effecti essetis.* significans eos, qui ex vobis crediderunt, & salui facti sunt. Quod autem scriptum, ad vitam, ad supercælestem vitam scriptum est, quam ab vnigenito Dei filio pendere indicat.

Iudæus pertinaciter sperat alium à Iesu Christo Messiam venturū.

Esa. 4.

Esa. 4.

Quod inquirit Israel, hoc non assequutus est, sed electio consecuta est: reliqui verò excæcati sunt.

Rom. 11.

Esa. 1.

Rom. 9.

Quòd verò filiorum & filiarum Sionis sordes eluit & detersit, eorum qui crediderunt intelligit: Et quòd sanguinem ciuitatis Hierusalem mundans expiauit è medio ipsorum, pretioso & sancto baptismate, nullus est qui contradicat. De hoc enim Esaias vaticinatur: *Lauamini, mundi estote*, & cætera. Quòd spiritu iudicij, amore & beneuolentia erga homines diiudicauerit, Spiritu sancto, & excogitauerit tantum bonum. Quòd spiritu ardoris, igne sui spiritus combusserit eorum debita, qui per fidem accedunt ad piscinam. Nam Spiritus sanctus sordes & labes animi ardore suo absumit. Illud autem, vt extollat & gloria afficiat reliquias, multitudo est Israëlis: quæ exesa * à perfidia, à Satana (sicut ei acriter minatus est Deus, propter incredulitatem ac perfidiam Iudæorum genus exagitanti) vsque adeò exaltata est & glorificata, vt omnes gentes quæ in Dominum meum & Deum Iesum Christum credunt, ex eo & ad hoc vsque tempus honore eos afficiant, & gloria efferant: sacris locis siue oratoriis excitent: eosdem sanctos & iustos nominent: sanctas ipsorum commemorationes quotannis celebrent: sicut scriptum est, Quòd sancti omnes (à gentibus nimirum) vocabuntur, qui apud legem nomen professi, & in vitam (quæ est ipse Christus) adscripti per fidem & baptisma fuerunt. Habes duodecim Apostolos, habes septuaginta discipulos: habes duo millia, habes quinque millia hominum qui comederunt panes, habes quatuor millia, quos omnes interfecistis, eos omnes Domini mei Iesu Christi martyres, id est, testes efficientes. Sunt & aliæ animæ multæ, non solùm virorum, sed etiam mulierum, quæ ex Iudæis conuersæ fuerunt, & ad sacrum lauacrum accesserunt: de quibus omnibus scribit Propheta, *Quod reliquiæ Israelis saluæ fient.*

HERBANVS. Directò verba Prophetiæ ad tuum sensum & subsidium detorsisti. Verumtamen si ita est, quando crucifixus ambulans in ciuitate Hierusalem, sicut postea subdit Propheta: *Sionis ambitus & circuitus obumbrauit nebula diei, & fumi instar & lucis & ignis ardentis nocte*: Et quando ipse omni gloria velatus fuit, & in vmbram seipsum oriri fecit diem obedientibus ab ardore & æstu, & in velamine & in tegmine à duritie & pluuia? Nam post hæc verba, * *Sanguinem Hierusalem emundabit è medio ipsorum spiritu iudicij, & spiritu exustionis*, hæc subiungit Propheta.

SANCTVS ARCHIEPISCOPVS. Túne in diebus aduentus eius eras? & videbas, siue nebula obumbrabat, siue luce ignis ardēte illustrabat, aut aliud quid agebat, quod de ipso nugaris? Nesciens enim veram diuinæ scripturæ mentem, omnia corporalibus notionibus diiudicare instituis & properas. Verùm attentè audi; & intellige effata, quem declarant.

Esa. 1.

**vel qua lota, προϊδὼν, λουθέν.*
Zach. 3.

Esa. 10.
Rom. 9.
Esa. 4.
Vide verba vulg. edit.
**In ed. vul. & sanguinē Hierusalē lauarit de medio eius in spiritu iudicij & spiritu ardoris.*
** In textu prophetiæ legitur. vt infrà, αἱματωθήσονται.*
Qui spiritum Christi nō habet, hic non est eius. Rom. 8. carnalis est & carne metitur omnia, nec mentis oculis cernit Dei supercœlestia dona.

A ὅτι δὴ ἔπλυνε τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, τῶν πιστευσάντων φησί. Καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκάθηρεν ἐκ μέσου αὐτῶν τῷ τιμίῳ καὶ ἁγίῳ βαπτίσματι, οὐδεὶς ὁ ἀντερῶν. λέγει γὰρ Ἡσαΐας περὶ τούτου, Λούσασθε καὶ καθαροὶ γίνεσθε, καὶ τὰ ἑξῆς· ὅτι πνεύματι κρίσεως, φιλανθρωπίᾳ διακρίνας, πνεύματι ἁγίῳ, καὶ ἐξευρὼν τὸ τηλικοῦτον ἀγαθόν. ὅτι πνεύματι καύσεως, τῷ πυρὶ τοῦ ἰδίου πνεύματος καταφλέξας τῶν διὰ πίστεως προσερχομένων τῇ κολυμβήθρᾳ τὰ ὀφλήματα. καυστικὸν γὰρ μολυσμάτων τὸ πνεῦμα τὸ ἅγιον· τὸ δὲ, ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν, τὸ πλῆθος τοῦ Ἰσραήλ ἐστιν, ὅπερ * ἐσθὲν ἀπὸ τῆς ἀπιστίας παρὰ τοῦ Σατανᾶ (καθὼς αὐτῷ ἐνεβριμήσατο ὁ Θεὸς, δι᾽ ἀπιστίας βάλλοντι πάντα τὸ γένος τῶν Ἰουδαίων) τοσοῦτον ὑψώθη καὶ ἐδοξάσθη, ὥστε πάντα τὰ ἔθνη τὰ πιστεύοντα εἰς τὸν κύριόν μου, καὶ Θεὸν Ἰησοῦν Χριστὸν, ἔκτοτε καὶ μέχρι τῆς δεῦρο τιμῶσιν καὶ δοξάζουσιν αὐτοὺς, καὶ εὐκτηρίους οἴκους ἀνεγείρουσιν, καὶ ἁγίους καὶ δικαίους ὀνομάζουσιν αὐτοὺς, καὶ τὰς ἁγίας αὐτῶν μνήμας κατ᾽ ἔτος ἐπιτελοῦσι, καθὼς γέγραπται, ὅτι ἅγιοι πάντες κληθήσονται, παρὰ τῶν ἐθνῶν δηλονότι, οἱ ἀπογραψάμενοι τῷ νόμῳ, καὶ γραφέντες εἰς ζωὴν, ἥτις ἐστὶν ὁ Χριστὸς, τῇ πίστει καὶ τῷ βαπτίσματι. Καὶ ἔχεις τοὺς ιβʹ. Ἀποστόλους, ἔχεις τοὺς οʹ. ἔχεις τοὺς βʹ. ἔχεις τοὺς εʹ. τοὺς φαγόντας τοὺς ἄρτους. ἔχεις τοὺς δʹ. οὓς πάντας ἀπεκτείνατε, μάρτυρας αὐτοὺς τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ ἀπεργασάμενοι. Εἰσὶ καὶ ἄλλαι ψυχαὶ πολλαὶ, οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, αἵτινες ἐξ Ἰουδαίων ἐπεστράφησαν, καὶ προσῆλθον τῷ ἁγίῳ βαπτίσματι. περὶ ὧν πάντων καὶ πασῶν ἔγραψεν ὁ προφήτης, ὅτι τὸ ἐγκατάλειμμα τοῦ Ἰσραὴλ σωθήσεται. Ερβαν. Ἐξ εὐθείας μετέστρεψας τὰ ῥήματα τῆς προφητείας εἰς τὴν σαυτοῦ ἀντίληψιν. πλὴν, εἰ καὶ οὕτως ἔχει, πότε ὁ ἐσταυρωμένος περιεπάτει ἐν Ἱερουσαλὴμ, καθὼς μετὰ ταῦτα ἐπάγει ὁ προφήτης, τὰ περὶ κύκλῳ Σιὼν ἐπεσκίασε νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός· πότε δὲ ἐγένετο αὐτὸς πάσῃ δόξῃ * σκέπων, καὶ εἰς σκιὰν ἀνατέλλων ἑαυτὸν ἡμέρας τοῖς ὑπηκόοις ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. ἀπὸ γὰρ τοῦ, τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως, ταῦτα ἐπάγει ὁ προφήτης. Καὶ ὁ ἅγιος. Σὺ τοίνυν ἐν ταῖς ἡμέραις τῆς παρουσίας αὐτοῦ ἦς, καὶ ἔβλεπες, κἄν τε νεφέλη ἐπεσκίαζε, κἂν πυρὸς φωτὶ καιομένῳ ἐφώτιζε, ἢ ἕτερόν τι διέπραττεν, ὅτι φλυαφεῖς περὶ αὐτοῦ; μὴ εἰδὼς γὰρ τὸν ἀληθινὸν νοῦν τῆς θείας γραφῆς, ἅπαντα σωματικοῖς νοήμασιν ἐπιτηδεύεις διακρίνειν, καὶ σπεύδεις. ἀλλὰ πρόσεχε τίνα δηλοῦσι τὰ εἰρημένα.

(Margin letters beside the Greek column: B at "σμάτων τὸ πνεῦμα", C at "τες κληθήσονται", D at "ραὴλ σωθήσεται", E at "σκληρότητος".)

ἐπεὶ σῦκα, ὦ Ἰουδαῖε τυφλὲ, σὺ δοκῶν συνάγειν, τριβόλους καρπίζῃ. λέγει γὰρ ὁ προφήτης, ὅτι ἥξει κύριος· καὶ ἐπιστάμεθα ἡμεῖς ὅτι ἐλήλυθε. Καὶ ἔσται, φησὶ, πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περὶ κύκλῳ αὐτῆς· ἡ Σιὼν ἐκείνη, ὄρος πέφυκε, καὶ ὄρος ὑψηλόν. Σιὼν δὲ τὸ ὄρος μοι νόει, τὴν ἐν τῷ οὐρανῷ μητρόπολιν Σιὼν, καὶ τὴν ἐξ ἐκείνης ἐκκλησίαν τῶν ἐθνῶν. Ὅτι δὲ ἐστὶ πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ τὰ περὶ κύκλῳ αὐτῆς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τὴν Σιὼν, μαρτυρεῖ ἡ ἀλήθεια· τοῦ Κυρίου γὰρ σαρκωθέντος, ἀπετάξατο τὸ πῶς τῷ διαβόλῳ, καὶ εἶξε τῇ ὑποταγῇ ὑπὸ κάτω τῆς ἄνω Σιὼν, τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ πιστεύσας· ἀνάγγειλον δέ μοι αὐτὸς, ἔστι τόπος ὑπὸ κάτω τῆς ὑπερουρανὸν, ἐν ᾧ ἐκκλησίαι οὐ πεφύκασι τῷ ἐσταυρωμένῳ Θεῷ; πνευματικῶς γὰρ νοοῦνται τὰ πράγματα, καὶ οὐ σωματικῶς. Ὅτι δὲ εἴρηται * σκιάσει νεφέλη, γέγραπται, ὅτι ἡνίκα μετεμορφώθη ἐπὶ τοῦ ὄρους Θαβὼρ κατὰ πρόσωπον τῶν μαθητῶν αὐτοῦ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. Καὶ ἐν τῷ ἀναληφθῆναι αὐτὸν πάλιν εἰς τὸν οὐρανὸν, γέγραπται, ὅτι νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν τῶν μαθητῶν αὐτοῦ· Τὸ δὲ καὶ ὡς καπνοῦ καὶ ὡς φωτὸς πυρὸς νυκτὸς καιομένου ἐφώνησεν ὁ προφήτης, καὶ ὅτι πάσῃ τῇ δόξῃ σκεπασθήσεται, τοῦτο δὲ δηλοῖ. Τὸ μὲν καπνοῦ, διὰ τὸν γνόφον λέγει τὸν νοητὸν ἤτοι σῶμα, ὃ φορῶν ἐκάλυπτε τὴν θεότητα ἀπὸ ὑμῶν τῶν ἀπίστων Ἰουδαίων, σημεῖα τελῶν τοῦ μὴ γνωσθῆναι, ἵνα πληρωθῇ καὶ ἃ εἶπεν Ἡσαΐας, ὅτι πεπώρωκεν αὐτῶν τὴν καρδίαν, καὶ τὰ ἑξῆς. Καὶ ὁ Δαβὶδ, Καὶ ἔθετο σκότος, ἤγουν τὸ σῶμα, ἀποκρυφὴν αὐτοῦ, τοῦτ' ἔστι τῆς θεότητος αὐτοῦ, ἀπὸ τῶν ἀπίστων· καπνὸς δὲ σκότος, οὐδὲν εἴασεν ἐνεργεῖν, ἢ τοὺς ὀφθαλμοὺς δριμύττειν καὶ τυφλοῦν· πρὸς τὸ, μὴ καλῶς ὁρᾶν τὸν καπνιζόμενον, ἢ τὸν σκότον βαλλόμενον αὐτοῦ ἔμπροσθεν· ἀεὶ γὰρ ὁ Θεὸς τῶν ἀπίστων τυφλοῖ τὰ νοήματα. ὡς δὲ φωτὸς πυρὸς καιομένου νυκτὸς, φῶς αὐτὸς ἦν. Ὅτι δὲ καὶ ἔλεγεν, Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἐκαίετο δὲ, ἤγουν ἐξέλαμπε τῇ ἀπροσίτῳ θεότητι, διὰ τῶν σημείων καὶ τῶν θαυμάτων τοῖς ἐν νυκτὶ τοῦ βίου τότε χρηματίζουσιν Ἰουδαίοις. Τὸ δὲ, πάσῃ δόξῃ σκεπασθήσεται, τοῦτο δηλοῖ· σταυρωθεὶς γὰρ τοσοῦτον ἐδοξάσθη παρὰ τοῦ πατρὸς, καὶ ἐτιμήθη ἐπὶ γῆς ὑπὸ τῶν ἀληθῶς ἀνθρώπων, ὅτι πᾶσαι αἱ βασιλεῖαι τῆς ὑπ' οὐρανὸν, Θεὸν αὐτὸν ἀληθῆ καὶ κύριον καὶ δεσπότην, καὶ βασιλέα καὶ λυτρωτὴν ὁμολογοῦσαι, τιμῶσι καὶ προσκυνοῦσι καὶ λατρεύουσιν. Ὅτι δὲ λέγει, ὅτι ἔστιν * ὡς σκιὰ ἡμέρας ἀπὸ καύματος, ἡμέραν λέγει, τὴν πνευματικὴν ἐργασίαν, καῦμα δὲ, τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα· ὁ κύριος μεθ' ἡμῶν ἐν πάσαις ταῖς ἡμέραις τοῦ αἰῶνος τούτου,

A Quoniam ficus, ô Iudæe cæce, dum putas te colligere, tribulos carpis. Dicit enim Propheta, quod veniet Dominus: & nos scimus eum venisse. *Et erit* (inquit) *omnis locus montis Sion, & omnia quæ sunt in eius ambitu.* Sion illa, mons fuit, & mons excelsus. Ergo mihi Sionem & montem mente & animo concipe eam, quæ in cœlo est, ciuitatem metropolin; & eam quæ ex illa est Ecclesiam gentium intellige. Quòd autem omnis locus montis Sionis & ambitus eius est sub potestate ipsius, testatur veritas. Nam postquam Dominus carne fuit indutus, diabolo renuntiauit & valere iussit: & quæ inferior est Sion, se
B summisit & subiecit ei Sioni quæ superna est, Domino meo Iesu Christo postquam credidit. Dic mihi tu, éstne locus sub ea quæ supercælestis est Sion, in quo Ecclesiæ non sint Deo crucifixo dicatæ & consecratæ? Spiritaliter enim res intelliguntur, & non carnaliter. Quod autem dictum est, *Obumbrabit nebula*, hoc ideò scriptum est, quia quando transformatus est & transfiguratus in monte Thabor coram suis discipulis, nubes lucidà obumbrauit ipsos. Et iterum cùm in cœlum ipse assumptus
C est, scriptum est, quòd nubes subduxit ipsum ex oculis discipulorum eius. hoc autem quod Propheta clamauit, *fumi instar, & ignis noctu ardentis, & quòd omni gloria velabitur*, id declarat. hoc quidem, *fumi*, propter caliginem quæ mente percipitur, nempe corpus, quod ferens velabat diuinitatem ab oculis vestris, qui Iudæi estis increduli & peruicaces, signa faciens, ne à vobis cognosceretur, vt quod dixit Esaias, adimpleatur, *Quòd indurauit cor ipsorum*, & quæ sequuntur. Et Dauid: *Et posuit tenebras*, nempe corpus, velamen ipsius: id est, eius deitatis,
D ne videatur ab incredulis. Fumus autem, id est tenebræ, nihil permisit efficere, quàm oculorum aciem acriter perstringere & excæcare. propterea qui fumo infestatur, non aliud clarè cernere, quàm offusas sibi tenebras. Semper enim Deus incredulorum mẽtes & intelligentias excæcat. Instar lucis ignis noctu ardentis, ipse lux erat: quod etiam dixit, *Ego lux in mundum veni.* Ardebat autem, id est, effulgebat inaccessa & inuia diuinitate, per signa & miracula, his Iudæis, qui tum in huius vitæ nocte & tenebris versa-
E bantur. Illud verò, *omni gloria obtegetur*, hoc declarat. Crucifixus enim tanta gloria à Deo patre illustratus est, & in terra à veris hominibus tanto honore decoratus, vt omnia regna quæ sub cœlo sunt, Deum ipsum verum & Dominum & herum & regem & redemptorem confiteantur, colant, adorent, ei supplicent, & seruiant. Quod autem dicit, & erit in vmbram diei ab æstu, diem quidem dicit spiritalem operationem: æstum verò, tela maligni ignita. Si quidem Dominus in omnibus diebus seculi huius,

Esa 4.

Fatentur inimici ex Sion missam fuisse legem Christi, quod Euangelium nos vocamus, ex D. Aug. lib. 17. c. 17. de C. D.

Sion speculatio dicitur, Ciuitas Regni Magni: ipsa est Sion spiritaliter. sicut Hierusalem, cui inimica opponitur ciuitas diaboli Babylon. Idẽ D. Aug. eiusdem lib. c. 16.

* ἐπισκιάσει

Matth. 17.

Act. c. 1.

Esa. 4.

Esa. 6.

Rom. 11.

Psal. 17.

Id gentilibus philosophis accidisse docet D. P. Rom. 1. & Iudæis Deus dedit spiritum compunctionis, oculos vt non videant, & aures vt non audiant vsque ad hodiernum diem.

Ioan. 12.

Quoniam Christus rex Regum, princeps principũ cœli & terræ.

Dæmonium meridianum sauissimum Rabbini putant, quod vel in meridie grassari audeat, cum alia nocte potius peruadant & in tenebris dominentur. Genebrardus in Psal. 90.

Esa. 5.

ipse inumbrat, protegit, tutatut, custodit eos A qui diligunt ipsum: non solum nec ab æstu & ardore maligni inflammantis animas hominum ad operandum iniquitatem diaboli, verum etiam ab incursu & dæmonio meridiano, & reliqua tyrannide Satanæ, quæ est durities & pluuia maligna. hæc autem sunt ne distorsiones præposteræ & notiones absurdæ atque sermones impuri? Hæc, ô Herbane, sic interpretanda sunt, & comparanda. De Synagoga autem vestrûm Iudæorum, animaduerte quænam progrediens idē Propheta in sua prophetia effatur. *Hæc autem dicit Dominus,* B *Plantauit vineam Sorech.* Sorech exponitur malleolus, siue sarmentum dextrum. hoc erat perspicuum propter Abrahamum. *Et sepem circumposui, & obuallaui, & ædificaui turrem in medio eius: & torcular fodi in ipsa, & expectaui donec vuam funderet, sed spinas acutas reddidit. Et nunc homines Iudæ, & qui habitant in Hierusalem, iudicate in me, & in vinea mea. Quid faciam amplius vineæ meæ, & non feci ipsi? Ideò expectaui, vt vuam redderet, spinas autem produxit.* Subiungens autem vestram perniciem & interitum, & quid de vobis fieri oporteret, enuntiat: *Nunc* (inquit) *annunciabo quid faciam vineæ meæ.* C Hîc aduerte mentem diligenter, ô Herbane, & considera exactam vestræ Synagogæ destructionem & ruinam. *Auferam* (inquit) *sepimentum eius, & erit in prædam ac direptionem.* Quæ illa sepes? Omninò est lex, quæ circundat & ambit, cingitque mandatorum sepimentis vineam ex Ægypto in terram promissionis translatam. Quinam illam diripuerunt? Sensibiliter quidem, Assyrij, Persæ, Romani: intelligibiliter verò, dæmones intelligibiles, qui illam ad hæreses raptarunt. Nam & vos variis hæresibus agitati ad tempus, legem Mosis peruersè vulnera- D stis. *Et demolitar* (inquit) *murum eius, & erit in conculcationem.* Quis hic murus? Altissimi dextra, præturritum præsidium, siue tutamen eorum qui diligunt ipsum. Quinam sunt qui conculcant? Inimici, qui captos in seruitutem redegerunt, qui & mente & sensu vestræ Synagogæ præfuerunt, quorum vltimos video Pilatum, & eos qui ante ipsum fuerunt. *Et remittam* (inquit) *vineam meam,* id est, desertam & vastam & incultam relinquam: *neque putabitur, neque fodietur,* hoc est, nullam curam & diligentiam in ea ponam: Et ascendent in ipsam, velut terram incultam, vepres E & spinæ: nimirum peccatum multum in eam inuehetur, sicut in gentem exlegem & inaccessam, atque in multa iniquitate & ignorantia versantem. *Et nubibus mandabo ne pluuiam in ipsam defundant.* Quid sunt nubes? Prophetiæ, & libri legis. Irrigationes verò, sunt sermones, & pluuiæ, mentis & intellectus sēsus profundiores. Omnino enim excæcati estis, neque verum diuinæ scripturæ vestræ sensum & in mente legēdo percipere & assequi potestis.

** σταφυλήν*

Ibidem.

Hæreses sep. ἀπὸ Ἰουδαισμοῦ enarrat Epiphan. lib. 1 hæreticorum.

Primus paris fuit Cham Noe filius medius, qui exponitur calidus, teste D. Aug lib. 16. ca. 1. de C. D.

Ibid.

Ibid.

Ibid.

Hæc sunt flumina aquæ viuæ quæ fluunt de ventre credentis. Ioan. 7.

αὐτὸς σκιάζει καὶ φρουρεῖ καὶ φυλάττει πάντας τοὺς ἀγαπῶντας αὐτόν, οὐ μόνον ἀπὸ καύσωνος τοῦ πονηροῦ τοῦ καίοντος τὰς ψυχὰς τῶν ἀνθρώπων, εἰς τὸ ἐργάζεσθαι τὴν ἀνομίαν τοῦ διαβόλου, ἀλλὰ καὶ ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, καὶ τῆς λοιπῆς τυραννίδος τοῦ Σατανᾶ, ὅπερ ἐστὶ σκληρότης καὶ ὑετὸς πονηρός. διαστροφαὶ δὲ ταῦτα καὶ ἔννοιαι ἄλογοί τε καὶ ἀκάθαρτοι. Ταῦτα, ὦ Ἑρβᾶν, οὕτως ἑρμηνεύονται, καὶ οὕτως συγκρίνονται. Περὶ δὲ τῆς συναγωγῆς τῶν Ἰουδαίων ὑμῶν, πρόσχες τίνα προβαίνων ὁ αὐτὸς προφήτης λέγει ἐν τῇ αὐτοῦ προφητείᾳ. Τάδε λέγει κύριος, Ἐφύτευσα ἄμπελον Σωρήχ. Σωρὴχ δὲ ἑρμηνεύεται κλήματις δεξιά. διὰ τὸν Ἀβραὰμ τοῦτο ἦν πρόδηλον. Καὶ φραγμὸν αὐτῷ περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Καὶ νῦν ἄνθρωποι τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ τῷ ἀμπελῶνί μου. τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα ἵνα ποιήσῃ * σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ἐπάγων δὲ τὴν ἀπώλειαν ὑμῶν, καὶ τό, τί δεῖ γενέσθαι περὶ ὑμῶν, λέγει. Νῦν οὖν ἀναγγελῶ ὑμῖν, φησί, τί ποιήσω ἀμπελῶνί μου. ἐνταῦθα πρόσεχε, ὦ Ἑρβᾶν, τῇ ἀκριβεῖ τῆς συναγωγῆς ὑμῶν καταλύσει. Ἀφελῶ γὰρ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν. τίς ὁ φραγμός; πάντως ὁ νόμος, ὁ περιορίζων κύκλῳ τῶν προσταγμάτων τοῖς φραγμοῖς τὸν ἐξ Αἰγύπτου μεταρθέντα ἀμπελῶνα, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας. Τίνες οἱ διαρπάσαντες; αἰσθητῶς μὲν Ἀσσύριοι, Πέρσαι, Ῥωμαῖοι· νοητῶς δέ, οἱ νοητοὶ δαίμονες, οἱ εἰς τὰς αἱρέσεις ἁρπάσαντες. Καὶ γὰρ ὑμεῖς ἐν ποικίλαις αἱρέσεσι κατὰ καιρὸν τὸν νόμον τοῦ Μωσέως παρετρώσατε. Καὶ καθελῶ, φησί, τὸ τεῖχος αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. τίς ὁ τεῖχος; ἡ τοῦ ὑψίστου δεξιά, ἡ περιπύργιος ἀσφάλεια τῶν ἀγαπώντων αὐτόν. τίνες οἱ καταπατοῦντες; οἱ αἰχμαλωτεύσαντες ἐχθροί, οἱ νοητῶς τε καὶ αἰσθητῶς ἄρξαντες τῆς συναγωγῆς ὑμῶν, ὧν ἐπὶ τέλους ὁρῶ Πιλᾶτον καὶ τοὺς πρὸ αὐτοῦ. Καὶ ἀνήσω, φησί, τὸν ἀμπελῶνά μου· τοῦτ᾽ ἔστι, καταλείψω ἔρημον. καὶ οὐ μὴ τμηθῇ, οὐδ᾽ οὐ μὴ σκαφῇ· τοῦτ᾽ ἔστιν, οὐκ ἐπάξω ἐπιμέλειαν εἰς αὐτόν. Καὶ ἀναβήσεται εἰς αὐτόν, ὡσεὶ χέρσον, ἄκανθα· ἤγουν ἐπαρθῇ εἰς αὐτὸν ἁμαρτία πολλή, ὡς εἰς ἔθνος ἄνομον καὶ ἀπροσόδευτον, ἐν πολλῇ ἀνομίᾳ καὶ ἀγνωσίᾳ χρηματίζον. Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν· τί εἰσιν αἱ νεφέλαι; αἱ προφητεῖαι καὶ τὰ βιβλία τοῦ νόμου· βροχαὶ δὲ οἱ λόγοι, καὶ ὑετοὶ τὰ νοήματα. παντελῶς γὰρ ἀπετυφλώθητε, καὶ οὐ δύνασθε ἀναγνῶναι τὸν ἀληθῆ νοῦν τῆς θείας γραφῆς ὑμῶν.

Ἵνα δὲ μὴ εἴπῃς ὅτι περὶ ἑτέρου κεφαλαίου ὁ προφήτης ταῦτα ᾐνίξατο, καὶ οὐχὶ περὶ τῆς συναγωγῆς ὑμῶν, τρανώσας τὴν προφητείαν, μᾶλλον δὲ καθαροποιήσας, ἐπήγαγεν, ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, φησὶν, οἶκος τοῦ Ἰσραὴλ ἐστὶ, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον· τοῦτ' ἔστιν, ἡ ἐξ Ἰούδα βασιλικὴ γενεαλογία τοῦ Δαβίδ. Ταῦτα οὖν οὐχ οὕτως ἔχει περὶ ὑμῶν, ὦ ἀνόητε καὶ ἄπιστε Ἰουδαῖε; καὶ σὺ καθέζῃ, καὶ ἐκδέχῃ ἀνακληθῆναι. μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία. Εἰ γὰρ ἃ κατέλυσεν ὁ Θεὸς, μᾶλλον δὲ πεπλήρωκε, μέλλει ἔπειτα καὶ νῦν οἰκοδομεῖν, τολμηρὸν εἰπεῖν, ὅτι παραβάτην ἑαυτὸν συνίστησι· Θεὸς δὲ παραβάτης οὐκ ἂν γένηταί ποτε. οὐ γὰρ πέφυκεν ὑπὸ λήθην ὡς ὑμεῖς. Ἑρβαν. Πλεῖστα μεμάθηκας πολυλογεῖν, ἔξω βάλλων τὴν τοῦ Ἰσραὴλ ἐλπίδα. ἀλλ' ἐμὲ οὔπω καθόλου πτοήσεις, ἐπεὶ λέγει Ἡσαΐας περὶ τῆς τοῦ Ἰσραὴλ ἀνακλήσεως, καθαροποιῶν τὴν ἀλήθειαν. Καὶ ἔσται, φησὶ, τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι, καὶ ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ * Ἰσραὴλ, ὃ ἐὰν καταλειφθῇ ὑπὸ τῶν Ἀσσυρίων, καὶ ὑπὸ Αἰθιοπίας, καὶ Ἐλαμιτῶν, καὶ ἀπὸ Αἰγύπτου καὶ Βαβυλῶνος, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας, καὶ ἀπὸ τῶν νήσων τῆς θαλάσσης καὶ ἀρεῖ σημεῖα εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς * ἀπολλυμένους Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραὶμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται. Καὶ ἔσται τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου. Καὶ ἐρεῖς, φησὶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, Εὐλογήσω σε κύριε, διότι ὠργίσθης μοι. καὶ ἔπειτα, Ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ, καὶ ἠλέησάς με. εἰ τοίνυν οὐκ ἔστιν οὕτως, δεῖξον. οὐ μόνον γὰρ ὁ Ἰσραὴλ ἀνακληθήσεται, φησὶν, ἀλλὰ καὶ οἱ ἐχθροὶ Ἰούδα, οἵτινες ἐστὲ ὑμεῖς οἱ Χριστιανοὶ, ἀπολοῦνται. Ταῦτα οὕτως ἔχει, ἢ ψευδεῖς οἱ προφῆται. Καὶ ὁ ἅγιος. σὺ μὲν τὸ συμφέρον σοι μόνον λελάληκας, τὸ δὲ συμφέρον ἐμοὶ, παρεσιώπησας. τί δὲ φάσκει ἐν κεφαλαίῳ τῶν ῥηθέντων παρὰ σοῦ; Ἑρβαν. τίνα λέγει; ἀποκρίθητι ταῦτα σύ. Καὶ ὁ ἅγιος. Οὕτω λέγει, φησὶ, Κύριος, Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Καὶ ἵνα μὴ εἴπῃς, ὅτι ἐναντίος τίς ἐστι τῷ Θεῷ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν, ἐκ τῆς ῥίζης ἔσται τοῦ Ἰεσσαὶ, ἐπήγαγε· Καὶ ἔσται, φησὶν, ἡ ἀνάπαυσις αὐτοῦ, τιμή. προσέχεις ἀπαίδευτε καὶ ἀδίδακτε, ὅτι τιμὴν ἔνθεον τὴν ἀνάπαυσιν αὐτοῦ ὁ προφήτης εἴρηκεν; οὐκοῦν τέως πληροφορήθητι, ὅτι παρὰ Θεοῦ ὁ ἀνιστάμενος ἄρχει τῶν ἐθνῶν, ἐπεὶ καὶ τιμὴ ἡ ἀνάπαυσις αὐτοῦ ὠνομάσθη. ὅτι δὲ ἐπάγει μετὰ ταῦτα, ὅτι ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, φησὶ, καὶ συνάξει τοὺς ἀπωσμένους Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους

Ne forte Prophetam dixeris hæc de alia re vaticinatum fuisse, non autem de vestra Synagoga, ipse vaticinium explanans, immo vero purum & clarum reddens, subinde addidit: *Vinea enim Domini Sabaoth* (inquit) *domus Israel est, & homo Iudæ, noua planta dilecta*: id est, ex Iuda regia progenies Dauidis. Hæc igitur non sic se habent & intelliguntur de vobis ipsis, ô insane & incredule Iudæe? atque interim tu desides, & reuocationem atque instaurationem expectas. *Longè à peccatoribus salus.* Si enim quæ destruxit Deus, immo vero quæ adimpleuit, esset deinde & nunc instauraturus, audax & impium dictu, quod seipsum transgressorem constitueret. Atqui transgressor Deus nunquam esse possit. Non enim in eum, sicut in vos, cadit obliuio.

> *Ps. 118. v. 155.* *Dei voluntas tam certissima, quàm potentissima.* *D. Aug. lib. 9. c. 22. de C. D.*

HERBANVS. Plurima verba funditare didicisti, spem Israelis excludens atque exterminans. Nondum tamen me penitus attonitum reddes: quoniam dicit Esaias de reuocatione Israëlis, veritatem puriùs ostendens. *Et erit*, (ait) *in die illo adijciet Dominus vt ostendat manum suam vt æmuletur, & quærat * reliquias populi Israelis, quæ relictæ fuerunt ab Assyriis, ab Æthiopibus, ab Elamitis, & ab Ægypto, & Babylone, & à solis ortibus, & Arabibus, & ab insulis maris. Et tollet signa ad gentes, & colliget dissolutos Israelis, & dispersos Iudæ congregabit ex quatuor alis terræ. Et auferetur zelus Ephraim, & inimici Iudæ peribunt. Et erit Israeli, sicut in die quo exiit ex Ægypto. Et dices* (inquit) *in die illo, Benedicam tibi Domine, eò quòd iratus es mihi.* Et deinde: *Auertisti iram tuam à me, & misertus es mei.* Nunquid ita est? ostende. Non solùm (inquit), reuocabitur Israel, verumetiam inimici Iudæi, qui quidem estis vos Christiani, peribunt. hæcne vera sunt, an mendaces Prophetæ? SANCTVS ARCHIEPISCOPVS. Tu quidem solùm quod tibi conducit, locutus es: quod verò meæ causæ fauet, & pro me facit, silentio præteriisti. In summa eorum quæ recitasti, quid innuit Propheta? HERBANVS. Quid ait? responde tu ipse. SANCTVS ARCHIEPISCOPVS. Sic dicit Dominus (inquit) *Erit in die illo radix Iessæ, & qui surgit, vt imperet gentibus: in ipso gentes sperabunt.* Ne vero dicas, eum qui surgit vt imperet gentibus, Dei esse inimicum, è radice Iessæ ipsum fore, addidit. *Et erit* (inquit) *requies eius, honor.* Intelligis, ô rudis & indocte, diuinum honorem Prophetam dixisse eius requiem? Ergo certo scias, quod ille, qui vt gentibus imperet, surgit, à Deo est: quandoquidem & honor eius requies nominata est. Quod autem subiungit postea, quod *tollet signum ad gentes, & congregabit abiectos Israëlis, & dissipatos*

> *Esa. 11.* * *Residuum populi sui quod relictum fuerit.* *Hæc oracula de Regno Christi, non de Iudæorum instauratione accipienda sunt.* * λαοῦ Ie. *Esa. 12.* * ἀπολλυμένους aut ἀπωσμένους

Iudæ simul addacet, iam prædixi, quòd neque semel neque bis congregauit, sed sæpè. Sed vos in ea estis contumacia & incredulitate: deinde ad tempus postquam permansistis, iterum dispersi fuistis, atque in hac dispersione ad bunc vsque diem permanetis. Et hoc quidem tibi à me datum est ad defensionem tui verbi. Quòd si vis verum & apertum huius Prophetiæ sensum percipere & intelligere, sic animaduerte. *Sic* (inquit Propheta) *dicit Dominus, Erit in die illo radix Iessæ, & qui surgit ad imperandum gentibus.* Quænam illa radix Iessæ alia, quàm domina mea & Deipara virgo Maria, quæ est de tribu Iessæ? quis ille qui surgit ad imperandum gentibus? Iesus Christus qui ex ea natus est. Et quòd ad imperandum gentibus, vides apertè. Quod autem in eo sperabunt gẽtes, perspicis. Quod verò requies eius, honor, satietas non est. Requiem enim eius, dicit dormitionem, id est mortem, quam in cruce pendens pertulit. Ac subiungit illicò Propheta dicens: *Et erit in die illo.* Quo die? nempe, in quo stetit qui surgit vt imperet gentibus. Quod si dixeris, non in hoc die, dic tu, & demonstra, de quo die loquitur Propheta. Si enim ad consummationem dixeris, oportet Prophetam consummationem nominare: sed non posses hoc probare. Propterea dicit Propheta, *In illo die adyciet Dominus, vt demonstret manum suam.* Quid est, adiiciet Dominus? Nempe, hic qui gentes conuersas suscepit, adiiciet etiam ex Israële veros Israëlitas, & eos qui legem bene obseruassent, & ad Christianismum propensi promptè annuissent, per fidem in ipsum reuocare instituit, & ad Christianismum adducere, non modò ex Hierusalem, sed ex omnibus orbis terrarum finibus. Dispersis enim eius discipulis ad duodecim ventos terræ quæ sub cœlo est, ingens turba etiam ex Iudæis toto mundo dissipatis, cum tota domo crediderunt, & cum credentibus gentibus simul ad Ecclesiam adducti fuerunt. Idcirco dicit, *quòd ad gentes signum tollet*. Quodnam signum? Non aliud profectò quàm crux pretiosa & viuificans. Per hanc enim pereuntes Israëlitas ad salurem congregabit, & abiectos Iudæ in regnum cœlorum. Quòd si fortè roges, vbi in vetere Testamento crux nominata est signum? dicit Dauid ad Dominum, vaticinans de cruce, *fac mecum signum in bonum*, &c. Hæc ita sunt firma & stabilita secundum diuinam spiritus diiudicationem. HERBANVS. Propheta dicit in vniuersum, *quærere reliquias populi*: Tu verò dicis, auulsos & alienos à lege, & Christo per fidem adhærentes, hos solos indubitanter Propheta prædixit: quomodo istud? SANCTVS ARCHIEPISCOPVS. Quænam scripta sunt de lege? *Maledictus* (inquit) *omnis qui non permanserit in his quæ scripta sunt in libro legis, vt faciat ea.*

Ibid.

Si quis sanctã Deiparam nõ credit, extra diuinitatem est.

Greg. Nazian. ad Cled.

* ποία ἡμέρα;

Ibid.

Veri Israëlitæ, non qui sunt filij carnis, sed filij promissionis, Dei filii & electi.

Rom. 9.

Crux Christi mundo peperit salutem.

Psal. 85.

Esa. 11.

Deut. 27.

Gal. 3.

Ἰούδα συνάξει, προλαβὼν εἴρηκα, ὅτι οὔτε ἅπαξ, οὔτε δὶς συνήγαγεν, ἀλλὰ καὶ πολλάκις· ἀλλ' ὑμεῖς ἐν τῇ αὐτῇ ἀπειθείᾳ ἐστέ. ἔπειτα διαμείναντες ἐν χρόνῳ, πάλιν διεσκορπίσθητε, καὶ ἐν τῷ αὐτῷ διασκορπισμῷ μέχρι τῆς δεῦρο διαμένετε. καὶ τοῦτο μὲν ἐδόθη σοι πρὸς ἀπολογίαν τοῦ σοῦ ῥήματος παρ' ἐμοῦ. εἰ δὲ βούλει μαθεῖν τὸ ἀληθὲς τῆς προφητείας ταύτης, καὶ τὸ σαφές, πρόσεχε ὧδε. Οὕτω λέγει, φησί, κύριος, ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν. τίς ἡ ῥίζα τοῦ Ἰεσσαί, ἀλλ' ἢ ἡ ἐμὴ δέσποινα B καὶ θεοτόκος Μαρία, ἡ ἐκ φυλῆς τοῦ Ἰεσσαὶ χρηματίζουσα; τίς ὁ ἀνιστάμενος ἄρχειν τῶν ἐθνῶν; Ἰησοῦς ὁ Χριστὸς ὁ ἐξ αὐτῆς γεννηθείς. ὅτι δὲ ἄρχειν τῶν ἐθνῶν, ὁρᾷς πάντως. Ὅτι δὲ καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, βλέπεις. Ὅτι δὲ πέφυκεν ἡ ἀνάπαυσις αὐτοῦ, τιμή, κόρος οὐκ ἔστιν. ἀνάπαυσιν δὲ αὐτοῦ, τὴν κοίμησιν λέγει, τοῦτ' ἔστι τὸν θάνατον, ὃν ἐπὶ τοῦ σταυροῦ κρεμάμενος δέδωκε. Καὶ ἐπάγει εὐθέως ὁ προφήτης λέγων, Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· * ποία ἡμέρα; πρόδηλον ἐν ᾗ ἵστατο ὁ ἀνιστάμενος ἄρχειν. εἰ δὲ ἐρεῖς ὅτι οὐκ ἐν ταύτῃ τῇ ἡμέρᾳ λέγει, δεῖξον σὺ περὶ ποίας λέγει. εἰ γὰρ ἐπὶ συντέλειαν C εἴπῃς, ἔδει καὶ τὸν προφήτην συντέλειαν ὀνομάσαι. ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο παραστῆσαι. Διὰ τοῦτο, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, φησί, προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ. τί ἐστι, προσθήσει κύριος; ἤγουν, ὁ δεξάμενος τὰ ἔθνη ἐπιστραφέντα, προσθήσει δὲ καὶ ἀπὸ τοῦ Ἰσραήλ, τοὺς ἀληθινοὺς Ἰσραηλίτας, τοὺς καὶ τὸν νόμον καλῶς τηρήσαντας, καὶ εἰς τὸν Χριστιανισμὸν προθύμως ἐκνεύσαντας, διὰ τῆς εἰς αὐτὸν πίστεως ἀνακαλέσασθαι, καὶ μεταστῆσαι εἰς τὸν Χριστιανισμόν, οὐ μόνον ἀπὸ Ἱερουσαλήμ, ἀλλὰ καὶ ἐκ πάντων τῶν περάτων τῆς οἰκουμένης. Διασπαρέντων γὰρ τῶν μαθητῶν αὐτοῦ εἰς τοὺς δώδεκα ἀνέμους D τῆς ὑπ' οὐρανόν, πολὺ πλῆθος καὶ ἀπὸ τῶν ἐν ὅλῳ κόσμῳ διασκορπισθέντων Ἰουδαίων ἐπίστευσαν πανοικί, καὶ συνηγέρθησαν μετὰ τῶν πιστευσάντων ἐθνῶν ἐν τῇ ἐκκλησίᾳ. Οὐκοῦν λέγει, ὅτι ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη. τί τὸ σημεῖον, ἀλλ' ἢ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός; δι' αὐτοῦ γὰρ συνάξει τοὺς ἀπολλυμένους τοῦ Ἰσραὴλ εἰς σωτηρίαν. καὶ τοὺς ἀπωσμένους Ἰούδα, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. εἰ δὲ καὶ ἐρεῖς, καὶ ποῦ ὁ σταυρὸς ἐν τῇ παλαιᾷ σημεῖον ὠνομάσθη; λέγει γὰρ ὁ Δαβὶδ πρὸς κύριον, προφητεύων E περὶ τοῦ σταυροῦ, Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ τὰ ἑξῆς. Ταῦτα οὕτως ἔχει βεβαίως κατὰ τὴν τοῦ πνεύματος θείαν διάκρισιν. Καὶ ὁ Ἑρβάν. Ὁ προφήτης λέγει καθολικῶς ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ. καὶ αὐτὸς λέγεις τοὺς ἀποσπασθέντας τοῦ νόμου, καὶ τῷ Χριστῷ πεπιστευκότας, τούτους μόνους ἀσφαλῶς ᾐνίξατο. καὶ πῶς τοῦτο; Καὶ ὁ ἅγιος. Τίνα γέγραπται περὶ τοῦ νόμου; Ἐπικατάρατος, φησί, πᾶς ὃς οὐκ ἐμμένει ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.

A Οὐκοῦν οἱ μὴ φυλάσσοντες τὸν νόμον, οὐκ εἰσὶν ἄξιοι μετὰ τοῦ φυλάσσοντος λαοῦ συγκαταριθμηθῆναι, ὥσπερ καὶ οἱ Χριστιανοί. πάντες μὲν Χριστιανοὶ ὀνομάζονται. ἀλλ' οἱ φυλάσσοντες τὰ τῶν Χριστιανῶν παραγγέλματα, οὗτοι μόνοι Χριστιανοί εἰσιν· οἱ δὲ μὴ φυλάσσοντες, ἀχριστιανοί. οὕτω μετὰ τὰς ἡμέρας ἐκείνας ἐν ἀληθείᾳ ὅσοι ἐφύλαττον τὸν νόμον Μωσέως ἀκριβῶς, παραγενομένου τοῦ Χριστοῦ μου μόνον ἀκούσαντες, εὐθέως κατενύγησαν παρὰ τοῦ Θεοῦ τοῦ νόμου, καὶ πεπιστεύκασιν εἰς τὸν μονογενῆ αὐτοῦ καὶ φίλτατον υἱόν. ὅσοι δὲ καὶ πρὸ τοῦ Χριστοῦ οὐκ ἐφύλαξαν τὸν νόμον τοῦ Θεοῦ, ἀλλ' ὑπούργησαν τῷ B διαβόλῳ διὰ τῶν πονηρῶν ἔργων αὐτῶν, εἰδὼς ὁ Θεὸς τοῦ νόμου, ὅτι οὐκ ὠφέλησεν ἐν τῷ νόμῳ Μωσέως, οὕτως οὐδὲ οὐ μὴ πιστεύσαντες* εἰς τὸν Χριστὸν,* ὠφελήσουσιν. ἀλλ' ἅπερ ἔπραττον παράνομα, ὑπὸ τοῦ νόμου χρηματίζοντες, ταῦτα καὶ Χριστιανοὶ γεγονότες ἐπιτελέσουσιν. ἀπετύφλωσεν γὰρ αὐτῶν τὴν καρδίαν, καὶ σκληρώσας, πεπώρωκεν. οἵτινες καὶ ἀπιστήσαντες ἀπώλοντο. διὰ ταύτην οὖν τὴν αἰτίαν τοὺς τελείους ὁ προφήτης καὶ αὐτὸς *ἔγωγε μόνους, καὶ Ἰσραὴλ, καὶ λαὸν Θεοῦ, καὶ Ἰουδαίους εὐλόγως αὐτοὺς κατωνόμασεν. Καὶ αὐτὸς σὺ τί ἐρεῖς πρὸς ταῦτα; Καὶ ὁ Ἐρβ. Καὶ εἰ ταῦτα C τοῦτον ἔχει τὸν τρόπον, δι' ἣν αἰτίαν λελάληκεν ὁ προφήτης, ὅτι καὶ ἀφαιρεθήσεται, φησὶν, ὁ ζῆλος Ἐφραΐμ, καὶ τίνες* οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται; τί ἐστιν ὁ Ἐφραΐμ, καὶ τίνες οἱ ἐχθροὶ Ἰούδα, ἀνάγγειλόν μοι ἀρτίως. Καὶ ὁ ἅγιος. Οἱ τῆς φυλῆς Ἐφραΐμ, ἀνόητε, Ἑβραῖοι ἐτύγχανον ἐν ταῖς ἡμέραις Ἡσαΐου τοῦ προφήτου, καὶ μονοτρόπως τῶν ἄλλων φυλῶν ἀποσχισθέντων τῆς Ἰούδα φυλῆς, ἐβασίλευον. οἱ δὲ ἐκ τῆς Ἰούδα φυλῆς, τῆς Παλαιστίνης πάσης κατακρατοῦντες, ἐβασίλευον. ζῆλον τοιγαροῦν οὐ τὸν τυχόντα ἡ βασιλεία Ἐφραΐμ D πρὸς τὴν Ἰούδα, ἤγουν τοῦ Δαβὶδ βασιλείαν ἐκέκτητο, καὶ τηλικοῦτον, ὥστε καὶ ἐμφυλίους πολέμους μεταξὺ αὐτῶν κεκροτῆσθαι. ἐπεὶ οὖν ἑώρα ὁ Ἡσαΐας οἷα προφήτης Θεοῦ, ὅτι ἐν ἀληθείᾳ μέλλει ὁ Χριστὸς ὁ κατὰ σάρκα ἐκ τῆς Ἰούδα φυλῆς ἀνίστασθαι, καὶ τὴν Ἐφραΐμ βασιλείαν καταλύεσθαι, τοῦτον τὸν λόγον ἐπήγαγεν, ὅτι τοῦ Κυρίου Ἰησοῦ ἐκ τῆς Ἰούδα φυλῆς ἀνατείλαντος, ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ, ἤγουν ἡ ἔχθρα, καταλυομένης αὐτοῦ τῆς βασιλείας· καὶ οἱ αὐτοὶ ὡς ἐχθροὶ Ἰούδα, τουτέστι τοῦ ἐκ τῆς φυλῆς Ἰούδα ἀναβαίνοντος Κυρίου καὶ E βασιλέως, εὐθέως ἀπολοῦνται. προφητεύων γὰρ ὁ προφήτης περὶ τῆς συντελείας Ἐφραΐμ, τόνδε τὸν λόγον ἠνίξατο. ὁπότε ἐν ταῖς ἡμέραις Ἀχαζ, τοῦ Ἰωαθὰμ, τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασὶμ βασιλεὺς Ἀρὰμ, καὶ Φακεὲ ὁ υἱὸς τοῦ Ῥομελίου βασιλέως Ἰσραὴλ ἤγουν ἐκ φυλῆς Ἐφραΐμ, τοῦ πολιορκῆσαι τὴν Ἱερουσαλὴμ, τάδε φησὶ, Λέγει κύριος Σαβαώθ, οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη. καὶ μετ' ὀλίγα, Καὶ ἔτι ἑξήκοντα καὶ πέντε,

A Ergo qui non custodiunt legem, non sunt digni qui cum populo legem obseruante connumerentur, quemadmodum Christiani (nam omnes Christiani vocantur:) Sed qui Christianorum seruant præcepta, hi soli sunt Christiani: qui vero non custodiunt, non sunt verè Christiani. Sic post illos dies in veritate, qui Mosis legem exactè custodiebant, aduenisse Christum meum vbi solùm audierunt, continuò compuncti fuerunt à Deo legis autore, atque in vnigenitum eius & dilectissimum filium crediderunt. Qui verò ante Christi aduentum legem Dei non custodiebant, sed B per mala sua opera diabolo seruiebant, sciens Deus legis, quod non iuuit eos in lege Mosis: sic neque eos qui non crediderunt in Christum iuuabit: sed quæ agebant nefaria, cùm essent sub lege, Christiani effecti hæc perficient. Excæcauit enim ipsorum cor, & induratum velut obducto callo stupidum reddidit: qui quidem etiam non credentes perierunt. Eam igitur ob causam Propheta ipse perfectos solos addidit, & Israelem, & populum Dei, & Iudam meritò nominauit. Tu verò ipse quid ad hæc dices? HERBANVS. C Si hæc ad hunc modum se habent, quam ob causam dixit Propheta, *Et auferetur zelus Ephraim, & inimici Iudæ peribunt?* Quid est Ephraim, & quinam sunt inimici Iudæ, modò mihi edissere. SANCTVS ARCHIEPISCOPVS. Tribules Ephraim, ô demens, Hebræi erant in diebus Esaiæ Prophetæ, & singulariter aliis tribubus à tribu Iudæ diuisis, imperabant: cæteri verò ex tribu Iudæ, totius Palæstinæ imperium habentes, regnabant. Zelum igitur non mediocrem regnum Ephraim aduersus Iudæ, id est, Dauidis regnum, ha- D buerat, & tantum, vt etiam inter ipsos bella ciuilia exarserint. Quoniam igitur Esaias, vtpote Dei Propheta, præuidebat, quòd re vera Christus secundum carnem ex tribu Iudæ nasciturus esset, & regnum tribus Ephraim subuersurus, hunc sermonem subiunxit, quòd cùm Dominus Iesus Christus ex tribu Iudæ exortus esset, *auferetur zelus Ephraim*, id est odium, euerso eius regno: & iidem tanquam inimici Iudæ, id est Christi Domini & regis ex E tribu Iudæ ascendentis, repentè peribunt. Vaticinans enim Propheta de fine siue consummatione regni Ephraim, hunc sermonem obscurè pronuntiauit. Quando in diebus Achaz filij Ioatham, qui fuit Oziæ regis Iudæ, ascendit Rhaasem rex Aram, & Phacee filius Romelij regis Israëlis, nempe ex tribu Ephraim, ad obsidendum Hierusalem, hæc profert: *Dicit Dominus Sabaoth, Non maneat hoc consilium.* Et paulo post: *Et anni quinque & sexaginta*

In Ecclesia multi reprobi miscentur electis: vtrique tanquam in sagenam euangelicam colliguntur, &c. D. Aug. li. 18. c. 48. de C. D.

Hos ventilatio probabit. c. 48. eiusdem lib.

Act. 2.

* πιστεύσαντες

* ὠφέλησαν

* Fort. ἐπίγραψε

Esa. 11.

* καὶ οἱ ἐχθ.

Reg. lib. 3.

Esa. 7.

(inquit) *& deficiet regnum Ephraim à populo.* A Propter hanc itaque causam dixit, quòd *auferetur zelus Ephraim*, & cætera. HERBANVS. Quare subiungit deinde Propheta, dicens, quòd *erit Israeli, sicut eo die quo*

Esa.11.

egressus est ex terra Ægypti? Hanc enim egressionem similem fore enuntiauit ei egressioni quæ olim fuit è terra Ægypti. SANCTVS ARCHIEPISCOPVS. Corporaliter quidem ex Ægypto Israël egressus est, & corporali seruitute liberatus, terram promissionis hereditatem possedit. Nunc vero spiritaliter egressus ex peccato, primùm quidem legis maledicto & execratione liberatus est: deinde verò peccati tunica exuta, recentem induit, quæ renouatur per aquam & spiritum: & tandem perfectè egressus ex omni peccato, velut è terra Ægypti, habitauit in noua Hierusalem, id est in Ecclesia, velut in alia terra

* Fort. κρεῖττον εἶναι

Promissionis. Certè hæc fuit lætitia & delectatio maxima: ita vt potiorem ac meliorem illam auspicatam & faustam regionem sortiatur, & hereditatem possideat, quàm sit è terra Ægypti recessio. Quapropter dixit Propheta, *Et erit Israeli, vt ea die qua ex terra Ægypti egressus est.* HERBANVS.

* Fort. γενοίμεθα,

Iam tibi antea prædixi, quod sic ex vi nominis argutantes, nunquam eius, de quo quæstio est & controuersia, compotes erimus. Quæcunque partim ex lege, partim ex Prophetis testimonia cito producamus. Verumtamen adhuc habeo quod dicam: non disputationis, non loquacitatis meæ finem faciam. Ezechiel Propheta exclamat:

Ezech.36.

Hæc dicit Dominus, Sumam vos ex gentibus, & congregabo vos ex omnibus generationibus, & introducam vos in terram vestram, & stillabo super vos aquam puram, & mundabimini ab omnibus immunditiis vestris, & ab omnibus simulachris vestris mundabo vos. Et dabo vobis cor nouum, & spiritum nouum dabo vobis, & auferam cor lapideum ex carne vestra, & dabo in vobis cor carneum, & spiritum dabo in vobis: & faciam vt in iustificationibus meis ambuletis, & iudicia mea custodiatis. Et habitabitis in terra, quam dedi patribus vestris, & eritis mihi in populum, & ero vobis in Deum. An non ita dicit Propheta? responde. En purum restimonium, cui nullo modo contradici potest. SANCTVS ARCHIEPISCOPVS. Ego non multa verba adducam, de hoc vaticinio vt tibi fidem faciam. Non enim de Iudæis locutus est Propheta, sed de gentium Ecclesia: si quidem dixit, *Mundabo vos ab omnibus simulachris vestris.* Dic mihi, an Deus Israëlem à simulachrorum cultu purgauit, an potius gentes quæ idolis seruiebant? Lapideum cor habebant gentes erroribus mentis fluctuantes, an Israëlitæ,

φησί, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραὶμ ἀπὸ τοῦ λαοῦ. διὰ ταύτην οὖν τὴν αἰτίαν εἴρηκεν, ὅτι ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραὶμ, καὶ τὰ ἑξῆς. Καὶ ὁ Ἑρβ. Καὶ δι' ἣν αἰτίαν ἐπάγει ὁ προφήτης λέγων, ὅτι ἔσται, φησὶ, τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ, ᾗ ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου; παραπλησίως γὰρ τὴν ἔξοδον ταύτην τῇ πάλαι ἐξόδου τῆς Αἰγύπτου ἐνέφηνεν. Καὶ ὁ ἅγ. σωματικῶς μὲν ἐξ Αἰγύπτου ὁ Ἰσραὴλ ἐξῆλθε, καὶ ἐλευθερωθεὶς ἐκ τῆς σωματικῆς δουλείας, τὴν γῆν τῆς ἐπαγγελίας κατεκληρονόμησε. νυνὶ δὲ νοητῶς ἐξελθὼν ἐκ τῆς ἁμαρτίας, πρότερον μὲν τῆς

B

κατάρας τοῦ νόμου λελύτρωται, ἔπειτα δὲ καὶ τὸν παλαιὸν χιτῶνα τῆς ἁμαρτίας ἀπεκδυσάμενος, ἐνεδύσατο τὸν νέον τὸν ἀνακαινούμενον δι' ὕδατος καὶ πνεύματος, καὶ ἐξελθὼν τελείως ἐκ πάσης ἁμαρτίας, ὡς ἐκ γῆς Αἰγύπτου, κατῴκησεν ἐν τῇ νέᾳ Ἱερουσαλὴμ τῇ ἐκκλησίᾳ, ὡς ἐν ἄλλῃ γῇ τῆς ἐπαγγελίας. Καὶ τοιαύτη ἐγένετο εὐφροσύνη καὶ τέρψις μεγίστη, ὥστε καὶ κρείττονα * τῆς ἐκ γῆς Αἰγύπτου ἀναχωρήσεως, τὴν ἐξαισίαν ἐκείνην χώραν κατακληρώσασθαι. διὰ ταῦτα γοῦν λελάληκεν ὁ προφήτης, ὅτι, Καὶ ἔσται τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ, ᾗ ἐξῆλθεν

C

ἐκ γῆς Αἰγύπτου. Ἑρβαν. Προλαβὼν εἴρηκα, ὅτι πρὸς ἐτυμολογίαν κεκτημένοι τὴν διάλεξιν, οὐκ ἄν ποτε περικρατεῖς τοῦ ζητουμένου γινόμεθα, * ὅσας κἂν τάχα μαρτυρίας ἀπό τε τοῦ νόμου, ἀπό τε τῶν προφητῶν παραγάγωμεν· ἀλλ' οὖν ἔτι ἔχω τοῦ λέγειν, οὐκ ἀναπαύσω μου τὸν λογισμὸν, οὐδὲ τὴν λαλιάν. Ἰεζεκιὴλ ὁ προφήτης διαγορεύει, Τάδε λέγει κύριος· λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γενεῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν, καὶ ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ καθαρὸν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων

D

ὑμῶν καθαριῶ ὑμᾶς· καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ἐν ὑμῖν καρδίαν σαρκίνην, καὶ πνεῦμα δώσω ἐν ὑμῖν· καὶ ποιήσω ἐν τοῖς δικαιώμασί μου πορεύεσθαι, καὶ τὰ κρίματά μου φυλάξεσθαι· καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεόν. Εἰ τοίνυν οὐ λέγει ὁ προφήτης οὕτως, ἀπόδος λόγον· ἰδοὺ γὰρ καθαρὰ μαρτυρία μηδεμίαν ἐν μηδενὶ

E

κεκτημένη ἀντίρρησιν. Καὶ ὁ ἅγιος. Ἐγὼ οὐ πολυλογίαν εἰσάξω περὶ τῆς προφητείας ταύτης τοῦ πεῖσαί σε. οὐ γὰρ περὶ Ἰουδαίων λελάληκεν ὁ προφήτης, ἀλλὰ περὶ τῆς ἐκκλησίας τῶν ἐθνῶν, ἐπεὶ εἴρηκεν, ὅτι καθαριῶ ὑμᾶς ἐκ πάντων τῶν εἰδώλων ὑμῶν. καὶ ἀνάγγειλόν μοι, Τὸν Ἰσραὴλ ἐκάθηρεν ὁ Θεὸς ἀπὸ τῶν εἰδώλων, ἢ τὰ εἰδώλοις λατρεύοντα ἔθνη; λιθίνην καρδίαν τὰ ἔθνη ἐκέκτηντο τὰ πλανώμενα, ἢ οἱ Ἰσραηλῖται,

A οἱ * τὸν Θεὸν τὸν ἅγιον διὰ νόμου Μωσέως λατρεύοντες; ἐν τοῖς νομίμοις δικαιώμασιν οἱ Ἰσραηλῖται ἐπορεύθησαν πρῶτον, ἢ τὰ ἔθνη τὰ μὴ νόμον ἔχοντα; μηδέπω λαὸς τοῦ Θεοῦ προϋπῆρξεν ὁ Ἰσραήλ, ἤ, ὡς ἐπαγγέλλεται ὁ προφήτης, μετὰ ταῦτα κληθῆναι αὐτὸν λαὸν Θεοῦ, ὡς μηδέποτε ὑπάρξαντα; ἆρα οὐδέποτε ἐδέξατο πνεῦμα Θεοῦ, ἀλλὰ μετὰ τοῦτο χρεωστεῖται * τοῦτο δέξασθαι; μάτην οὖν προσδοκᾷς, ὦ Ἑρβᾶν ἀλογώτατε. ὁ γὰρ προφήτης περὶ τῶν προσδοκωμένων λελάληκεν, καὶ οὐχὶ τῶν ἔκπαλαι παρῳχηκότων, μὴ γένοιτο. ΕΡΒΑΝ. Λήψομαι ὑμᾶς, φησίν, ἐκ τῶν ἐθνῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν· καὶ αὐτὸς διαγγέλλεις ἀλλόκοτα. Καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς

B ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ αὐτὸς σαφηνίζεις ἀλλότρια. λέξον μοι οὖν αὐτός, ἔθνη ἐξ ἐθνῶν ἀθροίσειεν ἆρα κύριος, καθὼς λέγεις; εἰπέ, ἔθνη κατοικεῖ ἐν τῇ γῇ τῶν πατέρων αὐτῶν; τίς γὰρ κοινωνία ἔθνεσι πρὸς Ἑβραίους; δίκαια φάσκεις, ὦ ἀρχιεπίσκοπε. οὐκ ἔστιν οὕτως, οὐκ ἔστιν. Καὶ ὁ ἅγιος. Εἴρηκας ὅτι ἔθνη ἐξ ἐθνῶν ἐκλέξεται ὁ Θεός. ναί, ἔθνη ἐξ ἐθνῶν ἐξελέξατο· ποίῳ τρόπῳ; τὰ πιστεύσαντα ἔθνη ἀπὸ τῶν ἀπιστησάντων. ὅτι δὲ εἴρηκας, ὅτι ἆρα ἔθνη κατοικεῖ κύριος ἐν

C πόλει Ἱερουσαλήμ, ὡς τῇ γῇ τῶν πατέρων αὐτῶν, εἰ οὐκ εἶχες ὀφθαλμοὺς * ἔμελλέ τό μοι. ἀνάβλεψον γὰρ καὶ ἴδε, ὅπως πᾶσα Ἱερουσαλὴμ Χριστιανῶν πεπλήρωται, καὶ Ἰουδαίων οὐδαμῶς. τὸ γὰρ λόγιον τοῦτο, ὃ πρὸς Ἀβραὰμ εἰρημένον ἐστὶ παρὰ Κυρίου, Ὅτι εὐλογηθήσονται ἐν σοὶ δὲ πάντα τὰ ἔθνη, κρίνας ὁ Θεὸς ἐκπεπλήρωκεν. ὅτι δὲ εἴρηκας, τίς κοινωνία ἔθνεσι πρὸς Ἑβραίους, ἐνωτίσαι ἵνα ὁ Ἡσαΐας λελάληκε; τάδε λέγει κύριος, φησίν, Ἰδοὺ συναγαγεῖν ἔρχομαι πάν-

D τα τὰ ἔθνη καὶ τὰς γλώσσας· καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη. καὶ τίνες οἱ ἐξ ἐθνῶν σεσωσμένοι, οὓς ἀποστέλλει κύριος, ἀλλ' ἢ οἱ κήρυκες Χριστοῦ; οἱ ἱεράρχαι παρὰ τῶν δώδεκα ἀποστόλων χειροτονηθέντες ποιμαίνειν τὰς ἁπανταχοῦ ἐκκλησίας τοῦ Χριστοῦ; ἐξ αὐτῶν, φησίν, ἐξαποστελῶ σεσωσμένους εἰς τὰ ἔθνη, εἰς Θαρσεῖς, * καὶ Φοὺδ, καὶ Σομόχ, καὶ εἰς Θοβέλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς

E τὰς νήσους τὰς πόρρω, * αἳ οὐκ ἀκηκόασί μου * τὴν δόξαν· καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι, καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν, δῶρον τῷ κυρίῳ, μεθ' ἵππων καὶ ἁρμάτων. * προσέχεις τοιγαροῦν, ὦ Ἑρβᾶν, * τῆς παρουσίας τοῦ Χριστοῦ, ἀγαπητοῖς Θεῷ Ἰουδαίοις διαλεγόμενος ὁ Ἡσαΐας ἔφασκεν, Ἄξουσι τοὺς ἀδελφοὺς τοὺς ἐξ ὑμῶν ἐκ πασῶν τῶν ἐθνῶν δῶρον τῷ κυρίῳ· ὥστε οἱ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ πιστοὶ Ἰουδαῖοι, καὶ οἱ μετὰ ταῦτα, ἐλθόντος τοῦ Χριστοῦ, πιστεύσαντες εἰς αὐτόν,

A qui Deum sanctum per legem Mosis adorabant? In legalibus iustificationibus Israëlitæ primùm ambulauerunt, quàm gentes quæ legem non habebant? An nondum etiam antè Dei populus Israël fuit, an, sicut Propheta promittit, postea populus Dei vocatus est, qui nunquam priùs fuerit? Numquámne etiam Dei spiritum accepit, an postea debet accipere? Frustrà igitur expectas, ô Herbane amentissime. Nam Propheta de his quæ expectabantur, locutus est, non de his quæ iam pridem præterierant: absit. HERBANVS. *Sumam vos* (inquit) *ex gentibus, & adducam vos in terram*

B *vestram*: Et tu ipse prodigiosa & monstrosa profers. *Et habitabitis in terra, quam dedit patribus vestris*: & ipse aliena & absurda declaras. Dic mihi tu ipse, an gentes ex gentibus congregauerit dominus, vt dicis? Dic, Gentes habitare faciet in terra patrum suorum? Quænam enim communicatio gentibus cum Hebræis? Iustáne & vera dicis, ô Archiepiscope? Non hæc ita sunt, non sunt. SANCTVS ARCHIEPISCOPVS. Dixisti Deum gentes ex gentibus electurum esse. Sanè, Deus gentes ex gentibus

C elegit. Quonam modo? gentes fideles ex infidelibus. Quòd autem dixisti, Dominum deducturum gentes vt habitent in ciuitate Hierusalem, tanquam in terra patrum suorum, si oculos non haberes, hoc mihi cura esset. Sed respice, & vide, quomodo omnis Hierusalem Christianis repleta est. non autem Iudæis. Hoc enim oraculum, quod Abrahamo editum est à Domino, *Quod benedicentur in te omnes gentes*, iudicans Deus adimpleuit. Quod autem dixisti, quæ communicatio gentibus cum

D Hebræis, auribus accipe quæ Esaias locutus est: *Hæc dicit Dominus* (ait) *Ecce congregaturus venio omnes gentes & linguas. Et venient, & videbunt gloriam meam. Et relinquam in ipsis signum, & emittam ex ipsis saluos ad gentes.* Et quinam ex gentibus salui, quos Dominus mittet? an non Christi præcones? qui sacerdotum principes à duodecim Apostolis delecti ad pascendas vbique terrarum Christi Ecclesias? *Ex ipsis* (inquit) *emittam seruatos ad gentes, ad Tharsos, & Phud, & Somoch, & ad Tho-*

E *bel, & in Græciam & insulas longinquas, quæ non audierunt nomen meum, neque viderunt gloriam meam. Et annuntiabunt gloriam meam in gentibus: & adducent fratres vestros ex omnibus gentibus, munus Domino, cum equis & curribus.* Intelligis igitur, ô Herbane, quod de aduentu Christi differens dilectis Deo Iudæis Esaias dicebat: *Addúcent fratres vestros ex omnibus gentibus munus Domino.* Quare qui ante aduentum Christi fideles Iudæi, & qui postea, cùm venit Christus, crediderunt in ipsum,

* Fort. τῷ πατρὶ τῷ ἁγίῳ
* χρεωστεῖ
Ezech. 36.
* ἐμέλησε
Gen. 22.
Esa. 66.
* καὶ Λοὺδ καὶ Μεσόχ.
* οἱ
* τὸ ὄνομα, οὔτε ἑωράκασί μου τ. δ. Ἡσ. ξς.
* ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ.
* ὅτι περὶ τ.

A & quicunque ex gentibus crediderunt Patri, & Filio, & Spiritui sancto, fratres sunt, quemadmodum testatus est Esaias. Tu verò quomodo dixisti, quænam communitas gentibus cum Hebræis? Hebræi autem credentes Christo, honorabiliores censentur iis qui ex gentibus Christo credunt. Si igitur, ô demens, non ex vsu & experientia loquor, redargue. HERBANVS. Viuit Dominus Deus, laudo tua verba, quæ cum intelligentia & experientia maxima exprimunt & explanant. Verumtamen dicit Esaias, *Dixit Dominus*, (inquit) *Educam ex Iacob semen, & ex Iuda, & hæreditabit* B *montem meum sanctum.* Quòd igitur hereditatem dedit nobis Deus Hierusalem, quis contradicit? Ad breue & modicum tempus sumus eiecti & depulsi: sed tamen rursus opinor res nostras, & omnem nostram pristinam hæreditatem, sicut ab initio, recipiemus. SANCTVS ARCHIEPISCOPVS. Idem Esaias apertè & clarè hoc pronuntiauit. *Adferent* (inquit) *mihi inter filios Israëlis hi qui sunt ex gentibus sacrificia sua cum psalmis in domum meam: & ex ipsis sumam mihi Sacerdotes & Leuitas.* Vide quomodo qui adimpleuit legem Dominus, & sacerdotij im- C mutationem antè significauit per Prophetas suos. *Et ex ipsis*, ait, *sumam mihi Sacerdotes & Leuitas, dicit Dominus.* Quoniam igitur dicit, quid reliquum iubes ipse? *Quemadmodum* (inquit) *erit cœlum nouum & terra noua, quæ ego facio manere in conspectu meo, dicit Dominus: sic stabit semen vestrum, & nomen vestrum.* hoc est, per fidem in Christum: qui quidem sunt illi qui ex nobis Christo crediderunt. *Et erit* (inquit) *mensis ex mense*, varios Christianorum dies festos declarans. *Et Sabbathum ex Sabbatho*, dies resurrectionis. *Et veniet* (inquit) *omnis caro, vt adoret coram me in Hierusalem, dixit Dominus.* D Animaduertis, insane, *Omnis caro*, inquit, *veniet.* Qui dixit vobis Iudæis, quod non pacisceris in re vlla cum gentili, neque negotiaberis cum ipso, non ederis, neque biberis, & cætera: idem dicit, *Veniet* (inquit) *omnis caro, vt adoret in conspectu meo, in Hierusalem, dicit Dominus. Et exibunt, & videbunt membra hominum*: nimirum ossa eorum qui prius defuncti sunt vita, & habitauerunt in loco illo Iudæorum nefariorum. Vt autem intelligas, qui E non intelligis, quod propter peccata sua reprobatus est Israel, & quod propter suam nequitiam inuisus est & odiosus, & in omnem interitum traditus, non in hoc seculo modo, sed & in futuro, subiunxit, Quòd, *eorum qui legis mandata violarunt, & præuaricati sunt*: videbunt enim, qui ex omni carne venerunt, vt Deum adorent per fidem in Iesum Christum, ossa nudata & proiecta in maius dedecus.

Quoniam hi sunt primitiæ sancta & radix sancta: gentiles verò sunt velut oleastri insiti & consortes radicis è pinguedine oleæ facti.
Rom. 11.
* ζῶ
Esa. 65.
Hac eadem spes inanis alit miseros Iudæos huius temporis.
Quidam Iudæus exclamauit, væ animabus desinentium tempus Messiæ. Lod. Viues lib. 3. de verit. fidei Christ.
Esa. 66.
Ibid.
* μηνὸ
* σου πρ.
* ἀνόητε
Exod. 34.
Deut. 7.
Es. vlt. c.

A καὶ ὅσοι ἀπὸ τῶν ἐθνῶν ἐπίστευσαν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, ἀδελφοὶ πεφύκασι, καθὰ καὶ Ἡσαΐας μεμαρτύρηκεν· σὺ δὲ ποίῳ τρόπῳ εἴρηκας, τίς κοινωνία ἔθνεσι πρὸς Ἑβραίους; Ἑβραῖοι δὲ πιστεύσαντες τῷ Χριστῷ, τιμιώτεροι καθορῶνται τῶν ἀπὸ τῶν ἐθνῶν πιστευόντων τῷ Χριστῷ. ἐὰν οὖν μὴ φθέγγωμαι κατὰ πεῖραν, ἔλεγξον ὦ ἀνόητε. Ἑρβαν. Ἐπαινῶ σοῦ, * ζῇ κύριος ὁ Θεὸς, τὰ ῥήματα ἐν συνέσει ἐξηγούμενα, καὶ κατὰ πεῖραν μεγίστην πλείω, πάλιν λέγει Ἡσαΐας, εἶπε κύριος, φησὶν, ἐξάξω τὸ B ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος μου τὸ ἅγιον. ἐπεὶ οὖν κληρονομίαν δέδωκεν ἡμῖν ὁ Θεὸς τὴν Ἱερουσαλὴμ, τίς ὁ ἀντιλέγων; πρὸς βραχὺ καὶ ἐπ' ὀλίγον ἐξεδιώχθημεν. ἀλλ' οὖν πάλιν οἶμαι, τὰ ἡμῶν ἀποληψόμεθα αὖ, καὶ κληρονομήσομεν πάντα, ὡς τὸ ἀπ' ἀρχῆς. Καὶ ὁ ἅγιος. Ὁ αὐτὸς Ἡσαΐας σαφῶς προκατήγγειλε. φησὶ γὰρ, ἀνενέγκωσί μοι ἐν υἱοῖς Ἰσραὴλ οἱ ἐξ ἐθνῶν τὰς θυσίας αὐτῶν μετὰ ψαλμῶν εἰς τὸν οἶκόν μου, καὶ ἀπ' αὐτῶν λήψομαι ἐμοὶ ἱερεῖς καὶ λευΐτας. Ὅρα πῶς ὁ πληρώσας τὸν νόμον κύριος, καὶ τὴν ἐναλλαγὴν τῆς ἱερωσύνης C προδεδήλωκε διὰ τῶν προφητῶν αὐτοῦ. Καὶ ἀπ' αὐτῶν, φησὶ, λήψομαι ἐμοὶ ἱερεῖς καὶ λευΐτας, λέγει κύριος· ἐπεὶ οὖν λέγει, τί οὖν λοιπὸν κελεύεις αὐτός; Ὃν τρόπον, φησὶν, ἔσται ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινὴ, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μου, λέγει κύριος, οὕτως στήσεται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν· τοῦτ' ἔστι διὰ πίστεως Χριστοῦ· οἵτινες εἰσὶν οἱ ἐξ ἡμῶν πεπιστευκότες τῷ Χριστῷ. Καὶ ἔσται, φησὶ, * μῆνα ἐκ μηνὸς, τὰς ποικίλας ἑορτὰς τῶν Χριστιανῶν ἐμφαίνων, καὶ σάββατον ἐκ σαββάτου, αἱ ἀναστάσιμαι ἡμέραι. Καὶ ἥξει, φησὶ, πᾶ- D σα σὰρξ * προσκυνῆσαι ἐνώπιόν μου ἐν Ἱερουσαλὴμ, εἶπε κύριος· προσέχεις * ἀνόητε, πᾶσα σὰρξ, φησὶν, ἥξει. ὁ λέξας ὑμῖν τοῖς Ἰουδαίοις, ὅτι οὐ συναλλάξεις ἐν οὐδενὶ μετὰ ἐθνικοῦ, οὐ πραγματεύσῃ μετ' αὐτοῦ, οὐ φάγῃς, οὐ πίῃς, καὶ τὰ ἑξῆς· ὁ αὐτὸς λέγει, ἥξει, φησὶ, πᾶσα σὰρξ προσκυνῆσαι ἐνώπιόν μου ἐν Ἱερουσαλὴμ, λέγει κύριος, καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων, ἤγουν τὰ ὀστᾶ τῶν προτελευτησάντων καὶ προκατοικησάντων ἐν τῷ E τόπῳ ἐκείνῳ παρανόμων Ἰουδαίων. Ἵνα δὲ συνῇς ὁ μὴ συνιῶν, ὅτι διὰ τὰς ἁμαρτίας αὐτοῦ ἀπώσθη Ἰσραὴλ, διὰ δὲ καὶ τὸ ἄχρηστον αὐτοῦ ἐμισήθη, καὶ παρεδόθη εἰς παντελῆ ἀπώλειαν, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι, ἐπήγαγεν, Ὅτι, τῶν παραβεβηκότων τὰς ἐντολὰς τοῦ νόμου· ὄψονται γὰρ οἱ ἐκ πάσης σαρκὸς ἐρχόμενοι προσκυνῆσαι τῷ Θεῷ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὰ ὀστᾶ αὐτῶν εἰς αἰσχύνην περισσοτέραν γεγυμνωμένα προερριμμένα.

A ἐν δὲ τῷ μέλλοντι αἰῶνι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· ἔσονται γὰρ εἰς ὅρασιν πάσῃ σαρκί. Ὅταν ἀκούσῃς τοῦ Κυρίου λέγοντος διὰ τοῦ προφήτου, Ὅτι ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας· καὶ ὅτι ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιόν μου εἰς Ἱερουσαλήμ, μηκέτι λέγε τι, ἀλλὰ θέασαι, ὅτι* αἱ ἑβδομήκοντα γλῶσσαι τὸν Θεὸν τοῦ νόμου, καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συνεχῶς ἀναβαίνουσαι εἰς Ἱερουσαλήμ, προσκυνοῦσι, τοὺς ἀπιστήσαντας Ἰουδαίους * ταλανίζοντες. καὶ ταῦτα πάντα ὁρῶν, σιώπα,
B πεφίμωσο, καὶ μὴ θεομάχει, ἀλλὰ εἶξον τῇ ἀληθείᾳ. Ὃ δὲ εἴρηκας, εἶπε κύριος, ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος μου τὸ ἅγιον, πρόσεχε· οὐ γὰρ οὕτως ἑρμηνεύεται ὡς σὺ ὑπέλαβες, ἀλλ' ὡς ὑπεμφαίνω ἐγώ. Τὸ ἐξ Ἰακὼβ σπέρμα δωδεκάφυλον πέφυκε, καὶ οὐδενὸς τῶν σπερμάτων αὐτοῦ ἐμνημόνευσεν, ἀλλὰ * τὸ ἐξ Ἰούδα. Ὁ γὰρ Ἰούδας ἐστὶ σπέρμα τοῦ Ἰακώβ, ὁ δὲ κύριός μου Ἰησοῦς Χριστὸς ἐκ σπέρματος Ἰούδα· πᾶς δὲ Χριστιανὸς νοητῶς, σπέρμα Χριστοῦ. περὶ τούτου οὖν τοῦ
C σπέρματος εἴρηκεν ὁ προφήτης, τοῦ ἐγκεντρισθέντος διὰ Ἰησοῦ Χριστοῦ ἐν σπέρματι Ἰούδα. ἐξάξει δὲ αὐτὸ μετὰ τὴν πνευματικὴν ἐργασίαν τοῦ τῇδε βίου, καὶ κληρονομήσει τὴν βασιλείαν τῶν οὐρανῶν· τὸ δὲ ὄρος τὸ ἅγιον ἐκεῖνο, ἡ ἄνω μητρόπολις Ἱερουσαλήμ. τὸ γὰρ ὄρος τὸ αἰσθητὸν, Σιών, οὐκ ὀνομασθήσεται, ὡς οἶμαι, ἅγιον, χοῦς τῆς γῆς ὂν καὶ τέφρα· ἀλλ' οὐδεὶς τῶν ἐν αὐτῷ πάλαι κατοικησάντων τοῦτο κεκληρονόμηκε· πάντες γὰρ οἱ ἐκεῖσε κατοικήσαντες παρῆλθον, καὶ οἱ νῦν τελευτῶσιν. Ερβαν. Μέγα ἐργαστήριον πεπλησμένον πολλῆς ὁλκῆς ῥημάτων οἱ Χριστια-
D νοὶ εὑράμενοι πρόμαχον ἐπὶ τοῦ θρόνου αὐτῶν κεκαθίκασι. φοβερὸς γὰρ εἶ διαστροφαῖς ῥημάτων· τάχα δὲ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ καταχθόνια, εἰ δόξει σοι, διαστρέψεις τοῖς * ῥήμασιν· ἀλλ' οὐδὲ ἡμᾶς ἁπλῶς αἱρήσεις, ὡς μὴ δυναμένους σοι ἀνταποκριθῆναι. ἵνα σαφέστερον νοήσῃς, ὅτι ἀγαπᾷ κύριος καὶ λίαν τὸν Ἰσραήλ, ἄκουσον τίνα λέγει ὁ προφήτης Ἡσαΐας, μᾶλλον δὲ ὁ Θεός, περὶ ἡμῶν· Ἐγώ, φησί, Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα
E ἐγώ εἰμι. * εἶδον ἔθνη, καὶ ἐφοβήθησαν· τὰ ἄκρα τῆς γῆς ἐξέστησαν· ἤγγισαν, καὶ ἦλθον ἅμα, κρίνων ἕκαστος τὸν πλησίον, βοηθῆσαι τῷ ἀδελφῷ. Οὐκοῦν καὶ σὺ Ἀρχιεπίσκοπε, κατὰ τὸν σκοπὸν τοῦτον ἐκ τῶν φοβηθέντων ἐθνῶν εἷς, * τὸν πλησίον σου, βοηθῆσαι ἡμῖν, καὶ τῷ ἀδελφῷ τοῖς ὁμοφύλοις σου ἔθνεσιν. αὐτοῖς γὰρ καὶ περιποιῇ τὴν σωτηρίαν. τὸ δὲ βασίλειον ἱεράτευμα, τὸ ἔθνος τοῦ Ἰσραὴλ ἀπωθεῖς, ἐξουθενούμενον εἶναι κελεύων, καὶ ἐν ἀπογνώσει.

A Atque in futuro seculo, *vermis eorum non morietur, & ignis ipsorum non extinguetur: erunt enim in aspectu omnis carnis.* Cùm audias Dominum dicentem per Prophetam, *Ecce venio ad congregandum omnes gentes & linguas:* & illud, *Veniet omnis caro, vt adoret coram me in Hierusalem*, non amplius quicquam dicito: sed vide, quod septuaginta linguæ Deum legis, & Patrem Domini nostri Iesu Christi, iugiter ascendentes in Ierusalem, adorant, Iudæos incredulos miseros reputantes. Hæc omnia dum vides, tace: obmutesce: & os velut camo obstrictum habe:
B neque Deo bellum gere, sed veritati cede & obtempera. Quod autem dixisti, *Dixit Dominus, educam semen ex Iacob & ex Iuda, & hereditatem sortietur montem meum sanctum*, animaduerte: non enim sic interpretandum est sicut tu existimasti, sed sicut tibi ego ipse declaro. Semen Iacob est duodecim tribuum: & nullius seminum eius mentionem fecit, quàm solius Iudæ. Est enim Iudas, semen Iacob: at enim Dominus meus Iesus Christus ex semine Iudæ. Omnis autem Christianus spiritaliter semen est Christi.
C De hoc igitur semine dixit Propheta, quod insitum est per Iesum Christum in semine Iudæ. hoc autem ipsum educet post spiritalem operationem præsentis huiusce vitæ, & pro hereditate regnum cœlorum accipiet. Mons ille sanctus, superna est ciuitatum mater cœlestis Hierusalem. Mons enim Sion, qui in sensum cadit, non, vt opinor, mons sanctus nominabitur, qui est terræ puluis & cinis: nec eorum qui in illo habitarunt, quisquam hunc hereditarium possedit. Omnes enim qui in eo sedem habuerunt, præterierunt: & qui nunc habitant, morientur. HERBANVS. Magnam officinam multo
D verborum tractu refertam nacti Christiani te propugnatorem atque antistitem in sede sua collocarunt: siquidem terribilis es verborum turbine. Cito enim & cœlum & terram, & quæ subterranea sunt, si videbitur, tuis verbis peruertes. Sed neque nos funditus euertes, vt nihil valentes tibi respondere. Vt manifestiùs intelligas, quod diligit Dominus & valde Israëlem, audi quæ dicit Propheta Esaias, imo vero Deus ipse de nobis. *Ego* (inquit) *Deus primus, & ad ea*
E *quæ veniunt, ego sum. Viderunt gentes* *, *& timuerunt: terræ summitates expauerunt. Appropinquauerunt, & venerunt simul. Iudicans vnusquisque proximum, vt auxilietur fratri suo.* Igitur & tu, ô Archiepiscope, ad hunc scopum, ex his gentibus metu perculsis vnus, iudica proximum nobis auxiliari, & fratri contribulibus tuis gentibus. his enim salutem vendicas. Regale autem sacerdotium, gentem Israëlis abiicis & reprobas, & in reprobatione siue condemnatione aboles, & in nihilum redigi iubes.

Ibidem & Mar. 9.

Ibidem.

* καὶ

* ταλανίζοντες

Esa. 65.

* ἀλλ' ἢ τὸ

Virgo Maria ex semine Iuda ex qua Christus homo natus est.

Talem esse oportet Episcopum vt potens sit exhortari per doctrinam sanā, & contradicentes conuincere. 2. ad Tim. c. 1.

Esa. 41.

* *In Græco textus corruptus videtur sic autem in edit. vul.* *Esa. c. 41.* Viderunt insulæ & timuerunt extrema terræ: & constupuerunt & appropinquauerunt, & accesserunt: vnusquisque proximo suo auxiliabitur, & fratri suo dicet, Confortare.

* ἅμα

* εἶδον

* κρίνων τ.

A Quid igitur idem Propheta dicit de his qui noua fabricant simulachra? *Confortauit* (inquit) *vir faber & artifex ærarius percutiens, malleum simul adigens. Tunc quidem dicet, solidatio bona est. Ipsa*, nempe simulachra, *clauis defixa firmauit. Ponent ea laborantes in terra, & non mouebuntur.* In his gloriantur gentes quæ te attinent. Sed diligenter attende, de Israële quid iubet. *Gentes*, inquit, *in his. Sed tu Israel, filius Iacob, quem elegi: semen Abrahæ, quem dilexi, quem vindicaui ad summum terræ, & ex speculis eius vocaui te. Ne timeas, tecum enim sum: ne errore fluctues, ego enim* B *sum Deus tuus, qui te corroboraui, & iuui te, & confirmaui dextera mea iusta.* Attende, Dominus magnus, vt admireris quanta beneuolentia & dilectione Deus Israëlem prosecutus est. Audi verba amoris & immensi ardoris plena: *Te*, inquit, *dextera mea iusta confirmaui, tutúmque ab omni periculo reddidi. Ecce erubescent & confundentur omnes aduersarij tui. Quæres ipsos, & non inuenies, homines qui te contumelia affecerunt. Erunt enim vt illi qui non sunt, & non erunt qui contra te bella gerunt. Quia ego Deus tuus tenens dexteram tuam, qui dicit tibi, Noli timere,* C *ego iuui te: noli timere, vermis Iacob, paucissimi Israëlis. Ego iuui te, dicit Deus tuus, qui te redemit, Israël.* An non hæc ita sunt? Non hæc dicit Deus per Prophetam de Hebræis? Cæterùm tu ipse finem impone, & nobis molestias exhibere amplius noli. SANCTVS ARCHIEPISCOPVS. Diuinum quidem oraculum recitasti. de quo autem prædicit, nullo modo intelligis. HERBANVS. De Israële & de Iacob, & de semine Abrahæ Propheta omnino vaticinatur. Et ego nescio quæ proloquor? Ab extremo terræ, D nempe ex Ægypto, denuntiat ipsum euocasse in terram Promissionis: & tu ipse hæc & illa obloqueris? SANCTVS ARCHIEPISCOPVS. Illud, *Tu Israël filius meus Iacob, quem elegi, semen Abrahæ quem dilexi*, ô Herbane, qui per deserta vagaris, attentis auribus percipiens, ne mente occupata & vagabundo animo puta, quod Propheta de quouis populo Iudæorum hoc prædixit, sed de meo Christo, qui erat Deus ex Deo, & propter hominum salutem in extremis diebus factus est homo, ex semine Abrahæ & E Isaac & Iacob: siquidem Ismaël vt Isaac filius Abrahæ fuit. Ne autem dixeris, quòd fortè ex tribu Ismaëlis natus sit, idcircò Propheta dixit, *filius meus Iacob quem dilexi.* Quòd si dixeris non ita esse, ostende mihi tu, quo tempere non dereliquit te Deus. Nónne es dispersus & relegatus ad orbis terrarum extremos fines? Nónne es probrum? non diuino humanóque præsidio destitutus? dicit Propheta, *Tecum enim sum, & ego sum Deus, qui te roboraui, & te iuui, & te confirmaui, tutúmque reddidi mea dextera iusta.*

Ibid.

* ἰσχύρωσαν

* καμόντες non est in textu Græc. Proph.

Ibid.

* καὶ εἶπά σοι, παῖς μου εἶ, ἐξελεξάμην σε, οὐκ ἐγκατέλιπόν σε.

* παροξυνόμενοί σοι

* ὁ Θεός σου, ὁ λυτρούμενός σε Ισραήλ.

* Fort. οὐδαμῶς

* Fort. ὡς

* Fort. ἐρεῖς

* Fort. ἐρεῖς

Τί δαὶ ὁ αὐτὸς προφήτης λέγει περὶ τῶν χειρουργούντων τὰ εἴδωλα; Ἴσχυσε, φησὶν, ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων, σφύραν ἅμα ἐλαύνων. τότε μὲν ἐρεῖ, σύμβλημα καλόν ἐστιν. *ἴσχυσεν αὐτὰ ἐν ἥλοις, τοῦτ᾽ ἔστι τὰ εἴδωλα. θήσουσιν αὐτὰ καμόντες* ἐν τῇ γῇ, καὶ οὐ κινηθήσονται. ἐπὶ τούτοις αὐχοῦνται τὰ ἔθνη τὰ κατά σε. ἀλλὰ πρόσεχε περὶ τοῦ Ισραὴλ τί κελεύει. τὰ μὲν ἔθνη, φησὶν, ἐν τούτοις· σὺ δὲ Ισραὴλ παῖς μου Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα, οὗ ἀντελαβόμην ἐπ᾽ ἄκρου τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε· * μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι. μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ Θεός σου ὁ ἐνισχύσας σε καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ μου τῇ δικαίᾳ. πρόσεχε, κύριος ὁ μέγας, ἵνα θαυμάσῃς, ὁπόσην ἀγάπην κέκτηται ὁ Θεὸς πρὸς τὸν Ισραήλ. ἄκουσον λέξεις φίλτρου καὶ ζέσεως ἀπείρου μεστάς. ἠσφαλισάμην σε, φησὶ, τῇ δεξιᾷ μου τῇ δικαίᾳ. Καὶ ἰδοὺ, αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντίδικοί σου. ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὑρήσεις, τοὺς ἀνθρώπους, οἳ * παρῳνήκασί σε. ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε· ὅτι ἐγὼ ὁ Θεός σου ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι, μὴ φοβοῦ. ἐγὼ ἐβοήθησά σοι, μὴ φοβοῦ σκώληξ Ἰακὼβ, ὀλιγοστὸς Ισραήλ. ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεὸς, * ὁ λυτρούμενος, ὁ ἅγιος Ισραήλ. οὐκοῦν οὐκ ἔστιν οὕτως; οὐ λέγει ταῦτα ὁ Θεὸς διὰ τοῦ προφήτου περὶ τῶν Ἑβραίων; τὸ λοιπὸν καὶ αὐτὸς παῦσαι, καὶ μὴ κόπους παρέχε πλέον. Καὶ ὁ ἅγιος. Τὴν μὲν προφητείαν εἴρηκας. ὃ δὲ περὶ οὗ προαγορεύει, * οὐδαμοῦ ἐπίστασαι. Ἑρβαν. Περὶ Ισραὴλ πάντως φάσκει, καὶ περὶ Ἰακὼβ, καὶ περὶ σπέρματος Ἀβραάμ. Καὶ ἆρα οὐκ ἐπίσταμαι ἐγὼ ἵνα φθέγγωμαι; ἀπ᾽ ἄκρου γῆς, ἤγουν ἐξ Αἰγύπτου διηγεῖται αὐτὸν προσκεκληκέναι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ αὐτὸς φάσκεις τάδε κἀκεῖνα. Καὶ ὁ ἅγ. Τὸ, σὺ Ισραὴλ παῖς μου Ἰακὼβ, ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ ὃν ἠγάπησα, ἐνωτιζόμενος, ὦ Ἑρβὰν ἐρημοβάτουτε, μὴ περιρρεμβάζου, ὅτι περὶ παντὸς δήμου τῶν Ἰουδαίων τοῦτο εἴρηκεν, ἀλλὰ περὶ τοῦ ἐμοῦ Χριστοῦ, ὃς ἦν Θεὸς ἐκ Θεοῦ, καὶ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐγένετο ἄνθρωπος, ἐκ σπέρματος Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· ἐπεὶ Ἰσμαὴλ ἐξ Ἀβραὰμ * Ἰσαὰκ ἔφυ. ἵνα σὺ μὴ * εὕρῃς ὅτι ἴσως ἐκ φυλῆς ἦν Ἰσμαὴλ, διὰ τοῦτο ὁ προφήτης εἴρηκεν, Παῖς μου Ἰακὼβ ὃν ἠγάπησα. εἰ δὲ * εὕρῃς ὅτι οὐχ οὕτως ἐστὶ, δεῖξόν μοι αὐτὸς, ποίῳ χρόνῳ οὐκ ἐγκατέλιπέ σε ὁ Θεός· οὐκ εἶ διεσκορπισμένος εἰς τὰ πέρατα τῆς οἰκουμένης, οὐκ εἶ ὄνειδος; οὐκ εἶ ἐγκαταλελειμμένος Θεῷ καὶ παρὰ ἀνθρώποις; λέγει ὁ προφήτης, Μετὰ σοῦ γάρ εἰμι, καὶ ἐγώ εἰμι Θεὸς ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ μου τῇ δικαίᾳ.

A ἐκ κοινοῦ ποῦ ἐστι μεθ' ὑμῶν τῶν Ἑβραίων ἀρτίως ὁ Θεός; Ὅτι καὶ αὐτὰ τὰ μικρὰ, καὶ μὴ πιστεύσαντα ἔθνη εἰς τὸν Χριστὸν, τύπτουσιν ὑμᾶς, καὶ ὡς παίγνιον κέκτηνται. κατὰ ποῖον τρόπον λαμβάνετε ὑμεῖς ἀρτίως ἰσχὺν παρὰ Κυρίου, τοσοῦτον ὑπάρχοντες ἀνίσχυροι, ὅτι οὐδὲ τὴν ἴσην κώνωπος πρὸς τὸ δάκνειν τοὺς ἐχθροὺς ὑμῶν κέκτησθε δύναμιν; ποῦ δὲ καθορᾶται ἀρτίως βοηθῶν ὑμῖν Κύριος; ἐπὶ τίνι πράγματι; ἐπὶ τίνι * ἀπειθείᾳ; ἐπὶ ποίᾳ δόξα, ἢ τιμὴ, ἢ δυναστεία; οὐκ εἶ ὡσεὶ σποδὸς καὶ ὡς ὁμίχλη τὸ πρόσωπον τεταγμένος; ἰδοὺ οἱ Ἑβραῖοι, B ἰδοὺ καὶ σὺ αὐτός. ἰδέτωσαν οὖν τὰ πρόσωπα ὑμῶν οἱ βουλόμενοι. οὐκ εἰσὶ χόνις; οὐ πεφύκασι τέφρα; πόθεν; ἐκ τοῦ μὴ εἶναι χάριν ἐκ Θεοῦ ἐν ὑμῖν, ἐν τῷ μὴ ἔχειν ὑμᾶς πνεῦμα ἅγιον. διὰ τὴν ἀπιστίαν ὑμῶν καὶ κακοπραγίαν, οὐκ ἐστὲ διεσχισμένοι ἀπ' ἀλλήλων εἰς τὰ πέρατα τῆς οἰκουμένης, ὡσεὶ διερρωγὼς χιτωνίσκος, καὶ ὡσεὶ ἱμάτιον πεπαλαιωμένον. πότε δὲ ᾐσχύνθησαν καὶ ἐνετράπησαν πάντες ὅσοι πρὸς ὑμᾶς ἠναντιώθησαν; ποῦ εἰσὶν ὡς οὐκ ὄντες οἱ ὑμῶν ἀντίδικοι; πότε δὲ ἐζητήσατε αὐτοὺς, καὶ οὐχ εὑρέθησαν; ποῦ δὲ ὁ Θεὸς κρατῶν τῆς δεξιᾶς ὑμῶν, καὶ ὁδηγῶν ὑμᾶς ἐπὶ τινὶ εὐτυχήματι; C ποῦ δὲ χρηματίζεται * καὶ ὡσεὶ σκώληξ τεταπεινωμένος, ὁ τῶν Ἰουδαίων σοβαρός τε καὶ λιθοκάρδιος; ποῦ δὲ καὶ ὀλιγοστοὶ χρηματίζετε, καὶ τὴν λύτρωσιν παρὰ Κυρίου κεκτημένοι, οἱ ἐν πάσῃ τῇ γῇ ὡσεὶ * ἀχρεῖς καθήμενοι, καὶ παρὰ πάντων ἐμπτυόμενοι, καὶ μηδεμίαν λύτρωσιν παρὰ Κυρίου δεχόμενοι; ἀπατᾷ ὦ Ἑρβᾶν. ταῦτα γὰρ περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ ὁ προφήτης ᾐνίξατο. καὶ ἐξελέξατο αὐτὸν ὁ Θεὸς, καὶ ἐκάλεσε, καὶ ἡγίασε, καὶ ἠγάπησε, καὶ οὐκ ἐγκατέλιπε, καὶ ἐνίσχυσε, καὶ ἐβοήθησε, καὶ ἠσφαλίσατο τῇ δεξιᾷ αὐτοῦ τῇ μεγίστῃ. D ἀποκρίθητι τίς ἀρτίως δοξάζεται, τίς βασιλεύει, τίς ἐστιν ἰσχυρὸς καὶ μεγαλοδύναμος, ἀλλ' ἢ Ἰησοῦς Χριστὸς ὁ κύριός μου καὶ Θεός; οὐκ ἐστὲ ὑμεῖς οἱ Ἑβραῖοι ἐν αἰσχύνῃ καὶ ἐν τροπῇ μεγίστῃ, ὡς ἀντιπεσόντες αὐτῷ; καὶ ἀκμὴν ἀντικείμενοι; οὐ πεφύκατε ὡς οὐκ ὄντες; ποῦ γὰρ καὶ καθορᾶσθε. ζητεῖτε οἱ ἐχθροὶ τοῦ ἐσταυρωμένου, καὶ οὐχ εὑρίσκετε, διότι παρῳνήσατε σταυρώσαντες τὸν δίκαιον καὶ ἅγιον καὶ ἀναμάρτητον. γίνωσκε οὖν, ὅτι περὶ ὑμῶν λελάληκεν ὁ προφήτης, Ὅτι ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί E σοι. οὐδεὶς γὰρ τοσοῦτον ἀντίκειται τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ, ὡς ὑμεῖς οἱ ἐπικατάρατοι, οἱ ἄπιστοι. οἱ γὰρ ἐκ τῶν ἄλλων αἱρέσεων ἀντιπίπτοντες, μερικῶς ὡς πρὸς ὑμᾶς ἐναντιοῦνται αὐτῷ. καὶ μηκέτι λογοτριβῶν περιάγου μοι ὦ Ἰουδαῖε. ὀφθαλμοὺς γάρ μοι δέδωκεν ὁ Θεὸς νοερούς, καὶ κατοπτεύω τὴν ἐν τῷ βάθει τῆς ἁγίας γραφῆς κειμένην ἀλήθειαν.

Ergo vbi nunc vobiscum Hebræis Deus est? præsertim cũ & ipsæ gentes quæ exiguæ sunt, quæ nondum in Christum crediderunt, vos verberant & vexant, & velut ludibriũ habẽt. Quonam igitur modo vos à Deo nunc robur & vires accipitis, cùm sitis tam debiles atque infirmi, vt neque culicis vim parem habeatis ad vestros inimicos remordendos? Vbinã hoc tempore Dominus conspicitur vobis opem ferre. Quanam in re? In quo obedientia? in quo gloria, vel honor, vel potentia? Nónne es tanquam sordidus cinis, & carbo extinctus, & tanquam caligo, si facies spectetur, redactus? En adsunt Hebræi, ecce & tu ipse. Videãt qui volunt facies vestras: nónne sunt puluis, non cinis, non squallor? vnde? Quia neque gratia neque auxilium ex Deo vobis adsit, & quia non habeatis spiritum sanctum. Propter perfidiam & peruicaciam ac malitiam vestram, non estis diuisi & dissiti alij ab aliis, ac dispersi in fines orbis terrarum, tanquam lacera tunica, & veluti vestimentum vetustate detritũ? Quando autem erubuerunt, & confusi sunt omnes, qui vobis aduersati sunt? Vbi sunt tanquam qui esse desierunt, vestri aduersarij? Quando quæsiistis ipsos, & non inuenti sunt? Vbi autem Deus vestram dextram tenens & vos ad aliquem prosperum euentum dirigẽs? Vbi etiam dicitur velut vermis humiliatus ex Iudæis arrogans & saxeo corde præditus ac peruicax? Vbi præterea estis illi paucissimi, & liberationem à Domino adepti? qui in omni terra, velut terrore perculsi & attoniti & muti desidetis, & ab omnibus conspuimini, nullam à Domino liberationem accipientes? Tota erras via, ô Herbane. Hæc enim de meo Christo & Deo, Propheta vaticinatus est. Et elegit ipsum Deus & vocauit, & sanctificauit, & dilexit: & non dereliquit: & corroborauit, & iuuit, & confirmauit dextra sua maxima & potentissima. Responde, quis modò glorificatur, quis regnat, quis fortis est & præpotens? Non alius, quàm Iesus Christus Dominus meus & Deus. Non vos Hebræi maximo pudore & dedecore ac probro confusi estis, vt qui in ipsum incursaueritis, & grauiter aduersati estis? Nónne estis vt illi qui non sunt? Vbi etiam nunc conspicimini? Vos eius qui cruci fuit confixus, inimici, ipsum quæritis, & non inuenitis: propterea quòd contumeliosè debacchati estis, iustum & sanctum & innocentem, omnisque peccati expertem patibulo defigẽtes. Cognosce igitur, quod de vobis locutus est Propheta, *Erubescent & confundentur omnes qui aduersantur tibi.* Nullus enim hominum tam hostiliter & acerbè aduersatur Domino meo Iesu Christo, quã vos qui estis execrabiles, perfidi, infideles. Nam ex aliis sectis qui obsistunt ac renitũtur, in parte aliqua vt aduersus vos, ei aduersantur. Ne igitur, ô Iudæe, sermonem in vanum conterens circunducas. Nam mihi Deus dedit oculos eruditos & intelligentes, quibus ego etiam in profundo sacræ scripturæ delitescentem veritatẽ penitus perspicio,

* Fort. εὐπειθίᾳ;

* Fort. χρηματίζει

* Fort. ἀχρίδες

Tu verò cæcutiens inescare me non poteris. A
HERBANVS. Si hoc ita est, quomodo
Christum tuum, Deum appellas, ob id, quia
Deus meus ipsum elegit, dilexit, & cætera?
Nō igitur hic Deus est, sicut tu affirmas: quia
de eo per Prophetam dicit, *Ego sum qui te for-
tem reddidi*. Quo modo igitur appellas ipsum
Deum, & saluatorem tuum, qui quidem, sicut
Propheta testatur, sine Deo meo nihil potest
facere? SANCTVS ARCHIEPISCOPVS.
O miser tot iam de ipso demonstrationes &
testimonia ostendi, & nondū intellexisti, qui-
bus naturis constat meus Dominus. Nónne
pridie dixi, meum Iesum Christum Deum B
esse & hominem? Deum autem, quem? Illum
qui dicit, *Ego Deus primus*. Illud verò, *Ad quæ
veniunt, ego sum*, quænam alia venientia dicit,
quàm carneæ dispēsationis mysterium? Quo-
niam igitur Deus & homo fuit, adiutus fuit
prorsus quoad humanitatem. *Ego elegi te*, vt
esses mihi per subsistentiam filius: *& ego adiu-
ui te*, nempe per te iuui omnē humanitatem,
quæ sacro lauacro tingitur in Patrem, & Fi-
lium, & Spiritum sanctum. HERBANVS. Vbi-
nam Prophetarum quisquam vaticinatus est
Christum futurum esse Deum & hominem,
sicut dixisti? SANCTVS ARCHIEPISCOPVS. C
Tibi dixi, Diuinitatem sibi efformasse & ad-
iunxisse humanitatem, quæ quidem perpessa
est. Iesus Christus ex puro castóque sanguine
Virginis & Deiparæ, quæ fuit ex semine Da-
uidis, sine viri congressu in mundum prodiit,
vnus ex duabus naturis etiam posteaquam
homo factus est. huius humanitas quidem
omnia quæ ipse ego habeo, obtinuit, excepto
peccato: Diuinitas verò eius quæcunque pa-
ter habuit, excepta ingeniti ratione. Non
enim Deus (Pater) genitus est, Verbum Filius
eius est genitum. In vna autem hypostasi & D
diuinitas eius & humanitas coniuncta est,
quoniam caro eius non est sata ex semine: sed
Verbum Dei pro semine in vtero Virginis in-
ducit in carnem, absque vlla omnino conuer-
sione aut immutatione eius Diuinitatis. Est
enim inconuertibilis atque immutabilis Di-
uinitas. Quoniam igitur diximus, quod Di-
uinitas sibi efformauit humanitatem, nuda &
simplici essentia cum hominibus conuer-
sari nolebat: Dicit enim Esaias de eo: *Sic dicit
Dominus, Deus qui formauit ipsum, qui fecit ea
quæ eueniunt*, nempe nouæ gratiæ mysteria,
Ego (inquit) *excitaui ipsum cum iustitia regem, & E
omnes viæ eius rectæ*: id est, Christi: *Hic enim
ædificabit ciuitatem meam*: id est, vt arbitror,
Catholicam Ecclesiam: *& captiuitatem populi
mei conuertet*, ab errore & captiuitate dia-
boli: *non* (inquit) *cum pretio redemptionis &
donis, dixit Dominus Deus*, sed robore diuini-
tatis. Audi quomodo gentes se eius imperio
subiecerint & submiserint. *Sic dicit Dominus
Deus Sabaoth, Laborauit Ægyptus*, dum nimi-
rum errori seruiuit: *& Æthiopum negotiatio.*

σὺ δὲ τυφλώττων, δελεάσαι με οὐ δυνήσῃ. Καὶ ὁ Ἑρ-
βανός. Καὶ εἰ οὕτως ἔχει, ποίῳ δὲ τρόπῳ τὸν Χριστόν σου
Θεὸν προσαγορεύεις, ἐφ' ᾧ Θεὸς ὁ ἐμὸς ἐξελέξατο, καὶ
ἠγάπησε, καὶ τὰ ἑξῆς; Οὐκοῦν οὐκ ἔστι Θεός, ὡς λέγεις,
ὅτι φάσκει περὶ αὐτοῦ διὰ τοῦ προφήτου, Ὅτι ἐγὼ γάρ εἰ-
μι ὁ ἐνισχύσας σε. πῶς δὲ καὶ ἀποκαλεῖς αὐτὸν Θεὸν καὶ σω-
τῆρά σου, ὅστις καθὼς ἡ προφητεία μαρτυρεῖ, ἄνευ τοῦ
ἐμοῦ Θεοῦ πρᾶξαί τι οὐ δύναται; Καὶ ὁ ἅγιος. Το-
σαύτας ἀποδείξεις, ἄθλιε, περὶ αὐτοῦ δεξάμενος, οὐ-
δέπω συνῆκας, ἐν οἷς φύσεσιν ὁ ἐμὸς δεσπότης ἐχρη-
μάτισεν; οὐ τῇ προτέρᾳ λελάληκα, ὅτι ἐμὸς Ἰησοῦς
Χριστὸς Θεός ἐστι καὶ ἄνθρωπος; Θεὸς δὲ ποῖος; ἐκεῖνος ὁ
λέγων, Ὅτι ἐγώ, φησί, Θεὸς πρῶτος. τὸ δέ, εἰς τὰ ἐπερ-
χόμενα ἐγώ εἰμι, ποῖα ἐπερχόμενα λέγει, ἀλλ' ἢ τῆς
ἐνσάρκου οἰκονομίας μυστήριον; ἐπεὶ οὖν ὁ Θεὸς καὶ
ἄνθρωπος ἐχρημάτισεν, ἐβοηθεῖτο πάντως τῇ ἀνθρω-
πότητι. ἐγὼ ἐξελεξάμην σε, τοῦ γενέσθαι ἐμοὶ καθ'
ὑπόστασιν, καὶ ἐγὼ ἐβοήθησά σοι, ἤγουν διὰ σοῦ πάσῃ
τῇ ἀνθρωπότητι, τῇ βαπτιζομένῃ εἰς πατέρα καὶ υἱὸν
καὶ πνεῦμα ἅγιον. Καὶ ὁ Ἑρβανός. Καὶ ποῦ ἠνίξατό τις τῶν
προφητῶν, ὅτι Θεὸς ἄνθρωπος ἔσται ὁ Χριστός, ὃν τρό-
πον λελάληκας; Καὶ ὁ ἅγιος. Εἴρηκά σοι, ὅτι ἡ θεότης
ἔπλασεν ἑαυτῇ ἀνθρωπότητα, ἥτις καὶ πέπονθεν. Ἰη-
σοῦς Χριστὸς ἐξ ἁγνῶν αἱμάτων τῆς παρθένου καὶ θεοτό-
κου, ἥτις ἐστὶν ἐκ σπέρματος Δαβίδ, ἄνευ ἀνδρὸς
συνουσίας προῆλθεν, εἷς ἐκ δύο καὶ μετὰ τὴν ἐναν-
θρώπησιν. καὶ ἡ μὲν ἀνθρωπότης αὐτοῦ πάντα ὅσα
κέκτημαι κἀγώ, ἐκέκτητο, πλὴν τῆς ἁμαρτίας. ἡ δὲ
θεότης αὐτοῦ, πάντα ὅσα ὁ πατὴρ ἐκέκτητο, πλὴν τῆς
ἀγεννησίας. ἀγέννητος γὰρ ὁ Θεός, γεννητὸς δὲ ὁ λόγος
αὐτοῦ. ἐν μιᾷ δὲ τῇ ὑποστάσει ἥ τε θεότης αὐτοῦ καὶ ἡ
ἀνθρωπότης στοιχεῖται, ἐπειδὴ ἡ σὰρξ αὐτοῦ οὐκ ἐσπά-
ρη, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ ἀντὶ σπέρματος ἐν τῇ μή-
τρᾳ τῆς παρθένου, ἐπάγει εἰς σάρκα, μηδὲν δὲ καθόλου
τραπεὶς ἢ ἀλλοιωθεὶς τῆς αὐτοῦ θεότητος. ἄτρεπτος γὰρ ἡ
θεότης καὶ ἀναλλοίωτος. ἐπεὶ οὖν εἰρήκαμεν ὅτι ἡ θεότης
ἔπλασεν ἑαυτῇ ἀνθρωπότητα, γυμνῇ τῇ οὐσίᾳ τοῖς ἀν-
θρώποις συναναστρέφεσθαι οὐκ ἐβούλετο. λέγει γὰρ ὁ
Ἡσαΐας περὶ τούτου, Οὕτως φησὶ κύριος ὁ Θεὸς ὁ
πλάσας αὐτόν, ὁ ποιήσας τὰ ἐπερχόμενα, ἤγουν τὰ τῆς
νέας χάριτος μυστήρια. Ἐγώ, φησίν, ἤγειρα αὐτὸν μετὰ
δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι,
τοῦτ' ἔστι, τοῦ Χριστοῦ. οὗτος οἰκοδομήσει τὴν πόλιν μου. οἴ-
μαι δὲ τὴν καθολικὴν ἐκκλησίαν, καὶ τὴν αἰχμαλωσίαν
τοῦ λαοῦ μου ἐπιστρέψει ἀπὸ τῆς πλάνης καὶ τῆς αἰχμα-
λωσίας τοῦ διαβόλου. οὐ μετὰ λύτρων, φησίν, οὐδὲ
μετὰ δώρων, εἶπε κύριος ὁ Θεός, ἀλλὰ ἰσχύϊ θεότητος.
Καὶ ἄκουσον τὴν ὑποταγὴν τῶν ἐθνῶν. Οὕτω
φησὶ κύριος ὁ Θεὸς σαβαώθ, ἐκοπίασεν Αἴγυπτος,
τοῦτ' ἔστι τῇ πλάνῃ δουλεύσασα, καὶ ἐμπορεία Αἰθιόπων,

καὶ οἱ Σαββαΐνοι ἄνδρες ὑψηλοὶ, ἐπὶ σὲ ἀναβήσονται, ἤγουν πιστεύσαντες, καὶ σοὶ ἔσονται δοῦλοι. Καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, δηλονότι τῇ ἀσφαλείᾳ τῆς ὑποταγῆς αὐτῶν· καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί* σε, διὰ τῆς πίστεως, καὶ ἐν σοὶ προσεύξονται. Καὶ ὅτι ἐν σοὶ Θεός ἐστιν, ἤγουν ἐν τῇ ἀνθρωπότητι αὐτοῦ, σὺ εἶ Θεὸς, πρόσεχε, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ, διὰ τὸ εἶναι αὐτὸν τὸν λόγον τὸν ἀληθινὸν, ἀψευδῶς λέγει ὁ προφήτης. σὺ γὰρ εἶ, φησὶν, ὁ Θεὸς, καὶ οὐκ εἴδομεν, διότι τῇ πλάνῃ τῶν εἰδώλων προκατειλήμμεθα. Θεὸς τοῦ Ἰσραὴλ, κἂν σαρκωθέντος σου, οὐ προσδέχονταί σε. ἀλλὰ σὺ εἶ ὁ σωτήρ. ἐπάγων δὲ περὶ τῶν ἀπιστούντων αὐτῷ, λέγει, Αἰσχυνθήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, οἵτε ἐξ ἡμῶν τῶν ἐθνῶν, καὶ ἐξ ὑμῶν τῶν Ἑβραίων· καὶ πορεύσονται, φησὶν, οὗτοι ἐν αἰσχύνῃ, ὡς ἀπηλλοτριωμένοι τῆς ἀληθείας καὶ ἄπιστοι. προσέχεις, Ἑρβᾶν, τίνα λέγει ὁ προφήτης; τί οὖν ἐρεῖς πρὸς ταῦτα; μὴ ἄρα ψεύδεται ὁ ἐκ στόματος Θεοῦ λαλήσας ταῦτα; Καὶ ὁ Ἑρβάν. Μὴ γένοιτο. οὕτως γὰρ λέγει ὁ προφήτης καθ' ὃν τρόπον λελάληκας. ἀλλὰ δοκῶ, ὅτι μήπω ἐκεῖνον ἐληλυθέναι, πάντως δὲ ἐλεύσεται ἰδίῳ καιρῷ. Καὶ ὁ ἅγιος. Ἔοικας ὄφει τινὶ, καταδιωκομένῳ ὑπό τινος, καὶ τυπτομένῳ, ὃς πᾶν τὸ σῶμα προθεὶς τῷ τύπτοντι, τὴν πονηρὰν κεφαλὴν οὐ δύναται προδοῦναι εἰς θάνατον. τουτέστι, τὴν κακοπιστίαν καὶ τὴν τοῦ μονογενοῦς υἱοῦ Θεοῦ ἄρνησιν. μὴ γὰρ οὐκ ἐπίσταμαι, ὅτι πείθουσί σε αἱ ἀποδείξεις τῶν προφητῶν, ἀλλ' οὐ βούλει ἐλθεῖν ἐπὶ τὴν ἀλήθειαν (χρονίᾳ γὰρ κακὴ συνήθεια βεβαιωθεῖσα ἐν σοὶ, δυσίατος ἐγεγόνει, ἢ καὶ παντάπασιν ἀνίατος) καὶ ὁπόταν μεταμεληθήσῃ, διανοιγομένων τῶν ὀφθαλμῶν τῆς ψυχῆς σου, ὁπόταν ἐκλείψῃς τοῦ τῇδε βίου, καὶ βλέψῃς, πῶς οἱ μὴ τῷ Χριστῷ πιστεύσαντες παραλαμβάνονται καὶ καταδικάζονται. Ἑρβάν. Μωϋσῆς ἡμῖν ἐν τῇ Πεντατεύχῳ παραγγέλλει λέγων, Ἐπίσταμαι ἐγὼ, φησὶν, ὅτι ἐπ' ἐσχάτων τῶν χρόνων διασκορπισθήσεσθε ἐν πᾶσι τοῖς ἔθνεσι. διαμαρτύρομαι οὖν ὑμῖν, τὸν οὐρανὸν, ὅς ἐστι σήμερον, καὶ αὐτὴν τὴν γῆν, μὴ πεισθῆναι Θεῷ ἑτέρῳ ὑποκλιθῆναι, πάρεξ Κυρίου τοῦ Θεοῦ ἡμῶν. Οὐκοῦν βαρύ μοί ἐστι καταλιπεῖν τὸν Θεὸν τοῦ νόμου, ὃν καὶ σὺ μαρτυρεῖς, ὅτι ἐστὶ Θεὸς ἀληθείας· καὶ προσκυνῆσαι Θεῷ νεωτέρῳ, πόθεν ἐπεισαχθέντι οὐκ εἰδώς. τίς γάρ ἐστιν ὁ πληροφορῶν μοι, ὅτι ἐν ἀληθείᾳ αὐτός ἐστιν ὁ Χριστὸς, περὶ οὗ καὶ αἱ προφητεῖαι δικαίως λέγουσιν, ἢ μᾶλλον ἕτερός τίς ἐστι, καὶ ἀκμὴν οὐκ ἐληλυθώς; Καὶ ὁ ἅγιος. Ὅταν τοῖς σοῖς προφήταις οὐ πιστεύεις, πῶς ἑτέρῳ τινὶ πιστεύσεις; ὁ γὰρ τοῖς ἑαυτοῦ ὀφθαλμοῖς ἐναντιούμενος, πῶς ἑτέρου ὁδηγουμένου παραδέξεται; Εἴρηκας δὲ περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ, Ὅτι νεωτέρῳ Θεῷ ἀδύνατόν σε πιστεῦσαι, καί, οἶμαι, ὅλος σκότους ἐπλήσθης ταῦτα φθεγξάμενος.

A *Et qui nunc in Sabba sunt excelsi viri, ad te ascendent*, scilicet credentes, *& tibi erunt serui. Et à tergo tuo sequentur vincti manicis*: nimirum firmitate & certitudine summissionis suæ: *Et ad te transibunt, & adorabunt te*, per fidem, *& in te precabuntur. Et quia in te Deus est*, nempe in humanitate tua, *tu es Deus*. * αἱ Animaduerte, *non est Deus præter te*: propterea quod ipse sit verbum verum, absque vllo mendacio dicit Propheta. *Tu es enim* (inquit) *Deus, & nesciuimus*, quia errore simulachrorum siue Deorum falsorum detenti & occupati eramus, *Deus Israëlis*, & hi postquam carne tectus & indutus fuisti, non accipiunt B te. Tu tamen Deus es seruator. Deinde subiungens de his qui in eum non credunt: *Erubescent & confundentur omnes inimici tui*, & qui ex nobis gentibus, & qui ex vobis Hebræis. *Et ambulabunt* (ait) *isti in pudore*, vt à veritate alienati & perfidi. Aduertis, ô Herbane, quænam dicat Propheta? quid ad ea dices? Nunquid mentitur Dei ore hæc effatus? HERB. Absit. Sic enim dicit Propheta quo modo recitasti. Sed nondum puto illum (scilicet Messiam) aduenisse: sed veniet procul dubiò suo tempore. S. ARCH. Serpenti persimilis videris, quem aliquis persequitur & ferit, hic percutienti totum corpus obiiciens, C malignum caput ad mortem prodere non potest: id est, malignam perfidiam, & vnigeniti filij Dei abnegationem. Equidem scio Prophetarum demonstrationes tibi fidem facere: sed ad veritatem non vis venire. (Nam temporis diuturnitate peruersa consuetudo in te confirmata atque inueterata curatu difficilis, vel omnino insanabilis euasit:) & quoties te aliquando pœnitebit, animæ tuæ apertis oculis, cum hac vita defunctus fueris, & videbis, quomodo qui Christo non crediderunt, corripiuntur & iudicantur. HERBANVS. Moses nobis in Pentateucho D denuntiat, dicens: *Scio ego* (inquit) *quod in extremis temporibus in omnes gentes dissipabimini. Vobis igitur testificor cælum, quod est hodie, & ipsam terram, ne Deo alieno fidem habeatis, neque inuocetis alium, quàm Dominum Deum nostrum.* Quamobrem mihi graue est & acerbum, Deum legis deserere, quem etiam tu testaris Deum esse veritatis, & Deum iuniorem adorare, cùm nesciam vnde introductus sit. Quis enim est qui mihi plenam & exactam fidem faciat, quòd verè hic est Christus, de quo Prophetarum oracula iustè & verè lo- E quuntur: an potius alius quidam est, qui nondum venit? SANCTVS ARCHIEPISCOPVS. Quandoquidem tuis Prophetis non credis, quomodo alteri fidem habebis? Qui enim suis oculis aduersatur, quomodo alterius præeuntis ac ducentis oculos approbabit? De meo Christo & Deo dixisti te non posse adduci vt iuniori Deo credas: vt reor, tenebris plenus eras, cùm hæc dixisti.

Per quem etiã instaurabuntur omnia. Ephes. c. 1.

Verbum Dei & patris, tu iuniorem Deum appellas? eum qui ex Patre genitus est ante secula, per quem cœlum & terra, & omnia quæ in eis sunt, facta sunt & constant? Tibi autem demonstrabo, Deum Patrem nihil quicquam operari sine hoc iuniore Deo, quem sic tu appellas. Attende diligenter. Si quis homo rex, vel alius, qui nullo modo fari possit, quo modo sua edicta & mandata Reipublicæ & Senatui poterit exponere, vt ipsum curent? HERBANVS. Nullo re vera modo, nisi literas sæpè sciat scribere, & tacito ore in charta verba sua exaret, & præbeat, & fiant. S. ARCH. Quod si literas nesciat, quid fiet? HERB. Si ignoret literas, manet prorsus iners, nec quicquam potest efficere. SANCTVS ARCHIEPISCOPVS. An verò Deus suo verbo videtur facere omnia, an silentio quodam & scientia? HERB. Verbo suo, & mandato. S. ARCH. Scriptum est, quòd *Verbo Dei cæli firmati sunt, & spiritu oris eius omnis virtus eorum*, & cætera. Hoc autem Verbum nos inuenimus, in extremis diebus ex semine Dauidis hominem factum propter salutem nostram, & cognoscimus ipsum vnum Deum cum Patre & Spiritu, & credimus in ipsum. Tu igitur quomodo dicis eum Deum iuniorem esse, sine quo Deus Pater nunquam quicquam operatur? Tace ergo, & noli impias & infandas contumelias euomere, tametsi in ipsum nondum credis. HERB. Et quis Propheta præcipit mihi, vt in ipsum credam? SANCTVS ARCHIEPISCOPVS. Ipsemet Deus legis hortatur per Prophetam Esaiam, dicens: *Ecce* (inquit) *mittam ad fundamenta Sionis lapidem pretiosum, & qui credit in ipsum, non confundetur.* Cùm igitur Deus tuus iubeat vt credas in ipsum, quam ob causam repellis, & oculos claudis, aurésque obstruis, & eius aduentum prorogas? Si Deum tuum contemnis, & ad iram prouocas, qui iubet te adorare suum Filium: an me vel alium vnquam audieris, & ad hoc persuasus veneris? Non opinor: non si annos Mathusalæ longæuus in terra contriueris. HERB. In plurimis, vt video, Prophetæ ipsi sibi repugnare & contradicere deprehenduntur. Nam locis & capitibus quibusdam nobis Iudæis fauere inueniuntur, in aliis verò vobis Christianis qui ex gentibus estis. S. ARCH. Nusquam sibi aduersantur, vel vobis Iudæis, sicut dicis, fauere inueniuntur, sed potius vos condemnare: quandoquidem ab initio duræ & rigidæ ceruicis fuistis, ad omnem rectam rationem cæcum & surdum & saxeum omnino cor habentes, incircuncisi auribus: Deo refractarij & peruicaces, Spiritui sancto resistentes, sanctissimum nomen eius valde contristastis. HERBANVS. Quis tua magnifica & elegantia verba congesserit supra arenam quæ est in litore maris? Quis occurreret

Verbo, Dei Filio, per quẽ Pater operatur, per quem fecit & secula. Ps. 32. Heb. 1.

* αὐτῶν

Christus heri & hodie & ante secula. Pater diligit filium, & omnia tradidit in manum eius. Ioan. 3.

* ἔτι

* τὸν Θεὸν
* παροργίζεις
* κελεύοντί σε,
ἢ κελεύοντα

Duri ceruice & incircuncisi corde & auribus vos semper Spiritui sancto resistitis: sicut patres vestri, ita & vos. Verba sunt D. Steph. Act. Apost. 7.

A Τὸν γὰρ λόγον τοῦ Θεοῦ καὶ πατρὸς σὺ νεώτερον Θεὸν ἀποκαλεῖς, τὸν ἐκ πατρὸς πρὸ αἰώνων γεννηθέντα, δι᾽ οὗ ὁ οὐρανὸς καὶ ἡ γῆ δεδημιούργηται, καὶ πάντα τὰ ἐν αὐτοῖς; δείξω σοι δὲ, ὅτι χωρὶς τοῦ νεωτέρου τοῦδε Θεοῦ, ὡς σὺ φῂς, τί ποτ᾽ οὔπω οὐ κατεργάζεται ὁ Θεὸς καὶ πατήρ. πρόσεχε δὲ ἀκριβῶς· ἐάν τις ἄνθρωπος βασιλεὺς, ἢ ἄλλος, μὴ δὲ καθόλου φθέγξασθαι δυνάμενος, ποίῳ τρόπῳ ἕξει τὰ διατάγματα αὐτοῦ τῷ κοινῷ καὶ τῇ συγκλήτῳ διηγήσασθαι, ὅπως αὐτὸν θεραπεύσωσιν; Ερβαν. Οὕτως οὐδενὶ, εἰ μὴ ἐπίσταται πολλάκις γράμ-

B ματα, καὶ σιωπῶντος τοῦ στόματος, χαράττει ἐν τῷ τόμῳ τὰ ῥήματα αὐτοῦ, καὶ παρέχει, καὶ γίνονται. Καὶ ὁ ἅγιος. Ἐὰν δὲ μὴ ἐπίσταται γράμματα, τί γίνεται; Ερβαν. Ἐὰν μὴ ἐπίσταται, μένει παντελῶς ἀνενέργητος. Καὶ ὁ ἅγιος. Ὁ Θεὸς οὔπω τῷ λόγῳ αὐτοῦ φαίνεται ποιῶν πάντα, ἢ σιωπῇ τινι καὶ ἐπιστήμῃ; Ερβαν. Τῷ λόγῳ αὐτοῦ, καὶ τῷ προστάγματι. Καὶ ὁ ἅγιος. Γέγραπται, ὅτι τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις * αὐτοῦ· καὶ τὰ ἑξῆς. τοῦτον δὲ τὸν λόγον εὑρίσκομεν

C ἡμεῖς, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐκ σπέρματος Δαβὶδ ἐνανθρωπήσαντα, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν, καὶ γνωρίζομεν αὐτὸν ἕνα Θεὸν σὺν τῷ πατρὶ καὶ πνεύματι, καὶ πιστεύομεν εἰς αὐτόν. σὺ οὖν πῶς εἴρηκας αὐτὸν Θεὸν εἶναι νεώτερον, οὗ χωρὶς ὁ Θεὸς καὶ πατὴρ τί ποτ᾽ οὔπω ἐργάζεσθαι οὐ πέφυκε; σιώπα τοίνυν, καὶ μὴ βλασφήμει, κἂν * ἐπεὶ οὐ πιστεύεις εἰς αὐτόν. Ερβαν. Καὶ ποῖος προφήτης ἐπιτρέπεταί μοι πιστεύειν εἰς αὐτόν; Καὶ ὁ ἅγιος. Αὐτὸς ὁ Θεὸς τοῦ νόμου προτρέπεταί σοι λέγων διὰ Ἡσαΐου τοῦ προφήτου· Ἰδοὺ ἐγὼ, φησὶν, ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, καὶ

D ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται. τοῦ Θεοῦ σου τοιγαροῦν προστάσσοντος, ἵνα πιστεύσῃς εἰς αὐτὸν, διὰ τὴν αἰτίαν ἀπωθεῖς καὶ καμμύεις, καὶ βύεις τὰ ὦτα, καὶ ἀναβάλλῃ τοῦ προσελθεῖν αὐτῷ, εἰ * τῷ Θεῷ σου παρορᾷς καὶ * παροργίζῃ, * κελεύοντός σε προσκυνεῖν τῷ υἱῷ αὐτοῦ. ἐμοῦ ἢ ἑτέρου πώποτε εἰσακούσῃ εἰς τοῦτο, οὐκ οἶμαι, οὐκ ἂν χρονοτριβήσῃ ἐπὶ τῆς γῆς τὰ ἔτη τοῦ Μαθουσάλα. Ερβαν. Ὡς ὁρῶ, καὶ οἱ προφῆται εἰς τὰ πλεῖστα αὐτῶν ἐναντιούμενοι εὑρίσκονται. ἐν τισὶ γὰρ κεφαλαίοις, ἡμῖν τοῖς Ἰουδαίοις βοηθοῦντες εὑρίσκον-

E ται, ἐν τισὶ δὲ καὶ ὑμῖν τοῖς ἀπὸ τῶν ἐθνῶν. Καὶ ὁ ἅγιος. Οὐδαμοῦ εὑρίσκονται ἀντεχόμενοι, ἢ βοηθεῖν τοῖς Ἰουδαίοις, ὡς λέγεις, καταδικάζοντες δὲ μᾶλλον, ἐπειδὴ ἐξ ἀρχῆς σκληροτράχηλοι τῇ καρδίᾳ ἐγένεσθε, καὶ ἀπερίτμητοι τοῖς ὠσίν. ἀπειθοῦντες δὲ τὰ πρὸς Θεὸν, καὶ τῷ ἁγίῳ πνεύματι ἀντιπίπτοντες, ἐλυπήσατε μεγάλως τὸ πανάγιον ὄνομα αὐτοῦ. Ερβαν. Τίς ἂν ἀθροίσειε κομψὰ ῥήματα ὑπὲρ τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ συναντήσοι

Ζῶ ἐγώ, λέγει κύριος, ὃς βεβούλευσαι, οὐχ οὕτως ἔσται· ἀλλ' ἀποστελῶ, φησίν, εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν δόξαν πῦρ. φημὶ δὲ τὸν πειρασμὸν καιόμενον, ὃ καὶ καυθήσεται μεγάλως· καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ, καὶ φλέξει, καὶ καταφάγεται ὡς χόρτον τὴν ὕλην. ἐνταῦθα ἐστιν, Ἑρβᾶν, τὸ ζητούμενον. σὺ μὲν γὰρ ἀνοήτως πῶς ἡρμήνευσας τοῦτο τὸ ῥῆμα. ἐγὼ δὲ διὰ τοῦτο ἄνωθεν ἠναγκάσθην διηγήσασθαί σοι τῆς προφητείας τὸ κεφάλαιον, ἵνα κατ' ἔπος ἀκούσας, B * σιωνήσῃς πάντα. εἰπὼν γὰρ ὁ προφήτης, ὅτι ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ, καὶ φλέξει, καὶ καταφάγεται ὡς χόρτον τὴν ὕλην, τὸ ἐν τῇ αἰχμαλωσίᾳ στενοχωρεῖν, καὶ τὸ ἐν γῇ ἀλλοτρίᾳ βιαιότατον παροίκημα, καὶ τὸν ὀνειδισμὸν τῶν ἐθνῶν, καὶ τὴν λύπην, καὶ θλίψιν, καὶ τὸν φόβον τοῦ θανάτου, τοῦ βασιλέως τῶν Ἀσσυρίων, καὶ τὴν * ἁλωσίαν αὐτῶν τε καὶ ξενιτείαν, ἣν αἰχμαλωτισθέντες, καὶ ἐν γῇ ἀλλοτρίᾳ ὄντες, ὑπέμενόν τε δεόμενοι, φῶς σωφρονισμοῦ τὸ ἐξ ἀνάγκης ἐσθίον τὰ ἔνδοθεν τροπικῶς ᾐνίξατο. C ἐπειδὴ γὰρ ἐν τῇ γῇ ἰδίᾳ ἐν ἀναπαύσει χρηματίζοντες ἐσκοτίζοντο, καὶ ἀδεῶς ἐξημάρτανον· διὰ τοῦτο ἐξήγειρεν ὁ Θεὸς τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ στρατοπεδεύσας περιέλαβε τὴν Ἱερουσαλήμ, μετὰ τὴν τελευτὴν βασιλέως Μανασσῆ, καὶ ἀπῆρε τὸν λαὸν ἐν γῇ Χαλδαίων, καὶ κατῴκησεν αὐτὸν ἐκεῖσε, ἵνα οἷς ἡ ἄνεσις καὶ ἡ μέθη καὶ ἡ σπατάλη ἐσκότιζε, καὶ τῶν τοῦ Θεοῦ προσταγμάτων ἀμελεῖν καὶ ἐκπίπτειν ἐποίει, τούτοις ἡ λύπη καὶ ἡ ταλαιπωρία, καὶ ἡ ἐν γῇ ἀλλοτρίᾳ διατριβή, κατεσθίουσα ὡς πῦρ καιόμενον, φωτίσῃ τὸν νοῦν. D Καὶ ὅρα τὸν Μανασσῆν, ὅπως ἐφώτισεν αὐτὸν ἡ ἀπαγωγὴ τῆς αἰχμαλωσίας. ἐκεῖθεν γὰρ διασωθεὶς, καὶ μεταγνοὺς εὗρεν ἔλεος παρὰ Κυρίου. περὶ τούτου τοῦ σκοποῦ τοίνυν, ὦ Ἑρβᾶν, τὸ λόγιον ὁ προφήτης ᾐνίξατο, Ὅτι ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτόν, ὃ καὶ γέγονεν· καὶ τὰ ἑξῆς. περὶ δὲ τοῦ αἰχμαλωτεύσαντος αὐτὸν βασιλέως, ἐπειδὴ ὅσον ἐπήρθη, καὶ οὐκ ἐλογίσατο τὸ πᾶν τῷ Θεῷ, ἀλλ' ὑψώθη τῇ καρδίᾳ, ἀποφαίνων κατ' αὐτοῦ ὁ Θεός, φησί, διὰ τοῦ προφήτου· Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ E οἱ βουνοί, καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Καὶ ἔσται ὁ φεύγων, ὡς ἀπὸ φλογὸς καιομένης· καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμός, καὶ παιδίον μικρὸν γράψει αὐτούς. τίνα οὖν εἰσὶ τὰ ὄρη, ἃ λέγει ἀποσβεσθῆναι, καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, οὓς καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν; πρόσεχε ἀκριβῶς. τὰ ὄρη, ἐμφαίνων τοὺς μεγάλους τοὺς σατράπας τῶν Ἀσσυρίων, καὶ βουνοὺς εἰσάγων, περὶ τῶν καταδεεστέρων ἀρχόντων λέγει.

Viuo ego, dicit Dominus, *qui voluisti non sic erit: sed mittam (ait) in tuum honorem, infamiam; & in tuam gloriam, ignem.* Dico hunc ignem tentationem esse ardentem, qui ignis vehementer ardebit. *Et erit lux Israëlis velut ignis, & sanctificabit ipsum in flamma ardente: & incendet & absumet velut fœnum, syluam.* In hoc, ô Herbane, quod quæritur, positum est. Tu quidem insipienter quodammodo hoc verbum interpretatus es. Ego vero propterea altius repetito principio huius Prophetiæ caput & summam tibi explanare fui coactus, vt ad verbum audiens omnia intelligas. Cùm dixit Propheta, quod *erit lux Israëlis tanquam ignis, & sanctificabit ipsum in flamma ardente, & comburet, & absumet syluam velut fœnum*: nempe angustiam quæ fuit in captiuitate, atque in terra aliena violentissimum domicilium, & vituperium gentium, & dolorem & afflictionem, & metum ac terrorem mortis, quem Rex Assyriorum incutiebat, & captiuitatem ipsorum, & peregrinationem, quam captiui in terra aliena sustinuerunt egentes, lucem castigationis siue emendationis, quæ necessario interna absumit, tropicè significauit. Si quidem in terra sua, in requie cùm essent, obtenebrabantur, & intrepidè peccabant. Propterea Deus excitauit Regem Assyriorum, qui castrametatus Hierusalem cepit post mortem Regis Manassæ, & abduxit populum in terram Chaldæorum, & illic habitare ipsum fecit: vt quos licentia, crapula, ebrietas, luxus, deliciæ obtenebrabant, & Dei mandata negligere & obliuisci, & ab his excidere faciebant, hos dolor, angustia & calamitas, & in terra aliena conuersatio & vexatio exedens velut ignis ardens, mentem accenderet. Quinetiam vide Manassem, quomodo ipsum in captiuitatem abductio illuminauit. Illinc enim conseruatus & resipiscens, misericordiam apud Dominum inuenit. Ad hunc igitur scopum, ô Herbane, Propheta intuens, vaticinium protulit, Quod *erit lux Israëlis sicut ignis, & sanctificauit ipsum.* quod factum est, &c. De Rege autem, qui ipsum captiuum abduxerat, quia elatus est, neque quicquid erat, Dei esse factum existimauit, sed corde & animo superbiit, sententiam pronuntians aduersus ipsum Deus, dicit per Prophetam: *In illa die extinguentur montes & colles & vepres, & absumentur ab anima vsque ad carnes. Et erit qui fugit, vt à flamma ardente: & relicti ab ipsis erunt numerus, & paruulus pusio describet ipsos.* Quinam sunt montes, quos dicit extinctum iri? Qui colles & sentes quas absumet flamma ab anima vsque ad carnes? Attentè audi, & diligenter intellige. Per montes illos magnos Satrapas Assyriorum indicat: Colles subiungens, de inferioribus magistratibus dicit.

Ibidem.

* Fort. σωνῇς

* Fort. ἅλωσιν, ἢ αἰχμαλωσίαν

4. Reg. c. 21.

Paralip. lib. 2. cap. 33.

Vepres siue dumos addens, apertè naturæ ipsorum feritatem ostendit, & alienationem à fructu spiritali. Glans enim porcorum est pabulum, & peccatorum opera dæmonum sunt alimenta. Vniuersam Assyriorum gentem ænigmaticè significauit, cùm dixit, *Montes, colles & vepres*, vt qui nulli bono & vtili fructui essent idonei præterquam peccato, & solum fructum, vt dixi, glandem producerent, qua porci vescuntur, vt dæmones peccatis. Nec solùm dicit, quòd magni & clari & honorati corrumpentur ac peribunt, sed & vniuersa tribus ipsorum. Vix enim pauci conseruabuntur, & tam pauci, *vt paruulus puso* (ait) *ipsos describat*: id est, in exiguo loco quodam campestri facilè describentur. Reliqui *ab anima vsque ad carnes*, nempe ab vno ad multos, in interitum & exitium venient, animæ simul & corporis mortem obeuntes. Qui autem conseruati exigui illi, vt à flamma ardente, effugient. Et quòd hæc Assyrios postea inuaserunt, eò quòd Iudæorum calamitati & infortunio insultauerant, & elati fuerunt, testis est historia. Nam bellis ipsis crebrioribus & frequentioribus à regno Medorum ingruentibus omnis decor & magnificentia eorum deperiit, & ingens honor in ignominiam atque infamiam horribilissimam decidit secundum verbum Prophetæ. Quod autem de Israële relictum est in diebus illis in terra Assyriorum, ab illa maximè horrifica comminatione omnipotentis, quam regno ipsorum induxit, non amplius adiiciet, vt sint sub manu ipsorum in tam exiguum numerum redactorum: Et qui conseruati fuerint ex Iacob à terra Assyriorum, & in Iudæam reuersi, liberati illa graui captiuitate, non amplius confident iis, à quibus iniuriam acceperunt, & qui captiuos in suam terram abduxerant, sed nitentur & fiduciam habebunt in Domino sancto Israëlis, qui à captiuitate & seruitute reuocauit, & liberatos ac saluos in propriam terram reduxit. Hæc, ô Herbane, vera est vaticinij interpretatio. Nam quæ tu ipse interpretatus es, imò verò interpretaris, aniles sunt fabulæ, & nugæ inutiles. HERBANVS. Vt video, alia in vobis recondita est cognitio, alia verò in nobis. Decet igitur vnumquemque suæ cognitioni fidem habere, & in ea conquiescere. SANCTVS ARCHIEPISCOPVS. Si tua cognitio non tuta est nec firma, quid tibi controuersum prodest vanitati assidenti, atque illecebris captiosis & fallacibus adhærenti? HERBANVS. Quis mihi plenam fidem faciet, certóque probabit, meam cognitionem esse vanitatem? SANCTVS ARCHIEPISCOPVS. Ego per interrogationem dictiones mutaui, & subinde muto: & dicis, quis me persuasum & certum reddet? HERBANVS. Sed tuis verbis fidem habere imperitè,

Marginalia: * ἐκ τῶν ἁμαρτιῶν. Οὐρ. — *Danielis 4. 7. & 8.* — *Sub Dario Rege Persarū impletis 70. annis quos Hieremias Propheta prædixerat, reddita est Iudæis soluta captiuitate libertas. Diuus Aug. l. 18. c. 26. de C.D.*

A δρυμοὺς δὲ, παραδηλοῖ τὸ ἄγριον τῆς φύσεως αὐτῶν ἐμφανῆ, καὶ τὸ ἀλλότριον τοῦ πνευματικοῦ καρποῦ. βάλανος γὰρ χοίρων τροφὴ, καὶ τὰ τῶν ἁμαρτωλῶν ἔργα, τροφὴ δαιμόνων. τὸ πᾶν γὰρ ἔθνος τῶν Ἀσσυρίων ἠνίξατο, εἰπὼν, ὄρη καὶ βουνοὺς καὶ δρυμοὺς, ὡς μηδενὶ ἑνὶ καρπῷ ἀγαθῷ ἐπιτηδείους ὄντας, ἀλλ' ἢ ἁμαρτίας, καὶ μόνον, καθὰ εἴρηκα, καρποφοροῦντας, εἰς βάλανον, ἐξ ἧς ἐσθίουσιν οἱ χοῖροι, ὡς δαίμονες. * Οὐ μόνον δὲ φάσκει, ὅτι οἱ μεγάλοι καὶ οἱ ἔντιμοι καταφθαρήσονται, ἀλλὰ καὶ πᾶσα ἡ φυλὴ αὐτῶν· μόλις δήπου ὀλίγοι B διασωθήσονται, καὶ τοσοῦτον ὀλίγοι, ὅτι παιδίον μικρὸν, φησὶ, γράψει αὐτοὺς, τοῦτ' ἔστιν, ἐν εὐτελεῖ τόπῳ τινὶ πεδινῷ εὐπερίγραπτοι ἔσονται. οἱ δὲ λοιποὶ ἀπὸ ψυχῆς ἕως σαρκῶν, ἤγουν ἀπὸ ἑνὸς ἕως πολλῶν, εἰς ἀπώλειαν χωρήσουσι, τὸν ψυχικὸν ὁμοῦ καὶ σωματικὸν ὑπήξαντες θάνατον. οἱ δὲ διασωθέντες εὐτελεῖς ὀλίγοι, ὡς ἀπὸ φλογὸς καιομένης, φησὶν, ἔσονται διαφεύγοντες. Καὶ ὅτι ταῦτα τοὺς Ἀσσυρίους, ἐφ' ᾧ ἐπεχάρησαν τῇ ἁλώσει τῶν Ἰουδαίων, καὶ ἐπήρθησαν, κατέλαβε μετὰ ταῦτα, οὐκ ἀμάρτυρος ὁ λόγος. πολέμων γὰρ αὐτοῖς συνεχεστέρων παρὰ τῆς C βασιλείας τῶν Μήδων ἐπιγενομένων, ἅπασα ἡ εὐπρέπεια αὐτῶν ὄλωλε, καὶ ἡ μεγάλη αὐτοῦ τιμὴ εἰς φοβερωτάτην ἀτιμίαν κατήντησε κατὰ τὸ ῥῆμα τοῦ προφήτου. Τὸ δὲ καταλειφθὲν τοῦ Ἰσραὴλ, ἐν ταῖς ἡμέραις ἐκείναις τὸ ὂν ἐν τῇ γῇ τῶν Ἀσσυρίων, ἀπὸ τῆς φρικωδεστάτης ἐκείνης ἀπειλῆς τοῦ παντοκράτορος, ἣς ἐπήγαγε τῇ βασιλείᾳ αὐτῶν, οὐκέτι προστεθήσεται τοῦ εἶναι ὑπὸ τὴν χεῖρα αὐτῶν εἰσάπαξ ὀλιγωθέντων. Καὶ οἱ διασωθέντες τοῦ Ἰακὼβ ἀπὸ γῆς Ἀσσυρίων, καὶ πρὸς τὴν Ἰουδαίαν ἀναστρέψαντες, λυτρωθέντες τῆς δεινῆς ἐκείνης αἰχμαλωσίας, οὐκέτι D πεποιθότες ἔσονται ἐπὶ τοὺς ἀδικήσαντας αὐτοὺς, καὶ αἰχμαλώτους ἀπάραντας πρὸς τὴν ἰδίαν γῆν, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ κύριον τὸν ἅγιον τοῦ Ἰσραὴλ, τὸν ἐκ τῆς αἰχμαλωσίας ἀνακαλεσάμενον, καὶ πρὸς τὴν ἰδίαν πατρίδα ἀνασώσαντα. Ταῦτα, ὦ Ἐρβᾶν, ἡ ἀληθὴς ἑρμηνεία τῆς προφητείας. ἐπεὶ ἅπερ αὐτὸς ἡρμήνευσας, μᾶλλον δὲ ἑρμηνεύσεις, γραώδεις μῦθοι πεφύκασι, μηδὲν ὠφελοῦντα. Ἐρβᾶν. Καθὼς ὁρῶ, ἑτέρα γνῶσις ἐν ὑμῖν ἔγκειται, καὶ ἑτέρα ἐν ἡμῖν· E οὐκοῦν δέον ἐστὶν πείθεσθαι ἕκαστον τῇ ἑαυτοῦ γνώσει, καὶ ἡσυχάζειν. Καὶ ὁ ἅγιος. Καὶ ἐὰν οὐκ ἀσφαλής ἐστιν ἡ γνῶσίς σου, τί σοι τὸ διάφορον παρακαθημένῳ ματαιότητι, καὶ τῇ ἑδραιοῦντι ἀπατηλοῖς δελεάσμασιν; Καὶ ὁ Ἐρβᾶν. Καὶ τίς ὁ πληροφορῶν με, ὅτι ματαιότης πέφυκεν ἡ γνῶσίς μου; Καὶ ὁ ἅγιος. Ἐγὼ κατὰ πεῦσιν τὰς λέξεις ἀπήλλαξα καὶ ὑπαλλάττω, καὶ λέγεις ὅτι, τίς ἐστιν ὁ πληροφορῶν καὶ πείθων με; Ἐρβᾶν. Ἀλλ' οὐκ ἀνέχομαι πείθεσθαι τοῖς σοῖς ἁπλῶς

καὶ ὡς ἔτυχεν. ἐχθρὸς γάρ μου εἶ, καὶ τὰ κατὰ σὲ ὑπερασπιζόμενος παρέστηκας· τὰ δὲ πρὸς ἐμὲ παραβλέπων, εἰκῆ περιορᾷς. Καὶ ὁ ἅγιος. Ἐὰν μὴ φροντίζω τῆς ἀληθείας ἐπί τε ἐμοῦ, ἐπί τε σοῦ, ἀλλότριος ἔσομαι τῆς μονογενοῦς υἱοῦ τοῦ Θεοῦ μου κοινωνίας καὶ λατρείας. Ἑρβαν. Ἰδοὺ λέγεις, ὅτι οὐκέτι χρείαν ἔχει ὁ Θεὸς τοῦ νόμου, ὃν πάλαι διὰ Μωϋσέως ἡμῖν τοῖς Ἰσραηλίταις τεθησαύρικε. ποίοις οὖν ὠσὶν, ἢ ποίᾳ καρδίᾳ ἀκούσομαί σου, τοιαῦτά μοι εἰσφέροντος, καὶ λαλοῦντος. Καὶ ὁ ἅγιος. Μήτοι γε ἀπὸ τῶν ἐμῶν γραφῶν ἐλέγχω σε; τὰ χείλη τὰ σὰ κατηγοροῦσί σου. ὕπαγε ἄφρον· μέμψῃ τοῖς πατράσι σου; πορεύθητι καὶ 3 δικάσθητι μετὰ τῶν προφητῶν σου· πρόλαβε καὶ ἀντιτάξαι ταῖς αὐτῶν προρρήσεσι. διὰ τῶν νοημάτων γὰρ αὐτῶν ἐγὼ πληροφορῶ σε, ὅτι ἀπὸ τοῦ νῦν οὐ χρείαν ἔχει τοῦ νόμου ὑμῶν ὁ Θεός. Ἑρβαν. Ἡσαΐας ἔφησεν, Ὅτι εἶπε Σιὼν, κύριος ὁ Θεὸς ἐγκατέλιπέ με, καὶ ὁ Θεὸς ὁ ἅγιος ἐπελάθετό μου. καὶ ἀπεκρίθη κύριος λέγων, Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει κύριος. ὁ Θεὸς φάσκει, ὅτι οὐκ ἐπιλήσομαί σου· καὶ σὺ λέγεις, ὅτι χρείαν ἡμῶν οὐκ C ἔχει, ἀλλ᾽ οὐδὲ τοῦ νόμου ἡμῶν. Καὶ ὁ ἅγιος. Ἐμοὶ χολᾷς, λέγων, ὅτι τὰ συμφέροντά σοι λέγεις, καὶ τὰ ἐμὰ ἐπιτήδεια ἀποκρύπτεις, καὶ ὡς ὁρῶ, σὺ τὸ δρᾶμα τοῦτο ἐργάζῃ, ἀλλ᾽ οὐκ ἀνέξομαί σου τοῦ λοιποῦ. εἰπὲ γάρ μοι, τί λέγει ὁ προφήτης ἀνωτέρω τῶν ῥηθέντων παρὰ σοῦ; Τάδε λέγει κύριος, φησί, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σοι, καὶ ἔθηκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι * κληρονομίαν ἐρήμου, D λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, * ἀνακαλύφθητε. περὶ τίνος λέγει ταῦτα, δίδαξον. Ἑρβαν. Εἰ καὶ περὶ Μωϋσέως * τῶν ἐν δεσμοῖς τῆς ἁμαρτίας χρηματιζόντων, καὶ ἐν τῷ σκότει τῆς πλάνης πεπεδημένων τοῦτο εἴρηται, ἀλλ᾽ οὖν ὁ Θεὸς τοῦ νόμου φαίνεται μᾶλλον τὸν Χριστὸν ποιήσας καὶ πλάσας ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, καθὰ αὐτόθι λελάληκεν ὁ προφήτης· πῶς οὖν σὺ τολμᾷς ἴσον τῷ πλάστῃ αὐτοῦ Θεὸν ὀνομάζων; Καὶ ὁ ἅγιος. Ὅτι ἔπλασε τὴν E ἀνθρωπότητα ὁ Θεὸς, οὐχὶ ἀνωτέρω λελάληκά σοι ἀνόητε; οὐ προλαβὼν εἴρηκα, ὅτι διπλοῦς ἐστι, Θεὸς ἀληθὴς, καὶ τέλειος ἄνθρωπος ἐκτὸς ἁμαρτίας; ὅταν οὖν ἀκούσῃς πλάσιν καὶ θέσιν καὶ δόσιν, τῆς ἀνθρωπότητος αὐτοῦ, τρισάθλιε, νόει ταῦτα εἶναι. πρόσεχε δὲ τοῖς εἰρημένοις τὰ ὑπόλοιπα, ὅπως ὁ προφήτης διαμαρτύρεται περὶ τῆς ἐθνῶν ἀποκαταστάσεως. μετὰ γὰρ τὸ εἰρηκέναι αὐτὸν, φάσκοντα τοῖς ἐν δεσμοῖς,

A & vt fors tulit, nequeo. Tu enim es mihi inimicus, & tua tuósque strenuè defendens, in acie stas: mea verò meósque despiciens, temerè & incōsideratè aspernaris. Sanctvs Archiepiscopvs. Nisi veritatis curam habeam & in me, & in te, ab vnigeniti Filij Dei mei communiooe & cultu alienus ero. Herbanvs. Ecce dicis, Deo non esse opus lege, quam oobis Israëlitis vt pretiosum thesaurum reliquit. Quibus igitur auribus, vel quo corde te audiam, talia mihi obtrudentem atque obstrepentem? Sanctvs Archiepiscopvs. Tecũoe ago, & te refello meis scriptis? Labia tua teipsũ accusant. Agedum, 3 demens, tuos patres accusabis? Ambula cum Prophetis tuis, & iudicare, præripe, & obsiste eorum prædictionibus ac vaticiniis. Nam ex eorum sententiis & notionibus te conuincã, & certam plenãque fidem faciam, ab hoc tẽpore Deum nõ postulare vsum & exercitium legis vestræ. Herbanvs. Esaias air, quòd *dixit Sion, Dominus Deus reliquit me, & Deus sanctus oblitus est mei:* & respondit Domious, dicens: *Nunquid obliuiscetur mulier sui paruuli? quominus misereatur partuum sui ventris? Quòd si etiam horum oblita esset mulier, verumtamen ego non obliuiscar tui, dicit Dominus.* Deus dicit se C non obliturum nostri, & tu dicis, nullam non modò Deo esse curam nostri, sed nec ei opus esse nostra lege. Sanctvs Archiepiscopvs. Mihi succenses dicendo, quæ tibi conducunt profers, & quæ ad meum institutum conferunt, celas. Et, vt video, tu haoc fabulam agis. Sed te non amplius ferã, neque patiar. Dic igitur mihi, quid ait Propheta superius his quæ abs te recitata sunt? *Hæc* (inquit) *dicit Dominus: Tempore accepto audiui te, & in die salutis adiuui te, & formaui te, & dedi tibi, & posui te in fœdus gentium, vt instaures terram, & vt possideas hæreditates desertas, vt* D *dicas iis qui sunt in vinculis, Exite, & qui in tenebris, Reuelemini,* de quo hæc vaticinatur, doce. Herbanvs. Etsi de Mose, & de his qui in vinculis peccati detenti erant, & erro[illegible] tenebris iouoluti, hoc dictum est: Nu[illegible]tiam Deus legis videtur magis Christum [illegible]cisse & formasse ex eo quod non erat, ad id quod est, quemadmodum ibidem locutus est Propheta? Quomodo igitur Deo creatori & formatori æqualem facere & dicere audes, Deum nominaodo? Sanctvs Archiepis- E copvs. Nónne superius, ô amens, tibi prędixi, Deum formasse humanitatem? Non etiam duplicem esse Christum, Deum verum & perfectum hominem excepto peccato? Cùm igitur audis formationem & situm & dooationem, hæc, ô ter infœlix, de eius humanitate dicta esse accipe & intellige. Cæterùm quæ postea sunt dicta, animo atteoto audi & percipe, quomodo Propheta de gẽtium restitutione testificatur. * Postquam enim dixit eum dicere *iis qui erant in vinculis,*

Iudæi carnaliter iudicantes suam legẽ vt à Deo nominatam fœdus perpetuũ & pactum sempiternum nunquam abrogatum iri mordicus tenent.

Ibid. 22. Cor. 6.

* κληρονομίας ἐρήμους.

Ibid.

* ἀνακαλύφθητε.

* ἢ περὶ τ.

Egredimini , & qui in tenebris , Reuelamini: subiunxit , *in omnibus viis pascentur.* Vides? Omnem viam spiritalem meditabuntur : imò verò in ea ambulabunt , Dei placita exequentes. *In omnibus semitis pastio ipsorum.* Attendis testimonium ? Non relinquetur (ait) vna & sola semita ab iis qui Domino inuenti fuerint , in qua cum gaudio & lætitia non ambulabunt , placita Domino operantes. *Non esurient* , audire verbum , Dei videlicet : *neque sitient* , à spiritalibus notionibus aberrantes. *Neque æstus* febris , id est peccati , *ipsos feriet : neque Sol* iustitiæ Christus *percutiet* , eo quod peccarint : sed oleo tingens ipsos , id est lauacro regenerationis, consolabitur, paracleto & sancto Spiritu : *& per fontes aquarum educet ipsos* purè per mediam cognitionem notionum sacræ scripturæ & Prophetiarum , & donorum Spiritus sancti. *Et ponam* (inquit) *omnem montem in viam :* nempe aditu difficilia & inaccessa loca montium , peruia & facilia ipsis faciam: *& omnem semitam in pastionem ipsis* : id est, de omnibus mandatis meis priùs cogitabunt & meditabuntur. Non ab Ægypto , vnde Hebræi : non ex tribu Iacob , vnde Iudæi : ne quando dixeris , quòd de Iudæis loquitur. *Sed veniunt* (inquit) *à Boram & mari , alij verò ex terra Persarum.* In his terræ tractibus siue regionibus quæ putantur gentes , habitant. *Lætentur cæli* , id est Angeli , *& exultet terra* , id est , populus salutem consecutus. *Erumpant montes lætitiam :* id est, gentes antea infrugiferæ ad vbertatem per fidem venientes. *Et colles stillabunt iustitiam :* id est , gentium reges & principes Christum cognoscentes , veritatem & iustitiam iudicate , *quoniam misertus est Deus populi sui.* vt non dicas , ô Herbane , quòd eos solos qui sunt è domo Iacob , vocauit populum suum , *& humiles* (inquit) *populi consolatus est* , id est valde afflictos & oppressos peccato vehementer recipiet. Et erit *in illa die* , *stillabunt montes regni dulcedinem :* nempe hymnos & melodiam in gaudium sanctorum , quæ sunt multitudines angelorum Dei : *& colles fluent lacte* , auspicium diuinæ epulationis, qui sunt vertices angelorum Dei. *Et omnes emissiones Iudæ scaturient aquis.* Intelligibiles venas, emissiones dicit, emittentes & ebullientes fontes, viuificum laticem regni cœlorum. Quemadmodum enim in terra aquæ ex venis saliunt , & bibit totus mundus : sic & in cœlo, aquæ à Deo spiritales & mente perceptibiles : & bibunt Angeli & omnes sancti Dei. Per Iudam autem significat Dominum Iesum , ex tribu Iudæ corporaliter productum. *Et fons* (inquit) *ex domo Domini exiliet, & rigabit torrentem iuncorum.* Fontem dicit,

Ibidem.
* ἡλίου
* ἀέξει
* βοῤῥᾶ
* εὐφραινέσθωσαν
* ῥηξάτωσαν
Ibid.
Psal. 95.
Ibid.
* Fort. ἰσάμως.
Amos 7.
Ioel 3.
* φλέβας
Ioel. 3.

A ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύπτεσθε, ἐπήγαγεν, ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται. ὁρᾷς; εἰς πᾶσαν ὁδὸν πνευματικὴν μελετήσουσι , μᾶλλον δὲ περιπατήσουσι, τὰ ἀρεστὰ Κυρίου ἐργαζόμενοι. ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. προσέχεις μαρτυρίαν, οὐχ ὑπολειφθήσεται, φησί, μία καὶ μόνη τρίβος ἀπὸ τῶν ἐξευρημένων κυρίῳ, ἐν ᾗ μετὰ χαρᾶς οὐ περιπατήσουσι, τὰ ἀρεστὰ κυρίῳ ἐργαζόμενοι. οὐ πεινάσουσι τοῦ ἀκοῦσαι λόγον, Κυρίου δηλονότι , οὔτε διψήσουσι πνευματικῶν νοημάτων ἀποτυγχάνοντες. οὔτε πατάξει αὐτοὺς ὁ καύσων, ὁ τῆς ἁμαρτίας, οὔτε μὴν ὁ τῆς δικαιοσύνης ἥλιος Χριστὸς, B ὅτι παρανομήσουσιν, ἀλλ' *ἐλεήσει αὐτοὺς, τῷ λουτρῷ τῆς παλιγγενεσίας παρακαλέσει αὐτοὺς, τῷ παρακλήτῳ καὶ ἁγίῳ πνεύματι, καὶ διὰ πηγῶν ὑδάτων *ἄξει αὐτοὺς καθαρῶς διὰ μέσης γνώσεως τῶν νοημάτων τῆς γραφῆς καὶ τῶν προφητειῶν καὶ δωρεῶν τοῦ ἁγίου πνεύματος. Καὶ θήσω, φησί, πᾶν ὄρος εἰς ὁδὸν, ἤγουν τὰ δύσβατα τῶν ὀρέων, εὔκολα αὐτοῖς ποιήσω· καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς· τοῦτ' ἔστι, περὶ πασῶν τῶν ἐντολῶν μου πρότερον μελετήσουσιν. οὐκ ἀπ' Αἰγύπτου, ὅθεν Ἑβραῖοι, οὐδὲ ἐκ φυλῆς Ἰακὼβ, ὅθεν οἱ Ἰουδαῖοι , μή- C ποτε εἴπῃς, ὅτι περὶ Ἰουδαίων λέγει· ἀλλ' ἥξουσι, φησίν, ἀπὸ *βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν· ἐν τούτοις τοῖς κλίμασι τὰ δοκοῦντα ἔθνη (τῆς γῆς εἰσί), κατοικοῦσιν. *εὐφραινέσθωσαν οἱ οὐρανοὶ, τοῦτ' ἔστιν οἱ ἄγγελοι, καὶ ἀγαλλιάσθω ἡ γῆ, ὁ σωτηρίας τυχὼν λαός. *ῥηξάτω τὰ ὄρη εὐφροσύνην, τὰ ἄκαρπα ἔθνη , εἰς εὐκαρπίαν διὰ τῆς πίστεως χωρήσαντα. Καὶ οἱ βουνοὶ σταλάξονται δικαιοσύνην, οἱ τῶν ἐθνῶν βασιλεῖς τε καὶ ἄρχοντες Χριστὸν ἐπεγνωκότες , τὴν ἀλήθειαν καὶ δικαιοσύνην κρίνατε, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ· ἵνα μὴ εἴ- D πῃς, Ἑρβᾶν, ὅτι τοὺς ἐξ Ἰακὼβ μόνους λαὸν αὐτοῦ ἐκάλεσε, καὶ τοὺς ταπεινοὺς, φησί, τοῦ λαοῦ παρεκάλεσεν. ἤγουν τοὺς καταπεπονημένους εἰς ἄγαν τῇ ἁμαρτίᾳ, μεγάλως καὶ ἀντιλήψεται. Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, ἀποσταλάξει τὰ ὄρη τῆς βασιλείας γλυκασμὸν, ὕμνους καὶ μελῳδίας εἰς χαρὰν τῶν ἁγίων , ἅτινά εἰσι πλήθη τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, ἔναρξιν θείας ἑστιάσεως *, αἵ τινές εἰσιν αἱ κορυφαὶ τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶσαι αἱ ἀφέσεις E Ἰούδα ῥυήσονται ὕδατα, τὰς νοητὰς *φλέβας , ἀφέσεις λέγει, τὰς ἀφιείσας τὸ ζῶν ὕδωρ, καὶ τὰς βλυζούσας πηγὰς, τὸ ζωοποιὸν νᾶμα τῆς βασιλείας τῶν οὐρανῶν. ὥσπερ γὰρ ἐπὶ τῆς γῆς ὕδατα φλεβῶν βλύζουσι, καὶ πίνει ὅλος ὁ κόσμος, οὕτω καὶ ἐν τῷ οὐρανῷ ὕδατα ἀπὸ Θεοῦ νοητὰ, καὶ πίνουσιν οἱ ἄγγελοι καὶ πάντες οἱ ἅγιοι τοῦ Θεοῦ. Ἰούδαν δὲ ἐμφαίνει, τὸν κύριον Ἰησοῦν, ὡς ἐκ φυλῆς τοῦ Ἰούδα σωματικῶς ἀναβλαστήσαντα. Καὶ πηγὴ, φησίν, ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χείμαῤῥουν τῶν σχοίνων· πηγὴν λέγει,

τὴν ἀνεκδιήγητον ἐκείνην χαρὰν καὶ εὐφροσύνην καὶ ἀπόλαυσιν, καὶ εὐωδίαν τοῦ ἁγίου πνεύματος, ἥτις ἐξ αὐτοῦ τοῦ παντοκράτορος ἀνερμηνεύτως καὶ ἀενάως ἐκπορεύεται, καὶ ποτιεῖ τὰ τῶν ἁγίων συστήματα, καὶ τὴν καρδίαν αὐτῶν ἐμπλήσει φρικτῆς ἐκείνης καὶ ἀσυγκρίτου ἡδύτητος. Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται· τοῦτ' ἔστι πᾶσα πλάνη, καὶ ἡ τῆς πλινθοποιίας δουλεία, ἤγουν τῆς ἁμαρτίας. Καὶ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ γενήσεται. πᾶσά φημι τῶν ἀλλοφύλων, τῶν μὴ χρηματισάντων ἐκγόνων τῆς τιμίας κολυμβήθρας διὰ τοῦ ἁγίου βαπτίσματος. δι' ὃν τρόπον; ἀνθ' ὅσον, φησὶν, ἐξέχεαν αἷμα δικαίων ἐν τῇ γῇ αὐτῶν, προφητῶν, ἀποστόλων, μαρτύρων. οὗτοι γὰρ υἱοὶ καὶ φίλοι καὶ γνήσιοι, καὶ ἀδελφοὶ τοῦ ἐμοῦ σωτῆρος Χριστοῦ, τοῦ ἐκ τῆς φυλῆς Ἰούδα παραδόξως ἀναβλαστήσαντος, οἵτινες μεγάλως ἠδικήθησαν ἀποκτανθέντες παρ' αὐτῶν. Ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικισθήσεται, ἡ ἄνω Ἰουδαία, ἥτις χώρα τοῦ ἐξ Ἰούδα σαρκωθέντος λόγου Θεοῦ, καὶ ἡ τῶν πρωτοτόκων Ἱερουσαλὴμ, εἰς γενεὰς γενεῶν, οὐχ ἡ κάτω, ἀλλ' ἡ ἐπουράνιος. τοῦτ' ἔστι κατὰ τὸ ἀνῆκον τῆς διακρίσεως, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν, ἤγουν τῶν ἐν τῷ νόμῳ, καὶ μετὰ τὸν νόμον ἐν τῇ νέᾳ χάριτι, διὰ τὴν καλλίστην αὐτῶν μαρτυρίαν, ἐκχυσάντων διὰ τὸν Θεὸν τὸ αἷμα τὸ οἰκεῖον, καὶ διὰ τὴν τοῦ λόγου αὐτοῦ πανάχραντον σάρκωσιν. Καὶ οὐ μὴ ἀθῳώσω αὐτοὺς, ἀλλ' ἐν πυρὶ ἀτελευτήτῳ κατακαλώσω. Καὶ κύριος κατασκηνώσει ἐν τῇ ἄνω Σιών. Ταύτη ἀληθὴς ἑρμηνεία. Ερβαν. εἰ δὲ ἔτι διέστρεψα ὡς προείρηκας, ἔλεγξον. Ερβαν. Μή μοι γένοιτο οὕτως ἔχειν. ἀλλ' ἐπὶ Ἰουδαῖος ἦν ὁ προφήτης, Ἰουδαίοις ταῦτα καὶ προεφθέγξατο. βασιλεὺς γὰρ ὁ Θεὸς πάσης τῆς γῆς, ὥσπερ αὐτὴν καὶ δεδημιούργηκεν. Οὐκοῦν ψάλλετε αὐτῷ, φησὶν ὁ Δαβὶδ, ὡς βασιλεῖ καὶ Θεῷ. Καὶ ὁ ἅγιος. Τίνα οὖν μετὰ ταῦτα ἐπάγει ὁ προφήτης; *Ἐβασίλευσε, φησὶν, ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ καὶ ἐνανθρωπήσας, ὁ καὶ ἀναληφθεὶς εἰς τὸν οὐρανὸν, μετὰ τὸ τελέσαι τὴν οἰκονομίαν, καὶ καθίσας ἐκ δεξιῶν τοῦ γεννήσαντος αὐτὸν ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἐὰν γὰρ καὶ βουληθῇς εἰπεῖν, ὅτι περὶ τοῦ ἀσωμάτως ὀφθέντος Θεοῦ Μωϋσῇ καὶ Ἠλίᾳ ἐν τοῖς ὄρεσι τοῖς περιφανέσι τοῦτο λέλεκται, ἔχω σε ἐπιστομίσαι, ὅτι ἐπὶ τοῦ τὸ σῶμα κεκτημένου λέγεται, τὸ, κάθηται. καὶ, κάθου ἐκ δεξιῶν μου. καὶ, ἀναπεσὼν κεκοίμηκε· καὶ τὰ τούτων παραπλήσια, ἃ οὐχὶ περὶ τῆς ἀσωμάτου θεότητος, ἣν παρ' οὐχ ἑώρακέ τις ὁποία ἐστὶν, εἴτε κάθηται, εἴτε ἵσταται, εἴτε οὐ κάθηται, εἴτε ἀσπάζεται, καὶ ἐφαπλώσεται δι' ὅλου. Ερβ. Πράγματά μοι ὁμιλεῖς πάνυ ξένα καὶ παράδοξα. δι' ἣν δὲ αἰτίαν μετέπειτα λέγει ὁ προφήτης,

A inenarrabile illud gaudium & lætitiam inexplicabilem, & fruitionem, & odoris suauitatem sancti Spiritus, quæ quidem ex ipso præpotente Deo ineffabiliter & iugiter siue perenniter emanat, & rigabit sanctorum agmina, & cor ipsorum tremenda illa & incomparabili suauitate implebit. *Ægyptus euanescet*: id est, omnis error, & lateris faciendi seruitus, id est, peccati. *Et Idumæa in campum abolitionis fiet.* Dico omnem gentem alienigenarum, & eorum qui non fuerunt soboles pretiosæ piscinæ, per sanctum baptisma. Quo modo - *Eò quod* (inquit) *effuderunt sanguinem iustorum in terra sua*, Prophetarum, Apostolorum, Martyrum. Hi
B enim filij, & amici, & germani fratres mei saluatoris Christi, ex tribu Iudæ admirabiliter exorti, qui quidem atrocem passi sunt iniuriam, ab ipsis trucidati. *Iudæa autem in seculum habitabitur.* quæ superna est Iudæa, quæ quidem regio est verbi Dei incarnati ex Iuda, & quæ est primogenitorum *Hierusalem in generationes generationum*, non quæ est terrestris & ima, sed supercœlestis: id est, vt decet distinctè dicere, in secula seculorum. *Et exquiram sanguinem ipsorum*, nempe eorum qui sub
C lege viuunt, & post legem in noua gratia, propter pulcherrimum suum martyrium, qui propter Deum proprium effuderunt sanguinem, & propter verbi ipsius purissimam & omnino impollutam incarnationem: Neque innocentes ipsos iudicabo, sed igne sempiterno consumam. *Et Dominus requiescet in superna Sione.* Hæc vera interpretatio est, ô Herbane. Quod si adhuc aliquid peruerti, vt antè dixisti, redargue. HERBANVS. Absit vt fatear ita esse. Enimvero Iudæus erat Propheta, & Iudæis hæc prædixit. *Deus enim rex est omnis terræ*,
D sicut ipse hanc creauit. Quapropter ait Dauid, *Psallite ei vt regi & Deo.* SANCTVS ARCHIEPISCOPVS. Qua[illegible]m igitur subinde addit Propheta? ** Regnauit* (inquit) *Deus in gentibus*: ille qui homo factus est, & qui assumptus est in cœlum, postquam omnem dispensationem absoluit, & qui sedit à dextris eius qui ipsum genuit, in throno sancto suo. Nam si volueris dicere, hoc dictum esse de Deo, qui Mosi & Heliæ incorporaliter visus est in montibus editis & con-
E spicuis, possum tibi os obstruere: quoniam [*sedet*] dicitur de eo qui corpore præditus est: & illud, *Sede à dextris meis*: &, *concidens dormiuit*: & quæ sunt his similia: quæ de incorporea diuinitate dici non possunt, quam nemo vnquam vidit cuiusmodi est, vtrum sedet, an stat, an non sedet, vel vtrum amplectitur, an reclinata est per vniuersum. HERBANVS. Inusitata prorsus & inopinata ac prodigiosa mihi narras. Sed cur postea * Propheta dicit,

Ibidem.

Illa ciuitas sempiterna est, vbi nullus oritur, quia nullus moritur. vbi vera & plena felicitas: non dea, sed donũ Dei. D. Aug. lib. 5. c. 10. de C D.

Ibidem.

Ps. 46. & 95.

** Aliàs leg.* ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. τουτέστιν, ἐκεῖνος ὁ βασιλεύσας ἐπὶ τὰ ἔθνη, ὁ καὶ &c. Deus sedit in throno sancto suo: hoc est, *ille qui regnauit in gentibus, & qui homo.*

Psal. 109.

Psal. 46. antè non post.

Subiecit populos nobis, & gentes sub pedibus nostris. Elegit nobis hæreditatem suam, speciem Iacob quam dilexit. Qui elegit igitur gentes, & regnauit in ipsis, quam ob causam hæc subiecit, *speciem Iacob*, nempe nobis Israëlitis ex Iacob exortis? SANCTVS ARCHIEPISCOPVS. Hic Psalmus de Assumptione Domini mei Iesu Christi, Spiritu sancto mysticè à Propheta decaotatur: quoniam dicit de carne cum Deitate coniuncta per incorruptioonem post à mortuis resurrectionem vnigeniti Dei filij, illud, *Ascendit Deus in iubilo, Dominus in voce tubæ.* Carne enim ascendit Dominus, & rursus descendit, primùm quidem, cùm in cœlos assumptus est: deinde verò, quando descendet è cœlo iudicaturus omnes peccatores terræ. Nam de Deitate verbum, *ascendit & descendit*, non enuntiatum est. (Act. 2.) Testes autem Resurrectionis eius & Ascensionis fuerunt Apostoli. Quandoquidem igitur misit ipsos ad doceodum gentes omoes: & quoniam hi erant ex Israële, & semen Iacob secundum carnem, eo quòd ipsos supra omnes Israëlitas delegit Iesus Christus Deus noster in hæreditatem sibi: Dauid tanquam ex edito illustrique loco mentis oculis, quod post factum est, antè intuitus, qui dixit ad Deum, (Psal. 50.) *quoniam incerta & occulta sapientiæ tuæ manifestasti mihi*, dicit de inconspicuis tanquam ex persona Apostolorum, imò verò vt à persona voiuersi Israëlis. Intuens enim eiectionem Israëlis, quia repulit Dominus Deus populum suum: solos autem retinebit, quos cùm venit, elegit, propter ipsorum inculpatam fidem: *Elegit nobis (inquit) hæreditatem suam*, nempe quæ est duodecim Apostolorum: & *speciem*, siue præstantiam, *Iacob, quam dilexit.* Florem enim, vt quis dixerit, legit: (* εἷλεν;) quod perspectum est, quod operetur prout vult: & reliquum populum perfidum & incredulum, vt inutilem, desertum dispersit. Quod autem *subiecit nobis populos, & gentes sub pedibus nostris*, ex persona Apostolorum dicit. Postquam enim assumptus Dominus noster Iesus Christus ab ipsis in cœlum, illi continuò profecti in vniuersum mundum, Euangelium prædicarunt: & subiecit ipsis Dominus Deus altissimus non solùm populos & tribus & linguas, sicut Propheta locutus est, sed reges & satrapas & duces. Quod si erro meotiens, respice & vide, cuius populi dominationem & potestatem habetis? quænam sunt gentes, quas vobis Deus nuper subdidit? Atqui oon posses ostendere. Respice quomodo ferè cunctus terrarum orbis Christianus factus, spiritaliter ipsis Apostolis subiectus est. HERBANVS. Cùm gentes quædam Dauidis imperio tum cùm regnabat, subiectæ paterent, de illa, vt opinor,

A ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. ὁ ἐκλεξάμενος τοίνυν τὰ ἔθνη, καὶ βασιλεύσας ἐν αὐτοῖς, δι' ἣν αἰτίαν ταῦτα ὑπέταξε τὴν καλλονὴν Ἰακώβ, ἤγουν ἡμῖν τοῖς ἐξ Ἰακὼβ ἀναβλαστήσασιν Ἰσραηλίταις; Καὶ ὁ ἅγιος. Ὁ ψαλμὸς οὗτος περὶ τῆς ἀναλήψεως τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ πνεύματι ἁγίῳ μυστηριωδῶς ὑπὸ τοῦ προφήτου διηγεῖται, ἐπειδὴ λέγει περὶ τῆς θεωθείσης σαρκὸς δι' ἀφθαρσίας μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ B μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τὸ, ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. σαρκὶ γὰρ ἀνέβη κύριος, καὶ πάλιν κατέβη. τὸ πρῶτον μὲν, ὁπότε μὲν ἀνελήφθη εἰς τοὺς οὐρανούς· καὶ μετέπειτα, ὁπότε μὲν καταβήσεται ἐκ τοῦ οὐρανοῦ κρῖναι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. περὶ γὰρ τῆς θεότητος, τὸ, ἀνέβη, καὶ κατέβη, οὐκ εἴρηται. μάρτυρες δὲ τῆς ἀναστάσεως αὐτοῦ, καὶ τῆς ἀνόδου, οἱ ἀπόστολοι. ἐκείνους ἐπειδὴ ἀπέστελλεν αὐτοὺς μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ ἐπειδὴ ἐξ Ἰσραὴλ ἦσαν, καὶ σπέρμα Ἰακὼβ τὸ κατὰ σάρκα ἐχρημάτιζον, C ἀνθ' ὅσον αὐτοὺς ὑπὲρ πάντας τοὺς ἐξ Ἰσραὴλ ἐξελέξατο Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς κληρονομίαν ἑαυτῷ· ἰδὼν ἄνωθεν νοεροῖς ὀφθαλμοῖς ὁ Δαβὶδ τὸ γενόμενον, ὁ εἰπὼν πρὸς τὸν Θεὸν, ὅτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι, λέγει περὶ τῶν ἀδήλων, ὡσανεὶ ἐκ προσώπου τῶν ἀποστόλων· μᾶλλον δὲ καὶ ὡς ἀπὸ τοῦ Ἰσραὴλ παντός. βλέπων γὰρ τὴν ἐκβολὴν τοῦ Ἰσραὴλ, ὅτι ἀπώσατο κύριος ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, μόνους δὲ κρατήσει, οὓς ἐλθὼν ἐξελέξατο διὰ τὴν ἀμώμητον αὐτῶν πίστιν· ἐξελέξατο ἡμῖν, φησὶ, D τὴν κληρονομίαν ἑαυτοῦ, τὴν δωδεκάδα τῶν ἀποστόλων, καὶ τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. τὸ γὰρ ἄνθος, ὡς ἂν εἴποι τις, * εἶρεν, ὃ τεθέαται, ὅτι ἐνεργήσειεν, πρὸς ὃ βούλεται, καὶ τὸν ὑπόλοιπον ἄπιστον λαὸν, ὡς ἀνωφελῆ, καταλιπὼν διεσκόρπισεν. ὅτι δὲ ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν, ἐκ προσώπου τῶν ἀποστόλων φάσκει. μετὰ γὰρ τὸ ἀναληφθῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν, εὐθέως ἐκεῖνοι ἐξελθόντες εἰς τὸν κόσμον ἅπαντα, ἐκήρυξαν τὸ εὐαγγέλιον. καὶ ὑπέταξεν αὐτοῖς κύριος ὁ E Θεὸς ὁ ὕψιστος οὐ μόνον λαοὺς καὶ φυλὰς καὶ γλώσσας, καθὼς ὁ προφήτης λελάληκεν, ἀλλὰ βασιλεῖς καὶ σατράπας, καὶ ἡγουμένους. Καὶ εἰ σφάλλομαι ψευδόμενος, βλέψον καὶ ἴδε, ποίου λαοῦ ὑμεῖς ἐξουσιάζετε. ποῖα δὲ εἰσὶ τὰ ἔθνη, ἅπερ ὑμῖν ὁ Θεὸς ἀρτίως ὑπέταξεν; ἀλλ' οὐκ ἂν ἔχοις ἀποδεῖξαι. βλέψον δὲ τοῖς ἀποστόλοις Χριστοῦ, ὅπως σχεδὸν ἅπασα ἡ οἰκουμένη χριστιανίσασα, πνευματικῶς αὐτοῖς ὑποτέτακται. Ἑρβανοῦ. Ἔθνη δὲ τινὰ ὑποταγέντων τῷ Δαβὶδ ἐν ταῖς ἡμέραις αὐτοῦ τῆς βασιλείας, ὡς οἶμαι, περὶ τῆς

ὑποθέσεως ταύτης καὶ ὁ ψαλμῳδὸς ἔγραψε. σὺ δὲ τὸ πᾶν, εἰς τὴν σὴν ἀπαταίσου βοήθειαν. Καὶ ὁ ἅγιος. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, λέγων, ἄρα πάντα τὰ ἔθνη ὁ Δαβὶδ καθυπέταξεν; ἐπάγει δὲ, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. σολοικίζεις ὦ Ἑρβᾶν, σφαλλόμενος. καθὼς σοι ἀπαγγέλλω, οὕτως ἐστὶ τὰ τοῦ Δαβὶδ λεγόμενα, καὶ οὐχ ἑτέρως. Ἑρβᾶν. Ὁ βουλόμενος ὁμιλεῖν μετὰ σοῦ, ἀπ' ἐκείνων ὀφείλει εἶναι, περὶ ὧν εἴρηκε Δαβὶδ, ὅτι ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. ἐπιτίμιον γάρ σε μέγιστον ὤφληκε δι' ἐμὲ τὸ ἔθνος τῶν Ἰουδαίων. δίδαξον δὲ ἐνταῦθα τίνα λέγει ὁ προφήτης, Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια. τοῦ Ἰσραὴλ πρόδηλον ὁ Θεὸς μέγας, καὶ οὐχ ἕτερος. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου· καὶ τὰ ἑξῆς. ἤτοι τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ· καὶ οὐκ εἶπε τοὺς υἱοὺς τῶν ἐθνῶν τῶν ἀλλοτρίων. οὐκοῦν περὶ Θεοῦ εἰσφέρων, καὶ περὶ γνωρίσματος δυνάμεως, καὶ περὶ λύτρου, πῶς οὐκ ἠδίκησεν, εἰπὼν, Τίς Θεὸς μέγας ὡς Ἰησοῦς υἱὸς Ἰωσὴφ καὶ Μαρίας; οὗτος ὁ Θεὸς μόνος, ὁ ποιῶν θαυμάσια. ἢ πάλιν, πῶς οὐκ εἴρηκεν, ὅτι, Ἐγνώρισας ἐν τοῖς λαοῖς, τῶν ἐθνῶν τὴν δύναμίν σου, καὶ ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς τῶν ἐθνῶν τῶν εἰδωλολατρῶν. ἀλλ' ἐλυτρώσω, φησὶ, τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ; ἐνταῦθα μοι λέξον τὰ δοκοῦντά σοι. Καὶ ὁ ἅγιος. Οὐκ ἔστι καιρὸς τοῦ ἀποκριθῆναί σε ἀναιδέστατε, τῆς ὥρας παρῳχηκυίας. ἐξανέστη οὖν ὁ βασιλεὺς, καὶ διελύθη * τὸ σιλέντιον. Τῶν δὲ Ἰουδαίων ἐπὶ τὸ αὐτὸ γεγονότων, καὶ καραδοκούντων πρὸς τὴν ἑωθινὴν σύνελευσιν, ἔχαιρον, ὅτι ἐξήρκει Ἑρβᾶν πρὸς τὰς ἀποκρίσεις τοῦ ἀρχιεπισκόπου, καὶ παρεθάρρυνον αὐτὸν φάσκοντες. λάλει τοιγαροῦν· καὶ μὴ φοβοῦ. ὁ Θεὸς γάρ ἐστι μετά σου. ὁ δὲ Ἑρβᾶν ἔλεγε πρὸς αὐτοὺς, Τὸν ἄνδρα, ὅνπερ βλέπω ἐγὼ, καὶ τὴν σύνεσιν τὴν διὰ τῶν ῥημάτων αὐτοῦ ἐξηχηθεῖσαν πρός με κατανοῶν, μέχρι τῆς συντελείας οὐ δυνήσομαι πεῖσαι τὸν τοιοῦτον. μαρτύρομαι οὖν ὑμῖν τέως ἐγὼ ἀψευδῶς ἀδελφοὶ, ὅτι ἡττηθησόμεθα ὑπ' αὐτοῦ. ἐγὼ γὰρ εἶδον ἐν τῇ νυκτὶ ταύτῃ Μωϋσῆν τὸν προφήτην, καὶ Ἰησοῦν τὸν ἐσταυρωμένον, περὶ οὗ ἀνὰ μέσον ἡμῶν ἐστὶν ἡ φιλονεικία. εἶδον οὖν ἑκατέρους ἐπὶ πτερύγιον ἱεροῦ τινος ἑστῶτας, καὶ διαλεγομένους. Τὸν δὲ Μωϋσέα ἑώρων ὅτι προσεκύνει τῷ Ἰησοῦ, καὶ τὰς χεῖρας αὐτοῦ, ὡς ἐπὶ Κυρίῳ τῷ Θεῷ ἐδέσμει τοῦ Ἰησοῦ, καὶ μετὰ δέους παρίστατο αὐτοῦ. ξενιζομένου δέ μου ἐπὶ τῷ πράγματι, ἄφνω διανοιχθέντος μου τοῦ στόματος, εἶπον, Κύριε Μωσῆ, καλὰ ταῦτα ἃ ποιεῖς; ὁ δὲ ἐπιστραφεὶς ἐπέπληξέ μοι εἰπὼν, Παῦσαι ἀναιδέστατε, ὅτι οὐ σφάλλομαι.

A subiectione, Psalmorum author scripsit. Tu
verò quiduis in tuum auxilium abripiendo
detorques. Sanctvs Archiepisco-
pvs. *Omnes gentes plaudite manibus*, cùm *Psal.46.*
dicit, vtrum gentes omnes Dauid subie-
cerat? Subiungit deinde, *Iubilate Deo in*
voce exultationis. Ineptè loqueris errore la-
psus, ô Herbane. Sicut tibi dico, sic se ha-
bent quæ à Dauide decantata sunt, nec se-
cus. Herbanvs. Qui tecum vult dis-
serere, de illis esse debet, de quibus dixit Da-
uid: *Posuerunt in cælum os suum, & lingua*
B *ipsorum transiuit in terra.* Multandum enim *Psal.72.*
grauissimè te propter me Iudæorum gens
habuit. Doce me hîc quænam dicit Pro-
pheta, *Deus in sancto via tua. Quis Deus ma-* *Psal.76.*
gnus sicut Deus noster? Tu es Deus faciens mi-
rabilia. Perspicuum quod Deus est Israëlis
magnus, & non alius. *Notam fecisti potentiam*
tuam in populis, &c. Certè filios Iacob &
Ioseph, nec filios dixit gentium externarum.
Ergo de Deo inferens, & de cognitione
potentiæ siue virtutis, & de pretio liberatio-
nis, quomodo non iniquè egisset, locutus,
Quis Deus magnus, sicut Iesus filius Ioseph
C & Mariæ? Hic Deus solus qui facit mirabi- *Psal.76.*
lia. Vel rursus quomodo non dixit, *Notam*
fecisti in populis gentium potentiam tuam, &
redemisti in brachio tuo populum tuum, filios
gentium & cultorum simulachrorum: sed
redemisti (ait) *populum tuum, filios Iacob &*
Ioseph! Ad hunc locum dic mihi quæ tibi
videntur. Sanctvs Archiepisco-
pvs. Respondendi tempus non est, ô im- *Abrumpitur*
pudentissime, cùm iam præterierit hora. *disputatio ter-*
Surrexit igitur Rex, & silentium ruptum est. *tij diei.*
Iudæi autem coëuntes in vnum, & matu- ** ἢ σιγή*
D tinum recursum expectantes, gaudebant,
quod Herbanus Archiepiscopi responsis sa-
tisfacere videretur: & adhortabantur ipsum,
vt esset forti animo, dicentes, Loquere, &
noli timere: Deus enim tecum. Herbanus
autem eis dixit: Virum quem ego video,
sapientiam quæ verbis ipsius ad meas au-
res personuit, dum cogito, ad finem vs-
que flectere & persuasum adducere non
potero. Vobis igitur fratres interim verè
& indubitanter affirmo, ac testificor,
quod ab illo profligabimur. Ego enim hac
nocte vidi Mosem Prophetam, & Iesum *Visio Herba-*
E crucifixum, de quo inter nos est vehe- *ni.*
mens contentio. Vidi igitur ambos ad
alam cuiusdam templi stantes & disse-
rentes: Mosem autem cernebam Iesum
adorantem, & manus suas tanquam ad
Dominum Deum Iesum vincientem, &
cum timore ei adstantem. Ego verò vt
hospes ad rem admissus, repentè re-
soluto & aperto meo ore, dixi, Domine
Moses, hæc quæ facis, præclara? Ipse
conuersus me grauiter obiurgauit: De-
sine, impudentissime, quia non fallor.

A Non enim sum de tuorum numero. Cognosco autem meum factorem & Dominum. Quid tibi igitur cum hoc iusto Archiepiscopo, cui negotium & molestias incassum & temerè facessis? Verumtamen sequenti die & perendie videbis, quòd ab ipso fortiter superaberis, & adorabis ipsum, sicut ego, Iesum meum & Dominum. Hæc ego, fratres, vidi, & quænam sint, nescio. Interim tamen non defatiscar, neque res meas negligam. His ita dictis inter ipsos & alios multos, manè consessu præparato, Rex cum Archiepiscopo aduenit. Herbanus quoque cum sacerdotibus ipsis & legis doctoribus adstitit. B

Disputatio quarti diei de eadem Iudæorum incredulorum reprobatione.

Et dixit sanctus Archiepiscopus. Heri dixti, eum, qui mecum velit differere, ex illorum numero esse debere de quibus scriptum est: *Posuerant in cœlum os suum*, &c. Ego verò tibi dico, eum qui velit sermones mecum conferre, oportere esse Christi, vt per ipsum habeat Spiritum sanctum, qui aperit aures surdorum, & balborum atque hæsitantium linguas incredibiliter reddit expeditas, & explanat. Non autem hic debet Iudæus esse, sicut tu ipse in circuncisione & præputio vitam agens, C & in incredulitate ac perfidia, in scelere atque improbitate Deo rebellem & contumacem & hostilem animum gerens, & velamen graue in corde. Imò verò tu ex illis es verè, nempe prophanis & impiis & vaniloquis, de quibus ipse dixisti, *Posuerant in cœlum os suum*, nempe blasphemia & impiis sannis: *& lingua eorum*, propter Dominum Iesum Christum, conuitio & obtrectatione *pertransiit in terra* Nam omnibus diebus vitæ tuæ ad hunc vsque diem, nullum finem fecisti impiis contumeliis & maledictis & atrocibus probris miserandum in modum incessendi viuentem D Deum Iesum Christum, Dei & patris ineffabile germen. Quod autem dixisti quid declarat, mihi illud explana, *Deus in sancto, via tua.* Tu mihi potius notum facito, quis sanctus, in quo via Dei. HERBANVS. Id est, in sancto populo tuo Israëlitico. Nam nobis dictum est in lege nostra, & hoc sublimius à Domino, *Ego dixi, Dij estis*, &c. SANCTVS ARCHIEPISCOPVS. Malè mentitus es, infestissime. Sanctine estis, qui Deum cœli & terræ corporaliter interfecistis: de quibus dictum, *Semen Chanaam, & non Iudæ.* Tu igitur sanctus es, & omnis multitudo, quæ E te circumstat & ambit. Si tu electus es, vt ais, & sanctus, postula à Domino, vt terra aperiat suum os, & dehiscat: nósque omnes in eius hiatum & inanitatem descendemus, qui vos oppugnamus, vt quondam illi qui in Synagoga siue factione Dathan & Abiron fuerunt. Sed hoc obtinere non possis, absit. Quod autem dictum est vobis, *Ego dixi, Dij estis*, &c. ego scio. Sed reliquum versus vbinã occultabis? subdit enim:

Psal 72.
Matth 11.
Luc 7.
Gen. 4.
Psal. 72.
Psal. 76.
Psal. 81.
Dan. 13.
* εἰς κάτωσιν
Num. 16.
Psal. 81.
Ioan. 10.

A οὐ γάρ εἰμι ἐκ τῶν κατά σε· γνωρίζω δέ μου τὸν ποιητὴν καὶ κύριον. ἀλλ' οὖν τί σοι καὶ τῷ δικαίῳ ἀρχιεπισκόπῳ, ὑπὲρ κόπους παρέχεις εἰκῇ; ὅμως τῇ ἐπιούσῃ καὶ τῇ μετ' αὐτὴν ὄψει, ὅτι ἡττηθήσῃ κατ' αὐτοῦ κραταιῶς, καὶ προσκυνήσεις αὐτῷ, ὡς κἀγώ, τὸν Ἰησοῦν μου καὶ κύριον. Ταῦτα ἐγὼ τεθέαμαι, ἀδελφοί, καὶ τίνα εἰσὶν, οὐκ ἐπίσταμαι, ὅμως οὐκ ἀμελήσω ἐν τῷ τέως περὶ τῶν ἐμῶν. Τούτων οὕτως ῥηθέντων μεταξὺ αὐτῶν καὶ ἄλλων πολλῶν, τῇ ἕωθεν τοῦ συνεδρίου ἑτοιμασθέντος, παρεγένετο καὶ ὁ βασιλεὺς μετὰ τοῦ B ἀρχιεπισκόπου, ἔστη δὲ καὶ ὁ Ἑρβανὸς μετὰ τῶν συνεπομένων αὐτῷ ἱερέων καὶ νομοδιδασκάλων.

Καί φησιν ὁ ἅγιος. Χθὲς εἴρηκας, ὅτι ὁ βουλόμενος συνομιλεῖν ἐμοὶ, ἀπ' ἐκείνων ὀφείλει εἶναι, περὶ ὧν γέγραπται, ὅτι ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν καὶ τὰ ἑξῆς. ἐγὼ δέ σοι λέγω, ὅτι ὁ βουλόμενος ὁμιλεῖν μετ' ἐμοῦ, ὀφείλει εἶναι Χριστοῦ, ἵνα δι' αὐτοῦ ἔχῃ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἀνοῖγον ὦτα κωφῶν, καὶ τρανοῦν γλώσσας παραδόξως μογιλάλων. οὐκ ὀφείλει δὲ εἶναι Ἰουδαῖος, ὥσπερ αὐ- C τὸς ἐν περιτομῇ καὶ ἀκροβυστίᾳ διάγων, καὶ ἀπιστίᾳ, καὶ ἀνομίᾳ, καὶ κακίᾳ, καὶ πονηρίᾳ, θεομαχίας κεκτημένος, καὶ τὸ κάλυμμα χαλεπῶς ἐν τῇ καρδίᾳ. μᾶλλον δὲ ἐξ ἐκείνων εἶ σὺ μετὰ ἀληθείας τῶν βεβήλων καὶ ματαίων, περὶ ὧν αὐτὸς εἴρηκεν, Οἳ ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν τῇ βλασφημίᾳ, καὶ ἡ γλῶσσα αὐτῶν, τῇ διὰ τὸν κύριον Ἰησοῦν Χριστὸν λοιδορίᾳ καὶ καταλαλιᾷ, διῆλθεν ἐπὶ τῆς γῆς. τὸν γὰρ ζῶντα Θεὸν Ἰησοῦν Χριστὸν, τὸ ἀπόρρητον γέννημα τοῦ Θεοῦ καὶ πατρὸς, οὐκ ἐπαύσω D βλασφημῶν ἐν πάσαις ταῖς ἡμέραις σου δεινῶς καὶ ἐλεεινῶς μέχρι τοῦ δεῦρο. Ὃ δὲ εἴρηκας, σαφήνισόν μοι τί δηλοῖ τὸ, ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. σύ μοι μᾶλλον γνώρισον, τίς ὁ ἅγιος, ἐν ᾧ ἡ ὁδὸς τοῦ Θεοῦ κεχρημάτικεν. Ἑρβανός. Τοῦτ' ἔστιν ἐν τῷ ἁγίῳ λαῷ σου Ἰσραήλ. εἴρηται γὰρ ἡμῖν ἐν τῷ νόμῳ ἡμῶν, καὶ ὑψηλότερον τοῦτο παρὰ Κυρίου· Ὅτι ἐγὼ εἶπα, φησί, θεοί ἐστε, καὶ τὰ ἑξῆς. Καὶ ὁ ἅγιος. Κακῶς ἐψεύσω δυσμενέστατε. ἅγιοι γὰρ ἐστὲ, οἱ τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς σωματικῶς ἀποκτείναντες; περὶ ὧν εἴρηται, σπέρμα E Χαναὰν καὶ οὐχὶ Ἰούδα. ἅγιος εἶ αὐτὸς ἄρα, καὶ τὸ πλῆθος τὸ περιεστὸς κύκλῳ σου. εἰ ἐκλεκτὸς εἶ σὺ, ὡς φῂς, καὶ ἅγιος, αἴτησαι παρὰ Κυρίου, καὶ ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταβησόμεθα ἅπαντες οἱ πολεμοῦντες ὑμᾶς * ἐν κενώσει αὐτῆς, ὡς ἐν τῇ συναγωγῇ ποτε Δαθὰν καὶ Ἀβειρών. Ἀλλ' οὐκ ἂν ἔχῃς τοῦτο, μὴ γένοιτο. Ὅτι δὲ εἴρηται ὑμῖν τὸ, Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ τὰ ἑξῆς, κἀγὼ ἐπίσταμαι. ἀλλὰ τὸ ἑξῆς τοῦ στίχου, ποῦ γε καλύψεις; ἐπάγει γὰρ,

A ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε· τοῦτ' ἔστιν, ὃν τρόπον ὁ ἄρχων τῶν ἄνω δυνάμεων, φησὶν, ἀπὸ μεγίστης δόξης ἐκπεπτωκότες, ἀπὸ τῆς τοῦ μονογενοῦς δόξης Ἰησοῦ Χριστοῦ, οὐκέτι ὡς υἱοὶ Θεοῦ, ἀλλ' ὡς ἄνθρωποι ἁμαρτωλοὶ καὶ νωθροὶ καὶ στυγεροὶ, λυγρῶς ἀποθνήσκετε, τὸν ψυχικὸν ὄντως καὶ σωματικὸν θάνατον. Τὸ δὲ, ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου, τὴν ὁδὸν τοῦ Θεοῦ καὶ πατρὸς ἐμφαίνει τὴν ἐν τῷ ἁγίῳ αὐτοῦ κυρίῳ Ἰησοῦ Χριστῷ ἐνεργοῦσαν καὶ προτερεύουσαν. τίς δὲ B Θεὸς ἡμῶν; μέγας ἐκεῖνός ἐστι Θεὸς, οὗ τινος ἡ ὁδὸς ἐν τῷ ἁγίῳ αὐτοῦ υἱῷ Ἰησοῦ Χριστῷ, οἵ τινες ἕν εἰσιν, περὶ ὧν τῆς ἑνότητος φάσκει, Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, ὁ Θεὸς, ὁ πατὴρ, καὶ ὁ ἅγιος, ὁ υἱὸς, ἐν ᾧ ἡ ὁδὸς τοῦ Θεοῦ καὶ πατρὸς, ἡ τῆς ἐνανθρωπήσεως, σέσωκε τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας αὐτῷ, καὶ πάντα τὰ ἔθνη εἰσήγαγεν εἰς τὴν βασιλείαν αὐτοῦ. Τοιούτῳ πνεύματι τὰ πνευματικὰ, ὦ Ἑρβᾶν, συγκρίνονται, καὶ οὐ καθὼς αὐτὸς διαγινώσκεις, σαρκικῷ φρονήματι περιαντλούμενος. Τὸ δὲ, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν C δύναμίν σου, τὸν Θεὸν ἐμφαίνει ἐγνωρικέναι ἐν ὑμῖν τοῖς λαοῖς, Ἰησοῦν Χριστὸν, ὅστις ἐστὶν ἡ μεγάλη δύναμις τοῦ Θεοῦ καὶ πατρός. πολλὰς γὰρ δυνάμεις καὶ πολλὰ σημεῖα καὶ τέρατα αὐτὸς, ὡς Θεὸς ἐκ Θεοῦ, ταῖς συναγωγαῖς ὑμῶν σωματικῶς ἀναστρεφόμενος τετέλεκε, κἂν ὑμεῖς οὐ προσεσχήκατε· ἀλλ' οὖν, ἱκανοὶ τότε ἐκ τοῦ ὄχλου ὑμῶν ἰδόντες αὐτοῦ τὰ σημεῖα καὶ τὰ τέρατα, ἐπίστευσαν τῷ ὀνόματι αὐτοῦ, καὶ οὐκ ἀπώλοντο. Καὶ, ὡς οἶμαι, τούτοις ἁρμόσει καὶ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου, Ἐγνώρισας, φάσκοντος, τοῖς λαοῖς τὴν δύναμίν σου· ἐλυτρώσω ἐν τῷ βρα- D χίονί σου τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ· ὑμεῖς δὲ ἐν ἀπιστίᾳ διαμείναντες, οὐδὲν ἕτερον, ἢ καθὼς ἐκάλεσεν Ἰωάννης ὁ υἱὸς Ζαχαρίου, γεννήματα ἐχιδνῶν, καὶ τὰ ἑξῆς. ἀλλὰ ταῦτα μὲν οὕτως. πρόσεχε δὲ, τίνα ὁ προφήτης τῆς κλήσεως τῶν ἐθνῶν ἐπάγει. Ἐνέγκατε τῷ κυρίῳ, φησὶν, οὐχὶ αἱ πατριαὶ τῶν Ἰουδαίων, ἀλλ' αἱ πατριαὶ τῶν ἐθνῶν. Καὶ τίνα ἐνέγκατε; δόξαν καὶ τιμήν. πάντως ὁρᾷς, ὅπως δοξάζομεν ἡμεῖς αἱ πατριαὶ τῶν ἐθνῶν τὸν Θεὸν τὸν ἅγιον τοῦ νόμου, καὶ προσάγομεν ἀρτίως τιμὴν τῷ ὀνόματι αὐτοῦ, καὶ τῷ E υἱῷ αὐτοῦ τῷ μονογενεῖ. Ἄρατε, φησὶ, θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ· προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. σαλευθήτω δὲ, ἀλλὰ τῇ φρίκῃ ἐκπληττομένη, καὶ λογιζομένη, τὴν συγκατάβασιν τοῦ Θεοῦ λόγου, καὶ τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ τὰ σημεῖα καὶ τὰ τέρατα αὐτοῦ. εἴπατε ἐν τοῖς ἔθνεσι, ὅτι κύριος ἐβασίλευσε. πηλίκῳ τρόπῳ; τὸ μὲν κύριος, θεότητα δηλοῖ, τὸ δὲ, βασιλεὺς, ἀνθρωπότητα·

Vos autem sicut homines moriemini, & sicut vnus de principibus terræ cadetis: id est, Quemadmodum princeps sublimiorum potestatum (inquit) à maxima gloria postquam excidistis, à gloria vnigeniti Iesu Christi, non amplius sicut filij Dei, sed sicut homines peccatores & excordes, inuisi & infesti, grauiter moriemini: nempe animæ & corporis mortem subeuntes. Illud verò, *Deus in sancto via tua*, viam Dei & patris ostendit, eam quæ in sancto suo Domino Iesu Christo operatur, & efficaciter prior agit. Quis autem Deus, *sicut Deus noster?* Magnus ille est Deus, cuius via in sancto suo filio Iesu Christo, qui quidem vnum sunt: de quorum vnitate dicit; *Tu es Deus faciens mirabilia:* Deus, pater, & sanctus, filius, in quo via Dei & patris, quæ est assumptæ humanæ naturæ, saluos fecit ex Iudæis eos, qui in eum crediderunt, & omnes gentes in regnum ipsius abduxit. Tali spiritu spiritalia, ô Herbane, diiudicantur, non quemadmodum ipse dignoscis, carnali prudentia & superbia circumfusus. Illud autem, *Notam fecisti in populis potentiam tuam*, declarat Deum notum fecisse in vobis populis Iesum Christum, qui quidem est magna potentia Dei & patris. Multas enim virtutes & multa signa & prodigia ipse, vt Deus ex Deo in Synagogis vestris corporaliter conuersatus perfecit, tametsi vos animum non aduertistis neque attendistis: qui tamen tunc ex turba vestra idonei fuerunt, huius signa & prodigia intuiti, nomini eius crediderunt, neque perierunt. Atque, vt opinor, in hos competet quod dictum est à Propheta, dicente, *Notam fecisti populis potentiam tuam, redemisti in brachio tuo filios Iacob & Ioseph.* Vos autem, qui in perfidia & incredulitate permansistis, nihil aliud estis quàm quod Ioannes Zachariæ filius vocauit, Viperarum progenies, &c. An hæc ita sunt? Sed attende diligenter, quænam Propheta de gentium vocatione subinde addit. *Afferte* (inquit) *Domino*, non tribus Iudæorum, sed *familiæ gentium*. Et quænam afferte? *gloriam & honorem.* Planè vides, quo modo nos patriæ gentium Deum sanctum legis glorificamus, & modo honorem deferimus eius nomini, & filio eius vnigenito, *Tollite hostias* (inquit) *& introite in atria eius: adorate Dominum in atrio sancto eius. Exultet à facie eius omnis terra*: Exultet autem, sed horrore attonita, secum reputans descensum Verbi Dei, & humanæ naturæ assumptionem, & signa & prodigiosa miracula ipsius. *Dicite in gentibus, quoniam Dominus regnauit.* Quomodo? Illud quidem Dominus, deitatem declarat: hoc verò, Rex, humanitatem.

Psal. 76. — Ibid. — Ibid. & 85. — Psal. 76. — Matth. 3. — Luc. 3. — Psal. 95.

Hoc igitur de eius humanæ naturæ assumptione, siue incarnatione, dictũ est. Nam hîc gentibus annuntiat Propheta, adhortans omnes Prophetas post eum venturos, ad hanc vitam excitari. *Dicite in gentibus* & vos, quandoquidem & ego dixi, quod cognoscitur Dominus: in vobis regnabit homo factus, & cum laude efficiet, vt terrarum orbis in Dei cognitione & operibus Deo gratis vitam agat, *qui non commouebitur ab eo.* Hæc ita sunt, ô Herbane, in veritate & iustitia, nec secus vllo modo. Quamobrem animum mihi & mentem adhibe, & audi me, & relinque Iudaïsmum, & ad Christum accede, vt bene sit tibi & in hoc, & in futuro seculo. HERBANVS. Quomodo, inquit Propheta? *Quoniam dij gentium dæmonia, Dominus autem cælos fecit.* Quandoquidem omnes dij gentium dæmonia, audes igitur de talibus hiscere? SANCTVS ARCHIEPISCOPVS. Quod omnes quidem gentium dij sunt dæmonia, longè est verissimum. Dominus autem Iesus Christus cum multa sapientia cœlum & terram & mare fecit: præterea etiam regnum cœlorum opifex condidit: & ipse scio. Hoc igitur de meo hero & creatore & Domino non poteris dicere. Quin potius is sua authoritate & propria potestate dæmonas & fictitios Deos etiam ab illo impuro & prophano dracone inductos, qui è cœlo præceps deturbatus est, veluti camo constrinxit, & obmutescere coëgit: omniáque huius instituta & studia potenter exterminauit. Contemplare quomodo à quo die cruci clauis depactus & suffixus fuit ipse, omnes dij & dæmonia velut fumus defecerunt & euanuerunt. Nam dum Christus nominatur, horrescunt dæmones. Et hoc non credis? Agedum profer in medium quoslibet dæmoniacos, & solum inuocabo Dominum Iesum Christum, & tremore corripientur dæmonia, & ab ipsis euanescent. HERBANVS. Propheta de diis gentium dixit, quòd sunt dæmonia. Quoniam igitur Iesus, quem dicis, Deus est gentium, de illis est, de quibus locutus est Propheta. SANCTVS ARCHIEPISCOPVS. Desine, impudentissime, & noli nugari, impia conuitia sacrilego ore in medium euomẽs. Si enim eo venerimus, vt vnusquisque suæ fidei virtutem demonstret, in tentationem & tribulationem incides, & reliquum tuæ vitæ tempus inæquabile, præruptum, atque ærumnosum habebis. Non enim in arido & sine effectu sermone prædicatur veritas, sed in virtute fidei. HERBANVS. Audiui hoc tempore, Christianorum Prophetas multa & magna signa facere, qui mundo vale dixerunt, & in solitudinibus degunt. Quid mirum, & præter opinionem? cũ vnus ex illis sis, ad hoc non eris inualidus & impotẽs, siquidem mihi velis nocere. Verũtamen mecum primum rationum momentis age, & me conuince persuasum:

A περὶ τῆς ἐνανθρωπήσεως οὖν αὐτοῦ τοῦτο εἴρηται. διαγγέλλεται ἐν τούτῳ ὁ προφήτης τοῖς ἔθνεσι, προτρεπόμενος ἅπασι τοῖς προφήταις τοῖς μετ' αὐτὸν μέλλουσιν εἰς τὸν βίον ἐγείρεσθαι. εἴπατε ἐν τοῖς ἔθνεσι καὶ ὑμεῖς, ἐπειδὴ κἀγὼ λελάληκα, ὅτι γινώσκεται κύριος· ἐν ὑμῖν βασιλεύσει ἐνανθρωπήσας, καὶ κατορθώσει τὴν οἰκουμένην ἐν θεογνωσίᾳ διάγειν καὶ ἔργοις θεαρέστοις, ἥτις οὐ σαλευθήσεται ἀπ' αὐτοῦ. ταῦτα οὕτως ἔχει, ὦ Ἐρβᾶν, ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, καὶ οὐκ ἄλλως πως. τοίνυν διὰ τοῦτο
B πρόσεχές μοι, καὶ εἰσάκουσόν μου, καὶ κατάλιπε τὸν Ἰουδαϊσμόν, καὶ πρόσελθε τῷ Χριστῷ, ἵνα εὖ σοι γένοιτο, καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ἐρβᾶν. Ποίῳ τρόπῳ ἔφη ὁ προφήτης; ὅτι οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν. ἐπεὶ οὖν πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ἔχεις διάραι αὐτὸς στόμα περὶ τῶν τοιούτων; Καὶ ὁ ἅγιος. Ὅτι μὲν πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, μετὰ πάσης ἀληθείας· ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς μετὰ πολλῆς συνέσεως τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν ἐποίησεν· ἔτι δὲ καὶ τὴν τῶν οὐρανῶν βα-
C σιλείαν δεδημιούργηκε, καὶ αὐτὸς ἐπίσταμαι. οὐκοῦν περὶ τοῦ ἐμοῦ δεσπότου καὶ ποιητοῦ καὶ Κυρίου οὐχ ἕξεις τοῦτο ἐρεῖν. φιμωτὴς δαιμόνων μᾶλλον καὶ εἰδώλων, καὶ * ἀπὸ τοῦ βεβήλου δράκοντος τοῦ ἐκ τοῦ οὐρανοῦ κρημνισθέντος, αὐθεντικῶς κεχρημάτικε, καὶ ὀλοθρευτὴς ἁπάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ. Καὶ θέασαι ὅπως ἀφ' ἧς ἡμέρας σταυρῷ προσηλώθη αὐτός, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον πάντες οἱ θεοὶ καὶ τὰ δαιμόνια· Χριστοῦ γὰρ ὀνομαζομένου, φρίττουσι δαίμονες. καὶ ἀπιστεῖς τοῦτο; φέρε μοι ὅσους ἂν βούλῃ δαιμονιῶντας, καὶ μόνον ἐπικαλέσομαι κύριον Ἰη-
D σοῦν Χριστόν, καὶ τρόμῳ ληφθήσονται τὰ δαιμόνια, καὶ ἅπαντα φιμήσονται ἀπ' αὐτῶν. Καὶ Ἐρβᾶν. Ὁ προφήτης περὶ τῶν Θεῶν ἐθνῶν εἴρηκεν, ὅτι πεφύκασι δαιμόνια. ἐπεὶ τοίνυν καὶ Ἰησοῦς, ὃν λέγεις, Θεὸς τῶν ἐθνῶν κεχρημάτικεν, ἀπ' ἐκείνων ἐστί, περὶ ὧν λελάληκεν ὁ προφήτης. Καὶ ὁ ἅγιος. Παῦσαι, καὶ μὴ φλυάρει, βλασφημίας εἰσφέρων εἰς μέσον, ἀναιδέστατε. ἂν γὰρ ἔλθωμεν εἰς τὸ δεῖξαι τῆς ἰδίας πίστεως τὴν δύναμιν ἕκαστον, μέλλεις εἰς πειρασμὸν καὶ
E θλῖψιν ἐμπείρεσθαι, καὶ ἀνώμαλον ἕξεις τὸν ὑπόλοιπον βίον τῆς ζωῆς σου. Καὶ γὰρ οὐκ ἐν λόγῳ ξηρῷ κηρύσσεται ἡ ἀλήθεια, ἀλλὰ δυνάμει πίστεως. Ἐρβᾶν. Ἀκήκοα ὅτι πολλὰ καὶ μεγάλα σημεῖα ποιοῦσιν οἱ τῶν Χριστιανῶν προφῆται ἐν ταῖς ἡμέραις ταύταις, ἀποταξάμενοι τῷ κόσμῳ, καὶ ἐν ταῖς ἐρήμοις διατρίβοντες. τί παράδοξον; καὶ αὐτὸς εἷς ὢν ἀπ' ἐκείνων, οὐκ ἀδυνατήσεις πρὸς τοῦτο, εἴπερ βουληθῇς ἀδικῆσαί με. πλὴν πεῖσόν με πρότερον ἀπὸ λόγων.

* τῶν

καὶ μετὰ ταῦτα, εἴπερ ἔξεστί σοι, πρᾶττε. Καὶ ὁ ἅγιος. Ἄθλιε, ὀλίγα ἀκήκοας· οὐ μὴ φωραθείη λόγος ἔν τινι κατὰ τὸ δέον ᾀδόμενος. πλὴν ἐπείπερ ἐπιποθεῖς ἀκοῦσαι ἔτι, πρόσεχε μετὰ ἀκριβείας. Ὁ κύριος ἐβασίλευσε, φησὶν, *εὐφρανθήτωσαν νῆσοι πολλαί. λέξον τίνες, τίνες αἱ νῆσοι. καὶ ἐν ἑτέρῳ λέγει, Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος· ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. ἆρα ἑαυτὸν σώζει ὁ Θεὸς, καὶ τῷ βραχίονι αὐτοῦ συντηρεῖ ἑαυτὸν, ἀπὸ τίνος δέ; τίς γὰρ ὁ πρὸς αὐτὸν εἰσφέρων πόλεμον; λέξον τί δηλοῖ, Ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ. ἐναντίον *ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. καὶ ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ*. πρὸς τοῦτο τείνων ἐν ταὐτῷ τὸ συνειδὸς, καὶ σκόπησον δι' ἣν αἰτίαν ὁ προφήτης ταῦτα λελάληκε, καὶ διήγησαι ἡμῖν. Ἑρβαν. Ταῖς νήσοις πάντως παρακελεύεται εὐφρανθῆναι, ὁπόταν ἐν αὐταῖς διεσπαρμένοι *οἴκου Ἰσραὴλ, ἐν τῷ βασιλεῦσαι κύριον ἐν Ἱερουσαλὴμ, ἀπ' αὐτῶν ἀνακληθήσονται. Ὅτι δὲ ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ τὸ ἑξῆς, περὶ τοῦ λαοῦ οἶμαι λέγειν, ὃν ἔσωσε δουλείας Αἰγυπτίων. ὅτι δὲ ἐγνώριζε κύριος τὸ σωτήριον αὐτοῦ, πάντως τῷ οἴκῳ Ἰσραήλ· ἐναντίον τε τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. ἐκ κοινοῦ καὶ εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν· ὃ μεθ' ἡμῶν τῶν Ἰσραηλιτῶν πεποίηκεν, ἐξάξας ἡμᾶς ἐκ γῆς Αἰγύπτου. Καὶ ταῦτα οὕτως ἔχει, περὶ ὧν ἐρωτᾷς. Καὶ ὁ ἅγιος. Εὐφρανθήσονται, φησὶ, νῆσοι, ὁπόταν ἀπ' αὐτῶν ἀνακληθῆτε, ὡς τῆς τυραννίδος ὑμῶν λυτρωθεῖσαι *συνευφραινόμενοι τῇ κλήσει ἡμῶν ὡς ὁμόπιστοι. Ἑρβαν. Μὴ γένοιτο, ὅτι ἡμεῖς τινας ἐτυραννήσαμεν· καὶ μὴ γένοιτο εὐφρανθῆναι αὐτὰς τῇ ἀνακλήσει *ἡμῶν. οὐ γὰρ ὑμῖν τοῖς Χριστιανοῖς χρηματίζομεν ὁμόπιστοι. δι' ἡμᾶς δὲ τοὺς Ἰουδαίους τὸ πᾶν λέγει, τοὺς ἐν ταῖς νήσοις τῆς διασπορᾶς καθεζομένους. περὶ γὰρ ὑμῶν τῶν ἐθνῶν οὐκ ἔμελεν αὐτῷ. Καὶ ὁ ἅγιος. Εἰρηκὼς ὅτι, οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. ἐκεῖνος ἄρα ἀνακαλέσεται; καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων αὐτοῦ ἀθετήσει; καὶ δείξει ἑαυτὸν ψεύστην, ὁ παραδιδοὺς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος εἰς ἀπώλειαν; μή σοι ἐπ' ἀγαθῷ, ὅτι οὕτως ἔσται, ὃν τρόπον λελάληκας. Τὸ δὲ, ᾄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος, περὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ τοῦτο ἔφησεν. ᾆσμα γὰρ καινὸν εἴρηκεν, οὐχὶ παλαιόν. τὸ δὲ καινόν τί ἐστιν, ἢ τὸ, νέον, τουτ' ἔστι τῆς νέας χάριτος; ἤγουν τῶν Χριστιανῶν τὰ τίμια ᾄσματα, θαυμαστὰ πράγματα ἐποίησεν ὁ κύριος ἐν μέσῳ τῶν συναγωγῶν ὑμῶν,

A postea verò, si tibi licet, fac quod volueris. SANCTVS ARCHIEPISCOPVS. Miser pauca audisti. Non deprehendatur sermo in aliquo plusquam oportet decantatus. Veruntamen quoniam amplius audire expetis, attende diligenter. *Dominus regnauit* (inquit) *lætentur insulæ multæ*. Dic itaque, quænam insulæ. Et in alio dicit: *Cantate Domino canticum nouum, quia mirabilia fecit Dominus. Seruauit eum dextera eius, & brachium sanctum eius.* Vtrum seipsum seruat Deus, & suo brachio seipsum tuetur? A quo? Quis enim bellum ei infert? Dic quid significat, *Notum fecit Dominus salutare suum:*
B *in conspectu gentium reuelauit iustitiam suam. Recordatus est misericordiæ suæ Iacob & veritatis suæ domui Israel. Viderunt omnes fines terræ salutare Dei nostri.* Huc confer quicquid habes ingenij & scientiæ, & perspice quam ob causam Propheta hæc locutus est, & nobis edissere. HERBANVS. Insulas hortatur lætari, cùm in ipsis Israëlitæ fuerunt dispersi: cùm verò Dominus in Hierusalem regnabit, reuocabuntur. Quod autem *seruauit ipsum dextera sua*, &c. de populo puto dicere, quem à seruitute Ægyptiorum seruauit. Quòd verò *notum fecit Dominus salutare suum*, omnino domum
C *Israelis: in oculis gentium patefecit iustitiam suam. Viderunt igitur etiam omnes termini terræ salutare Dei nostri.*: quod nobiscum Israëlitis fecit, cùm eduxit nos de terra Ægypti. Atque hæc ita sunt quæ rogitas. SANCTVS ARCHIEPISCOPVS. *Lætabuntur* (inquit) *insulæ*, cùm ab ipsis reuocati fueritis, tanquam à vestra tyrannide liberatæ, nostræ vocationi congratulantes, vt eiusdem fidei consortes. HERBANVS. Absit, quòd nos aliquos tyrannide oppresserimus. Absit quoque, vt lætentur vocatione vestra. Non enim vobis Chri-
D stianis in fide consentimus. Propter nos Iudæos hoc omne dicit, qui in insulis dispersionis consedimus: Nam vestri, qui ex gentibus estis, curam ipse non habuit. SANCTVS ARCHIEPISCOPVS. Qui dixit, *Non congregabo synagogas ipsorum ex sanguinibus, neque memor ero amplius nominum ipsorum per labia mea*: ille igitur reuocabit? Et quæ exeunt per labia eius, aspernabitur, & ostendet seipsum mendacem, qui tradit omnes qui loquuntur mendacium, in interitum? Non
E tibi bono erit, quod sic vt tu dixisti, futurum est. Illud autem, *Cantate Domino canticum nouum, quia mirabilia fecit Dominus*, de meo Christo & Deo hoc dixit. Nam *canticum nouum* dixit, non vetus. Hoc autem nouum, quid est aliud quàm recens? id est, nouæ gratiæ: videlicet Christianorum pretiosa cantica, res admirabiles fecit Dominus in medio vestrarum Synagogarum,

Psal.96.
Psal.67.
* ἀγαλλιάσθω ἡ γῆ, εὐφρ.
* τῶν ἐθ.
* Θ. ἡμῶν.
* οἱ τοῦ, aut. οἶκοι
* Fort. συνευφραινόμεναι
* ὑμῶν
Psal.15.
Psal.97.

A cùm mortuos ad vitam reuocauit, cùm cæcos illuminauit, & cæt. Propterea dicit Propheta, *Cantate Domino canticum nouum*, canticum Christo cognomine & congruum, *quia mirabilia fecit Dominus. Saluum fecit ipsum dextera eius, & brachium sanctum eius.* nempe deitas humanitatem seruauit: non aliunde quàm à vobis nefariis Iudæis & Deo rebellibus, & à maleficio vobis charissimorum dæmonum. Siquidem Deus erat & homo, vnus filius Dei, in vna persona, id est, vna hypostasi, duabus naturis & duabus essentiis existens superinfinitus. *Notum autem fecit Dominus salutare suum*, non vobis Iudæis, qui pridem nouistis & noti estis, sed *in oculis gentium*, quæ ignorabant. Hoc enim indicat, *in conspectu gentium reuelauit iustitiam suam.* Iustitia Dei non aliud est quàm verbum diuinitatis eius, quod incarnatum fuit ex Spiritu sancto & Maria semper virgine. Hoc verò, *Viderunt omnes termini terræ salutare Dei nostri*: oculos habes, & vides, Quomodo vniuersa terra plena est sui Domini cognitione. Nam à terminis vsque ad terminos terræ, sicut sæpè dixi, Euangelium regni Iesu Christi sæpè prædicatum est, & receptione iusta & honorabili dignum habitum, creditum est & approbatum. HERBANVS. Quemadmodum meis verbis ipse non acquiescis, neque meis interpretationibus assentiris: similiter ego tuis dictis fidem nullam habeo. SANCTVS ARCHIEPISCOPVS. Iustum est, vt qui dicit eximia, etiam audiat. Si enim per iracundiam verbis assentiris, temerè & in vanum tempus perdimus disserendo. HERBANVS. Sum mihi conscius, quòd meliora & potiora dico & dissero quàm tu. Idem scio & te de me suspicari. Cæterùm quid inter nos fiet? SANCTVS ARCHIEPISCOPVS. Non in superbia & contemptu debemus disceptare, & inter nos contendere, sed secundum Dei timorem in veritate & iustitia. Scriptum est enim, *Qui diligit iniquitatem, odit animam suam.* HERBANVS. Iniustitiam non amo ipse, absit. In lege scriptum est, quòd omnis iniquus & superbus incidet in quadruplum supplicium à Domino. *Qui enim furatur bouem, quatuor rependet, & de omni negotio quadrupla.* Si autem, inquit Lex, cùm non manifestatum fuerit furtum, non rependet Altissimus propter aliam causam, absque omni defensione in quadruplum rependet ipsum, non innocens iudicabitur. Quòd si pauperi colaphum impegeris, veniet tibi quater, vnde non suspicatus es. Quoniam igitur & sermo & actio punitur, neque ego ipse in superbia & contemptu tecum disputabo, sed quatenus mens certo scit, & plenam fidem habet, id quod dicitur, falso carere.

* Fort. μὴ βλ.

Annuntiantibus Apostolis & eorum successoribus contestante Domino signis & ostentis & variis virtutibus & Spiritus sancti muneribus.

Psal. 10.

Exod. 12.

A νεκροὺς ἐγείρας, τυφλοὺς ὀμματώσας, καὶ τὰ λοιπά, διὰ τοῦτο λέγει ὁ προφήτης, ᾌσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾆσμα χριστεπώνυμον, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος, ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. ἤγουν, σέσωκεν ἡ θεότης τὴν ἀνθρωπότητα. οὐχ ἑτέρωθέν ποθεν, ἀλλ' ἀφ' ὑμῶν τῶν παρανόμων Ἰουδαίων καὶ θεομάχων, καὶ ἀπὸ τῆς κακουργίας τῶν προσφιλεστάτων ὑμῖν δαιμόνων. ἐπεὶ Θεὸς ὢν καὶ ἄνθρωπος, εἷς υἱὸς Θεοῦ, ἐν ἑνὶ προσώπῳ, ἤτοι ὑποστάσει μιᾷ, δυσὶ ταῖς φύσεσι καὶ δυσὶ ταῖς οὐσίαις χρηματίζων ὁ ὑπεράπειρος. B Ἐγνώρισε δὲ κύριος τὸ σωτήριον αὐτοῦ, οὐχ ὑμῖν τοῖς Ἰουδαίοις τοῖς ἔκπαλαι γνωρίζουσί τε καὶ γνωρίμοις οὖσιν, ἀλλ' ἔμπροσθεν τῶν ἐθνῶν τῶν ἀγνοούντων. τοῦτο γὰρ δηλοῖ τό, ἐνώπιον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. δικαιοσύνη δὲ τοῦ Θεοῦ οὐκ ἔστιν ἕτερον, ἀλλ' ἢ ὁ λόγος τῆς θεότητος αὐτοῦ, ὁ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου. Τὸ δέ, εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν, ὀφθαλμοὺς κέκτησαι καὶ * βλέπεις, ὅπως ἐπλήσθη ἡ σύμπασα γῆ, τοῦ γνῶναι αὐτῆς τὸν κύριον. C ἀπὸ γὰρ περάτων ἕως περάτων τῆς γῆς, ὡς πολλάκις λελάληκα, τὸ εὐαγγέλιον τῆς Ἰησοῦ Χριστοῦ βασιλείας κεκήρυκται, καὶ ἀποδοχῆς ἀξίας καὶ τιμίας ἀξιωθὲν πεπίστευται καὶ ἀποδέδεκται. Ἑρβαν. Ὃν τρόπον οὐ στέργεις αὐτὸς τοῖς ἐμοῖς ῥήμασιν, οὐδὲ πείθῃ ταῖς ἐμαῖς ἑρμηνείαις, παραπλησίως κἀγὼ ἀπειθῶ τοῖς ὑπὸ σοῦ μοι ἀγγελομένοις. Καὶ ὁ ἅγιος. Δίκαιόν ἐστιν, ἵνα ὁ λέγων ἐξαίρετα, καὶ εἰσακούηται· εἰ γὰρ κατὰ μῆνιν ἐξακολουθεῖς τοῖς ῥήμασιν, εἰκῇ καὶ μάτην τὸν καιρὸν ἀναλίσκομεν διαλεγόμενοι. Ἑρβαν. Κέ- D κτημαι ἐν τῷ συνειδότι μου, ὅτι κρείττονά σου διαλέγομαι· τὸ αὐτὸ οἶδα καὶ σὲ περὶ ἐμοῦ ὑποπτεύειν. καὶ λοιπόν, τί μεταξὺ ἡμῶν γενήσεται; Καὶ ὁ ἅγιος. Οὐκ ὀφείλομεν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει διαλέγεσθαι πρὸς ἑαυτούς, ἀλλὰ κατὰ Θεοῦ φόβον ἐν ἀληθείᾳ τε καὶ δικαιοσύνῃ. γέγραπται γάρ, ὁ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Ἑρβαν. Τὴν ἀδικίαν αὐτὸς οὐκ ἀγαπῶ, μὴ γένοιτο, ἐν τῷ νόμῳ γέγραπται, ὅτι πᾶς ἄδικος καὶ ὑπερήφανος ἐμπεσεῖται ἐν τετραπλα- E σίᾳ κολάσει παρὰ Κυρίου. ὁ γὰρ κλέπτων βοῦν, τέσσαρας ἀποτίσει. καὶ ἐπὶ παντὸς πράγματος τὰ παραπλήσια. ἐὰν δέ, φησὶν ὁ νόμος, μὴ φανερωθέντος τοῦ κλέμματος οὐκ ἀποτίσει ὁ ὕψιστος δι' ἑτέρας ὑποθέσεως, ἄνευ πάσης ἀπολογίας, εἰς τὸ τετραπλοῦν ἀποτίσει αὐτό, οὐκ ἀθωωθήσεται. ἐὰν δέ, φησί, ῥαπίσῃς πένητα, ἥξει σοι τὸ αὐτὸ τετράκις, ὅθεν οὐχ ὑφώρακας. Οὐκοῦν ἐπεὶ καὶ λόγος καὶ πρᾶξις εὐθύνεται, οὐδ' αὐτὸς ἐγὼ ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει πρός σε διαλεχθήσομαι, ἀλλ' ὅσον πληροφορεῖται ὁ νοῦς, ὅτι ἐστὶν ἀψευδὲς τὸ λεγόμενον.

Καὶ ὁ ἅγιος. Κἀγὼ ταῦτα οὕτως ἔχειν ἐπίσταμαι. ἀλλ' οὐ περὶ τούτων ἡμῖν ἡ διάλεξις, ἀλλὰ περὶ πίστεως καὶ ἀληθείας. Καὶ ἵνα συνιῇς καὶ ἐπιγνώσῃ τὴν ἀλήθειαν τὴν ἐν Χριστῷ Ἰησοῦ, καὶ κληρονομήσῃς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀμὴν γὰρ διαγγελίζομαί σοι, ὅτι Χριστοῦ δοῦλος ὀφθήσῃ, κἂν ἐν ἀρχῇ, κἂν ἐν τῷ τέλει. καὶ αὐτῷ σοι πρόσκειται δουλεῦσαι, καὶ ὄπισθεν τούτου ὀφείλεις κολληθῆναι, γνοὺς αὐτὸν εἶναι τὸν ἐρχόμενον, ὁπόταν ἐπιβλέψῃ αὐτὸς ἐκ τῶν οὐρανῶν, καὶ διανοίξῃ τοὺς τῆς καρδίας σου ὀφθαλμούς, καὶ φωτίσει, καὶ ἁγιάσει, καὶ ὑποδείξει σοι τὴν πᾶσαν ἀλήθειαν, καὶ ὅτι μετὰ πάσης ἀληθείας αὐτός ἐστιν ὁ Μεσσίας Χριστός, περὶ οὗ οἱ προφῆται πολλὰ προεκλάλησαν. Ερβαν. Μέγα μοι τὸ πληροφορηθῆναι ἐν Χριστῷ σου, ὅτι αὐτός ἐστιν ὁ ἐρχόμενος. τὸ γὰρ κατελθεῖν ἐκ τῶν οὐρανῶν, καὶ γενέσθαι ἄνθρωπον Θεὸν ὄντα, καὶ ἑκουσίᾳ γνώμῃ δοῦναι τὸν κακοῦργον θάνατον, ξένον καὶ ἀπόρρητόν ἐστι. Καὶ εἰ ἀληθὲς τοῦτό ἐστι, ποίαν βίαν ἐκέκτητο, ὅτι μηδενὸς ἀναγκάζοντος, ἐσπούδασε τοῦ παραγενέσθαι, καὶ παραδοῦναι ἑαυτόν, ἵνα ἀποθάνηται; ἐξίσταμαι ταῦτα λογιζόμενος· ἡ γὰρ φοβερὰ ἐκείνη φύσις, τὸ φοβερὸν ἐκεῖνο κράτος, ἡ ἀπόρρητος ἐκείνη δύναμις, ὁ φοβερὰν δόξαν κεκτημένος, τοσοῦτον ἔδραμεν, ἵνα ἀτιμάσῃ ἁπλῶς τὴν ἑαυτοῦ μεγαλοπρέπειαν. ἀδύνατον τοῦτο, καὶ παντάπασιν ἀπαραμύθητον. Καὶ ὁ ἅγιος. Ἀγνοεῖς τοῦ μυστηρίου τὴν δύναμιν, καὶ διὰ τοῦτο θαυμάζεις. ἀδύνατον γὰρ ἐν τῷ ζόφῳ τῆς νυκτὸς κρατούμενον καὶ καθήμενον, ὁρᾶν τὰ ἐπὶ τοῦ αἰθέρος πετώμενα. καὶ τοὺς ὀφθαλμοὺς δὲ πηρωθέντας φέρων, πῶς δυνήσεται καθαρῶς ὁρᾶν τὴν ἀκτῖνα τοῦ ἡλίου; παραπλησίως καὶ αὐτός. πνεῦμα γὰρ ἅγιον, ἐν οἷς οὐ κατασκηνώσει, δυσκόλως ἐκεῖ πνευματικὰ κατοπτεύεται. πίστευσον τοίνυν εἰς τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ βαπτίσθητι ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τηνικαῦτα συνήσεις, περὶ ὧν ἀρτίως ἀπορῶν καταπλήττῃ. Ερβαν. Οὕτως ἁπλῶς, καὶ ὡς ἔτυχε, πεισθῆναί με ἀδύνατον, ἐὰν μή, ὡς ἐπιποθῶ, καὶ τὴν πληροφορίαν εἰσδέξομαι. Διήγησαι τοιγαροῦν ἐμοὶ καὶ πάλιν περὶ ὧν ἐρωτῶ σε. διὰ ποίαν αἰτίαν πέπονθε τὰ δεινὰ ἐκεῖνα ὁ Χριστός σου, καὶ πρὸς τούτοις καὶ τετελεύτηκε; Καὶ ὁ ἅγιος. Οὐ πλειστάκις σοι εἴρηκα, καὶ πάλιν ἐρωτᾷς; Ερβαν. Ἄγνοιά τις περιέχει μου τοὺς λογισμούς, καὶ εὐθέως τὰ ὑπὸ σοῦ μοι λεγόμενα παραγενομένη εἰς λήθην ἀποκαθίστησι. Καὶ ὁ ἅγιος. Οὕτως οἶμαι· οἱ γὰρ μὴ πεφωτισμένοι εἰς τὸ ζωοποιὸν ὄνομα τῆς ἁγίας τριάδος, καὶ χείρονα τούτων καθυπομένουσιν. Τί δ' ἔπαθεν ὁ Χριστός, καὶ διὰ τί, καὶ πῶς μετὰ τὸ πολλὰ παθεῖν ἐτελεύτησε, πρόσεχε.

A SANCTVS ARCHIEPISCOPVS. Equidem hæc ita esse scio: sed non de his nobis controuersia & suscepta disputatio, sed de fide & veritate. Atque vt intelligas, & in cognitione veritatem, quæ est in Christo Iesu, teneas, & regni cœlorum hæres fias, verè quidem tibi faustum annuntio, quòd Christi seruus videberis, siue in principio, siue in fine: huicque seruire tibi adiacet & incumbit, & huius posterioribus debes agglutinari & adhærescere, cùm noueris ipsum esse qui venit, cùm respiciet ipse è cœlis, & tibi cordis ac
B mentis oculos aperiet, & illuminabit, & sanctificabit, & omnem veritatem tibi demonstrabit, & quòd ipse cum omni veritate est Messias Christus, de quo Prophetæ multa vaticinati sunt. HERBANVS. Magnum mihi esset, certo scire, & plenam fidem in tuo Christo habere, quod ipse est qui venit. Nam eum qui Deus erat, è cœlis descendisse, & factum esse hominem, & sponte sua mortem maleficam oppetiisse, alienum, absurdum, & infandum est. Et si hoc verum est, quæ vis, quæ intemperiæ eum adegerunt, vt nemine cogente festinaret venire, &
C seipsum tradere, vt moreretur? hæc mecum reputans, non sum ad me. Illa enim horribilis natura, illud terribile robur, illa ineffabilis potentia, ille qui formidabili gloria præditus est, tantùm properauit, vt dedecore & probro suam omnino fœdaret dignitatem & maiestatem. hoc fieri non potest, hoc incredibile, hoc prorsus inconsolabile. SANCTVS ARCHIEPISCOPVS. Vim mysterij quoniam ignoras, idcirco miraris. Nam qui noctis caligine & tenebris detinetur & desidet, nullo modo potest ea cernere, quæ in æthere volitant. Et qui mutilos ac læsos habet oculos, solis radios
D quomodo poterit purè intueri? Similiter & tu ipse. In quibus enim Spiritus sanctus non habitabit, in illis difficilè spiritalia conspiciuntur. Credas igitur in Dominum Iesum Christum, & sancto lauacro tinguaris in nomine Patris, & Filij, & Spiritus sancti: & tunc intelliges ea, quæ dubitans & stupens admiraris. HERB. Sic simpliciter, & vtut fors tulit, persuaderi & credere nullo modo possum, nisi sicut desidero, certam fidem & penitus exploratam accepero. Explica igitur mihi, & rursus edissere quæ te interrogo. Quam ob causam atrocia & horrenda illa tuus Christus perpes-
E sus est, præterea & mortuus est? S. ARCH. Non hoc iam tibi sæpissimè dixi, & rursus interrogas? HERBANVS. Ignorantia quędam meas rationes & cogitationes obsidet, quæ subitò obrepens ea quæ abs te dicuntur, in obliuionem abripit. S. ARCH. Sic opinor. Nam qui in viuifici nomen sanctæ Trinitatis non sunt illuminati & accensi, his deteriora patiuntur. Cur autem passus est Christus, & quamobrem, & quomodo, postquam multa passus est, mortuus est, attende diligenter.

Verbum crucis pereuntibus quidem stultitia est, his verò qui salui fiunt, virtus Dei.

Vt mens hominis tanti mysterij fiat capax, fide primum imbuenda & purganda. Nisi credideritis non intelligetis.

Nullus potest dicere, Dominus Iesus, nisi in Spiritu sancto. 1. Cor. 12.

A Omnes homines ab Adam vsque ad Christi aduentum, in magnum errorem & in horribilissima peccata miserabiliter corruerunt. Neque hoc tantummodo de gentibus dico, quæ omnino ad vana fictitiorum deorum simulacra errore delusæ abierunt, sed & de vobis ipsis Iudæis, qui legem Dei accepistis, & non custodistis. Quare lætabatur improbus ille dæmon, qui cum Adamum seduxisset, videns vniuersam creaturam post se inhiantem, valde cum magno fremitu exultabat. Quid igitur factum est? Deus, qui humanum genus produxerat, dolebat & angebatur: B neque tamen per tyrannidem hominem è manibus feræ auellere & è faucibus eripere volebat. Iustum modum siue iustam occasionem deliberat, atque verbum suum, id est filium, in sanctam virginem è cœlis emittit: intra quam ille cùm esset, format sibi ipse hominem ex puro & impolluto sanguine sanctæ virginis & Deiparæ. Ipse quidem vnitur homini immutabiliter secũdum hypostasin, & inde gignitur: & crescit, Deus cùm esset, humanitate, intus habens mentem Deitatis. Profligat & confundit dæmonas. C Hunc admirantur improbi dæmones. Præterea impeccabili inuident: atque, vt priùs dixi, per vos Hebræos machinantur ei mortem, quam ille volebat. Venditur triginta argenteis, proditur, vincitur, colaphis cæditur vt homo: habitat in carcere, propter cõdemnatum Adamum: ad inferos descendit: luctatur cum principe inferorum, & cum corruptione, pro his qui illic in tenebris & vmbra mortis detinebantur: vincit, & eos extrahit ac liberat, qui illic coërcebantur. Seipsum à mortuis exsuscitat, & eos qui secum erant: facit suæ resurrectionis testes duodecim discipulos, deinde septuaginta, tum quingentos. D Ascendit cum humanitate in cœlos, missis ad vos, qui illum crucifixistis, discipulis suis. Denique cùm vos in perfidia & contumacia atque incredulitate permanseritis peruicaces, dato ipsis Spiritu sancto, ad omnes gentes misit, dicens, Gentibus dicite, relinquite falsos & commentitios Deos, & credite in Deũ omnipotentem, in filium eius vnigenitum, colaphis cæsum, in crucifixum, & mortuum, & admirabiliter à mortuis reuocatum, atque in Spiritum sanctum. Qui crediderit, & purifico lauacro tinctus fuerit, saluus erit: qui non E crediderit, condemnabitur. Ob hanc itaque causam, ô Herbane, Dominus noster Iesus Christus passus est. HERBANVS. Si omnes saluos fieri volebat, quam ob causam suarum perpessionum & dolorum scandalum in faciem oculis omnium proposuit, vt scandalo & offensioni essent? Non erat Deo conuenientius, vt nullus omnino vlla in re in scandalum perpessionum eius impingeret, sed omnes recta via ad eum accedentes crederent, & salui fierent? SANCTVS ARCHIEP.

Nascimur omnes filij. Ephe. 2.

Deus iniustum iusto modo hominem per inobedientiam morti & damnationi obnoxium à tyrannide diaboli liberat.

Ipsa veritas Deus Dei filius, homine assumpto, non tamen Deo consumpto, fidem constituit atque fundauit, vt ad Deum iter esset homini per hominem Deum.

vt liberaret nos de potestate ipsorum.

Fidei summa.

Apostolorum prædicatio per totum orbem diffusa est, vt nemo possit se excusare.

Mar. 16.

Iudæus quærit Messiam carnaliter in terris triumphantem.

A πάντες οἱ ἄνθρωποι ἀπὸ Ἀδὰμ μέχρι τῆς Χριστοῦ παρουσίας ἐν μεγάλῃ πλάνῃ καὶ ἐπιφρικωδεστάτοις παραπτώμασιν ἐλεεινῶς περιπεπτώκασιν. καὶ οὐ λέγω περὶ τῶν εἰς τὰ μάταια εἴδωλα ἁπλῶς ἀποπλανηθέντων ἐθνῶν, ἀλλὰ καὶ περὶ ὑμῶν τῶν Ἰουδαίων, οἵτινες ἐλάβετε τὸν νόμον, καὶ οὐκ ἐφυλάξατε. ἐκ τούτου ηὐφραίνετο ὁ πονηρὸς ἐκεῖνος δαίμων, ὁ τὸν Ἀδὰμ ἀποπλανήσας, βλέπων ἅπασαν τὴν κτίσιν ὀπίσω αὐτοῦ κεχηνυῖαν, καὶ τὰ μεγάλα ἐφρυάττετο. τί οὖν ἐγένετο; Θεὸς ἐλυπεῖτο ὁ τὴν ἀνθρωπότητα δημιουργήσας, B καὶ κατὰ τυραννίδα ἐκσπάσαι τὸν ἄνθρωπον ἀπὸ τῶν χειρῶν τοῦ θηρίου οὐκ ἐβούλετο. βουλεύεται δὲ δικαίαν πρόφασιν, καὶ ἀποστέλλει ἐκ τῶν οὐρανῶν τὸν λόγον αὐτοῦ ἐπὶ τὴν ἁγίαν παρθένον· καὶ ἔσω αὐτῆς ἐκεῖνος γινόμενος, πλάττει μὲν ἑαυτῷ ἄνθρωπον ἐξ ἀχράντων αἱμάτων τῆς ἁγίας παρθένου καὶ θεοτόκου. ἑνοῦται δὲ αὐτὸς τῷ ἀνθρώπῳ ἀναλλοιώτως καθ' ὑπόστασιν, καὶ γεννᾶται ἐκεῖθεν· καὶ αὔξεται Θεὸς ὤν, τῇ ἀνθρωπότητι, ἔνδον κεκτημένος τὸν νοῦν τῆς θεότητος. εἶτα καὶ C καταθριαμβεύει τοὺς δαίμονας. θαυμάζουσι τοῦτον οἱ πονηροὶ δαίμονες. μετὰ τοῦτο, φθονοῦσι τῷ ἀναμαρτήτῳ· συσκευάζουσιν, ὡς καὶ ἀνωτέρω σοι λελάληκα, δι' ὑμῶν τῶν Ἑβραίων, τὸν θάνατον αὐτοῦ, ὅνπερ κἀκεῖνος ἐβούλετο. πιπράσκεται εἰς τριάκοντα ἀργύρια, παραδίδοται, δεσμεῖται, ῥαπίζεται ὡς ἄνθρωπος. κατοικεῖ δεσμωτήρια, διὰ τὸν κατάκριτον Ἀδάμ. κατέρχεται ἐν τῷ ᾅδῃ. παλαίει μετὰ τοῦ ᾅδου καὶ τῆς φθορᾶς, ἀντὶ τῶν ἐκεῖσε ἐν σκοτεινοῖς καὶ σκιᾷ θανάτου κατεχομένων. νικᾷ, καὶ ἐκσπᾷ τοὺς ἐκεῖ κατεχομένους, ἀνιστᾷ ἑαυτόν, καὶ τοὺς μετ' αὐτοῦ. ποιεῖ μάρτυ- D ρας τῆς ἀναστάσεως αὐτοῦ, τοὺς ιβʹ. μαθητὰς αὐτοῦ, εἶτα τοὺς οʹ. εἶτα τοὺς φʹ. ἀναβαίνει τῇ ἀνθρωπότητι εἰς τοὺς οὐρανούς, ἀποστείλας πρὸς ὑμᾶς τοὺς σταυρώσαντας αὐτόν, τοὺς μαθητὰς αὐτοῦ. εἶτα μενόντων ὑμῶν ἐν τῇ ἀπιστίᾳ καὶ ἀπειθείᾳ, δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, ἀποστέλλει εἰς πάντα τὰ ἔθνη, εἰπών, εἴπατε τοῖς ἔθνεσι, καταλίπετε τὰ εἴδωλα, καὶ πιστεύσατε εἰς Θεὸν παντοκράτορα, καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ῥαπισθέντα, καὶ σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ἀναστάντα παραδόξως, καὶ εἰς τὸ πνεῦμα E τὸ ἅγιον. ὁ πιστεύσας οὖν καὶ βαπτισθεὶς σωθήσεται. ὁ δ' ἀπιστήσας κατακριθήσεται. διὰ τοῦτο ἔπαθεν, ὦ Ἐρβᾶν, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ΕΡΒΑΝ. Καὶ εἰ ἐβούλετο πάντας σωθῆναι, δι' ἣν αἰτίαν τὸ σκάνδαλον τῶν παθῶν αὐτοῦ, πρὸ προσώπου πάντων προτέθεικεν σκανδαλίζεσθαι; οὐκ ἦν θεοπρεπέστερον, ἵνα μηδὲν ἐν μηδενὶ μηδεὶς προσέκοπτε τῷ σκανδάλῳ τῶν παθημάτων αὐτοῦ, ἀλλὰ πάντες ἐπ' εὐθείας προσερχόμενοι, ἐπίστευον καὶ ἐσώζοντο; Καὶ ὁ ἅγιος.

Οὐ βούλεται ὁ Θεὸς ὁ ἅγιος οὐδὲ εἰς αὐτὸν τὸν διάβολον ἀδικίαν ἐργάσασθαι, τοσαύτην ἀκρίβειαν ἔχων περὶ δικαιοσύνης. καὶ ἕνεκεν τούτου μακαρίζει καὶ ἁγιάζει τοὺς ἐν δικαιοσύνῃ καὶ ἁγιασμῷ περιτρέχοντας. ἀπ᾽ ἀρχῆς γὰρ αὐτεξούσιον ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ἀγαπᾷ κατὰ προαίρεσιν ἀγαθὴν μᾶλλον ὑπείκειν ἡμᾶς αὐτῷ πάντοτε εἰς πάντα τὰ θελήματα αὐτοῦ, καὶ οὐ κατὰ τυραννίδα. Ἐπεὶ οὖν ἐπειδὴ πάντες ἡμάρτομεν, καὶ προέκειτο ἡμῖν ἡ προερχομένη κρίσις, καὶ τῆς αἰωνίου κολάσεως ἀνταπόδοσις, βουλόμενος ὁ ὑπεράγαθος καὶ πολυέλεος δεσπότης ἐλεῆσαι, καὶ σῶσαι τὸ πλάσμα τὸ ἴδιον, δικαίας προφάσεως ἑτέρας μὴ ὑπαρχούσης, ἐξ ἀνάγκης ταύτην εὐσυμπαθῶς ἐπενοήσατο. καὶ ὥσπερ ἔλαθεν τὸν διάβολον, καὶ προσέβαλεν αὐτῷ ὡς ἀνθρώπῳ, καὶ προσέκρουσε τῇ θεότητι, καὶ κατῃσχύνθη, οὕτως ἐστὶ τὰ πάθη αὐτοῦ δοκίμιον πίστεως σωζομένων. καὶ λέγει, μεγάλη ἡ πίστις αὐτῶν· ὁ δέ, δι᾽ ἣν αἰτίαν μεγάλη; φησὶν ὁ κύριος· παραδοθέντα με ἀκούουσι, καὶ συλληφθέντα, ῥαπισθέντα, ἐμπαιχθέντα, δεσμωτήρια οἰκήσαντα, μαστιγωθέντα, καὶ ἀποθανόντα θάνατον ἐπονείδιστον, ὃν καὶ αὐτοὶ οἱ κακοῦργοι διδόασι, καὶ ταφέντα, καὶ ἀναστάντα. καὶ ταῦτα πάντα ἐνωτιζόμενοι, οὐ σκανδαλίζονται, ἀλλ᾽ ὁμολογοῦσι Θεὸν ἐκ Θεοῦ, καὶ βασιλέα, καὶ πλάστην καὶ δημιουργὸν ἑαυτῶν. πῶς οὖν οὐ προσδέξομαι αὐτούς, καὶ ἐλεήσω, καὶ τῆς ἀκηράτου μου βασιλείας καταξιώσω; εἰ γὰρ γυμνῇ τῇ θεότητι * παρείην, καὶ βλέποντες ἐπίστευον, εἶχες ἂν καὶ αὐτὸς εὔλογον ἀπολογίας πρόφασιν τοῦ ἐγκαλεῖν μοι, ὡς μετὰ σοῦ πράττοντα ἄδικα. ἐπειδὴ δὲ ταῦτα παρηκολούθησεν, ἐρράγη τὸ δικαίωμά σου πρὸ προσώπου σου. ταῦτα οὕτως ἔχει, Ἑρβάν, καὶ δόλος ἐν τῷ στόματί μου οὐχ εὑρεθήσεται. σκάνδαλον δὲ φαίνεται τὰ παθήματα αὐτοῦ τοῖς ἀπίστοις, καὶ ἔτι καὶ μωρία, ἕως οὗ χρηματίζουσιν ἄπιστοι. μετὰ δὲ τὸ βαπτισθῆναι αὐτούς, Θεοῦ σύνεσις καὶ Θεοῦ σοφία ταῦτα καταπιστεύεται αὐτοῖς. Ἑρβάν. Φοβερὸν τὸ μυστήριον. πλὴν, δι᾽ ἣν αἰτίαν ἐν τοῖς σάββασι περιιὼν ἰατρείας ἐπετέλει, ὅπερ ὁ νόμος κωλύειν πέφυκε, καὶ εἴ τις οὐκ ἐπιμένει ἐν τούτῳ, ὡς παράνομον κολάζει αὐτόν; διὰ γὰρ τοῦτο, ὡς οἶμαι, καὶ οἱ πατέρες ἡμῶν ὀξυχολήσαντες ἐσταύρωσαν αὐτόν, ἐπεὶ οὐκ ἐτήρει τὸ σάββατον κατὰ τὸν νόμον, ἀλλ᾽ ἐπετέλει τὰ μὴ δέοντα. Καὶ ὁ ἅγιος. Ὅτι μὲν ἰάτρευεν, ἀληθῶς τοῦτο εἴρηκας. ἰάτρευε δὲ οὐχ ὡς ἰατρὸς τοῦ κόσμου τούτου, ἀλλ᾽ ὡς Θεός, λόγῳ μόνῳ ἐφθέγγετο, καὶ εὐθέως ὁ ἀσθενῶν οἱῳδήποτε κατείχετο νοσήματι, ὑγιὴς εὑρίσκετο. φθόνῳ τηκόμενοι οἱ ἀρχισυνάγωγοι καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι περὶ αὐτοῦ ταῦτα κατειργάσαντο, ἐπειδὴ θαυματουργοῦντα αὐτὸν ὑπὲρ ἐκείνους ἐμεγάλυνεν ὁ λαός.

A Non vult Deus sanctus neque ipsi diabolo iniuriam facere, aut vllo modo iniquè agere, vsque adeò exquisita & perfecta iustitia præditus est. Huius causa beatos reddit & sanctificat eos, qui in iustitia & sanctitate percurrunt. Nam ab initio hominem sui iuris & arbitrii formauit: & mauult nos voluntate bona & consilio sibi subiici, & obedire ad omnia placita & mandata, quàm violento & tyrannico coactos imperio. Quoniam igitur omnes peccauimus, & iudicium adueniens nobis impendebat, atque æterni supplicii retributio, volens ille, qui superbonus est & multùm misericors Dominus, misereri, & B seruare creaturam suam: cùm nulla esset alia iusta caussa, necessario hanc bonâ commiseratione excogitauit. Et quemadmodũ latuit diabolum, qui eum adortus est vt hominem, & in eius diuinitatem incurrit, & confusus est: sic eius perpessiones sunt probationes fidei eorũ qui salutẽ accipiunt. Et dicit, magna est ipsorũ fides. Quamobrem magna? dicit dominus. Me proditũ quidẽ audiunt, & cõprehensum, colaphis percussum, illusum, carcere vinctum, verberibus cæsum, & morte turpissima affectum, quam & ipsi malefici & scelerati homines luunt, & sepultũ, & resuscitatum: & hæc omnia percipientes auribus, non scanda- C lizantur, id est, non offenduntur, sed Deum de Deo confitentur, & regem, & formatorẽ, & creatorem suum? Quomodo igitur non ipsos suscipiam, & non miserebor? cur nõ eos incorrupto & æterno regno meo dignos existimabo? Si enim nuda diuinitate aduenissem, & videntes crederent, haberes & ipse iustam defensionis causam, & me incusandi, vt tecum iniqua agentem. Postquam verò hæc sunt consecuta, fracta est tua iustificatio ante faciem tuam. Hæc ita sunt, ô Herbane, & dolus in ore meo non inuenietur. Perpessiones eius infidelibus sunt scandalum siue offensio- D nes, quibusdam etiam stultitia, quandiu sunt infideles, nec credunt: sed postquam sacro lauacro sunt tincti & renati, hæc ipsis videntur Dei intelligentia, Dei sapientia. HERBANVS. Horribile mysterium. Verumtamen quam ob causam in sabbatis circumiens sanabat ægrotos, quod lex facere vetat? & si quis non permanet in ea, punit ipsum, vt nefarium ac legis violatorem? Ob eam causam, vt reor, patres nostri acri ira perciti ipsum cruci defixerunt, quia non obseruabat sabbatum secundum legem, sed quæ non fas erat, faciebat. E S. ARCH. Quòd quidem hic sanabat, verè hoc dixisti. Sanabat autem, non vt huius mundi medicus, sed vt Deus: solo verbo dicebat, & mox ægrotus quocunque morbo detinebatur, sanus & valens inueniebatur. Liuore inuidiæ tabescentes principes Synagogæ, & Scribæ & Pharisæi, in eum exempla ediderunt: quoniam ipsum miracula facientem supra illos populus magnificabat.

Eccl. 15.

Psal. 105.
Rom. 3.

Deus per filiũ suum mundũ creauit, per eundem instaurare voluit.

Matt. 4.
Luc. 4.

Matt. 15.

** Fort. ...aut, ...*

In quibus cor malum nõ est incredulitatis discedendi à Christo Dei filio. Regnum Dei paratum est electis à constitutione mundi qui operibus misericordia testati fuerint se Dei benedictos esse.

Matt. 25.

Iudæis scandalum, Græcis stultitia, sed Iudæis pariter & Græcis Dei potentia, Dei sapientia.
1. Cor. 1.

Marc. 12.
Matth. 3.
Luc. 6.
Exod. 31.
Deut. 17. & 27.
Gal. 3.
Heb. 10.

Matth. 27.
Marc. 25.

Sed quæ legis transgressio, Mortuos ad vitam reuocare, cæcorum oculos aperire, & paralytico dicere, Surge, tolle grabatum tuum, & ambula: & quæ sunt his similia? HERBANVS. Si verus erat Dei filius, quamobrem suis discipulis significabat, dicens, Vado ad patrem meum, & patrem vestrum, Deum meum & Deum vestrum? hîc ore proprio seipsum arguit & demonstrat hominem, similem suis Apostolis, & non Deum. Etsi me Iudæum conspicis, legi tamen sæpè vestra Euangelia, cùm amico meo cuidam Christiano dixissem, Præbe mihi ex vestris libris aliquos, vt horum adiutus lectione, fiam Christianus. SANCTVS ARCHIEPISCOPVS. Non es culpandus neque arguendus, si Christianorum scripturas legis. Hoc siquidem approbamus. si quis infidelium legat & intelligat, fortasse ilicò iuuabitur. Quòd verò ex illa dictione, Dominum meum Iesum Christum, solum hominem, & non Deum suspicaris, quia dixit suis discipulis, *Vado ad patrem meum*, &c. attende diligenter: Secundum diuinitatem, Deus erat, & filius Dei: secundum naturam, dixit Deum suum patrem: secundum mensuram humanitatis suæ, ostendens quòd reuera homo erat, manu patris effectus, pronuntiauit patrem suum, Dominum & herum appellans. De suis discipulis quod hoc dixit, nihil perperam mentitus est. Quod enim patrem discipulorum suorum dixit Deum, Propheta idem ait, *filios genui, & exaltaui.* Quòd autem Deus, omnis terrigena factura est & creatura ipsius Dei: imo vero sanctorum Deus est & dominus. At impiorum & peccatorum non est Deus Dominus, sed peccatum est Deus ipsorum, quod quidem amant & operantur: Pater quidem iustorum Deus, non per naturam, sed per gratiam: Deus autem, vt qui ab eo quod non erat, ad id quod est, ipsos effecit. HERBANVS. Hæc verba etiam aliis significabuntur: (videbat enim Palladium scholasticum Archiepiscopi, quem ab Alexandria adduxerat, verba vtriusque notantem.) SANCTVS ARCHIEPISCOPVS. Propterea dixit Propheta, *Declaratio sermonum tuorum illuminabit & intelligere faciet paruulos.* HERBANVS. Quinam sunt paruuli, de quibus dixit? Paruulos dixit vos Hebræos, velut infantulos, tanquam alio lacte, quia lex sit imperfecta, alendos & erudiendos, vt tempore progrediente Christi aduentum, & per eius gratiam quæ sunt perfecta attingatis, etsi à proposito aberrauistis. HERBANVS. Moses & Helias non per hanc imperfectam legem nostram visi sunt perfecti, Deo legis præclarè & benè placentes? Quam igitur ob causam legem imperfectam dixisti?

Matt.6. Mar.2. Luc.5.

Ioan.20.

Scripturarũ à quatuor Euãgelistis scriptarum ratio & finis est, vt credamus quod Iesus est Christus Dei filius, & vt credentes vitam æternam habeamus in nomine eius. Ioan.20.

** Fort. ὠφεληθήσεται.*

Fratres suos discipulos & Apostolos vocat Christus. Matth.28. Heb.2. Esa.1.

Qui peccat seruus est peccati. Ioan.8.

Hinc conijcere licet Palladium authorẽ esse fine scriptorem huius disputationis. Psal.118.

Sic D.P. Hebreos paruulis comparat quibus lacte sit opus & non solido cibo. Heb.5.

A ποία παράβασις τοῦ νόμου, τὸ ἐγεῖραι νεκρούς, τὸ ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, καὶ τὸ εἰρηκέναι τῷ παραλυτῷ, ἔγειρε, ἆρον σου τὸν κράβατον, καὶ περιπάτει· καὶ τὰ τούτοις παραπλήσια. Ερβαν. Εἰ υἱὸς ἦν τοῦ Θεοῦ ἀληθής, δι' ἣν αἰτίαν ἐμήνυε τοῖς μαθηταῖς αὐτοῦ, λέγων, ὅτι πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν, ἐν τούτῳ δείκνυσιν ἑαυτὸν διὰ τοῦ ἰδίου στόματος ἄνθρωπον, παρόμοιον τῶν ἀποστόλων αὐτοῦ, καὶ οὐ Θεόν. ἐμὲ γὰρ κἂν Ἰουδαῖον καθορᾷς, ἀλλὰ πολλάκις ἀνέγνων ὑμῶν B τὰ εὐαγγέλια, εἰπὼν τινὶ φίλῳ μου Χριστιανῷ, πάρεχέ μοι ἀπὸ τῶν βιβλίων τῶν ὑμετέρων, ὅπως γνοὺς ὠφεληθῶ, καὶ γένωμαι κἀγὼ Χριστιανός. Καὶ ὁ ἅγιος. Οὐ μεμπτέον, εἰ τὰς γραφὰς τῶν Χριστιανῶν ἀναγινώσκεις· καὶ γὰρ ἡμεῖς τοῦτο ἀποδεχόμεθα, εἴπερ τις τῶν ἀπίστων ἀναγινώσκων καὶ συνιείς, ἴσως παραχρῆμα *ὠφεληθήσονται· ὅτι ἐκ μόνης τῆς ῥήσεως ταύτης ἄνθρωπον μόνον, καὶ οὐ Θεὸν καθυποπτεύεις τὸν κύριόν μου Ἰησοῦν Χριστόν, ὅτι εἴρηκε τοῖς μαθηταῖς αὐτοῦ, πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ τὰ ἑξῆς, πρόσεχε. κατὰ μὲν τὴν θεότητα, ὅτι Θεὸς ἦν, καὶ υἱὸς C Θεοῦ· κατὰ φύσιν εἴρηκε τὸν Θεὸν ἑαυτοῦ πατέρα· κατὰ δὲ τὸ μέτρον τῆς ἀνθρωπότητος αὐτοῦ δεικνὺς ὅτι ἐπ' ἀληθείας ἄνθρωπος ἦν, χειρὶ τοῦ πατρὸς ἀποτελεσθείς, ἐνεφώνει ἑαυτοῦ τὸν πατέρα, κύριόν τε καὶ δεσπότην ἀποκαλῶν. περὶ δὲ τῶν μαθητῶν αὐτοῦ ὅτι εἴρηκε τοῦτο, οὐδὲν παρεψεύσατο. ὅτι μὲν γὰρ πατέρα λελάληκεν τῶν μαθητῶν αὐτοῦ τὸν Θεόν, φησὶν ὁ προφήτης, υἱοὺς ἐγέννησα, καὶ ὕψωσα. ὅτι δὲ καὶ Θεόν, πᾶς γηγενὴς ποίημα καὶ κτίσμα αὐτοῦ τοῦ Θεοῦ. μᾶλλον δὲ τῶν ἁγίων ἐστὶ Θεὸς ὁ κύριος. τῶν δὲ ἀσεβῶν καὶ ἁμαρτωλῶν οὐκ ἔστι Θεὸς ὁ κύριος, ἀλλ' ἡ ἁμαρτία D ἐστὶ Θεὸς αὐτῶν, ἥνπερ ἀγαπῶσι καὶ ἐργάζονται. πατὴρ μὲν γὰρ τῶν δικαίων, ὁ Θεός, οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν. Θεὸς δέ, ὡς ἀπὸ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναι, δημιουργήσας αὐτούς. Ερβαν. Ταῦτα τὰ ῥήματα καὶ ἑτέροις δηλωθήσονται. ἑώρα γὰρ Παλλάδιον τὸν σχολαστικὸν τοῦ ἀρχιεπισκόπου, ὃν ἀπὸ Ἀλεξανδρείας ἤγαγε, τὰ ῥήματα ἑκατέρων σημειούμενον. Καὶ ὁ ἅγιος. Διὰ ταῦτα εἴρηκεν ὁ προφήτης, ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. Ερβαν. Τίνα εἰσὶ τὰ νήπια, E περὶ ὧν εἴρηκε, Καὶ ὁ ἅγιος. Νήπια εἴρηκεν ὑμᾶς τοὺς Ἑβραίους, τοὺς ὡς νήπια, ὡς ἄλλῳ γάλακτι, διὰ τοῦ ἀτελοῦς νόμου, τρεφομένους καὶ παιδευομένους, ἵνα καιρῷ τῷ προβαίνοντι Χριστοῦ παραγενομένου, καὶ τῶν τελείων διὰ τῆς αὐτοῦ χάριτος ἐφάψησθε, κἂν ἠστοχήσατε τῆς προθέσεως. Ερβαν. Μωϋσῆς καὶ Ἠλίας οὐκ ἄρα διὰ τοῦδε τοῦ ἀτελοῦς νόμου ἡμῶν, τέλειοι καθωράθησαν, τῷ Θεῷ τοῦ νόμου καλῶς διαρεσθέντες; κατὰ ποίαν οὖν πρόφασιν τὸν νόμον ἀτελῆ εἴρηκας;

καὶ γὰρ ὁ μὲν φαίνεται στόμα πρὸς στόμα προσομιλήσας Θεῷ, καθάπερ τις φίλος πρὸς φίλον ἀγαπητὸν αὐτοῦ. Αἴγυπτόν τε ἐμάστιξεν ὡς Θεὸς Φαραὼ ἐν ἑπτὰ πληγαῖς· καὶ τὰ ἄλλα ἴσως αὐτὸς ἐπίστασαι. Ἡλίας δὲ οὐ κατηνέγκε πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ ἀπέκλεισεν ὑετοῦ νομὰς ἔτη τρία σὺν μησὶν ἕξ; οὐ τεσσαράκοντα ἡμέρας ὥδευσε νῆστις; οὐκ ἄρα ἐν Χωρὴβ τῇ λεπτοτάτῃ αὔρᾳ παραβαδιζόμενος ἑώρακε τὸν Θεὸν τοῦ νόμου; καὶ ἐν ζῶσι ζήσεται μέχρι τῆς δεῦρο; πῶς οὖν αὐτὸς ἀποφαίνῃ τὸν νόμον νήπιον, ἀτελῆ τε καὶ ἀνενέργητον; Καὶ ὁ ἅγιος. Ἀτελῆ εἴρηκα τὸν νόμον, οὐδαμῶς δὲ ἀνενέργητον. διὰ πλειόνων γὰρ τεκμηρίων, ἱκανοὺς τῆς βασιλείας τῶν οὐρανῶν ἠξίωσε. περὶ δὲ Ἡλίου καὶ Μωσέως, μηδείς σοι λόγος. ὅτι μὲν γὰρ ταῦτα πάντα ἐπεράχθη αὐτοῖς παρὰ Κυρίου, καὶ αὐτὸς ἐπίσταμαι σὺν ἀκριβείᾳ πολλῇ πλὴν, οὐκ ἐν τοῖς θαύμασι τούτοις ἡ τελείωσις τῆς ἐναρέτου πολιτείας καταφαίνεται, ἀλλ' ἐν τῷ σταυρῷ τοῦ Κυρίου Ἰησοῦ, δι' οὗ πᾶσα ἁμαρτία αἴρηται. ὁ νόμος γὰρ οὐκ ἐβουλήθη καταλῦσαι τὴν πλάνην τῆς εἰδωλολατρείας, καὶ ἀνελεῖν τὴν ἁμαρτίαν, ἀλλὰ μᾶλλον ἡ χάρις Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀλήθεια. Μωσῆς δὲ οὐκ ἐδυνήθη ἀντισχεῖν πρὸς τὸ ἀκρατὲς τοῦ λαοῦ ὅρμημα, εἰς τὸ μὴ ἁμαρτεῖν αὐτὸς, ἀλλ' εὐσεβεῖν καὶ φοβεῖσθαι τὸν κύριον. * καὶ αὐτὸς φαίνεται ἡμαρτηκὼς ἐνώπιον Κυρίου, ὅτε ἦλθε μετὰ τοῦ λαοῦ εἰς Μερρᾶν, καὶ οὐκ ἐδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς. πικρὸν γὰρ ἦν. καὶ ἐγόγγυζεν ὁ λαὸς κατὰ τοῦ Κυρίου, λέγοντες, Πονηρὸν μεθ' ἡμῶν ὁ κύριος πεποίηκεν, ἐξάξας ἡμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ ἂν ὕδωρ εὑρεῖν δυνάμεθα τοῦ κορεσθῆναι. τηνικαῦτα δὴ φαίνεται καὶ Μωσῆς συγγογγύζων τῷ λαῷ κατὰ τοῦ Κυρίου· ὅθεν οὐδὲ τὴν γῆν τῆς ἐπαγγελίας εἴασεν αὐτὸν βηματίσαι, ἀλλ' ἀναγαγὼν αὐτὸν ἐπ' ὄρος ὑψηλοῦ, ἐκεῖθεν αὐτῷ ἔδειξε ταύτην. εἶθ' οὕτως εἴρηκεν αὐτῷ, Ἀνάβηθι εἰς τὸ ὄρος, καὶ τελεύτα. οὐ γὰρ μὴ κληρονομήσῃς τὴν γῆν τῆς ἐπαγγελίας, καθότι καὶ αὐτὸς μετὰ τοῦ λαοῦ με παρώργισας. καὶ ἐν αὐτῷ τῷ ὄρει φαίνεται τελευτῶν, καὶ τὴν γῆν τῆς ἐπαγγελίας οὐκ ἐβημάτηκεν ὁ στόμα πρὸς στόμα τῷ Θεῷ λαλήσας, καὶ Αἴγυπτον ὡς Θεὸς Φαραὼ ἑπτὰ πληγαῖς μαστίξας· καὶ τὰ ἑξῆς. Ἡλίας δὲ οὐδ' αὐτὸς ἐδυνήθη ἀντισχεῖν πρὸς τὴν ἁμαρτίαν, τοῦ ἀνελεῖν αὐτὴν, καὶ τὸν λαὸν Κυρίου ἐκ τῆς βλάβης αὐτῆς ἐξαιρήσασθαι. ἀλλ' ἰδὼν πάντα τὸν λαὸν τῷ Βαὰλ τὸ γόνυ κάμπτοντα, ὀργισθεὶς ἐν τῷ μηδὲν δύνασθαι ποιῆσαι, ἐπ' ἀρὰς τέτραπται, καὶ ἀπαλγησίαν ἐνδύεται, καὶ κατὰ τῆς κτίσεως χωρεῖ. καὶ πρότερα μὲν πῦρ αἰτεῖ ἐκ τοῦ οὐρανοῦ κατελθεῖν, καὶ καταφαγεῖν τὸν πεντηκόνταρχον, καὶ τοὺς σὺν αὐτῷ πεντήκοντα στρατιώτας. ὃ καὶ γέγονεν. εἶθ' ἑτέρου πεντηκοντάρχου παραγενομένου πρὸς αὐτὸν μεθ' ἑτέρων πεντήκοντα στρατιωτῶν,

A Ille quidem videtur os ad os eum Deo col-
loeutus esse, quemadmodum quidam ami- *Num.12.*
eus cum amico dilecto suo: atque Ægyptum,
vt Deus Pharaonem, flagellauit septem pla- *Exod 8.9.*
gis: & alia fortasse ipse scis. Helias verò non *10.11.*
ignem è cœlo eduxit, & pluuiæ interclusit di-
stributiones, & fecit vt non plueret annis tri- *4.Reg.1.*
bus & sex mensibus? Non etiam quadraginta
dies ieiunus iter fecit? Non in Choreb, in sub-
tilissima aura perambulans, vidit Deum le- *3.Reg.19.*
gis? & inter viuos viuet ad hunc vsque diem? *Iacob.5.*
Quomodo igitur legem ipse affirmas paruu-
lam, & inefficacem? SANCTVS ARCHI- *Lex padagogus noster fuit*
EPISCOPVS. Legem equidem dixi imper- *ad Christum,*
B fectam, non tamen inefficacem, & sine vllo *vt ex fide iustificaremur.*
effectu. Nam hæc pluribus certis indiciis, re- *Gal.3.*
gno cœlorum idoneos & dignos fecit. De
Helia autem & Mose, nullus tibi sit sermo.
Quoniam hæc omnia ipsis à Domino gesta
sunt, & ipse certò & exactè scio. Cæterùm
non in his miraculis Reipublicæ præclaræ & *Absit gloriari*
beatæ perfectio cernitur, sed in cruce Domi- *nisi in cruce*
ni Iesu, per quem omne peccatum sublatum *D. nostri Iesu*
est. Lex enim idololatriæ errorem euertere & *Christi.*
abolere noluit, & peccatum tollere: sed po- *Gal.6.*
tius gratia Iesu Christi, & veritas. Moses
enim populi violentum impetum cohibere
C & reprimere non potuit, ita vt ipse non pec- * ἀλλὰ καὶ
caret, sed vt Dominum piè coleret & time-
ret. Quinetiam hic coram Deo peccasse
deprehenditur, quando cum populo venit
ad Maran, nec potuit aquam bibere ex Ma-
ra: quoniam erat amara: sed murmurauit *Exo.15 & 17.*
populus aduersus Dominum, dicens: *Ma-*
lum fecit nobiscum Dominus, qui eduxit nos de
terra Ægypti, & non potuimus aquam in-
uenire vt expleremur. Tunc certè videtur
Moses ipse murmurasse cum populo contra
Dominum. Vnde neque terram promissio-
nis permisit Deus ipsum ingredi: sed cùm
D adduxisset in montem excelsum, illinc ei
hanc præmonstrauit. Deinde sic ei dixit, *Deut 32.*
Ascende in hunc montem, & morere. Non
enim terram Promissionis hæreditatem ca-
pies, quoniam & ipse cum populo me irrita-
sti. Et in ipso monte videtur vita defunctus
esse, nec terram Promissionis ingressus est,
qui cum Deo ore ad os locutus est, & qui
Ægyptum, velut Deus Pharaonem, septem *Gen.9. & 10.*
plagis afflixit, &c. Helias verò neque ipse
peccato potuit sic obsistere, vt id tolleret,
E neque populum Domini ex noxa & damno
huius eximere: sed omnem populum genu
Baali flectentem intuitus, cùm nihil iratus *3.Reg.18.*
proficeret, ad execrationem conuertitur, &
immanitatem induit, & contra creaturam
pergit. Ac primùm quidem ignem de cœlo *4.Reg.1.*
decidere postulat, & præfectum quinqua-
ginta militum deuorare, & cum ipso quin-
quaginta milites: quod ita factum est. Dein-
de cùm alter quinquagenarius princeps cum
aliis quinquaginta militibus ad eum venisset

A his innocentibus iratus, similem primis infert interitum. Postea sacerdotes dedecoris, nempe Baalis, iugulat quinquaginta & trecentos. Tum cœlum ligat immisericordia siue inclementia raptus, ad totum terrarum orbem fame & siccitate funditus perdendum. *Viuit enim* (dicit) *Dominus, si erit pluuia super terra, nisi per os meum.* Et verbum eius factum extitit: & tribus annis cum sex mensibus omnis terra squalore horridissimo, & amarissimo æstu, miserabiliter detinebatur. Et cùm hæc fierent, Helias adhuc furebat. Quomodo qui in tanta peccata sunt prolapsi, B in lege perfecti, vt tu dicis, fuerunt? Nullo modo. Nam cùm essent homines, necesse fuit eos quoque peccato obnoxios inueniri. Est enim vnus perfectus. Quis ille? Iesus Christus, qui non peccati iugo mancipatus fuit, qui non fecit iniquitatem, qui innocens manibus & mundus corde fuit: qui non dolosè egit in lingua sua, sed potius in perfecta sua humanitate permansit incontaminatus, impollutus, sanctificatus. Quin & ipse totius mundi peccatum assumpsit, & per suas perpessiones abstulit ipsum in iustitia, atque C gentes errantes ex diaboli faucibus ereptas dux viæ ad patrem & Deum direxit. Et naturam infimam deificatam, in cœlis congregatam, cum Deo & patre considere fecit. Hæc perfectio est, ô Herbane: quoniam Moses & Helias nihil ad communem generis humani salutem perficere potuerunt, nisi vnus sanctus, vnus Dominus Iesus Christus, in gloria Dei patris Amen. Quod si miracula, quæ quidem dixisti Deum per Mosem & Heliam fecisse, hæc perfectionem virtutis censes: reliquum est, vt sexcenta illa millia, quę mare rubrum siccis pedibus traiecerunt, D quæ etiam lucis nubes per diem inumbrauit, & colũna ignis noctu illustrauit, existimẽtur abs te in sanctificatione perfecta fuisse, quia Deus dicta illa miracula & prodigia & portenta eximia mirabiliter fecit. Sed hoc non potes affirmare. Nam illa omnia millia in deserto per quadraginta annos propter multam iniquitatem funditus illic subuersa sunt & conciderunt. Itaque ex his demonstratur, quòd non ex eo, quòd Deus in aliquibus miracula operetur, perfectio spectanda sit, sed potius in supplicio & cruciatu propter Dominum tolerando, in tentatione sustinenda, E in malis perferendis, & ignominia accipiẽda, in fortiter perseuerando rebus in aduersis, in humilitate & gratiarũ actione: & nullo signo siue miraculo faciendo, nisi fortè quadam ex necessitate. Hæc vera est in sanctis perfectio, cùm Deo affixi & addicti adhærent & incumbunt, & omnia abnegara & relicta præ illo posthabent. Hæc autem dixi, non insimulans Mosem & Heliã, absit, sed apertissimè declarans, quibus notis & formis virtutis perfectio n etiẽda sit. Mosem & Heliam tũc perfectos

3.Reg.18.

3.Reg.17.

Esa.53.
1.Pet.2.
1.Ioan.3.

* μόνος ὁ Χριστὸς ἀναμάρτητος

* ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. β. πρὸς Κολ. κ.

Exod 14.

Luc. x 9. Per multas tribulationes oportere intrare in regnum Dei. Act. 14.

Perfectorum est omnia vẽdere, pauperibus erogare, & Christum sequi, seipsum & omnia abnegare, & crucem tollere.

Matth.19.

A καὶ αὖθις μηδὲν ἠδικηκόσιν ἐν ὀργῇ ἐπιφέρει τὸν ὅμοιον τοῖς προτέροις ὄλεθρον. μετὰ ταῦτα, σφάττει τοὺς ἱερεῖς τῆς αἰσχύνης, ἤτοι τοῦ Βαάλ, πεντήκοντα καὶ τετρακοσίους. εἶτα δεσμεῖ τὸν οὐρανόν, ἀσπλαγχνίᾳ φερόμενος, πρὸς τὸ ἀφανίσαι πάντως τὴν οἰκουμένην πᾶσαν, τῷ λιμῷ καὶ τῇ αὐχμηρείᾳ. ζῇ γάρ, φησί, κύριος, εἰ ἔσται ὑετὸς ἐπὶ τῆς γῆς εἰ μὴ διὰ στόματός μου. καὶ ὁ λόγος αὐτοῦ ἔργον ἐγεγόνει. καὶ ἐπὶ τρισὶν ἔτεσι σὺν μησὶν ἕξ, ἅπασα ἡ οἰκουμένη φρικωδεστάτῃ αὐχμηρείᾳ, καύσωνί τε πικροτάτῳ ἐλεεινῶς συνείχετο. B καὶ τούτων γινομένων ὁ Ἠλίας ἔτι ἐμαίνετο· πῶς οἱ τηλικούτοις ἁμαρτήμασιν ἐλισθήσαντες, τέλειοι ἐν τῷ νόμῳ ἐγένοντο, ὡς σὺ φῄς; οὐδαμῶς. ἀνθρώπους γὰρ ψιλοὺς ὄντας, ἀνάγκη ἦν καὶ ὑπὸ ἁμαρτίας αὐτοὺς εὑρεθῆναι. Τέλειος δὲ εἷς ἐστι. τίς ἐκεῖνος; Ἰησοῦς Χριστός, * ὁ μὴ δουλωθεὶς ζυγῷ ἁμαρτίας· ὁ μὴ ποιήσας ποτὲ ἀνομίας, ὁ ἀθῷος χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, ἔμεινε δὲ μᾶλλον τῇ τελείᾳ αὐτοῦ ἀνθρωπότητι, ἄσπιλος, ἡγιασμένος. ἀνέλαβε δὲ αὐτὸς καὶ τὴν τοῦ παντὸς κόσμου ἁμαρτίαν, καὶ διὰ τῶν αὐτοῦ παθημάτων ἀνεῖλεν αὐτὴν ἐν δικαιοσύνῃ, C καὶ τὰ πλανώμενα ἔθνη ἐκσπάσας τοῦ διαβόλου, ὡδήγησε πρὸς τὸν πατέρα καὶ Θεόν *. καὶ τὴν κάτω φύσιν θεώσας κειμένην, ἐν τοῖς οὐρανοῖς συναγαγών, συνεδριάζειν τῷ Θεῷ καὶ πατρὶ πεποίηκε. Τοῦτο, Ἔρβαν, ἡ τελείωσις, ἐπεὶ Μωσῆς καὶ Ἠλίας ἐπὶ σωτηρίᾳ τῆς κοινοῦ φύσεως τῶν ἀνθρώπων κατεργάσασθαι ἐδυνήθησαν οὐδέν, εἰ μὴ εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ πατρός, ἀμήν. εἰ δὲ καὶ τὰ θαύματα, ἅπερ εἴρηκας ὅτι πεποίηκεν ὁ Θεὸς διὰ Μωσέως καὶ Ἠλίου, τελειότητα ἀρετῆς ταῦτα ἡγῇ, D λοιπὸν καὶ ἑξακόσιαι ἐκεῖναι χιλιάδες, αἱ τὴν ἐρυθρὰν θάλασσαν ἀβρόχοις ποσὶ διαπεράσασαι, ἃς καὶ ἡ νεφέλη τοῦ φωτὸς ἐπεσκίαζεν ἡμέρας, καὶ ὁ στύλος τοῦ πυρὸς ἐφώτιζε τῇ νυκτί, νομισθήτωσάν σοι ἐν ἁγιασμῷ τετελειωμέναι, ἀνθ' ὅσου ὁ Θεὸς ἐτερατούργησε τὰ εἰρημένα ἐξαίσια θαύματα. ἀλλ' οὐκ ἂν ἔχῃς τοῦτο. ἐκεῖναι γὰρ αἱ χιλιάδες πᾶσαι ἐν τῇ ἐρήμῳ ἐν τεσσαράκοντα ἔτεσι διὰ τὴν πολλὴν ἀνομίαν, ἄρδην ἐκ βάθρων κατεστρώθησαν. καὶ ὡς ἐκ τούτων δείκνυται, ὅτι οὐκ ἐν τῷ θαυματουργεῖν ἐπί τισι τὸν ὕψιστον, τοῦτ' ἐν αὐτοῖς ἡ τελειότης, E ἀλλ' ἐν τῷ τιμωρεῖσθαι μᾶλλον ἕνεκα Κυρίου, καὶ πειράζεσθαι, καὶ κακοπαθεῖν, καὶ ἀδοξεῖν, καὶ καρτερεῖν ἐν ταπεινότητι καὶ εὐχαριστίᾳ, καὶ μηδὲν σημεῖον ποιεῖν, πλὴν ἐξ τινὸς ἀνάγκης. τοῦτο ἡ τελειότης τοῖς ἁγίοις, ὁπόταν καὶ μετὰ Θεοῦ ὦσιν ἐνδιακείμενοι, καὶ ἠρνημένοι τὴν κτίσιν. ταῦτα δὲ εἴρηκα, οὐ κατηγορῶν Μωσέως καὶ Ἠλιοῦ, μὴ γένοιτο· ἀλλ' ἐν τίσι χαρακτῆρσι δηλαδὴ προφανέστατα, ἡ τελειότης πέφυκε τῆς ἀρετῆς. Μωσέα δὲ καὶ Ἠλίαν τότε τελείους;

A ἀποκατέστησεν ὁ Θεὸς, δοὺς αὐτοῖς ἐκ τῆς αὐτοῦ τελειότητος, ἤγουν χάριτος, ὁπότε σαρκωθεὶς μετεμορφώθη ἐν τῷ Θαβωρίῳ Ἰησοῦς Χριστὸς ὁ δεσπότης ὁ ἐμὸς, μεταξὺ Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς. τηνικαῦτα γὰρ ἐκέλευσε· καὶ ἰδοὺ Μωσῆς καὶ Ἠλίας πνεύματι δυνάμεως αὐτοῦ ἤχθησαν, καὶ παρέστησαν αὐτῷ συναστράπτοντες, ἡνίκα καὶ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ οὐρανοῦ μεμαρτύρηκεν, λέγων, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Καὶ ὁ Ἑρβαν. B Τὸν Ἠλίαν ἴσως ὡς ζῶντα παρέστησε, Μωσέα δὲ τετελευτηκότα, κατὰ ποίαν αἰτίαν; ἄνθρωπος γὰρ ἀποθανὼν, οὐκέτι λοιπὸν παραγίνεται. Καὶ ὁ ἅγιος. Τοῦ ἀνθρώπου τὸ πᾶν ἡ ψυχὴ αὐτοῦ ἐστιν, ἐπεὶ τὸ σῶμα αὐτοῦ οὐδέν ἐστιν· ἱμάτιον γάρ ἐστι συμφυὲς τῆς ψυχῆς. καὶ ὁπόταν κελεύῃ ὁ Θεὸς, ἀποστέλλει τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐκδύουσι τὴν ψυχὴν τὸ φθαρτὸν ἱμάτιον, ἤγουν αὐτὸ τὸ σῶμα, καθ' ὅ, τι πρὸς τὸν Θεὸν ὀφείλει ἀπελθεῖν, ὅπου τοιοῦτον ἱμάτιον σαρκικὸν οὐκ ἔστι τις ὁ φορῶν. πάντα γὰρ πνεύματα. καὶ λοιπὸν ὡς πνεῦμα καὶ αὐτὴν ἐκεῖ C ἀποφέρουσι, καὶ ἐν οἷς κελεύει ὁ Θεὸς ἐγκατοικίζεται, ὡς τὰ τῶν ἀγγέλων ἄμφια φοροῦσα. οὕτως οὖν καὶ Μωσέως ἡ ψυχὴ καὶ ὁπόταν αὐτῆς χρείαν ἔσχεν ὁ Θεὸς, ἐσχημάτισεν * αὐτὴν τὸ σῶμα ἰδίας δυνάμεως, καὶ παρέστησεν αὐτὴν τῷ βραχίονι αὐτοῦ ἐπὶ τοῦ ὄρους Θαβὼρ, θεάσασθαι τὴν μόρφωσιν αὐτοῦ, καὶ πάλιν τῇ δεξιᾷ αὐτοῦ ἀποκατέστησεν, ὅθεν ἀπῆρεν αὐτήν. Ἑρβαν. Ἵνα τί τὸν καιρὸν δαπανῶμεν ἐν λέξεσιν; ἐγὼ παραλύσω τὴν δίκην. Καὶ εἰ βούλει ἵνα ἀπεριέργως πιστεύσω τῷ Ἰησοῦ, δεῖξόν μοι αὐτὸν ζῶντα, D καὶ προσομιλήσας αὐτῷ, θεάσομαι αὐτὸν, καὶ λαλήσω μετ' αὐτοῦ. καὶ εὐθέως τὴν ἧτταν ὁμολογῶ, καὶ γίνομαι Χριστιανός.

Ὡς δὲ Ἑρβαν ἐφθέγξατο οὕτως, τὸ παρεστὼς πλῆθος τῶν Ἰουδαίων ἐκεκράγασιν ἰσχυρᾷ βοῇ, Παρακαλοῦμέν σε διδάσκαλε, μὴ * ἀπατηθεὶς καὶ γένῃ Χριστιανὸς, ἀλλὰ μᾶλλον ἀνδρίζου, καὶ ἴσχυε· ἐπίστασαι γὰρ ὅτι οὐδὲν ἀληθέστερον τοῦ Θεοῦ τῶν πατέρων ἡμῶν. Καὶ ὁ Ἑρβαν πρὸς αὐτοὺς, φλυαρίας εἰσφέρετε ὑμεῖς εἰς τὸ μέσον. Εἰ ὧδε πληροφορήσει με, E ὅτι αὐτός ἐστιν ἀληθῶς, περὶ οὗ προσεκελάδησαν πολλὰ οἱ προφῆται, ἀλλότριος ἔσομαι τοῦ Θεοῦ τῶν πατέρων ἡμῶν, εἰ μὴ πιστεύσω εἰς αὐτὸν ἀδιστάκτως. Θεασάμενος ὁ ἀρχιεπίσκοπος ὅτι κατὰ ἀλήθειαν φθέγγεται, καὶ οὐ κατὰ χλεύην, ἔφη πρὸς αὐτόν· (Ὁ ἅγιος) Καὶ πῶς βούλει πληροφορῆσαί σε; Ἑρβαν. Καθικέτευσον τὸν δεσπότην σου, εἰ ἐν τῷ οὐρανῷ ἐστιν, ὡς λέγεις, καταβῆναι πρὸς με, ὅπως θεάσωμαι αὐτὸν, καὶ λαλήσω μετ' αὐτοῦ· καὶ ζῇ κύριος,

A & vnum Christum inhabitantem, & opera diuinæ iustitiæ operantem. Quamobrem pudeat te, dum Christum exponis esse spiritum rationis expertem, & materiam inanimatam, terram in qua sol operationes exercet. terra quippe genus rei est motu voluntatis carens. sic enim dixisti cum ais, infirmitates Filij sublatas esse tamquam humorem terræ à sicco. Vides in quantum absurdi te præcipitas, cum dicis virum sumptum à Deo Verbo? vt neque homo possit esse, cum eius liberam voluntatem con- B fundis; nec esse suæ potestatis. hoc enim est hominum tantum & Angelorum. Saluatorem autem Christum dicis fuisse desertum; non illi parcens quod in cruce dixerit: Deus Deus meus, vt quid me dereliquisti? Desertum dicis eum qui erat natura Dominus, & Verbum Patris, per quem omnia Pater fecit, & quem sancti patres * homoousion Patri vocauerunt. de Deo enim nos docuerunt. tu vero dicis quòd Christus filius hominis non est hoc Verbum Patris. Nec Petrum reueritus es, qui superne afflatus à Deo Patre, Christum qui erat filius hominis, Filium Dei viuentis esse confitetur: & C Thomam, qui Dominum suum & Deum ex vulneribus agnouit, eúmque coram omnibus confessus est. Scriptum enim est, quòd pro nobis dolet. siquidem tristitia dolorem efficit in hominibus naturæ nostræ; in Deo autem nequaquam. Incarnatus est pro nobis, vt pateretur pro nobis, sicut tentatus est pro nobis. Ipse enim factus est, vt ipse nouit. Quomodo autem factus est, vt nouit? In specie nostra: vt quod homo non perfecit, hoc Verbum Patris incarnatum perficeret. Qui enim ex Deo est ante sæcula genitus, D ipse extremis temporibus ex matre natus est. Idcirco Deicidæ sunt Iudæi, quia Dominum gloriæ crucifixerunt. Nisi enim fuisset Christus idem qui erat Deus Verbum, non poterat esse alienus à potestate peccandi. Nemo enim est qui peccare non possit, nisi vnus Christus, sicut & Pater Christi, & Spiritus sanctus. Vnde & volens mortuus est, & volens excitatus à mortuis, operatus miracula, qui erat filius Dei vnigenitus. Ipse est qui petebat diuinam gloriam, quam habebat antequam mundus fieret. non quod hac esset priuatus: absit: sed petebat vt ipse nobis E manifestaretur, vt glorificaremus eũ fideles, qui glorificatus est in potentia, iustus natura vt Deus, non exercitatione & laboribus sicut omnis homo ex numero piorum, quos necessario sequuntur defectus. Non enim, inquit, est homo iustus super terram, qui faciet bonum, & non peccabit. Quamobrem piorum sunt certamina & labores & precationes pro delinquentibus: & omne genus hominũ à paruo vsque ad magnum, charitate Dei erga homines & misericordia indigemus.

* Fort. αὐτῷ

Matth. 27.

Ioan. 1.

* En verbum homoousij apud Patres ante Concilium Nicænum.

Matth. 16.

Ioan. 21.

Esai. 53.

1. Cor. 2.

Ioan. 17.

Eccl. 7.

Christus vero non in exercitatione ostensus est per fidem & pietatem in Deum, vt iam dictum est. naturalis enim iustitia & diuina virtus est: & ipse solus est, creditus verus Deus, & qui requirit ab hominibus confessionem fidei in eum. Qui enim, inquit, credit in me, viuet in sæculum. &: Qui diligit me, mandata mea seruabit; & quæ sequuntur. Quid igitur confiteberis Christum? edissere, qui nec vnum, neque duos confiteri potes, neque Deum, neque hominem. Huc enim euadunt quæ à te dicta sunt: siquidem neque natura iustum eum dicis vtpote Deum Christum. Deus enim est natura id omne, quodcumque bonum de ipso dicatur. Tu vero iustum eum dicis sicut hominem qui se in iustitia exercet. sic enim homo iustificatur. Videris eò inopiæ decidisse, vt nescias quò te vertas, qui nihil de Christo potes dicere. Deinde dicis communicatione iustificari Christum, non natura iustum. qui non potes intelligere modum communicationis significantis communicationem quæ versatur in dando & accipiendo, sicut ait Sapientia Dei: Fili, præbe mihi cor tuum, vt fias sapiens in extremis diebus tuis. Sicut & alius Propheta dicit, quod idem valet: Voluntatem timentium eum faciet. Voluntas igitur Dei pro voluntate sanctorum rependitur: & qui confitentur eum coram hominibus, confitebitur eos Dominus coram Angelis suis, sicut ipse ait: & qui compatiuntur cum Christo, ad conformationem gloriæ eius venient. Hæc est vera communicatio hominis cum Deo: sic potest per fidem & opera digna recipi.

Ioan.6.& 11. Ioan.14. — * Fort. πᾶν φύσει ὅπερ — Marc.10. — Prou.23. — Psal.144. — Luc.12. — Rom.8.

A Χριστὸς δὲ οὐκ ἐν ἀσκήσει δέδεικται διὰ πίστεως θεοσεβείας, ὡς ἤδη προείρηται. φυσικὴ γὰρ δικαιοσύνη, καὶ θεϊκὴ δύναμις ὑπάρχει· καὶ αὐτός ἐστι μόνος πιστευόμενος Θεὸς ἀληθινός, καὶ ἀπαιτῶν τοὺς ἀνθρώπους τὴν εἰς αὐτὸν ὁμολογίαν τῆς πίστεως· ὁ γὰρ πιστεύων εἰς ἐμέ, φησί, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἀγαπῶν ἐμέ, τὰς ἐντολάς μου τηρήσει, καὶ τὰ ἑξῆς. τί οὖν ὁμολογήσεις τὸν Χριστόν; εἰπέ· οὔτε ἕνα, οὔτε δύο ὁμολογήσεις τὸν Χριστόν; εἰπέ· οὔτε ἕνα, οὔτε δύο ὁμολογεῖν δυνάμενος, οὔτε Θεόν, οὔτε ἄνθρωπον· ἔστι γὰρ ἐκ τῶν εἰρημένων ὑπὸ σοῦ· B οὔτε γὰρ φύσει δίκαιον αὐτὸν λέγεις, ὡς Θεὸν τὸν Χριστόν. Θεὸς γάρ ἐστι * πᾶς φύσει ὥσπερ ἂν ἀγαθὸν λέγηται περὶ αὐτοῦ. σὺ δὲ δίκαιον αὐτὸν λέγεις, ὡς ἄνθρωπον δικαιοσύνης ἀσκητήν· οὕτω γὰρ ἄνθρωπος δικαιοῦται. εἰς ἀπορίαν ἐκπεσὼν φαίνῃ, μηδὲν ἔχων λέγειν περὶ Χριστοῦ· εἶτα λέγεις κατὰ κοινωνίαν δικαιοῦσθαι τὸν Χριστόν, οὐ τῇ φύσει δίκαιον· οὐ δυνάμενος νοῆσαι τὸν τρόπον τῆς κοινωνίας δόσιν λῆψιν σημαινούσης, ὡς φησὶ καὶ ἡ σοφία τοῦ Θεοῦ· υἱὲ δός μοι τὴν σὴν καρδίαν, ἵνα σοφὸς ᾖς ἐπ' ἐσχάτων σου· ὡς καὶ ἀντιστρέφων ἕτερος προφήτης λέγει· θέλημα C τῶν φοβουμένων αὐτὸν ποιήσει. θέλημα ἄρα Θεοῦ θελήματι ὁσίων ἀντιδίδοται· καὶ ὁμολογοῦντες αὐτὸν ὑπὲρ τῶν ἀνθρώπων, ὁμολογηθήσονται ὑπ' αὐτοῦ ἔμπροσθεν τῶν ἀγγέλων αὐτοῦ· ὡς αὐτὸς λέγει· καὶ οἱ συμπάσχοντες Χριστῷ, εἰς συμμορφίαν ἥξουσι τῆς δόξης αὐτοῦ. αὕτη γὰρ ἀληθινὴ κοινωνία ἀνθρώπου πρὸς Θεόν· οὕτως διὰ πίστεως δεχθῆναι δύναται, καὶ τῶν ἐπαξίων ἔργων.

Pauli Samosatensis hæretici decem quæstiones, quas Dionysio Alexandrino proposuit.

Galat.6.

HONORO vos tamquam honore dignos propter multam ætatem; & quia stigmata Christi fertis in corpore vestro. Etenim apud omnes admirationi estis propter sapientiam & prudentiam: contumelias vero in me vestras nihil curo, quod me anguem serpentem vocas, deinde terra vescentem, & abiectionem. Prologus ergo à vobis nunc scriptus sic ait, vt dicam quod volo, non obscurè, sed apertè. quare nihil proprium dicam, sed de diuina Scriptura.

QVÆSTIO I.

Quomodo ais & scribis quod natura Christus Deus Apostolorum est; & non homo sicut nos, Christus? Videmus enim ire ad passionem, & dicere: Nunc anima mea turbata est. Age, est ne hæc natura Dei?

Ioan.12.

ΠΑΥΛΟΥ ΣΑΜΟΣΑΤΕΩΣ

D αἱρετικοῦ προτάσεις δέκα, ἃς προέτεινε τῷ Πάπᾳ Διονυσίῳ.

ΛΟγον μὲν ὑμῶν ποιοῦμαι, ὡς ἀξίων τιμῆς, διὰ τὸ πολυχρόνιον, καὶ ὅτι τὰ στίγματα τοῦ Χριστοῦ φέρετε ἐπὶ τοῦ σώματος ὑμῶν. καὶ γὰρ παρὰ πάντων θαυμάζῃ ἐπὶ σοφίᾳ, καὶ φρονήσει· τῶν δὲ παρ' ὑμῶν πρός με ὕβρεων οὐδείς μοι λόγος· ὄφιν ἕρποντά με ἀποκαλῶν, γηφάγον πρὸς τούτῳ, καὶ ἐκβολιμαῖον. ὁ E δὲ πρόλογος ὁ νῦν γραφεὶς παρ' ὑμῶν, ὡσεί φησιν, ἵν' εἴπω ὃ βούλομαι ἀπαρακαλύπτως. οὐδὲν τοίνυν ἴδιον καλῶ, ἀλλὰ τῆς θείας γραφῆς.

Πρότασις α'. τοῦ Σαμοσατέως.

Πῶς σὺ λέγεις, καὶ γράφεις, ὅτι φύσει Χριστὸς Θεὸς τῶν ἀποστόλων ἐστί, καὶ οὐχὶ ἄνθρωπος καθ' ἡμᾶς ὁ Χριστός; φαίνεται γὰρ ἐρχόμενος εἰς τὸ πάθος, καὶ λέγων· νῦν ἡ ψυχή μου τετάρακται. εἰπέ, εἰ τοῦτο φύσις Θεοῦ ἐστιν;

A Ἀπόκρισις α'. τοῦ Πάπα Διονυσίου.

Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου καθ' ἡμᾶς, οὔτε πάλιν ἁγίου ἀνθρώπου τὸ εἰπεῖν, ὅτι νῦν ἡ ψυχή μου τετάρακται· λέγει γὰρ ὁ Θεὸς διὰ Ὠσηὲ τοῦ προφήτου λέγοντος· τί σε διαθῶ Ἐφραΐμ, Ἐφραΐμ; ἤτοι ὁ Ἰσραὴλ εἴρηται· Ἀδαμὰ δὲ καὶ Σεβοεὶμ πόλεις Σοδόμων. ὑπερασπιῶ σου Ἰσραήλ; τί σε διαθῶ; ὡς Ἀδαμὰ θήσομαί σε, καὶ ὡς Σεβοεὶμ μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ· ἐταράχθη ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου· οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ· διότι B Θεός εἰμι, καὶ οὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος. ἆρα ἐν τούτοις οὐ φανερῶς ὁ εἰπὼν διὰ Ὠσηὲ, ὁ αὐτὸς πάλιν λέγει ἐπὶ τοῦ πάθους· ὅτι νῦν ἡ ψυχή μου τετάρακται; ὥστε οὖν οὔτε πάλιν ἐπὶ τοῦ πάθους προφήτου ἁγίου ἐστὶν ἡ * ψυχὴ, τὸ, τετάρακται ἡ ψυχή μου, οὔτε τὸ, συνεταράχθη ἡ μεταμέλειά μου, ἐπὶ Ὠσηέ· καὶ ἐν τούτῳ * ἀπόδοσις, ὅτι οὐκ ἄνθρωπός ἐστιν ὁ σταυρωθεὶς, ἀλλὰ εἷς ἅγιος, εἷς μονογενὴς Χριστὸς υἱὸς τοῦ Θεοῦ, καὶ λόγος.

C Πρότασις β'. τοῦ Σαμοσατέως.

Τὸ, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, ἐπὶ τίνος θέλεις ὁμολογήσασθαι; ἆρ' οὐ φύσει ἄνθρωπος ὁ περίλυπος τὴν ψυχήν;

Ἀπόκρισις β'. τοῦ Πάπα Διονυσίου.

Κατὰ πάθος ἐστὶν ἐπ' ἀνθρώπων τὸ μισεῖν τινα, ἢ πάλιν ἀγαπᾷν, ἔτι δὲ καὶ τὸ λυπεῖσθαι. οὐκ ἄνθρωπος οὖν ὁ λέγων, ὅτι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, ἐπεὶ ἄρα καὶ τὸ πνεῦμα τὸ ἅγιον παθητὸν ἐννοήσει ὁ Σαμοσατεύς. γράφει γὰρ λέγων ὁ Παῦλος· καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε D εἰς ἡμέραν ἀπολυτρώσεως. καὶ γράφει Ἡσαΐας λέγοντα τὸν Θεὸν, τὰ σάββατα ὑμῶν, καὶ τὰς νουμηνίας μισεῖ ἡ ψυχή μου. ὥστε οὖν ὁ Θεὸς οὔτε, ὡς ἄνθρωπος, ἐμίσησε τῶν Ἰουδαίων τὰ σάββατα, οὔτε τὸ πνεῦμα τὸ ἅγιον λυπεῖται, ὡς ἄνθρωπος· ὡς οὔτε ὁ μονογενὴς ἐθίζων ἔρχεσθαι ἐπὶ τὸ πάθος· ἀλλὰ ὃν τρόπον τὸ πνεῦμα τὸ ἅγιον λυποῦσιν οἱ ποιοῦντες τὰ φαῦλα, ὡσαύτως καὶ ὁ μονογενὴς λυπεῖται. προσθήσω δὲ καὶ τὸ εἰρημένον ἐν τῷ Ἡσαΐᾳ· τίς ἐστιν ὁ λέγων, υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν; εἰπάτω οὖν ὁ Σαμοσατεὺς, τίς ἠθετή- E θη, ὃν ἐγκατέλιπον οἱ ἐξ Ἰσραὴλ, καὶ παρώργισαν τὸν ἅγιον τοῦ Ἰσραήλ; καὶ ἑτέρως· ὅτι οὐκ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργὴν, κατὰ ἄνθρωπον λέγω. ἄρα λυπούμενος ἐπάγει τὴν ὀργήν. Εἰ δὲ οὐ λυπούμενος ἐπάγει τὴν ὀργὴν κατὰ τῶν ἀπειθούντων, οὐκ ἂν εἴη χαρά· καὶ πῶς λέγει ὁ ἀψευδὴς Ἰησοῦς ὁ Θεὸς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι; καὶ πάλιν γέγραπται, ὅτι, φησὶν, ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν,

A RESPONSIO DIONYSII.

Dei vox est, & non hominis quales nos sumus. Neque rursus sancti homiois est dicere: Nunc anima mea turbata est. ait enim Deus per Oseam Prophetam dicentem: Quid faciam tibi Ephraim, Ephraim? Israël scilicet dicitur: Adama autem & Seboim, ciuitates sunt Sodomorum. Protegam te Israël? quid tibi faciam? Sicut Adama ponam te, & sicut Seboim. conuersum est cor meum in ipso: conturbata est pœnitentia mea: non faciam iuxta iram furoris mei: non deseram vt deleatur Ephraim; quoniam Deus ego sum & non B homo, in te sanctus. An qui hæc per Oseam locutus est, non manifeste idem rursus dicit in passione: Nunc anima mea turbata est? Quare nec in passione vox Prophetæ sancti est illud: Turbata est anima mea; nec in Osee: Conturbata est pœnitentia mea. & in hoc demonstra, quod (13) non est homo qui crucifixus est, sed vnus sanctus, vnus vnigenitus Christus filius Dei & verbum.

Osee.11. *Ioan.12.* * *φωνὴ,* * *ἀπόδειξις*

QVÆSTIO II.

C Quod scriptum est: Tristis est anima mea vsque ad mortem, de quo vis vt confiteamur? An non est natura homo, cuius aoima tristis est?

Matt 26.

RESPONSIO.

Secundum affectionem inest hominibus, vt odio habeant, vel rursus diligant quempiam; præterea etiam tristari. (14) Non est igitur homo qui dixit: Tristis est anima mea vsque ad mortem, alioqui & Spiritum sanctum intelliget Samosatensis patibilem esse. scribit D enim Paulus: Nolite contristare Spiritum sanctum, in quo signati estis io diem redemptionis. Et scribit Esaias dicere Deum: Sabbata vestra & neomenias odit anima mea. Quare Deus nec vt homo odio habuit sabbata Iudæorum, neque Spiritus saoctus vt homo tristatur; sicut nec vnigenitus iturus ad passionem: sed sicut qui prauè agunt. tristitia afficiunt Spiritum sanctum, similiter vnigenitus tristatur. Addam etiam quod in Esaia dictum est: Quis est qui dicit: Filios genui & exaltaui, ipsi autem me reiecerunt? Dicat igitur Samosatensis: E Quis reiectus & repudiatus est? quem dereliquerunt Israelitæ, & ad iram prouocauerunt sanctum Israel? Et aliter: Numquid iniquus Deus qui infert iram? secundum hominem loquor. Igitur tristatus infert iram Deus noo obedientibus. si autem non infert iram tristatus, non erit gaudium: & quomodo ait qui mentiri non potest Iesus Deus: Amen amen dico vobis, gaudium est in cœlo super vno peccatore pœnitentiam agente? & rursus scriptum est? Reuelatur ira Dei è cœlo super omnem impietatem,

Ephes.4. *Esai.1.* *Ibid.* *Rom.3.* *Luc.15.* *Rom.1.*

& iniustitiam hominum, qui veritatem Dei in iniustitia detinent. Hæc est ira Dei in eos qui tristitia affecerunt filium Dei Deum verum, quod & Patrem increatum sicut Filium & sanctum Spiritum tristitia affecerunt.

QVÆSTIO III.

Ioan.2. Cum Iudæi signum à Christo peterent, dixit eis: Soluite templum hoc,& in tribus diebus excitabo illud. & subiungit Euangelista: Hoc autem dicebat de templo corporis sui. Quia igitur litteræ tuæ continent, quod forma serui non est per se, sicut neque ratio hominis & sapientia; vnam autem hypostasim dicis crucifixi, & vnam personam, quam dicis Verbum & sapientiam Patris, & Deum coæternum Patri; non pateris dare formam, nec habitum, nec hypostasim corpori, quod est templum Dei. nec enim Verbum soluitur à Iudæis; absit; sed templum Verbi, sicut ipse Iesus dixit.

RESPONSIO.

Sicut ignorat Samosatensis omnia quæ diuinarum scripturarum sunt, sic etiam ignorat quam vim habeat hæc quæstio proposita; cum rursus ait, formam serui esse seruum, qui per se sit; & rationem ac sapientiam hominis, hominem qui per se est, esse definiuit: & nunc labefactis illis suis, quæ non sunt hypostases, forma scilicet serui, vel ratione siue sapientia hominis, ignorat & templum Dei solutum, & Deum qui ipsum templum corporis sui solutum excitauit. Primo igitur ostendam quod est templum solutum. Primum templum corporis eius, sancti eius Apostoli fuerunt, in quibus habitauit corpus Dei & sanguis. primum itaque templum corporis eius, vt modo dixi, sancti discipuli sunt. Proposuit Samosatensis quæstionem circumcisa clausula Euangelij. *Ioan.2.* scribit enim Euangelista, quòd non intellexerunt discipuli eius, nisi quando surrexit à mortuis, & crediderunt scripturæ, & verbo quod dixit Iesus. Quod autem non intellexerunt discipuli, nisi quando surrexit Dominus à mortuis, illud: Soluite templum hoc; in Euangelio legimus. Cui igitur scripturæ crediderunt discipuli eius? quæ scriptura est quæ dicit? Soluite templum hoc? Solus Dominus sua propria voce dixit: Soluite templum hoc. scriptum vero est, quod discipuli crediderunt scripturæ. & rursus adiungit Euangelista: Et verbo quod dixit Iesus. *Psal.146.* Scriptura continet, quod ædificans Dominus Hierusalem dispersiones Israel *Zach.9.* congregabit. Ædificauit tertia die sanctos lapides, qui à fundamento fuerant reuoluti. Sancti enim lapides fundamentum dimiserunt, & dispersi sunt alius aliò.

A καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν ἀδικίᾳ κατεχόντων. αὕτη ἡ ὀργὴ τοῦ Θεοῦ κατὰ τῶν λυπησάντων τὸν υἱὸν τοῦ Θεοῦ, τὸν Θεὸν τὸν ἀληθινὸν, ὅτι καὶ τὸν πατέρα ἐλύπησαν τὸν συνάναρχον τοῦ υἱοῦ, καὶ τὸ πνεῦμα τὸ ἅγιον.

Πρότασις γ΄. τοῦ Σαμοσατέως.

Σημεῖον αἰτούμενος ὁ Ἰησοῦς παρὰ τῶν Ἰουδαίων, εἶπεν αὐτοῖς· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· καὶ ἐπάγει ὁ εὐαγγελιστὴς, λέγων· τοῦτο δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ἐπεὶ οὖν τὰ B παρὰ σοῦ γράμματα ἔχει, ὅτι ἡ μορφὴ τοῦ δούλου ἀνυπόστατός ἐστιν, ὡς καὶ ὁ λόγος τοῦ ἀνθρώπου, καὶ ἡ σοφία· μίαν δὲ ὑπόστασιν λέγεις τοῦ σταυρωθέντος, καὶ ἓν πρόσωπον· αὐτὸν λέγων εἶναι τὸν λόγον, καὶ τὴν σοφίαν τοῦ πατρὸς, καὶ Θεὸν συναΐδιον τοῦ πατρός· καὶ οὐκ ἀνέχῃ, οὐ μορφὴν, οὐ σχῆμα, οὐχ ὑπόστασιν δοῦναι τῷ σώματι, ὅ ἐστι ναὸς τοῦ Θεοῦ· οὔτε γὰρ ὁ λόγος λύεται ὑπὸ Ἰουδαίων, μὴ γένοιτο· ἀλλ᾽ ὁ ναὸς τοῦ λόγου, ὡς αὐτὸς εἶπεν Ἰησοῦς.

Ἀπόκρισις γ. τοῦ Πάπα Διονυσίου.

Ὥσπερ ἀγνοεῖ ἅπαντα τὰ τῆς θείας γραφῆς ὁ Σαμοσατεὺς, καὶ τὴν δύναμιν τῆς προτάσεως ταύτης ἀγνοεῖ, C πάλιν μὲν τὴν μορφὴν τοῦ δούλου δοῦλον ἐνυπόστατον λέγων· καὶ τὸν λόγον, καὶ τὴν σοφίαν τοῦ ἀνθρώπου ἄνθρωπον ἐνυπόστατον ὁρισάμενος. καὶ νῦν ἐκείνων σαθρωθέντων αὐτοῦ τῶν μὴ ὄντων ὑποστάσεων, τῆς μορφῆς τοῦ δούλου, ἤτοι τοῦ λόγου, ἢ σοφίας τοῦ ἀνθρώπου, ἀγνοεῖ καὶ τὸν ναὸν τοῦ Θεοῦ τὸν λυθέντα, καὶ τὸν Θεὸν τὸν ἐγείραντα τὸν λελυμένον ναὸν τοῦ σώματος αὐτοῦ. πρότερον τοίνυν παραστήσω τίς ὁ ναὸς ὁ λυθείς. πρῶτος ναὸς τοῦ σώματος αὐτοῦ, οἱ ἅγιοι αὐτοῦ ἀπόστολοι, ἐν οἷς ἐνῴκησε τὸ σῶμα τοῦ Θεοῦ, καὶ τὸ αἷμα. D πρῶτος ναὸς τοῦ σώματος αὐτοῦ, ὡς προεῖπον, οἱ ἅγιοι μαθηταί· προέτεινεν ὁ Σαμοσατεὺς, περικόψας τὴν περιοχὴν τοῦ εὐαγγελίου. γράφει γὰρ ὁ εὐαγγελιστής· ὅτι τοῦτο δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ, εἰ μὴ ὅτε ἀνέστη ἐκ τῶν νεκρῶν· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς· ὅτι δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ, εἰ μὴ ὅτε ἀνέστη ἐκ τῶν νεκρῶν ὁ κύριος, τὸ, λύσατε τὸν ναὸν τοῦτον, * ἠγνόησαν. ἐν ποίᾳ γραφῇ οὖν ἐπίστευσαν οἱ μαθηταὶ αὐτοῦ; ποία ἐστὶ γραφὴ ἡ λέγουσα· ὅτι λύσατε τὸν E ναὸν τοῦτον; μόνος ὁ κύριος εἶπεν αὐτολέκτῳ φωνῇ, τὸ, λύσασε τὸν ναὸν τοῦτον· γέγραπται δὲ ὅτι οἱ μαθηταὶ τῇ γραφῇ ἐπίστευσαν· καὶ αὖθις προστίθησιν ὁ εὐαγγελιστὴς, ὅτι καὶ τῷ λόγῳ, ὃν εἶπεν ὁ Ἰησοῦς, ἡ γραφὴ περιέχει, ὅτι οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει· ᾠκοδόμησε τῇ τρίτῃ ἡμέρᾳ τοὺς ἁγίους λίθους, τοὺς ἀποκυλισθέντας ἀπὸ τοῦ θεμελίου. ἀφῆκαν γὰρ οἱ ἅγιοι λίθοι τὸν θεμέλιον, καὶ ἐσκορπίσθησαν καθ᾽ ἑαυτούς.

*Fort. ἠγνόησαν.

διὸ λέγει Ζαχαρίας ὁ προφήτης· ῥομφαία ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα, καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ· πατάξον τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. ἡ χρεία με καλεῖ εἰπεῖν ἐπὶ ποῖον ποιμένα ἡ ῥομφαία ἐξεγείρεται, καὶ τίς ὁ ἀνὴρ ὁ πολίτης αὐτοῦ· καθὼς τοῦ Γεδεὼν ἡ ῥομφαία ἐπὶ Μαδιάμ, τὸν αὐτὸν τρόπον καὶ ἡ τοῦ Θεοῦ δίκη ἐπὶ Ἰούδαν. ῥομφαία τοῦ Γεδεὼν ἐπὶ Μαδιάμ· ῥομφαία δὲ ἐπὶ Ἰούδαν τὸν ποιμάναντα τοὺς τῆς πολιτείας αὐτοῦ ἄνδρας. ὅρα ὅτι ἀνὴρ ὁ πολίτης, τὸν Ἰούδαν δηλοῖ, τὸν ποιμάναντα, τουτέστι τὸν ὁδηγήσαντα ἐπὶ τῆς τοῦ Κυρίου προδοσίας· τοὺς ἄνδρας τῆς πολιτείας αὐτοῦ, ὡσανεὶ τῆς κακίας αὐτοῦ τοῦ Ἰούδα· τοὺς ὁδηγηθέντας, ὑπαρξάντας· καὶ ἐπάξιον τῶν ἔργων αὐτοῦ τὸν μισθὸν ἀπέλαβε, παταχθεὶς ὑπὸ τῆς τοῦ Θεοῦ ῥομφαίας· ὅπερ προγνοὺς ὁ προφήτης διὰ τοῦ πνεύματος ἐφθέγξατο. καὶ ὅρα ὅτι ἀοράτως αὐτὸν ἐπάταξεν ἡ ῥομφαία τοῦ Θεοῦ, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ, * διχασθέντων ὑπὸ Θεοῦ ῥομφαίας, καθότι τὸν ποιμένα τοῦ Ἰσραὴλ ἐποίησε παταχθῆναι ὑπὸ τῶν Ἰουδαίων, ἐπαξίων τῆς πολιτείας αὐτοῦ τοῦ προδότου. ἐπατάχθη ὁ ποιμήν, καὶ διεσκορπίσθησαν τὰ πρόβατα τῆς ποίμνης. ἀλλ' ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ κύριος τοὺς διασπαρέντας ᾠκοδόμησεν ἐν ἑαυτῷ ναὸν ἅγιον, τοὺς τιμίους λίθους. τὸ δὲ ἄχυρον πυρὶ ἀσβέστῳ παρέδωκεν. ναὸς γὰρ Θεοῦ, ὃν κατέλυσαν οἱ Ἰουδαῖοι, οἱ ἀπόστολοι. γέγραπται γάρ, ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός. καὶ γὰρ ζῶντος

* * * * * * *

A Idcirco ait Zacharias Propheta: Gladius, exurge super pastorem, & super virum ciuem eius: percute pastorem, & dispergentur oues gregis. Necessitas vocat me vt dicam super quem pastorem gladius exurgit; & quis est vir ciuis eius. Et sicut gladius Gedeon in Madianitas, eodem modo supplicium Dei in Iudam. Gladius Gedeon super Madian; gladius verò Dei super Iudam, qui rexit viros suæ ciuitatis. Aduerte quod vir ciuis, Iudam significat pastorem, id est, ducem in proditione Domini, viros ciuitatis B eius, quasi diceret nequitiæ ipsius, vocat Iudæos ab eo ductos: & mercedem dignam operibus suis recepit gladio percussus Dei. quod quidem cum Propheta præcognosceret per spiritum, elocutus est. Ac vide quòd inuisibiliter percussit eum gladius Dei: Et effusa, inquit, sunt viscera eius, dissecta Dei gladio, quandoquidem ipse fecit vt pastor Israël à Iudæis percuteretur, qui digni fuerunt ciuitate ipsius proditoris. Percussus est pastor, & dispersæ sunt oues gregis: sed à mortuis tertia die suscitatus Deus Israël, dominus noster, dispersos ædificauit in se, C templum sanctum, lapides pretiosos: paleas autem igni inextinguibili tradidit. Templum enim Dei quod Iudæi dissoluerunt, Apostoli sunt. scriptum est enim: Et habitabo in eis, & inambulabo, & ero eorum Deus, & ipsi erunt mihi populus.

Zach. 13. — Iudic 7. — Act. 1. — * Fort. διχασθέντα, aut, διχάσαντα — Matth. 8. — 2. Cor. 6. & Leuit. 26.

Deerant aliqua in mss. codd.

Quæstio IV.

Scriptum est in Euangelio: Et accepto calice gratias egit, & dixit: Accipite, & diuidite inter vos: Hic calix est nouum testamen- D tum in meo sanguine, qui pro vobis fundetur. Quomodo igitur est sanguis incorruptibilis, si diuiditur & funditur?

Luc. 22.

* * * * * *

* * σης πρὸς ἀπόδειξιν χρησάμενον καί τινα τῶν ἔξωθεν σοφῶν, καὶ τὸν πάνσοφον Μωϋσέα χρήσεις οὐκ ὀλίγας τεθεικότα ἀνθρώπου ἀλλογενοῦς τοῦ Βαλαάμ· διὸ λέγει ὁ ἀπόστολος· γέγονα ἄφρων· ὑμεῖς με ἠναγκάσατε. ὅταν οὖν τὰ μὴ ὄντα * προβάλλοι, ἀναγκάζει με τὸ πρᾶγμα πλὴν ἐν ταύτῃ τῇ προτάσει λέγεις, ἵνα μὴ ἀπὸ τῆς σοφίας τῶν ἔξωθεν συλλογίσωμαι τὴν πρότασιν. τίς γὰρ τῶν ἔξωθεν σοφῶν, * ἐφ' ὧν ἤρξαντο λαλεῖν τὰς ψευδοεπείας, εἶπέ ποτε πνεῦμα ἅγιον, ἢ ἄφθαρτον, ἢ ζωοποιόν, τὸ ἐκχυνόμενον, ἤτοι μεριζόμενον, εἰ μὴ μόνον ἡ θεόπνευστος γραφή; ὥστε οὖν οὐδέν ἐστιν, ὃ ἐπίστασαι, οὐδὲ τὴν ἀνθρωπίνην παιδείαν. τῆς γὰρ θεοπνεύστου γραφῆς ἀπέχεις, ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· καθὼς εἶπεν ὁ Θεὸς διὰ Ἠσαΐου τοῦ προφήτου·

Responsio.

Scimus Paulum ad concludendam rationem auctoritate sapientium externorum vsum; & Moysen omni sapientia præditum auctoritates non paucas Balaam hominis alienigenæ posuisse. vnde Apostolus: Factus sum, inquit, insipiens, vos me coëgistis. Cum igitur proponas quæ non sunt E in exteris, cogit me res, vt in hac quæstione quam ponis, non à sapientia externa conclusionem propositionis petam. Quis enim vmquam sapientiam externorum, ex quo cœperunt loqui fabulas, nominauit Spiritum sanctum, aut sanguinem effusum, aut diuisum dixit sanctum, vel incorruptibilem, vel viuificum, nisi sola Scriptura diuinitus afflata? Vnde apparet nihil te scire, neque humanæ disciplinæ. à Scriptura enim diuina tantum distas, quantum cœlum à terra, vt Dominus per Esaiam Prophetam dixit:

Tit. 1. — 1. Cor. 15. — Act. 17. — Num. 24. — 2. Cor. 12. — * Fort. προβάλλῃ. — * Fort. ἀφ' οὗ

Esai. 55. Sicur distat cœlum à terra, sic via mea à viis vestris; & cogitationes vestræ à cogitatione mea. Nos fideles, & qui veritatem agnouimus, porauit Deus tor- *Psal. 35.* rente voluptatis. scriptum enim est: Domine in cœlo misericordia tua, & veritas tua vsque ad nubes: iustitia tua sicut montes Dei, & iudicia tua abyssus multa: homines & iumenta saluabis Domine. quàm multiplicata est misericordia tua Deus? Filij autem hominum in tegmine alarum tuarum sperabunt: inebriabuntur ab vbertate domus tuæ, & torrente voluptatis tuæ potabis eos; quoniam apud te est fons vitæ, in lumine tuo videbimus lumen. Extende misericordiam tuam scientibus te; & iustitiam tuam rectis corde. In tegmine alarum tuarum sperans non commouebitur. Non mouebunt me quæ manu Samosatensis scripta sunt. scriptum enim est: Non veniat mihi pes superbiæ, & manus peccatoris non commouebit me: illic ceciderunt omnes qui operantur iniquitatem; expulsi sunt, & non potuerunt stare. Non obliuiscar torrentis voluptatis; fons enim vitæ est, & in lumine videbo lumen ex lumine. Spem habeo in alis eius, quæ corrumpi non possunt, quæ sunt manus diuinæ, & hominum creatrices, & quæ vitam suppeditant: quæ oculos formauerunt; tetigerunt mortuos, & reuixerunt: aurem plantauerunt; manus Dei Israël, qui est Iesus, χείμαῤῥος, id est, torrens voluptatis, fons vitæ, qui est apud Patrem, qui est Christus Iesus, torrens in Austro, qui conuertit captiuitatem nostram. Respondent enim partes ad Austrum Palæstinæ in eadem serie & ordine ex aduerso, sicut scribit Apostolus respondere Ægyptum ei quæ nunc est Hierusalem in eadem serie & ordine. nomine enim Agar Ægyptum intellexit cum Arabia. Venit χείμαῤῥος, id est, hircus digito Dei antè delinearus. sic enim figura per Moysen ante delineat veritatem significatam. Duo hirci simili forma pro remissione adducebantur ad altare: coniiciuntur duo hirci in sortem vnam. (15) erant enim per omnia similes secundum hypostases & secundum formas: sic enim iusserat Deus Moysi. imponebantur capitibus hircorum manus sacerdotum (erant enim duo hirci simul ad altare alligati (accipiebátque sacerdos alterum duorum, & mactabat: & postquam vnus ex duobus mactatus erat, dimittebatur alter viuus in montes; vnus ille qui factus fuerat particeps sanguinis & fortis mactati. aderat enim simul cum hirco sibi simili quousque fecissent quæ scripta erant: & immolabat quem volebat, qui erat olim tunc temporis sacerdos.

Psal. 35. (margin, beside "Extende misericordiam")

* *Fort.* ἐλπίζοντα, *Ibidem.*

* *Fort.* ἐμπλήσομαι.

Psal. 93.

Psal 125.

Galat. 4.

Χίμαρος hircum, & χείμαῤῥος torrentem significat.

Leuit. 16.

A ὅτι ὃν τρόπον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. ἡμᾶς ὁ Θεὸς ἐπότισε τοὺς πιστοὺς, καὶ ἐπεγνωκότας τὴν ἀλήθειαν, τὸν χείμαῤῥον τῆς τρυφῆς αὐτοῦ. γέγραπται γάρ· κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν· ἡ δικαιοσύνη σου, ὡσεὶ ὄρη Θεοῦ· τὰ κρίματά σου ἄβυσσος πολλή· ἀνθρώπους, καὶ κτήνη σώσεις κύριε· ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός. οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου· καὶ B τὸν χείμαῤῥον τῆς τρυφῆς σου ποτιεῖς αὐτούς· ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ· ἐν σκέπῃ τῶν πτερύγων αὐτοῦ* ἐλπίζων, οὐ σαλεύσει με τὰ γραφέντα χειρὶ τοῦ Σαμοσατέως. γέγραπται γάρ· μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ οὐ σαλεύσει με· ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δυνῶνται στῆναι. τοῦ χειμάῤῥου τῆς τρυφῆς οὐκ C * ἐπιλήσομαι· πηγὴ γὰρ ζωῆς ἐστι, καὶ ἐν τῷ φωτὶ ὄψομαι τὸ φῶς τὸ ἐκ τοῦ φωτός· ἐλπίζω εἰς τὰς ἀφθάρτους αὐτοῦ πτέρυγας· αἵτινές εἰσιν αἱ θεῖαι, καὶ δημιουργοὶ τῶν ἀνθρώπων χεῖρες, καὶ ζωῆς χορηγοί· αἱ πλάσασαι ὀφθαλμούς. ἥψαντο νεκρῶν, καὶ ἀνέζησαν· ἐφύτευσαν ὠτίον αἱ χεῖρες τοῦ Θεοῦ Ἰσραήλ· ὅς ἐστιν Ἰησοῦς, ὁ χείμαῤῥος τῆς τρυφῆς, ἡ πηγὴ τῆς ζωῆς, ἡ οὖσα παρὰ τῷ πατρὶ, ὁ ὢν Χριστὸς Ἰησοῦς, ὁ χείμαῤῥος, ὁ ἐν τῷ νότῳ ἐπιστρέψας τὴν αἰχμαλωσίαν ἡμῶν. συστοιχεῖ γὰρ τῇ Παλαιστίνῃ τὰ D νότια μέρη, ὡς γράφει ὁ ἀπόστολος, τὴν Αἴγυπτον συστοιχεῖν τῇ νῦν Ἱερουσαλήμ. τὴν γὰρ Ἄγαρ Αἴγυπτον ἐκάλεσε σὺν τῇ Ἀραβίᾳ. ἦλθεν ὁ προδιαγραφόμενος χείμαῤῥος δακτύλῳ Θεοῦ· οὕτω γὰρ προδιαγράφει διὰ Μωϋσέως ὁ τύπος, σημαίνων τὴν ἀλήθειαν· ὑπὲρ ἀφέσεως δύο χείμαῤῥοι ὁμοειδεῖς ἤγοντο πρὸς τὸ θυσιαστήριον· τοῖς δύο χειμάῤῥοις εἷς ἐπεβέβλητο κλῆρος· ἦσαν γὰρ κατὰ πάντα ὁμοειδεῖς κατὰ τὰς ὑποστάσεις, καὶ τὰς ἰδέας· οὕτω γὰρ ἦν προσE ταχθὲν ὑπὸ τοῦ Θεοῦ τῷ Μωϋσεῖ. ἐπετίθεντο ἐπὶ τὰς κεφαλὰς τῶν χιμάῤῥων αἱ χεῖρες τῶν ἱερέων. ἦσαν γὰρ αἱ δύο ἅμα ὑποστάσεις τῶν χιμάῤῥων προσδεδεμέναι τῷ θυσιαστηρίῳ· καὶ ἐλάμβανεν ὁ ἱερεὺς ἕνα τῶν δύο, καὶ ἔσφαζε· καὶ μετὰ τὴν θυσίαν τοῦ ἑνὸς τῶν δύο χιμάρων, ἀπεπέμπετο ὁ ζῶν εἰς τὰ ὄρη, ὁ εἷς ὁ κοινωνήσας τῷ αἵματι, καὶ τῷ κλήρῳ τοῦ τεθυμένου. συμπαρῆν γὰρ τῷ ὁμοειδεῖ αὐτοῦ χιμάρῳ ἕως οὗ ἐποίησαν πάντα τὰ γεγραμμένα· καὶ ἔθυεν ὃν ἠθέλησεν ὁ κατὰ καιρὸν πάλαι ἱερεύς·

αὕτη ἡ προδιαγραφὴ τύπος ἦν πατρὸς, καὶ υἱοῦ· μέλλων γὰρ ἄγεσθαι εἰς τὸν ἅγιον αὐτοῦ, καὶ ζωοποιὸν σταυρὸν εἰς τὸ θυσιαστήριον τοῦ Θεοῦ ὁ Θεὸς Ἰσραὴλ Ἰησοῦς ὁ Χριστὸς, οὐκ ἤγετο μόνος, ἀλλ' ἦν μετ' αὐτοῦ ὁ πατήρ. πρὶν γὰρ ἐλθεῖν αὐτὸν εἰς τὸν σταυρὸν, εἶπε τοῖς ἁγίοις ἀποστόλοις, ὅτι ἔρχεται ὥρα, ὅτε πάντες ἀφῆτέ με μόνον· ἀλλ' οὐκ εἰμὶ μόνος. ὁ γὰρ πέμψας με πατὴρ μετ' ἐμοῦ ἐστι, καὶ οὐκ ἀφῆκέ με μόνον. ὥστε οὖν ἐδείχθη ὁ τύπος ἀλήθεια· ὅτι οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ ὁ σταυρὸν ὑπομείνας· ὃς ἐστὶν αὐτοῦ μὲν τοῦ πατρὸς λόγος, καὶ υἱὸς, ἡμῶν δὲ Θεὸς κύριος, ὁ ἐπὶ σταυροῦ ὑψωθεὶς κύριος Σαβαὼθ, ὁ ἐπιστρέψας τὴν αἰχμαλωσίαν ἡμῶν, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, καθὼς εἶπε κύριος παντοκράτωρ, διὰ μὲν Ἡσαΐου πάλαι, νῦν δὲ διὰ τοῦ μακαρίου Πέτρου ὁ αὐτὸς λαλεῖ· ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πλάνης πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου Χριστοῦ. εἰ γὰρ ἐν τῷ τύπῳ τῆς προδιαγραφῆς οὕτω προεκελεύετο Μωϋσῆς ὑπὸ τοῦ ἁγίου πνεύματος, ἵνα ἀμώμους ἐπιλέξηται τοὺς χιμάρους, πῶς οὐ μᾶλλον ὁ λογικὸς τῆς τρυφῆς τοῦ πατρὸς ὁμοειδὴς συνάναρχος λόγος, Χριστὸς ὢν, συναΐδιος τοῦ γεννήσαντος; ἀναγεννήθημεν ἐξ ὕδατος ἀφθάρτου, καὶ πνεύματος. γέγραπται γὰρ, ὅτι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλ' ἀφθάρτου, ὡς προεῖπον, δι' ὕδατος, καὶ πνεύματος, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσι, τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ πνεῦμα. ἀλλ' ἐρεῖ μοι τις· χιμάροις τὸν πατέρα, καὶ τὸν υἱὸν ὡμοίωσας; ἐδιδάχθην οὕτως· ὡς ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ἔδει ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου· καὶ ὡς ἤγαγε Μωϋσῆς τοὺς δύο χιμάρους ὁμοειδεῖς, καὶ ἀμώμους προσάγων τῷ θυσιαστηρίῳ, τῷ τύπῳ ἡ ἀλήθεια· ὁ πατὴρ ἀγομένου τοῦ ἀμνοῦ, ὡς προβάτου ἐπὶ σφαγὴν, οὐκ ἐχωρίσθη τοῦ ὁμοειδοῦς αὐτοῦ λόγου· αἱ δύο ὑποστάσεις ἀχώριστοι, καὶ τὸ ἐνυπόστατον τοῦ πατρὸς πνεῦμα, ὃ ἦν ἐν τῷ υἱῷ. πεφανέρωται γὰρ πᾶσιν, ὅτι ἐν αὐτῷ ἦν, καὶ ἦλθεν ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς· καὶ αὐτὸς κεκοινώνηκε τῷ πάθει, ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον· ὡς γὰρ οἱ χίμαροι ὁμοειδεῖς, οὕτω καὶ τὰ δύο ὀρνίθια προδιαγραφέντα ὑπὲρ καθαρισμοῦ· καὶ τὸ ἓν ἐθύετο, καὶ τὸ μὴ τεθυμένον ἐλούετο εἰς τὸ ὕδωρ τὸ μεμιγμένον τῷ αἵματι τοῦ τεθυμένου. καὶ ἔτι ἐπὶ πλεῖον ταύτης ἀπόδειξιν ποιήσωμεν, Θεοῦ θέλοντος, ἀπὸ τῆς θείας γραφῆς, παλαιᾶς, καὶ καινῆς. πνεύματι γὰρ ἁγίῳ σεσοφισμένοι οἱ ἅγιοι μαθηταὶ, καὶ τὴν παλαιὰν ἑρμηνεύοντες, ὁρῶντες, ὅτι ὁ τύπος ἀληθινῶς προδιεγράφη, καὶ ὅτι ὕδωρ ἐν τῇ λεκάνῃ ἐβάλλετο,

A Hæc prædelineatio figura erat Patris & Filij. ducendus enim Deus Israel Iesus Christus ad sanctam suam & viuificam crucem, ad altare Dei, non ducebatur solus, sed Pater erat cum eo. antè enim quàm iret ad crucem, dixit sanctis Apostolis: Venit *Ioan.16.* hora, quando omnes relinquetis me solum; sed non sum solus: Pater enim qui misit me, mecum est, & non reliquit me solum. Itaque perducta est ad veritatem figura, quod non rapinam arbitratus est esse se æqualem Deo, qui crucem sustinuit, qui est ipsius *Philipp.2.* quidem Patris Verbum & Filius, noster vero Deus & Dominus, in cruce exaltatus, B Dominus Sabaoth; qui conuertit captiuitatem nostram non pretio aut muneribus, sicut *Psal.125.* dixit Dominus omnipotens olim quidem per Esaiam, nunc vero per beatum Petrum *Esai.55.* dicit idem: Non corruptibilibus auro vel ar- *1. Pet.1.* gento redempti estis de vana vestra conuersatione paternæ traditionis, sed pretioso sanguine quasi agni immaculati & incontaminati Christi. Etenim si in figura veritatis prædelineatæ sic Moyses ab Spiritu sancto iubebatur, vt hircos sine macula eligeret; quomodo non magis similiter ipse rationalis hircus, & torrens voluptatis, eiusdem cum Patre formæ, coæternum Verbum, C immaculatus sit, cum sit Christus, ex æternitate vnà cum generante? Regenerati sumus ex aqua incorruptibili & spiritu. scri- *Ibid.* ptum est enim: Renati non ex semine corruptibili, sed incorruptibili; sicut antè dixi, *1.Ioan.5.* per aquam & Spiritum sanctum. & hi tres vnum sunt, aqua, & sanguis, & spiritus. Sed dicet mihi aliquis: Hircis assimilasti Patrem *Ioan.3.* & Filium? Sic edoctus sum: Sicut exaltauit Moyses serpentem in eremo, sic oportebat exaltari filium hominis. & sicut Moy- *Leuit.16.* ses duos hircos eiusdem formæ & sine macula adduxit ad altare figuram veritatis; sic *Esai.53.* D Pater, cum agnus immaculatus tamquam ouis ad mactationem ducebatur, non erat separatus à Verbo suo vnius & eiusdem formæ: duæ hypostases inseparabiles; & spiritus ille Patris sua hypostasi subsistens, qui erat in Filio. omnibus enim factum fuit manifestum quod in eo erat: & venit *Luc.3.* super eum in specie columbæ, (16) & ipse passioni communicauit paracletus Spiritus. *Leuit.14.* Sicut enim duo hirci similis formæ, sic & duæ auiculæ prædelineatæ fuerunt pro emundatione; & vna sacrificabatur; & quæ E non sacrificabatur, lauabatur in aqua mixta cum sanguine auiculæ sacrificatæ. Et adhuc amplius volente Deo, rationem huius quæstionis ex diuina Scriptura tum vetere, tum noua concludemus. Sancti enim discipuli ab Spiritu sancto edocti sunt; & veterem Scripturam interpretantes, viderunt figuram verè esse prædelineatam; & quòd aqua in peluim fundebatur, *Ibid.*

deinde altera ex duabus auiculis mundis ſacrificabatur, & ſanguis ſacrificatæ cum aqua viuente miſcebatur; atque ita auicula viua & non mactata lauabatur in aqua munda & ſanguine mundo; fiebatque hoc modo ſacrificium pro emundatione. Idcirco Apoſtolus dixit: *1.Ioan.5.* Sicut eſt in ſacrificio emundationis, aqua & ſanguis, & Spiritus ſanctus in ſpecie columbæ vnum ſunt. Chriſtum enim beatus Hieremias ſpiritum appellauit, cum lamentationes prope complens, & Iudaicum populum deplorans, ſic ait: *Thren.4.* Spiritus ante faciem noſtram Chriſtus Dominus captus eſt in conſultationibus eorum. (Vna ex editionibus habet, In corruptionibus eorum.) Eiuſdem formæ eſt cum Spiritu ſancto in ſpecie columbæ oſtenſo Chriſtus Verbum: eiuſdem formæ cum Patre ſpiritus Chriſtus Dominus ductus vt ſacrificaretur. ſic enim ait Hieremias *Hier.11.* de eo: Ego ſicut agnus innocens qui ducitur ad ſacrificium faciendum, non cognoui, ego, inquam, qui ſemper ſum perſona Chriſtus æqualis Patri, nulla diſſimilitudine ſubſtantiæ, coæternus Domino ſpiritui: cui quia Ananias & *Act.5.* Sapphira mentiti ſunt, non homini, ſed Deo expirauerunt. Paracletus enim Deus eſt, ſicut & Pater Chriſti, coæternus Chriſto. Quando tempore Moyſis *Num.11.* ſurrexerunt duo ex populo prophetantes, Elda & Medas, dixit Ieſus filius Naue, Moyſi: Mi Domine Moyſes, prohibe ne prophetent. Reſpondit Moyſes: Quid æmularis pro me? Quis tribuat vt omnis populus prophetet? Quando dederit Deus ſpiritum ſuum ſanctum ſuper populum, fiunt prophetæ. Vera eſt prophetia Pauli, Mileti: *Act.20.* Surgent quidam loquentes peruerſa, vt abducant diſcipulos poſt ſe. Surrexit itaque primum Samoſatenſis loquens iniqua, qui diceret eſſe corruptibilem ſanguinem Ieſu, qui eſt Deus Iſrael, Ieſus, & qui omnem corruptionem & paſſionem & mortem *Rom.8.* ſoluit: qui redemit nos à ſeruitute corruptionis. Sanguinem mortalis & patibilis hominis dicit, quia dixit Dominus *Luc.22.* gloriæ, diſcipulis: Accipite & diuidite; nouum teſtamentum eſt in meo ſanguine: hoc facite in meam commemorationem. & quia dixit idem: Qui pro vobis effundetur. Hæc cum audiſſet Samoſatenus, videtur in hac voce Domini niti *Hebr.10.* contra veritatem; qui ignorat quod ab Apoſtolo dictum eſt: Quanto magis putatis deteriora mereri ſupplicia, quàm qui legem Moyſis à Deo datam reiicit, cum qui filium Dei conculcauerit, & ſanguinem teſtamenti pollutum duxerit, in quo ſanctificatus eſt; & ſpiritui gratiæ contumeliam fecerit?

A ἔπειτα ἐθύετο τὸ ἓν τῶν ὀρνιθίων τῶν καθαρῶν, καὶ τὸ αἷμα τοῦ τεθυμένου τῷ ὕδατι τῷ ζῶντι συνεκιρνᾶτο, καὶ εἶθ' οὕτως τὸ ζῶν καὶ μὴ τεθυμένον ἐλούετο ἐν τῷ ὕδατι τῷ καθαρῷ, καὶ τῷ καθαρῷ αἵματι, καὶ οὕτως ἐγίνετο ὑπὲρ καθαρισμοῦ θυσία. διὸ εἶπεν ὁ ἀπόστολος· καθὼς ἡ θυσία τοῦ καθαρισμοῦ, τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ ἐν εἴδει περιστερᾶς ἅγιον πνεῦμα, ἕν εἰσι. καὶ γὰρ τὸν Χριστὸν ὁ μακάριος Ἱερεμίας πνεῦμα ἐκάλεσε, περὶ τὴν συμπλήρωσιν τῶν θρήνων ἀποδυρόμενος τὸν Ἰουδαϊκὸν λαόν, οὕτω λέγων· ὅτι πνεῦμα B πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαβουλαῖς αὐτῶν· (ἔχει δὲ ἡ μία τῶν ἐκδόσεων, ἐν ταῖς διαφθοραῖς αὐτῶν·) ὁμοειδὴς ἐν τῷ εἴδει τῆς περιστερᾶς ὁ Χριστὸς λόγος τῷ πνεύματι τῷ ἁγίῳ, ὁμοειδὲς τῷ πατρὶ τὸ πνεῦμα, Χριστὸς κύριος ἀγόμενος τοῦ θύεσθαι· οὕτως γὰρ λέγει Ἱερεμίας περὶ αὐτοῦ· ὅτι ἐγὼ ὡς ἀρνίον ἄκακον τοῦ θύεσθαι ἀγόμενον, οὐκ ἔγνων. ὁ ἐνυπόστατος ἀεὶ ὢν Χριστὸς, ὁ ἴσος τῷ πατρὶ κατὰ τὸ ἀπαράλλακτον τῆς ὑποστάσεως ὤν, συναΐδιος καὶ τῷ Κυρίῳ πνεύματι, ὅπερ ψευσάμενος Ἀνανίας, καὶ Σάπφειρα, οὐκ ἄνθρωπον ψευσάμενοι, C ἀλλὰ τὸν Θεόν, ἐξέψυξαν· Θεὸς γὰρ ὁ παράκλητος, ὡς καὶ ὁ πατὴρ τοῦ Χριστοῦ, συναΐδιος τοῦ Χριστοῦ. ἡνίκα ἐπὶ τοῦ μακαρίου Μωϋσέως ἀνέστησαν δύο ἐκ τοῦ λαοῦ προφητεύοντες, Ἀλδᾶ, καὶ Μωδᾶς, καὶ εἶπεν Ἰησοῦς υἱὸς Ναυῆ πρὸς Μωϋσῆν· κύριέ μου Μωϋσῆ, κώλυσον, ἵνα μὴ προφητεύωσιν· ἀπεκρίθη Μωϋσῆς πρὸς Ἰησοῦν τὸν υἱὸν Ναυῆ, λέγων· μὴ ζηλοῖς σύ μοι; τίς δώσει πάντα τὸν λαὸν Κυρίου προφήτας γίνεσθαι; ὅταν δώσῃ ὁ Θεὸς τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον ἐπὶ τὸν λαὸν αὐτοῦ, γίνονται προφῆται. τοῦ δὲ ἀποστόλου Παύλου ἀληθὴς ἡ ἐν Μιλήτῳ προ- D φητεία· ὅτι ἀναστήσονταί τινες λαλοῦντες διεστραμμένα εἰς τὸ ἀποσπᾶν τὸν λαὸν ὀπίσω αὐτῶν· ὥστε ἀνέστη πρῶτος ὁ Σαμοσατεὺς, λαλῶν ἄδικα, λέγων φθαρτὸν τὸ αἷμα τοῦ Ἰησοῦ, ὅς ἐστι Θεὸς Ἰσραὴλ Ἰησοῦς, καὶ τὸ πάσης φθορᾶς, καὶ πάθους, καὶ θανάτου λυτήριον, τὸ ἐξαγοράσαν ἡμᾶς δουλείας τῆς φθορᾶς· αἷμα θνητοῦ, καὶ παθητοῦ ἀνθρώπου λέγει, διὰ τὸ εἰπεῖν τὸν κύριον τῆς δόξης πρὸς τοὺς μαθητάς· λάβετε τοῦτο, καὶ διαμερίσασθε· ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ E αἵματί μου· τοῦτο ποιεῖτε· καὶ ὅτι εἶπεν αὐτὸς, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον· ταῦτα ἀκούσας ὁ Σαμοσατεὺς, ἐκ ταύτης τῆς φωνῆς τοῦ Κυρίου ἐπερείδεσθαι δοκεῖ κατὰ τῆς ἀληθείας· ἀγνοεῖ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· ὅτι, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὑπὲρ τὸν ἀθετοῦντα τὸν παρὰ Μωϋσῇ δεδομένον ἀπὸ Θεοῦ, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

οὕτω γὰρ εἶπεν ὁ ἀπόστολος· ὅτι, ἀθετήσας τις νόμον Μωσέως, ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει. κατεπάτησεν αὐτὸν Ἰούδας, καὶ παραδέδωκεν· ὁ Γαλιλαῖος Ἰούδας προαπώλετο, μετ' αὐτὸν, καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες. νῦν δὲ ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ σατανᾷ ὁ ἐκ Σαμοσάτων, κατὰ τοῦ αἵματος τοῦ ζωοποιοῦ, καὶ τοῦ πνεύματος ἐπανέστη καταπατῶν. εἰ γὰρ τὸ αἷμα τὸ ἅγιον φθαρτὸν διὰ τὸ μερίζεσθαι αὐτὸ, καὶ ἐκχέεσθαι, εὑρεθήσεται καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς καὶ τὸ αἷμα τῆς ζωῆς. ἀναγράφεται γὰρ ὁ εὐαγγελιστὴς Λουκᾶς εἰς τὰς πράξεις τῶν ἀποστόλων· ὅτι συμπληρουμένης τῆς ἡμέρας τῆς πεντηκοστῆς, συνηθροισμένων τῶν ἀποστόλων ἐπὶ τὸ αὐτὸ, ἐγένετο ἦχος μέγας, ὥσπερ φερομένης πνοῆς βιαίας, ὥστε συσσεισθῆναι πάντα τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. καὶ ἐπάγει, λέγων· ὅτι ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρὸς, καὶ ἐπεκάθισεν, ἐφ' ἕνα ἕκαστον αὐτῶν· ἀρξαμένων δὲ αὐτῶν λαλεῖν, καὶ πάντων ἀκουόντων ἐκ πάντων τῶν ἐθνῶν τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν τὰ μεγαλεῖα τοῦ Θεοῦ, ὑπερεθαύμαζον· οἱ δὲ κακόπιστοι Ἰουδαῖοι ἤρξαντο ἐνυβρίζειν τοὺς ἁγίους ἀποστόλους καὶ τὸ πνεῦμα τὸ ἅγιον γλεῦκος ἀποκαλοῦντες, ὡσεὶ φησι, γλεύκους μεμεστωμένοι εἰσὶν οἱ ἅγιοι ἀπόστολοι· ὁ δὲ μακάριος Πέτρος ἀποκριθεὶς εἶπεν· ὦ ἄνδρες Ἰουδαῖοι, οὐχ ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας, ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ Ἰωὴλ τοῦ προφήτου· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες καὶ τὰ ἀκόλουθα. ἰδοὺ καὶ διαμερίζεται ἐφ' ἕνα ἕκαστον τῶν ἀποστόλων τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκχέεται ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύουσιν οἱ υἱοὶ τῆς χάριτος καὶ αἱ θυγατέρες· ἦσαν γὰρ καὶ αἱ θυγατέρες προφητεύουσαι, ὡς γέγραπται, ὅτι αἱ θυγατέρες Φιλίππου προεφήτευον. οὐ παρὰ τὸ ἐκχυθῆναι οὖν τὸ πνεῦμα τὸ ἅγιόν τις ἂν εἴποι φθαρτόν· μὴ γένοιτο. οὔτε διὰ τὸ μερισθῆναι. τὸ δὲ αὐτὸ ἐστι καὶ ἐπὶ τοῦ ζωοποιοῦ αἵματος, καθὼς γέγραπται· ὅτι τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ τὸ πνεῦμα, οἱ τρεῖς τὸ ἕν εἰσιν, οἱ προδιαγραφέντες ὑπὸ Μωϋσέως ἐν τῷ καθαρισμῷ τὸ βαπτιστήριον προδιαγράφοντι, λεκάνην ἔχουσαν τὸ ὕδωρ τὸ ζῶν, καὶ τὸ αἷμα τοῦ τεθυμένου στρουθίου, καὶ τὸ ζῶν ἐν τῷ ζῶντι ὕδατι, καὶ τῷ αἵματι κατερχόμενον, καὶ βαπτιζόμενον. μία τις πηγὴ ἡ λεκάνη, ἐν ᾗ τὸ σωτήριον τελεῖται βάπτισμα εἰς τὸ ζῶν ὕδωρ, καὶ τὸ ζωοποιὸν αἷμα, καὶ τὸ ἅγιον πνεῦμα, τὸ ἐν εἴδει περιστερᾶς μεῖναν ἐπὶ τὸν ζῶντα λόγον τὸν Χριστὸν, κατελθὸν, ὡς ἐν λεκάνῃ, τῷ βαπτιστηρίῳ εἰς τὸν Ἰορδάνην. διατί δὲ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα τὸ ἅγιον; ὅπως ἡμᾶς μυσταγωγήσῃ ὁ πέμψας αὐτὸ, καὶ δεξάμενος, ὃ κατέπεμψεν. ὥσπερ γὰρ ὁ Νῶε ἐξαπέστειλεν ἐκ τῆς κιβωτοῦ τὴν περιστεράν, καὶ αὐτὸς αὐτὴν ὑπεδέξατο,

A Sic enim ait Apostolus: Irritam quis faciens legem Moysis, sine vlla miseratione duobus aut tribus testibus moritur. *Ibidem.* Conculcauit eum Iudas & prodidit; & Iudas Galilæus periit prius, & post eum qui ei consenserunt. *Act. 11.* Nunc vero Samosatensis, vt placeat satanæ qui eum delegit, surrexit contra sanguinem viuificum, & contra Spiritum sanctum, conculcans ea. Si enim sanguis sanctus corruptibilis est, quia diuiditur & effunditur, sic erit Spiritus sanctus sicut sanguis vitæ. Scribit enim Lucas in actis Apostolorum: Cum complerentur dies *Act. 2.*
B Pentecostes, erant omnes pariter in eodem loco: & factus est derepente è cœlo sonus magnus tamquam aduenientis spiritus vehementis, ita vt concussa sit tota domus vbi erant sedentes. Et subiungit: Et apparuerunt illis dispertitæ linguæ tanquam ignis, seditque supra singulos eorum. Cum autem cœpissent loqui, & omnes audirent ex omni natione loquentes lingua propria res magnas Dei, stupebant; Iudæi vero perfidi cœperunt contumelias in Apostolos iacere, & Spiritum sanctum, spiritum
C musti appellantes: Tamquam musto pleni, inquiunt, sunt Apostoli sancti. Beatus vero Petrus respondens dixit: *Ibidem.* Viri Iudæi; non sicut vos putatis, hi ebrij sunt; est enim hora diei tertia: sed hoc est quod dictum est per Ioelem Prophetam: *Ioel. 2.* Effundam de spiritu meo super omnem carnem, & prophetabunt filij eorum & filiæ; & quæ sequuntur. Ecce diuiditur super singulos Apostolos Spiritus sanctus, & effunditur super omnem carnem: & prophetant filij gratiæ & filiæ. erant enim filiæ prophetantes,
D sicut scriptum est quod filiæ Philippi prophetabant. *Act. 21.* Non igitur quia Spiritus sanctus effusus est, dicetur corruptibilis; apage; neque quia diuiditur. Idem dicendum est in sanguine viuifico, sicut scriptum est: Aqua, & sanguis, & spiritus, tres vnum sunt à Moyse prædelineati in emundatione prædelineante baptisterium, tamquam peluim habentem aquam viuam, & sanguinem auis sacrificatæ, & viuentem * spiritum in aqua *1. Ioan. 5.*
E viua & sanguine descendentem, & baptizantem. Vnus fons peluis, in qua baptismus salutaris perficitur in aqua viua, & sanguine viuifico, & Spiritu sancto, qui in specie columbæ mansit super Verbum Christum, descendens in baptisterio tamquam in pelui in Iordanem. *Luc. 3.* Cur vero in specie columbæ Spiritus sanctus descendit? Scilicet vt nos doceret qui misit illum, quique eum quem misit, accepit. Sicut enim Noë dimisit ex arca columbam, & ipse illam recepit; *Genes. 8.*

* auiculam in aquam viuam & sanguinem descendentem, vbi lauabatur.

ad eam similitudinem intelligendum nobis est, ipsius Christi esse Spiritum sanctum coæternum; & quod erat ipsius, hoc dedisse nobis, diuidens & effundens super omnem carnem credentium; quia Deus est & Dominus qui diuisit nobis suum sanguinem, & spiritum. verumtamen sicut scriptum est: Filioli mei, sicut audistis quod antichristus venit: & nunc antichristi multi facti sunt. Sicut antichristus venit, sic antitorrens. Scriptum enim est: Torrentes iniquitatis conturbauerunt me, & aquæ sanctæ, & aquæ intolerabiles. scriptum namque est: Torrentem pertransiuit anima nostra, forsitan pertransisset anima nostra aquam intolerabilem. En, in omnibus ostendimus torrenti iniquitatis, non esse corruptibilem sanguinem sanctum Dei nostri Iesu Christi, nec esse hominis mortalis, sicut nos, sed Dei veri, qui est torrens voluptatis iis qui eum participant.

1. Ioan. 2. — *Psal. 17.* — *Ezech. 47.* — *Psal. 123.* — Paulum Samosatensem appellat torrentem iniquitatis.

QVÆSTIO V.

Scriptum est in Euangelio, quod puer crescebat & confortabatur. quasi diceret, Crescebat Iesus ex Spiritu sancto & Maria virgine natus. quomodo igitur qui crescebat & confortabatur, hunc dicis ante sæcula esse, & simul cum Patre ingenito non habentem initium; & coæternum?

Luc. 2.

RESPONSIO.

Ingenitum (17) Patrem nulla scriptura tradidit: diuina autem Scriptura per Spiritum sanctum tradidit nobis, & ait: Ecce enim euangelizo vobis gaudium magnum, [quod erit omni populo, quia natus est vobis hodie Saluator mundi, qui est Christus Dominus.] Ecce virgo in vtero accipiet, & pariet filium, & vocabunt nomen eius Emmanuel. Sic autem habet principium Prophetiæ: Ecce Dominus ipse dabit vobis signum. & subiungit: Ecce virgo in vtero accipiet. & demonstrat quod Deipara quemdam concepit: virgo scilicet concepit quem nos cognouimus Deum nostrum, coæternum Patri, Filium Verbum. Et in lumine eius vidimus lumen, ipse enim ait: Qui videt me, videt & Patrem meum. Repetam pauca. Ipse enim Dominus per Esaiam dicit: Ecce Dominus ipse dabit vobis signum. Audiamus Angelum dicentem pastoribus: Euangelizo vobis gaudium magnum, quod erit vniuerso populo, quia natus est vobis hodie Saluator, qui est Christus Dominus, in ciuitate Dauid. & hoc vobis signum: Inuenietis infantem pannis inuolutum, & positum in præsepio. Ecce per Esaiam manifestauit nobis signum; & per Angelum pastoribus. Quæ vero vis & potestas pueri infantis in præsepio positi? Deus, fortis, potens, princeps pacis, pater futuri sæculi. Quod si Euangelistam reprehendis quia dixit:

Luc. 2. — *Esa. 7.* — *Psal. 35.* — *Ioan. 14.* — *Esai. 7.* — *Luc. 2.* — *Esai. 9.*

A κατ' εἰκόνα ἐκείνην νοητέον ἡμᾶς, αὐτοῦ εἶναι τὸ συναΐδιον πνεῦμα, ὅπερ ἦν αὐτοῦ, καὶ ἡμῖν ἐχαρίσατο μερίσας, καὶ ἐκχέας ἐπὶ πᾶσαν σάρκα τῶν πιστευόντων, ὅτι Θεός ἐστι, καὶ κύριος ὁ διαμερίσας ἡμῖν αὐτοῦ τὸ αἷμα, καὶ τὸ πνεῦμα. ἀλλ' ὡς γέγραπται, ὅτι τεκνία μου καθὼς ἠκούσατε, ὅτι ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν. ὥσπερ οὖν ἀντίχριστος, οὕτως καὶ ἀντιχείμαῤῥος. γέγραπται γάρ· καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με, καὶ ὕδατα ἅγια, καὶ ὕδατα ἀνυπόστατα. γέγραπται γάρ· χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον· B ἰδοὺ καὶ ἐν πᾶσιν ἐδείξαμεν τῷ χειμάῤῥῳ τῆς ἀνομίας, ὅτι οὐ φθαρτὸν τὸ αἷμα τὸ ἅγιον τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, οὔτε ἀνθρώπου καθ' ἡμᾶς θνητοῦ, ἀλλὰ Θεοῦ ἀληθινοῦ, ὃς χείμαῤῥος τρυφῆς τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Πεῦσις ε'. τοῦ Σαμοσατέως.

Γέγραπται ἐν εὐαγγελίοις· ὅτι τὸ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο, ὡσεὶ φησιν, Ἰησοῦς ὁ γεννηθεὶς ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου· πῶς οὖν C τὸ αὖξον, καὶ κραταιούμενον, λέγεις, ὅτι προαιώνιον καὶ συνάναρχον τῷ ἀγεννήτῳ πατρὶ, καὶ συναΐδιον;

Ἀπόκρισις ε'. τοῦ Πάπα Διονυσίου.

Τὸ, ἀγέννητον πατέρα, οὐδεμία συγγραφὴ παρέδωκεν· ἡ δὲ θεία γραφὴ διὰ πνεύματος ἁγίου παρέδωκεν ἡμῖν, καὶ γράφει ὁ εὐαγγελιζόμενος ὑμῖν χαρὰν μεγάλην· ὅτι ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. ἔχει δὲ ἡ ἀρχὴ, ὅτι ἰδοὺ κύριος, αὐτὸς D ὑμῖν δώσει σημεῖον· καὶ ἐπάγει τὸ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται· καὶ δεικνύουσιν, ὅτι ἡ θεοτόκος τινὰ συνέλαβεν, ἡ παρθένος δηλονότι ὃν τινα ἡμεῖς ἐγνωρίσαμεν ἡμῶν μὲν Θεὸν, τοῦ δὲ πατρὸς συναΐδιον ὄντα υἱὸν λόγον· καὶ ἐν τῷ φωτὶ αὐτοῦ εἴδομεν φῶς. αὐτὸς γάρ λέγει. ὅτι ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα μου. μικρὸν ἐπανάλαβέ μοι· αὐτὸς γάρ κύριος λέγει διὰ Ἡσαΐου· ὅτι ἰδοὺ κύριος, αὐτὸς ἡμῖν δώσει σημεῖον. ἀκούσωμεν καὶ τοῦ ἀγγέλου πρὸς τοὺς ποιμένας· ὅτι εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην· E ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον Χριστὸς κύριος ἐν πόλει Δαβίδ· καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, καὶ κείμενον ἐν φάτνῃ. ἰδοὺ διὰ Ἡσαΐου ἐμήνυσεν ἡμῖν τὸ σημεῖον, καὶ διὰ τοῦ ἀγγέλου τοῖς ποιμέσι. τίς δὲ ἡ δύναμις τοῦ παιδίου τοῦ ἐν φάτνῃ ἀνακλιθέντος; Θεὸς, ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. εἰ δὲ μέμφῃ τῷ εὐαγγελιστῇ, διὰ τὸ λέγειν· ὅτι ηὔξανε, καὶ ἐκραταιοῦτο; καὶ ἐρωτᾷς

ἡμᾶς, διὰ τί, καὶ πῶς; ἐρώτα τὸν Δανιὴλ λέγοντα, ὅτι λίθος ἐτμήθη ἐξ ὄρους ἄνευ χειρῶν· καὶ ἐπάγει μετὰ τὸ παλάξαι, φησί, τὴν εἰκόνα, ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα. εἰπὲ τοῦτο, πῶς δυνατὸν αὐξῆσαι τὸν λίθον, καὶ γενέσθαι ὄρος; ἐπὶ μὲν ἀνθρώπων οὐ κεῖται, ὅτι ηὔξανέ τις· ἀλλ᾽ αὐξηθέντος. οὐ μὴν μετὰ τὸ τριακοστὸν ἔτος τοῦ ἀνδρὸς ἔτι ἐπαύξησιν ἡλικίας λέγει. καὶ ὅρα τὸν Βαπτιστὴν Ἰωάννην λέγοντα· ὅτι ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστί. καὶ μετ᾽ ὀλίγα ἐπάγει περὶ τοῦ αὐξάνοντος Θεοῦ, οὑτωσὶ φήσας. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. μέχρι σήμερον ὁ λόγος τοῦ Θεοῦ τρέχει, καὶ δοξάζεται, καὶ B αὔξει, καὶ πληθύνεται ἐν τῇ ἐκκλησίᾳ τῶν ὁσίων· ἐπειδὴ γὰρ ἦλθεν ἄνθρωπος εἰς τὸν κόσμον, εἰ γὰρ καὶ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ, ὅ ἐστι δώδεκα ὧραι, παρέλθωσι δὲ δύο ὧραι τῆς ἡμέρας, ἔληξεν ὁ γεννηθείς· οὐ γὰρ προσεθήκη ἐτῶν ἡ προσκοπὴ τοῦ ἑνὸς ἀνθρώπου, ἀλλὰ λήγει καθ᾽ ἡμέραν· ὁ δὲ παιδίον Ἰησοῦς, ὁ Θεὸς τοῦ Ἰσραήλ, Θεός ἐστιν αὐτὸς, καὶ τὰ ἔτη αὐτοῦ οὐκ ἐκλείψουσιν· ἀπαράβατον γὰρ ἔχει τὴν ἱερωσύνην. εἰ δὲ οὐκ ἀπαράβατον εἴποι ὁ Σαμοσατεὺς, εἴπῃ, εἰ διεδέχθη ποτέ τις. οὐ γὰρ κατηξίωσεν ὁ βασιλεὺς τῆς C εἰρήνης γενέσθαι ἱερεὺς εἰρήνης, οὐχ ὁρᾶται, μὴ γένοιτο, ὁ διαδεξάμενος αὐτοῦ τὴν ἱερωσύνην· οὔτε ἐν τῇ σκηνῇ αὐτοῦ τῇ ἀληθινῇ εἰσῆλθεν ἕτερος, οὔτε ἐξῆλθεν, εἰ μὴ μόνος κύριος· καὶ ἐσφραγίσθη ἡ πύλη τῆς σκηνῆς σῶα, καὶ ἀρραγὴς, καὶ ἀμόλυντος· χειρὶ γὰρ πέπηκται Θεοῦ, καὶ ἐσφράγισται δακτύλῳ· οὔτε χειρὶ ἀνθρώπου ὁ ἡμῶν ἀρχιερεὺς κεχειροτόνηται, οὔτε ἡ σκηνὴ αὐτοῦ ὑπὸ ἀνθρώπων κατεσκευάσθη· ἀλλὰ πνεύματι ἁγίῳ ἥδρασται, καὶ σκέπεται τῇ δυνάμει τοῦ ὑψίστου ἡ ἀείμνηστος σκηνὴ τοῦ D Θεοῦ, Μαρία ἡ θεοτόκος, καὶ παρθένος. ὥστε οὖν δριμύτητι λέγει ὁ Σαμοσατεὺς τὸ ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας, ἀπατῆσαι θέλει, ὡς τὸ, φησί, γεγραμμένον· ὅτι οὐκ ἐξ αἱμάτων, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν. οὑτωσὶ λέγει καὶ περὶ τοῦ γεννηθέντος ἐκ τῆς θεοτόκου· τὸ δὲ εἰπεῖν αὐτὸν ἀγέννητον πατέρα· ἵνα διὰ τούτου, φησί, δείξῃ πρόσφατον, καὶ κτίσμα· οὔτε γὰρ ἀνέχεται εἰπεῖν χαρακτῆρα συναΐδιον τῆς τοῦ Θεοῦ πατρὸς ὑποστάσεως τὸν Χριστόν· πλὴν ὁ Ἀδὰμ χοῦς ἀπὸ τῆς γῆς ἐλήφθη παρὰ Θεοῦ, καὶ E ἐγένετο ὁ Ἀδὰμ ὑπὸ Θεοῦ, ἡ πλευρὰ τοῦ Ἀδὰμ ᾠκοδόμηται εἰς γυναῖκα. διὰ μέσου τῶν δύο κατὰ νόμον ἐντολῆς σαρκικῆς ἐκ μίξεως, καὶ κράσεως, συνέλαβεν ἡ Εὔα, καὶ ἔτεκε τὸν Σήθ, καὶ τοὺς πρὸ αὐτοῦ. οὐδὲν οὖν διήλλαξαν κατὰ τὸ εἶναι ὁμοειδεῖς, καὶ ἐνυποστάτους τοῦ Ἀδὰμ τοὺς υἱοὺς καὶ τὰς θυγατέρας, καθὼς ὁρῶμεν ἕως σήμερον. καὶ οὐ διήλλαξεν ὁ Σὴθ τὸν Ἀδάμ. ὅτι ἐκ τῆς ὑποστάσεως ἦν τῆς ὀσφύος τοῦ Ἀδάμ. ταῦτα ἐπ᾽ ἀνθρώπων· τοῦ μὲν, ἀγεννήτου, τοῦ δὲ γεννητοῦ·

A Crescebat & coosortabatur; & nos interrogas, quare & quomodo? interroga Danielem cum dicit: Lapis scissus est ex monte sioe manibus, & subiungit: Postquam fregit statuam, factus est lapis mons magous. Dic ipse quomodo hoc fieri potuit, vt creuisset lapis, & factus esset mons? In hominibus quidem non est hoc positum, vt aliquis crescat; sed potius vir qui creuit, * non quidem post trigesimum annum, adhuc sub ætate crescente deficit. Vide quid Ioannes Baptista dicat: Qui habet sponsam, spoosus est. & paulo post B subiungit de Deo crescente, sic inquiens: Illum oportet crescere, me autem minui. Vsque io hodiernum diem verbum Dei currit, & glorificatur, & crescit, ac multiplicatur in Ecclesia sanctorum. Postquam enim venit homo io mundum, si vita eius est (verbi gratia) vnus dies qui ex duodecim horis constat, fluxerint vero duæ horæ illius diei, deficit qui natus est. non enim accessio horarum aut annorum est accretio vllius homiois, sed potius quotidie deficit. Puer autem Iesus Deus Israel, Deus est C idem ipse, & anni eius non deficient. Habet enim sacerdotium sempiternum. Sin autem non sempiternum dicit Samosateosis, dicat an aliquando habuerit successorem in sacerdotio. Ex quo eoim voluit rex pacis fieri sacerdos pacis, nequaquam cernitur qui sacerdotium eius susceperit. nec io tabernaculum eius verum alius introiuit, nec exiuit, nisi solus Dominus. Et signata est porta tabernaculi integra & incorrupta & inuiolata. manu enim Dei clausa est, & digito eius signata est. Neque manu hominis sacerdos noster electus est, neque D tabernaculum eius ab hominibus fabricatum, sed Spiritu sancto firmatum est, & virtute Altissimi protegitur illud semper laudatissimum Dei tabernaculum Maria Deipara & virgo. Cum igitur callidè ait Samosatensis: Ex Spiritu sancto & Maria, decipere vult. vt sicut scriptum est: Non ex sanguinibus, sed ex Deo nati sunt; sic dicat, de nato ex Deipara. Quod autem dicit ingenitum Patrem, dicit, vt doceat Christum recentem esse, & creaturam. non enim patitur dicere Christum figuram coæternam E substantiæ Dei Patris. Ceterum puluis è terra sumptus à Deo est, & factus Adam à Deo, & ex costa Adæ ædificata mulier, ex quibus secundum legem mandati carnalis misceote Adam corpus cum Eua, conceptus & natus est Seth, & alij ante Seth. Nihil igitur differentes & variati fuerunt ab Adam filij & filiæ, sicut videmus vsque in hodiernum diem, quatenus fuerunt eiusdem formæ, & per se existentes: neque differebat Seth ab Adam, quod esset ex substantia lumborum eius. Hæc io hominibus, voo ingenito, & altero genito:

Luc. 2. *Dan. 2.*

* Ceterum post trigesimum annum incrementum amplius ætatis non dicit.

Ibid. *Psal. 101.* *Hebr. 7.* *Ezech. 46.* *Ioan. 1.* *Hebr. 2.* *Genes. 2.*

&, ficut fcriptum eft : Ex creaturis pro-
Rom.1. portione quadam contemplamur creato-
rem. Sicut igitur intelligimus, quod fi
quis ex igne corporeo quo vtimur, fumat,
neque paffionem neque fectionem infert
ei, lumen accendens ex lumine; fic gene-
ratio Chrifti ex Patre ex æternitate non
poteft intelligentia comprehendi : & fo-
Pfal.35. lam Scripturam diuinitus afflatam fequi-
mur, ficut enarrat nobis Pater : In lumi-
ne eius vidimus lumen, vt fuperius dixi-
mus. & quod Verbum Patris eft, quod
nouiffimis diebus genitum eft; & auxit &
auget in nobis illuminationem fuam. Ac-
Act.7. cretio igitur Dei ad Ecclefiam pertinet. fcri-
ptum enim eft, quod Ecclefia quidem per
totam Iudæam & Galilæam & Samariam
habebat pacem, & ædificabatur, & am-
bulans in verbo Domini, & confolatione
Spiritus fancti multiplicabatur. Crefcit igi-
tur verbum Domini quotidie, & multipli-
Luc.2. catur Spiritus fanctus in Ecclefia Dei. non
igitur homo, ficut nos, erat, qui crefcebat
Efai.9. ætate & fapientia; fed Deus genitus puer,
& datus nobis filius æternus, qui erat ante
Pfal.101. fæcula; & verè nobis creuit, & crefcit quo-
tidie; & anni eius non deficient. immuta-
Exod.20. bilis enim eft Chriftus, vtpote Deus Ver-
Pfal.143. bum. Pudeat igitur eum qui accipit no-
Ecclef.1. men Domini in vano. Homo namque va-
nitati affimilatus eft, ficut ait Ecclefiaftes.
Pfal.38. vanitatem appellauit laborem hominum,
Pfal.143. quem fub cœlo laborant. & Dauid ait, quod
Pfal.101. vanitas eft omnis homo viuens, & quod
dies eius tamquam vmbra prætereunt; Deus
nofter Iefus idem eft, & anni eius non de-
ficient.

QVÆSTIO VI.

Matth.2. Scriptum eft, Angelus Domini apparuit
Iofeph in fomnis, dicens : Surgens accipe
puerum & matrem eius, & fuge in Ægy-
ptum. futurum eft enim vt Herodes quæ-
rat animam pueri ad perdendum eum. An di-
ces hunc puerum cum matre fugientem effe
ex æternitate cum Deo Patre? & quomodo
quod ex loco in locum mutatur, & natum
eft in Bethleem, dicis effe ex æternitate cum
ingenito?

RESPONSIO.

Refpondebo primum obiicientibus mi-
hi quod probro affecerim Patrem. Si
illud, Ex loco in locum, definit Filium
Ioan.3. Patris non effe in cœlo (ipfe enim ait : Amen
dico vobis, nemo afcendit in cœlum, nifi
qui de cœlo defcendit, filius hominis qui eft
in cœlo;) reperimus autem fcriptum (18) in
libro primo, quod Deus defcendit & lo-
Gen.18. cutus eft Abraæ : & poftea fubiungit Scri-
ptura facra, quod afcendit Deus ad Abraam.

A καὶ κατὰ τὸ γεγραμμένον ἀναλόγως ἐκ τῶν κτισμάτων ὁ γενεσιουργὸς θεωρεῖται· ὥσπερ οὖν ἐννοοῦμεν, ὅτι εἴ ἐκ τοῦ πυρὸς ἡμῖν ὑλικοῦ πυρὸς λάβῃ τις, καὶ πάθος, ἢ τμῆμα οὐ ποιεῖ, ἐν τῷ ἀναλάμψαι φῶς ἐκ φωτός· ἀλλ' εἰ μὲν τοῦτο, οὕτως ἀκαταλήπτως ἐξ ἀϊδίου γέννησις τοῦ Χριστοῦ ἐκ πατρὸς, καὶ μόνῃ τῇ θεοπνεύστῳ ἐξακολουθοῦμεν γραφῇ· καθὼς διηγεῖται ἡμῖν ὁ πατήρ· ἐν τῷ φωτὶ αὐτοῦ εἴδομεν φῶς, καθὼς ἀνωτέρω εἴπομεν. καὶ ὅτι ὁ λόγος τοῦ πατρός ἐστιν ὁ γεννηθεὶς ἐπ' ἐσχάτων, καὶ αὐξήσας, καὶ αὔξων φωτισμὸν αὐτοῦ ἐν ἡμῖν. ἡ οὖν αὔξησις τοῦ Θεοῦ εἰς τὴν ἐκκλησίαν ἐστί.
B γέγραπται γάρ· ὅτι ἡ μὲν οὖν ἐκκλησία καθ' ὅλης τῆς Ἰουδαίας, καὶ Γαλιλαίας, καὶ Σαμαρείας εἶχεν εἰρήνην οἰκοδομουμένη, καὶ πορευομένη τῷ λόγῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνετο· αὔξει γοῦν ὁ λόγος τοῦ Κυρίου καθ' ἡμέραν, καὶ πληθύνεται τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. οὐκ ἄνθρωπος οὖν καθ' ἡμᾶς ὁ αὔξων ἡλικίᾳ, καὶ σοφίᾳ, ἀλλὰ Θεὸς γεννηθεὶς παιδίον, καὶ δοθεὶς ἡμῖν εἰς υἱὸν, ἀΐδιον ὄντα πρὸ αἰώνων. ἡμῖν καὶ τῇ ἀληθείᾳ ηὔξησε, καὶ αὔξει καθ' ἡμέραν, καὶ τὰ ἔτη αὐτοῦ
C οὐκ ἐκλείποισιν· ἀναλλοίωτος γὰρ ὁ Χριστὸς, ὡς Θεὸς λόγος. αἰσχυνέσθω οὖν ὁ λαμβάνων τὸ ὄνομα Κυρίου ἐπὶ ματαίῳ· ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη· καθὼς ὁ ἐκκλησιαστής· ματαιότητα τὸν μόχθον ἐκάλεσε τῶν ἀνθρώπων, ὃν μοχθοῦσιν ὑπὸ τὸν ἥλιον. καὶ Δαβὶδ λέγει ὅτι ματαιότης πᾶς ἄνθρωπος ζῶν· καὶ ὅτι αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ σκιὰ παράγουσιν· ὁ Θεὸς ἡμῶν Ἰησοῦς ὁ αὐτός ἐστι, καὶ τὰ ἔτη αὐτοῦ οὐκ ἐπιλείψουσιν.

D

Πρότασις ϛʹ. τοῦ Σαμοσατέως.

Γέγραπται ὅτι ἄγγελος Κυρίου ἐφάνη τῷ Ἰωσὴφ κατ' ὄναρ, λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου, τοῦ ἀπολέσαι αὐτό· μὴ ἄρα τοῦτο λέγεις, τὸ φεῦγον σὺν τῇ μητρὶ, συναΐδιον τῷ Θεῷ καὶ πατρί; καὶ πῶς τὸ ἐκ τόπου εἰς τόπον, τὸ γεννηθὲν ἐν Βηθλεέμ, συναΐδιον τοῦτο τῷ ἀγεννήτῳ λέγεις;

E

Ἀπόκρισις ϛʹ. τοῦ Πάπα Διονυσίου.

Ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με, πρότερον περὶ τοῦ πατρός. ὅτι εἰ διὰ τὸ τόπον ἐκ τόπου, ὁρίζει τὸν υἱὸν τοῦ πατρὸς μὴ ὄντα ἐν τῷ οὐρανῷ· αὐτὸς γὰρ λέγει· ὅτι ἀμὴν λέγω ὑμῖν, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ· εὑρήκαμεν δὲ, ὅτι γέγραπται ἐν τῷ βιβλίῳ τῷ πρώτῳ, ὅτι ὁ Θεὸς κατέβη, καὶ ἐλάλησε τῷ Ἀβραάμ. καὶ μετὰ ταῦτα ἐπάγει τὸ γράμμα τὸ ἱερὸν, ὅτι καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ.

Quid

Ἄρα τί εἴποι τις; ἐκεῖ γὰρ Θεὸς κεῖται ἀναβαίνων ἀπὸ Ἀβραάμ. ἀληθῆ τὰ λεγόμενα, καὶ ψεῦδος οὐκ ἔστιν· ἀλλ' ἔδει πληρωθῆναι τὸ γεγραμμένον ἐν νόμῳ, καὶ προφήταις, τὸ κατελθεῖν τὸν Θεὸν ἐπὶ νεφέλης κούφης, καὶ ἥξειν εἰς Αἴγυπτον· καὶ ὅτι σεισθήσονται τὰ χειροποίητα Αἰγύπτου. καὶ ὅτι γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις· καὶ Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. καὶ πάλιν, ἐπανήξειν αὐτὸν ἐξ Αἰγύπτου, ἵνα πληρωθῇ τὸ γεγραμμένον ὅτι ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. υἱὸν δὲ λέγει, ὃν προσκυνεῖ ἡ τῶν ἁγίων πνευμάτων πληθὺς τὸν ἕνα καὶ ἀμέριστον Χριστὸν, τὸν συναΐδιον τοῦ πατρὸς, συνάναρχον, συνδημιουργὸν τῷ πατρί. Θεὸς γὰρ Ἰσραὴλ Ἰησοῦς ὁ πρὸ αἰώνων λόγος, ὡς καὶ τὸ ἅγιον πνεῦμα. εἰ δὲ διὰ τὸ φεύγειν εἰς Αἴγυπτον τὸν Ἰωσὴφ ἅμα τῇ θεοτόκῳ Μαρίᾳ ἐν ἀγκάλαις φερούσῃ τὴν καταφυγὴν ἡμῶν, καὶ Θεὸν, καὶ δύναμιν, καὶ τοῦτον, ὡς ἕνα τῶν καθ' ἡμᾶς, ὁρίζῃ φεύγοντα, ὡς τὸν Δαβὶδ ἀπὸ Σαοὺλ, ὥρα σοι λέγειν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς τὴν Ἄγαρ ἀποδράσασαν ἐκ τῆς κυρίας αὐτῆς, ἢ ὡς Ἠλίαν τὸν προφήτην ἀπὸ τῆς Ἰεζάβελ· γέγραπται γὰρ ὅτι πνεῦμα ἅγιον σοφίας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων· καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. φιλάνθρωπον γὰρ πνεῦμα σοφίας οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ, ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεός. τοῦτο καὶ Δαβὶδ λέγει. ἐτάζων καρδίας, καὶ νεφροὺς ὁ Θεός. οὐκ ἀθῳώσει, φησὶ, βλάσφημον ἀπὸ χειλέων αὐτοῦ τὸ φιλάνθρωπον πνεῦμα. ἀλλ' ἐτάζει καρδίας, καὶ νεφροὺς, ὅτι καὶ τὰ βάθη τοῦ Θεοῦ, ὡς Θεὸς, τὸ πνεῦμα ἐπίσταται· ὥσπερ καὶ τὰ τοῦ ἀνθρώπου οὐδεὶς ἔγνω, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τὸ ἐν αὐτῷ. ἐντεῦθεν φανερῶς διδάσκει ὁ ἱερὸς Παῦλος, ὅτι τὸ πνεῦμα τὸ ἅγιον μόνον αὐτὸ οἶδε τὸν πατέρα τοῦ ἐνανθρωπήσαντος λόγου· καὶ τὸν ἐνανθρωπήσαντα Χριστὸν τὸν λόγον Ἰησοῦν οἶδε τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ἐν τῷ Χριστῷ ἐστιν. ὅτι φησὶν ὁ πατὴρ ὁ μένων ἐν τῷ Χριστῷ λόγῳ, αὐτὸς ποιεῖ τὰ ἔργα, ὡς καὶ ὁ Χριστὸς ὁ ὢν ἐν τῷ πατρὶ αὐτοῦ. οἶδε τὸ πνεῦμα τὸ ἅγιον, πῶς ὁ πατὴρ χωρεῖ τὸν υἱὸν, καὶ ὁ υἱὸς τὸν πατέρα. φιλάνθρωπον πνεῦμα ἅγιον φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων, ὡς ἀπανέστη καὶ ὁ υἱὸς φεύγων εἰς Αἴγυπτον. διδάσκει γὰρ ἡ φυγὴ τῆς καταφυγῆς ὅτι ὃν τρόπον ἑωράκατε, ἰδοὺ ἔδειξα ὑμῖν, ἵνα καὶ ὑμεῖς ποιῆτε· ἐάν τις γάρ σε διώκῃ, φεῦγε εἰς τὴν ἀλλοδαπήν. οὕτως γὰρ ἐποίησαν καὶ τοῖς προφήταις. ὁ ὢν ἐπὶ πάντων Θεὸς, ἡ καταφυγὴ ἡμῶν, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν τοῖς ἰδίοις· ὁ εὐαγγελιστὴς διδάσκει ἡμᾶς. καὶ αὖθις διδάσκων τὸν Κλεώπαν, ἵνα τὴν φιλοξενίαν ἀγαπῶσι, προσεποιεῖτο πόῤῥω πορεύεσθαι. ἡ οὖν εἰς Αἴγυπτον πορεία, καὶ ἡ ἐξ Αἰγύπτου ἐπάνοδος, καὶ ἡ πᾶσα αὐτοῦ πορεία, καὶ ἡ μετὰ Κλεώπα, καὶ ἡ εἰς οὐρανοὺς πορεία. ἦσαν γάρ φησιν, οἱ ἀπόστολοι, ὡς ἀτενίζοντες εἰς τὸν οὐρανόν· πάσας περιλαβὼν ὁ Δαβὶδ ἐν πνεύματι,

A Quid igitur, dicet aliquis? Illic enim Deus
dicitur ascendere ab Abraam. Vera hæc
quæ dicuntur, & non est in eis mendacium:
sed oportebat impleri quæ scripta erant in
lege & prophetis; descensurum esse Deum *Esai.19.*
in nube leui, & venturum in Ægyptum:
& quod simulacra Ægypti commoueoda
essent; & quod Dominus futurus esset
notus Ægyptiis; & quod Æthiopia præue- *Psal.67.*
niet manus eius Deo: & rursus rediturum
eum ex Ægypto, vt impleretur quod scri- *Matth. 2. &*
prum est: Quoniam ex Ægypto vocaui fi- *Osee 11.*
lium meum. Filium dicit, quem adorat mul-
titudo cœlestium spirituum; vnum & im-
B partibilem Christum, coæternum Patri, si-
mul cum Patre non factum, & concreato-
rem. Deus enim Israel Iesus, qui est ante
sæcula Verbum, sicut & Spiritus sanctus.
Quod si quia fugit in Ægyptum Ioseph si-
mul cum Deipara Maria ferente in vlnis
nostrum perfugium & Deum & vires: hunc
etiam tamquam vnum è numero nostrum
definis fugientem sicuti Dauid à Saul; tem- *1.Reg.19.*
pus est vt dicas etiam Spiritum sanctum esse
similem Agar, cum fugit à domina sua; aut *Genes.16.*
Eliæ Prophetæ cum fugit à Iezabel. scri- *3.Reg.19.*
ptum est enim: Spiritus sanctus sapientiæ *Sapient.1.*
fugiet dolum, & recedet à cogitationibus
C quæ sunt sine intellectu, & corripietur à su-
perueniente iniquitate. benignus enim est
spiritus sapientiæ, & non liberabit maledi-
cum à labiis eius; quoniam renum illius te-
stis, & scrutator cordis est Deus. quia pro-
funda Dei tamquam Deus scit spiritus sicut
quæ sunt hominis nemo nouit, nisi spiritus *1.Cor.2.*
hominis qui est in ipso. Apertè docet hîc
Paulus, quod solus Spiritus sanctus nouit
Patrem Verbi incarnati, & Christum fa-
ctum hominem Verbum Iesum nouit spiri-
tus sanctus, quoniam in Christo est. ait *Ioan.14.& 15*
D enim: Pater qui manet in Christo Verbo,
ipse facit opera, sicut & Christus qui est in
Patre suo. Spiritus sanctus nouit quomodo
Pater est in Filio, & quomodo Filius in Pa-
tre. Spiritus sanctus benignus fugiet fictum,
& recedet à cogitationibus stultis, sicut re-
cessit filius fugiens in Ægyptum. docet
enim nos fuga perfugij nostri, quod quem-
admodum vidistis, ecce ostendi vobis, vt &
vos faciatis. Si quis enim te persequitur, *Matth.10.*
fuge in aliam ciuitatem. sic enim fecerunt *Luc 6.*
& prophetis. Quod autem qui est super
omnia Deus nostrum perfugium, non in
E alienis, sed in suis erat cum fugeret, (19)
Euangelista docet nos. Ac rursus Cleopam *Luc.24.*
docens vt hospitalitatem amarent, simula-
uit se longius ire. Profectio igitur in Ægy-
ptum, & reuersio ex Ægypto, & omnis
eius itio, & cum Cleopa, & in cœlos:
Cumque intuerentur, inquit, Apostoli *Act.1.*
euntem illum in cœlum; omnes huius-
modi itiones à Dauid comprehensæ sunt,

N

Psal. 67. cum clamauit dicens: Viderunt ingressus tuos Deus, ingressus Dei mei, regis mei qui est in sancto. Deum dicit regem suum Dauid, cum ait: Ingressus Dei mei, regis mei qui est in sancto. In Spiritu sancto dicit Dauid esse Filium Dei Deum suum in sancto. Sanctus Pater Christi, in ipso sancto dicit esse Deum & regem. Christus Deus in Patre per Spiritum sanctum à Dauid prædicatur, qui est semper Christus; qui propter nos voluit fieri caro, qui erat Verbum, & mansit Christus Verbum esus Deus, de quo canit Dauid:
Psal. 76. In mari via tua, & semitæ tuæ in aquis multis,
Sapient. 1. & vestigia tua non cognoscentur. Hoc est igitur quod scriptum est, quòd blasphemum & maledicum non liberabit à labiis eius, quia
Act. 5. renum eius testis Deus. Non dimisit impunitos Ananiam & Sapphiram mentitos Spiritus benignus; sed dederunt pœnas mentiti Spiri-
Prou. 24. tui sancto. Præparet Samosatensis opera sua in exitum; quia non abibit impune qui blasphemus est in Spiritum sanctum. Spiritus au-
Ioan. 4. tem est Deus, sicut nos docuit veritas Christus, qui est super omnia Deus; qui in nube
Esai 19. leui venit in Ægyptum Dominus Deus Israel Iesus Christus.

QVÆSTIO VII.

Quia in Scriptura diuina non reperi quòd forma & sapientia sine hypostasi sunt partes hominis, vellem scire ex vobis quod scriptum est in Apostolo, cum ait, quod in for-
Philipp. 2. ma Dei cum esset Christus, exinaniuit seipsum formam serui accipiens. Si accepit formam sine hypostasi, quomodo potest dici quòd formam & habitum accepit? & quod
Rom. 4. & alibi Deus ipsum suscitauit? Si autem Ecclesia
** Fort. à 3* duos deos non dicit, nec traditum accepit, vt tu scis, volumus vt suadeas nobis ex scripturis formam sine hypostasi. Si enim non est per se, quid est? quomodo dici potest forma, quod non per se existit? Oportebat igitur vt diceret Apostolus, quòd exinaniuit seipsum, formam serui sine hypostasi accipiens; si erat sine hypostasi.

RESPONSIO.

Ait Samosatensis: Si forma serui quam Christus assumpsit, non per se existit, oportebat vt diceret Apostolus: Christus exinaniuit seipsum, assumens formam serui non per se existentem. & mihi dicit: Suade ex diuina Scriptura. Ceterum respondebo ad hoc.
** χάριν* etsi nesciens (20) non iubet, vel non committit mihi vt ad ea quæ ipse dicit, respondeam: sic enim cum scriberet, sentiebat; quasi quæ à me scripta sunt, consistere non possent; & quod Samosatensis ait, à nemine refelli possit. verumtamen breuiter quæstionem tuam extrudam, & ex ore tuo redarguens. Etenim si Christus formam serui, quæ per se esset, accepit, ita vt esset seruus qui acceptus est (hic enim est actus tuæ fabulæ) oportebat, sicut tu ais, vt diceret Apostolus:

A ἀνακέκραγε βοῶν, καὶ λέγων· ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεός· αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Θεὸν λέγει βασιλέα αὐτοῦ ὁ Δαβίδ, λέγων· αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. ἐν πνεύματι ἁγίῳ τὸν υἱὸν τοῦ Θεοῦ, Θεὸν ἑαυτοῦ λέγει ὁ Δαβὶδ ἐν τῷ ἁγίῳ. ἅγιος ὁ πατὴρ τοῦ Χριστοῦ, ἐν αὐτῷ λέγει τῷ ἁγίῳ εἶναι τὸν Θεὸν, καὶ βασιλέα. Χριστὸς ὁ Θεὸς ἐν τῷ πατρὶ διὰ πνεύματος ἁγίου ὑπὸ Δαβὶδ κηρύττεται· ἀεὶ Χριστὸς ὁ δι' ἡμᾶς καταδεξάμενος γενέσθαι σὰρξ, λόγος ὢν, καὶ μείνας Χριστὸς λόγος Ἰησοῦς ὁ Θεός· περὶ οὗ ψάλ-
B λει ὁ Δαβίδ· ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. τοῦτο γοῦν ἐστὶ τὸ γεγραμμένον· ὅτι οὐκ ἀθῳώσει τὸν βλάσφημον ἀπὸ χειλέων αὐτοῦ, ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεός. οὐκ ἀθῴους ἐποίησε τοὺς ψευσαμένους τὸ φιλάνθρωπον πνεῦμα, τοὺς περὶ Ἀνανίαν, καὶ Σάπφειραν· ἀλλ' ἔδωκαν δίκας ψευσάμενοι τὸ φιλάνθρωπον πνεῦμα. ἑτοιμαζέτω καὶ ὁ Σαμοσατεὺς τὰ ἔργα αὐτοῦ εἰς τὴν ἔξοδον· οὐ γὰρ ἀθῷος ἀπελεύσεται βλασφημῶν κατὰ τοῦ φιλανθρώπου πνεύματος τοῦ ἁγίου. πνεῦμα γὰρ ὁ Θεὸς, ὡς ἐδίδαξεν ἡμᾶς ἡ ἀλήθεια Χριστὸς, ὁ ὢν ἐπὶ πάντων Θεὸς, ὁ ἐπὶ νεφέλης
C κούφης ἐλθὼν εἰς Αἴγυπτον κύριος ὁ Θεὸς Ἰσραὴλ Ἰησοῦς ὁ Χριστός.

Πρότασις ζ'. τοῦ Σαμοσατέως.

Ἐπειδὴ ἐν τῇ θείᾳ γραφῇ οὐχ εὗρον ὅτι ἡ μορφὴ, καὶ ἡ σοφία, ἀνυπόστατά εἰσι τοῦ ἀνθρώπου μέρη, ἐβουλόμην μαθεῖν παρ' ὑμῶν τὸ γεγραμμένον ἐν τῷ ἀποστόλῳ· ὅτι φησὶν, ἐν μορφῇ Θεοῦ ὑπάρχων ὁ Χριστὸς ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. εἰ ἔλαβε μορφὴν ἀνυπόστατον, πῶς δύναται λέγεσθαι, ὅτι μορφὴν καὶ σχῆμα λέγει ὅτι ἔλαβε; καὶ ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν; * οἶδεν ἡ ἐκκλησία δύο Θεοὺς οὐ λέγει οὔτε παρέλαβεν, ὡς καὶ αὐτὸς οἶδας ἀπὸ γραφῶν, θέλομεν πεισθῆναι μορφὴν ἀ-
D νυπόστατον· εἰ μὴ γὰρ ὑπέστη, τί ἐστι; πῶς ἂν λέγοιτο μορφὴ τὸ μὴ ὑποστάν; ἔδει οὖν εἰπεῖν τὸν ἀπόστολον, ὅτι ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν ἀνυπόστατον, εἰ ἦν ἀνυπόστατος.

Ἀπόκρισις ζ'. τοῦ Πάπα Διονυσίου.

Λέγει ὁ Σαμοσατεύς· εἰ ἀνυπόστατός ἐστιν ἡ μορφὴ, ἣν ἔλαβεν ὁ Χριστὸς, ἡ τοῦ δούλου, φησὶν, ἔδει εἰπεῖν τὸν ἀπόστολον· ὅτι ὁ Χριστός φησιν, ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν ἀνυπόστατον. καὶ ἐμοὶ λέγει, πεῖσόν με ἐκ τῆς θείας γραφῆς. πλὴν ἀποκριθήσομαι πρὸς τοῦτο, καὶ
E μαθὼν εἰ, μὴ κελεύειν μοι, ἢ ἐπιτρέπειν, πῶς ἀποκριθῶ πρὸς τὰ παρ' αὐτοῦ· οὕτω γὰρ διέκειτο, * γράφειν, ὅτι ἀδύνατον τὰ παρ' ἐμοῦ γραφέντα ὥστε ὁ Σαμοσατεὺς λέγων, οὐ δύναται παρά τινος ἐκβληθῆναι· πλὴν συντόμως ἐκβαλῶ σου τὸ πρόβλημα, καὶ ἐκ τοῦ σοῦ στόματος ἐλεγχθήσῃ. εἰ γὰρ ἐνυπόστατον μορφὴν δούλου ἔλαβεν ὁ Χριστὸς, ἵνα εἴη δοῦλος ὁ ληφθείς (τοῦτο γάρ σου ἐστὶ τὸ δρᾶμα τῆς ῥαψῳδίας) ἔδει, ὡς σὺ λέγεις, εἰπεῖν τὸν ἱερὸν τοῦ Χριστοῦ ἀπόστολον,

* ὅτι ἑαυτὸν ἐκένωσε, δοῦλον ἄνθρωπον λαβών, τοῦ τίνος ὄντα δοῦλον; καὶ παρὰ τίνος ἑαυτὸν ἠγόρασε; καὶ τὸ πόσου; καὶ ποῦ ἐγένετο τὰ ὤνια κατὰ τοῦ δούλου; καὶ διατί πέπρακεν ὁ πιπράσκων; ἢ διατί ἐχαρίσατο ὁ χαρισάμενος; ἢ ὡς μὴ χρῄζων τῷ χρησομένῳ τί ἐχαρίσατο; εἰ θέλεις κανονίζειν πῶς ὀφείλει γραφῆναι γραφή, μὴ ἀπαίτει με λαλεῖν σοι ἀπὸ τῆς γραφῆς. γέγραπται γάρ· μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτός. καὶ μετὰ στρεβλοῦ διαστρέψεις· πλὴν ὁρᾷς, πῶς ἔφυγες τὸ γεγραμμένον· ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· οἶδά σου τὰς μαγγανείας, ὅτι, φησὶν, εἰκὼν λεγόμεθα Θεοῦ, καὶ αὐτὸς ὡς εἷς ἐξ ἡμῶν ὁ Χριστός· ὅτι γέγραπται· ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν. ταῦτα φρονεῖς, καὶ λαλεῖς, βλασφημῶν, κατὰ τοῦ Θεοῦ ἀδικίαν ἐπιφημίζων· ὅτι ὁ λέγων Θεὸν τὸν λόγον τοῦ πατρὸς Ἰησοῦν τὸν μονογενῆ, δύο Θεοὺς λέγει· ὥστε κατὰ σὲ ἵνα μή τις εἴποι Θεὸν τὸν Χριστὸν προαιώνιον· καὶ μὴ λέγων προαιώνιον, ἀλλὰ τὴν ἐκκλησίαν σαυτὸν καλῶν, ὅτι, φησὶν, ἡ ἐκκλησία δύο Θεοὺς οὐ λέγει, οὔτε παρέλαβε· σὺ δὲ δύο σαυτῷ παραδέδωκας· ἕνα προαιώνιον λέγων ἀγέννητον· καὶ ἕνα χειροτονητὸν Θεὸν ἐπ' ἐσχάτων τὸν Χριστόν· οὕτως γὰρ οὐκ ἐμοὶ ἔγραψας· ἀλλ' οἱ ἀκηκοότες ἔγραψάν μοι, ὅτι οὕτως διδάσκεις· πλὴν, ἵνα μὴ εἰς ἐκεῖνα ἀσχοληθῶ, εἰς τὰ νῦν παρὰ σοῦ γραφέντα ὁρῶ· εἰ, ὡς φὴς σὺ, ἡ μορφὴ, ἣν ἔλαβε τοῦ δούλου ἐνυπόστατον, ὁ ὢν ἐν μορφῇ, καὶ ἰσότητι τοῦ Θεοῦ, ὁ Χριστὸς, ὁ τοῦτο ὢν, καὶ μὴ ἁρπάσας τὸ εἶναι· ἀλλὰ ὢν Θεὸς, ἐν μορφῇ τοῦ πατρὸς ὑπάρχων, καὶ ἐκ τούτου δύο ἐνυπόστατοι μορφαὶ πατρὸς, καὶ υἱοῦ· οὐ μὴν ὁ Χριστὸς δύο μορφαί· εἰπὲ ἡμῖν, ὅτε μετεμορφώθη ἐπὶ τῶν ἀποστόλων, τὴν μεταμόρφωσιν ἐκείνην τί λέγεις; λέγει γὰρ ὅτι μετεμορφώθη, ἐνταῦθα γὰρ πέντε εἰσὶ μαρτυρίαι· ὅτι καὶ αὐτὸς μετεμορφώθη καὶ τὸ εἶδος αὐτοῦ ἕτερον· εἰπὲ οὖν εἰ ἡ μορφὴ τοῦ δούλου μετεμορφώθη ἐν τῷ ἁγίῳ ὄρει; ἐνταῦθα δὲ οὐ δύνῃ εἰπεῖν· ὅτι ἡ μορφὴ τοῦ δούλου μετεμορφώθη· γέγραπται γάρ· ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, αὐτὸν λέγει Ἰησοῦν τὸν Χριστὸν, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχει· καὶ αὐτὸς λέγει· ὅτι παραλαβὼν ὁ Ἰησοῦς Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· εἰπὲ λοιπὸν, ἣν μετεμορφώθη μορφὴν, ἐνυπόστατον λέγεις, ἢ ἀνυπόστατον; εἰ δὲ οὐ δύνῃ δοῦναι τῇ μεταμορφώσει ὑπόστασιν, οὐδὲ τῇ μορφῇ δυνήσῃ δοῦναι, οὔτε τοῖς ἱματίοις· καὶ αὐτὰ γὰρ γεγόνασιν, ὡσεὶ χιών. πλὴν σὺ ὁ Σαμοσατεὺς ἐκβέβλησαι τοῦ προβλήματος ἔξω μακράν. λέγεις γὰρ, ὅτι ὁ λόγος πρὸ Μαρίας ἦν, Χριστὸς δὲ πρὸ Μαρίας οὐκ ἦν· καὶ ὅτι Μαρία τὸν λόγον οὐκ ἐγέννησεν.

A Exinaniuit se, seruum hominem accipiens. Sed cuius seruum? & à quo eum emit? *ὅτι & quanti? & vbi facta fuit emptio serui? & quare vendidit Dominus? aut quare donauit? curve donauit accipienti illum ad suos vsus, quasi ipse non indigens? Si vis normam præscribere quomodo Scriptura scribi debeat, ne petas à me vt tibi loquar ex *χρησομένῳ Scriptura. scriptum enim est: Cum sancto sanctus eris, & cum electo electus eris: *Esai.17.* (21) & cum peruerso peruerteris. Sed vides quomodo fugisti quod scriptum est: Hoc *Philipp.2.* sentire in vobis quod & in Christo Iesu; qui cum in forma Dei esset, non rapinam arbi-

B tratus est esse se æqualem Deo. Noui fallacias tuas. quoniam imago Dei dicimur, *1.Cor 11.* & ipse Christus tamquam vnus ex nobis; quia scriptum est: Ecce Adam factus est tamquam vnus ex nobis: *Gen.3.* hæc sentis & loqueris blasphemè, iniquitatem contra Deum denuntians; quod qui Verbum Patris Iesum vnigenitum dicit Deum, duos deos dicit; vt te auctore nemo dicat Christum Deum ante sæcula. & tu non dicens Deum ante sæcula, sed te ecclesiam vocans, Ecclesia, inquis, duos deos non dicit, neque traditum accepit. Tu vero duos tibi tradidisti, vnum

C ante sæcula ingenitum; & vnum electum Deum in extremis temporibus, qui est Christus. Sic enim non mihi scripsisti, sed qui audierunt, mihi scripserunt sic te docere. Sed ne in illis occuper, ad ea quæ à te nunc scripta sunt, me verto. Si; vt tu dicis, forma serui quam accepit, est per se, qui est in forma & æqualitate Dei Christus, qui hoc quod est, non rapuit, sed cum esset Deus, in forma Patris erat, (22) & hinc duæ formæ per se, Patris & Filij; non tamen Christus est duæ per se formæ; dic nobis, quando tansfiguratus est coram Apo-

D stolis, transfigurationem illam quid esse dicis? *Matth.17.* Ait enim scriptura quod transfiguratus est. hic enim sunt quinque testimonia quod transfiguratus est, & alia species eius visa. Dic igitur an forma serui transfigurata fuerit in monte sancto? Hic enim non potes dicere formam serui transfiguratam esse, siquidem scriptum est: Hoc sentite in vobis, *Philipp.2.* quod & in Christo Iesu, qui cum in forma Dei esset; ipsum Iesum Christum dicit in forma Dei esse; & de ipso dicit: Assumpsit *Matt.17.*

E Iesus Petrum & Iacobum & Ioannem, & ascendit in montem, & transfiguratus est ante eos. Responde iam: dicisne formam qua transfiguratus est, esse per se, an non per se? quòd si non potes dare hypostasim transfigurationi, neque formæ dare poteris, neque vestimentis; & ipsa enim facta sunt alba sicut *Ibidem.* nix. Verũ tu Samosatensis extra quæstionem eiectus es procul. Ais enim, quòd Verbũ erat ante Mariam, Christus vero non erat ante Mariam: & quòd Maria non genuit Verbum:

(non enim senior Verbo est) sed genuit
Christum eximie honoratum in filium Dei.
Paulus vero doctor gentium omnibus scri-
Philip. 2. bit: Hoc sentite in vobis, quod & in Christo
Iesu. non dixit: Quod & Christus Iesus
Act. 17. sentit: sed, Hoc in Christo Iesu sentite.
in ipso enim viuimus, mouemur, & su-
mus: & in ipso credimus, quod sic accepi-
mus, quod cum in forma Dei esset, non ra-
pinam arbitratus est esse se æqualem Deo.
Quomodo igitur tu Samosatensis non di-
cens Christum esse ante sæcula, dicis acce-
pisse formam serui? Si enim Christus non est
ante sæcula, sed ex Maria, igitur vt tu sentis,
seruus seruum accepit. omnia enim sunt
serua Dei. igitur duæ deinceps formæ seruo-
rum reperientur. Explica igitur nobis, vnde
Christus ex Maria natus accepit formam
serui quæ per se esset? Vana enim cogitatio
Samosatensis plagiarium facit Christum,
nisi probatum sit vnde seruus, quem Chri-
stus ex Maria accepit, vt impostor dicit. Sed
nos illo procul proiecto & scriptis eius, ve-
niamus ad enarrationem diuinæ scripturæ,
& attendamus lectionem in fide & veritate,
1. Tim. 4. sicut Paulus Timotheo filio probo com-
mendat. Igitur quandoquidem totum my-
sterium sanctus Apostolus in hoc argumen-
to iubet nobis sapere in Christo, cum sic in
Spiritu sancto scribit: Hoc, inquit, sentite
in vobis, quod & in Christo Iesu: Est in
Christo Pater Christi, & Spiritus sanctus:
in hoc iubemur sapere, ne quid amplius
sapiamus præter id quod accepimus. sem-
2. Cor. 1. per enim Christus Dei virtus & Dei sa-
pientia est in Patre: & in eo sapimus in
Christo Iesu esse Patrem, sicut nouit Spi-
1. Cor. 2. ritus sanctus, qui scrutatur profunda Dei,
quo modo est Pater in Christo filio suo
Verbo, & Christus in Patre tamquam qui
est in forma Dei. Hoc est quod ait san-
ctus Apostolus: esse in forma Dei Iesum
Christum, esse sicut antè dixi, in Deo
Patre Filium Patris, non rapinam arbi-
tratus est se esse æqualem Deo. hoc dicit,
quia non sicut qui per virtutem & labo-
res & fatigationes ac certamina rapiunt
Matt. 11. regnum Dei, (scriptum enim est: Re-
gnum cœlorum vim patitur, & violenti
rapiunt illud) sic Christus Iesus consum-
matus laboribus virtutis comparauit esse
Habac. 3. se æqualem Deo, quin potius operuit
cœlos virtus eius, & laudis eius plena est
terra; splendor eius vt lux erit. testatur-
que ipse qui vere est semper in Patre,
Ioan. 8. cum ait: Ego sum lux mundi: qui est
dominus mundi, qui habet in seipso Pa-
trem, & viuificum ac dominum Spiritum:
verùm seipsum exinaniuit. Quamobrem
& mysterium illud inenarrabile sic ab
Luc. 22. ipso vocatur nouum testamentum Dei,
dare se ipsum nobis in mystica cœna:

A (οὔτε γὰρ πρεσβυτέρα ἐστὶ τοῦ λόγου) ἀλλ' ἐγέννησε τὸν Χριστὸν, κατὰ τὸ ἐξαίρετον τετιμημένον εἰς υἱὸν Θεοῦ. ὁ δὲ ἱερὸς τῶν ἐθνῶν διδάσκαλος γράφει Παῦλος πᾶσι· ὅτι τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. οὐκ εἶπεν ὃ καὶ Χριστὸς Ἰησοῦς φρονεῖ, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ τοῦτο φρονεῖτε· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· ἐν αὐτῷ πιστεύομεν, ὅτι οὕτως παρελάβομεν· ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. πῶς οὖν σὺ ὁ Σαμοσατεὺς, μὴ λέγων τὸν Χριστὸν προαιώνιον, λέγεις ὅτι ἔλαβε δούλου μορφήν; εἰ γὰρ ὁ Χριστὸς οὐκ ἔστι πρὸ αἰώνων, ἀλλ' ἐκ Μαρίας, ἄρα κατὰ σὲ ὁ
B δοῦλος δοῦλον ἔλαβε. τὰ γὰρ σύμπαντα δοῦλα τοῦ Θεοῦ· λοιπὸν οὖν δύο μορφαὶ δούλων εὑρεθήσονται. φράσον οὖν ἡμῖν, πόθεν ὁ Χριστὸς, ὁ ἐκ Μαρίας, ἔλαβε τὴν ἐνυπόστατον μορφὴν τοῦ δούλου; ὁ γὰρ κενὸς λογισμὸς τοῦ Σαμοσατέως ἐξανδραποδιστὴν λέγει τὸν Χριστὸν, ἐὰν μὴ συστῇ, πόθεν ὁ δοῦλος, ὃν ἔλαβεν ἐκ Μαρίας Χριστὸς, ὡς λέγει ὁ ἀπατεών. ἀλλὰ λοιπὸν ἡμεῖς ἐκεῖνον πόρρω ἀποῤῥίψαντες, καὶ τὰ παρ' ἐκείνου γραφέντα, ἔλθωμεν ἐπὶ τὴν διήγησιν τῆς θείας γραφῆς καὶ προσέχωμεν τῇ ἀναγνώσει, καθὼς παραγγέλλει Παῦλος ὁ ἱερὸς Τιμοθέῳ τῷ γνη-
C σίῳ τέκνῳ, ἐν πίστει καὶ ἀληθείᾳ. ἐπεὶ οὖν ὅλον τὸ μυστήριον ὁ ἱερὸς ἀπόστολος ἐν τῇ ὑποθέσει ταύτῃ παρακελεύεται ἡμῖν ἐν Χριστῷ, οὑτωσὶ γράφων ἐν πνεύματι ἁγίῳ, λέγει, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. ἔστιν ἐν Χριστῷ ὁ πατὴρ τοῦ Χριστοῦ, καὶ τὸ ἅγιον πνεῦμα· ἐν τούτῳ παρακελευόμεθα φρονεῖν, μὴ ὑπερφρονήσωμεν παρ' ὃ παρελάβομεν· ἀεὶ γὰρ Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία ἐν πατρί· καὶ ἐν αὐτῷ φρονοῦμεν ἐν Χριστῷ Ἰησοῦ χωρούμενον τὸν πατέρα, ὡς οἶδε τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐρευνῶν τὰ βάθη τοῦ Θεοῦ, πῶς ὁ πατὴρ ἐν τῷ
D υἱῷ αὐτοῦ Χριστῷ λόγῳ, καὶ ὁ Χριστὸς ἐν τῷ πατρί, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων· τοῦτο λέγει ὁ ἱερὸς ἀνήρ, τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν Ἰησοῦν Χριστὸν ὡς προέφην, ἐν Θεῷ πατρὶ ὑπάρχων, τὸ, ἐν μορφῇ ὑπάρχειν τοῦ Θεοῦ τὸν υἱὸν τοῦ πατρὸς οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τοῦτο λέγει, ὅτι οὐ καθάπερ οἱ δι' ἀρετῆς, καὶ πόνων καὶ θλίψεων, καὶ ἀγώνων ἁρπάζουσι τὴν βασιλείαν τοῦ Θεοῦ· γέγραπται γάρ· ὅτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ οἱ βιασταὶ ἁρπάζουσιν αὐτήν,
E οὐχ οὕτως ὁ ὢν Χριστὸς Ἰησοῦς, οὐ πόνοις ἀρετῆς τελειωθεὶς, ἐκέρδανε τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ· φέγγος αὐτοῦ, ὡς φῶς ἔσται. καὶ μαρτυρεῖ αὐτὸς ὁ ἀληθῶς ἀεὶ ὑπάρχων ἐν τῷ πατρὶ, λέγων, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὅς ἐστι, δεσπότης τοῦ κόσμου, ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, καὶ τὸ ζωοποιὸν, καὶ κύριον πνεῦμα. ἀλλ' ἑαυτὸν ἐκένωσε· διὸ καὶ τὸ μυστήριον τὸ ἀνεκδιήγητον οὕτως ὑπ' αὐτοῦ καλεῖται τοῦ Θεοῦ ἡ καινὴ διαθήκη, τὸ ἑαυτὸν ἡμῖν δοῦναι ἐν τῷ μυστικῷ δείπνῳ.

A οὐ καθάπερ οἱ κατὰ νόμον τῆς τοῦ Ἀαρὼν ἱερατείας κρέα ἀλόγων ἐπὶ τὸ θυσιαστήριον τὸ πάλαι ἐπετίθουν. καὶ γράφει Μωϋσῆς, λέγων ὅτι κρέα ἅγια ἐπὶ τὸ θυσιαστήριον, καὶ ἔδεται ὁ λαός, καὶ πᾶς, ὅς τις ἅψεται ἐξ αὐτῶν ἀκάθαρτος, ἐξολοθρευθήσεται. νυνὶ δὲ οὐχ οὕτως· ἀλλ' αὐτὸς ὁ κύριος, καὶ Θεὸς Ἰσραήλ, ὁ σωτὴρ ἡμῶν λέγει· ὅτι ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Θεὸς ἄρα ὁ ἐνοικῶν ἐν ἡμῖν κατὰ τὴν διαθήκην, ἣν διέθετο πρὸς ἡμᾶς, λέγων· λάβετε τοῦτο, καὶ διαμερίσατε εἰς ἑαυτούς· ἡ καινὴ διαθήκη ἐστί. τοῦτο ποιεῖτε· αὕτη τοῦ Θεοῦ ἡ πρὸς ἡμᾶς κένωσις, ἵνα ἀξιωθῶμεν αὐτὸν χωρῆσαι. τοῦτο γὰρ λέγει ὁ ἀπόστολος τὸ φο- B βερὸν μυστήριον. ὅτι ἑαυτὸν ἐκένωσεν· οὐ λιπὼν τὸν πατέρα, ἐχωρήθη ἐν ἡμῖν· μὴ γένοιτο. ἀλλ' αὐτοῦ τοῦ Θεοῦ σοι παρέστησα φωνήν, λέγουσαν· ὅτι ἐγώ, καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, ὥς φησι, τῷ πιστεύοντι εἰς ἐμέ· ὁρᾶτε, πόσῃ ἀκριβείᾳ χρῆται ὁ μυσταγωγὸς τῆς ἀληθείας, τὸ σκεῦος τῆς ἐκλογῆς· μορφὴν δὲ δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, μετ' ὀλίγα, λέγων τὴν διήγησιν ταύτην, ὡς προεῖπον, τὴν κένωσιν ὁ ἀπόστολος, τὴν πρὸς ἡμᾶς, χώρησιν τοῦ μυστηρίου τῆς ζωῆς διὰ τῶν ἀχράντων, καὶ ἀφθάρτων αὐτοῦ, καὶ θείων χειρῶν, ἵνα δυνη- C θῶμεν οἱ πιστοὶ αὐτοῦ χωρῆσαι αὐτόν, καὶ γενέσθαι μονὴ τοῦ Θεοῦ, λαβόντες αὐτὸν ὅλον· καὶ τοῦτο ἦν, ὃ προδιεγράφετο πάλαι ὑπὸ Μωϋσέως, τὸ ἄμωμον, καὶ ἐνιαύσιον πρόβατον· ὅπως φάγωσιν αὐτό, σφάξαντες πᾶν τὸ πλήρωμα τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραήλ, ἡνίκα ἐπετέλουν τὸ φασέκ, τοῦτ' ἔστι, τὸ πάσχα· ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ, κεφαλὴν σὺν τοῖς ποσί, καὶ τοῖς ἐνδοθίοις μετὰ σπουδῆς παρεκελεύοντο. ἀλλ' ἐκεῖνοι οὐκ ἠδύναντο φαγεῖν κεφαλὴν σὺν τοῖς ποσί· πῶς γὰρ βρωθῇ κεφαλὴ προβάτου εἰς τὸ πάσχα D παρὰ Ἰουδαίοις, τοῦ νόμου παρακελεύοντος, ὅτι ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ; ἐκείνοις μὲν κώλυμα διὰ τὸ ἀπειθὲς αὐτῶν, καὶ σκληροκάρδιον· ὅτι οὔτε τοῦ ἀλόγου συνεχωρεῖτο ὅλου μεταλαβεῖν· ἀλλ' ὁ κενώσας αὐτὸν Χριστὸς Ἰησοῦς, ἔχων ἐν ἑαυτῷ τὴν κεφαλὴν τὸν πατέρα, κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός, ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, καὶ ὕψωσε ταπεινούς, ἵνα χωρηθῇ ἐν αὐτοῖς ὁ ὕψιστος, καὶ ἐνοικήσῃ ἐν ἡμῖν διὰ τὴν αὐτοῦ φιλανθρωπίαν, καὶ ἀγαθότητα, ἣν ἠγάπησεν ἡμᾶς. αὕτη ἡ κένωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. ὥστε οὖν ἡ κένωσις οὐ τρο- E πὴν αὐτοῦ σημαίνει, μὴ γένοιτο, ἀλλ' ἡμῖν ἀνακαινισμὸν διὰ τῆς κενώσεως αὐτοῦ, ἧς ἐχαρίσατο ἡμῖν ὁ κενώσας ἑαυτόν, ἐκχεόμενον τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πᾶσαν σάρκα, μένει πλῆρες· καὶ ἐκχυθὲν τὸ ἅγιον, καὶ ζωοποιὸν αἷμα ἐκ βάθους τῆς θείας πλευρᾶς, μένει πλήρης ὁ κενώσας ἑαυτὸν Ἰησοῦς Χριστός, καὶ ἐκχέας τὸ ἄφθαρτον, καὶ ζῶν, ὃς ζωῆς χορηγὸν αἷμα αὐτοῦ εἰς ἡμᾶς,

non sicut illi olim secundum legem sacerdotij Aaronis carnes animantium ratione carentium super altare imponebant; *Leuit.7. sec.LXX.* & scribit Moyses inquiens: Carnes sanctæ erunt super altare, & comedet populus; & omnis quicumque tetigerit ex eis immundus, peribit. nunc autem non sic; *Ioan.6.* sed ipse Dominus & Deus Israel saluator noster ait: Qui manducat me, & ipse viuet propter me. Deus igitur qui habitat in nobis secundum testamentum quod disposuit nobiscum, dicens: Accipite & diuidite inter *Luc.22.* vos. hoc nouum testamentum est, hoc facite, &c. Hæc est exinanitio Dei facta ad vsum nostrum, vt possimus capere eum. Hoc enim mysterium pertimescendum dicit sanctus Apostolus, quòd se ipsum exinaniuit. non relicto Patre in nobis habitauit, apage, immo ipsius verba afferam cùm dicit: Ego & Pater veniemus ad eum, & man- *Ioan.14.* sionem apud eum faciemus, credentem in me; & sicut ipse ait. Videte quanta diligentia vtitur doctor veritatis, vas electionis: Exinaniuit semetipsum, formam *Philip.2.* serui accipiens, in similitudinem hominum factus. Exinaniri vocat Apostolus, vt antè dixi, capi à nobis mysterium vitæ per manus eius incontaminatas & incorruptibiles, & diuinas, vt possimus qui sumus fideles eius, capere eum, & fieri mansio eius, accipientes eum totum. Atque hoc qui- *Exod.12.* dem erat quod olim à Moyse prædelineatum fuit in agno sine macula, & anniculo, quem mactatum vniuersa Synagoga filiorum Israel comedebat, quando pascha celebrabant. Iubebantur agni carnes assas igni, & caput cum pedibus & intestinis festinanter comedere. Verum illi non poterant caput cum pedibus edere. quomodo enim caput agni cum pedibus in pascha edi poterat, cum lex Iudæis iuberet non frangere os ex *Ibidem.* eo? Illis quidem prohibebatur hoc propter crudelitatem & duritiam cordis; siquidem non permittebatur illis vel totum animal comedere. Verumtamen qui se exinaniuit Christus Iesus habens in seipso caput Patrem (caput enim Christi est Deus) fecit *1.Cor.11.* potentiam in brachio suo, & exaltauit hu- *Luc.1.* miles; vt ipsi capiant altissimum, & habitet in nobis propter suam in homines charitatem & bonitatem, qua dilexit nos. Hæc est exinanitio dexteræ excelsi. Itaque exinanitio non mutationem ipsius significat; absit hoc; sed per exinanitionem eius quam nobis donauit qui seipsum exinaniuit, Spiritus sanctus super omnem carnem se effundens, manet plenus: & sanguis sanctus ac viuificus effusus ex profundo latere diuino, manet item plenus; qui se ipsum exinaniuit Iesus Christus, qui incorruptibilem & viuum ac vitæ datorem sanguinem suum in nos effudit.

A Pergamus deinceps ad ea quæ sequuntur. Sicut prius scriptum est: Formam serui accipiens, in similitudinem hominum factus. sicut sæpeumero dixi, forma serui non est seruus. Si enim velit Dominus induere seruum pellem ouis, vel facere vt discumbat in primo accubitu, & non velit donare eum libertate ne seruiat; non quia pellem ouis gestet, ouem accepit: neque quia in primo accubitu discubuit, idcirco libertatem accepit, quia in primo loco sedit. Iesus Christus igitur Dominus & Deus Apostolorum, cum accepisset formam serui, cœna mystica facta, surgit à cœna Deus Apostolorum Iesus, & ponit vestimenta sua, & cum accepisset linteum, præcinxit se. hæc est forma serui: & habitu inuentus vt homo. illic inuentus est seruus ab iis qui eum non quærebant. non enim seruum secuti erant discipuli relictis omnibus (magna namque stultitia fuisset, homines liberos reliquisse omnia sua, & secutos esse seruum non habentem in manibus argentum vel aurum) sed illum ipsum filium Dei Iesum, qui voluit lioteo se præcingere, & mittere aquam in peluim, & lauare pedes seruorum, qui natura Dominus, & non natura seruus erat; qui habitum serui acceperat, (23) in similitudinem hominum factus. Hoc dicit, quoniam non est vnus solus seruus in mundo qui pedes Domini lauat, sed multi. Ne igitur putaretur accepisse seruum aliquem, subiungit multos, inquiens: In similitudinem hominum factus. Et postquam lauit pedes Apostolorum, posuit linteum, formam & habitum serui; & accipit vestimenta sua, & (24) erudit eos mysticè, inquiens: Scitis quid fecerim vobis? Vos vocatis me magister & Domine: laui pedes vestros, & vos debetis alter alterius lauare pedes. Exemplum enim dedi vobis, vt quod ego feci vobis, & vos faciatis. Quomodo igitur quod est exemplum, vocetur seruus, qui per se fit? formam enim serui & habitum ostendit. & hoc dicit: Dedi vobis. Si autem exemplum quod dedit, est seruus per se subsistens, requirat igitur Samosateosis ab Apostolis, vt acceperint formam quam dicit per se subsistentem. Deinde subiungit Apostolus, inquiens: Humiliauit semetipsum. Vides quid dicit, quòd humiliauit semetipsum? at seruus non humiliat semetipsum; sed potius dominatio humiliat, quæ postulat vt seruiat: sicut Pharao populum Israël seruitute oppressit. hic dicit: Humiliauit semetipsum. Non est igitur datus locus blasphemis reiiciendi hoc quod dicit Scriptura. occludit enim & obstruit os is qui humiliauit seipsum, factus obediens vsque ad mortem, mortem autem crucis. Se namque vtpote Deus flexit; & exaudiuit preces supplicum suorum; & inclinauit cœlos,

Philipp. — *Ioan. 13.* — *Matt. 19.* — *Ioan. 13.* — *Philip. 2.* — *Exod. 5.* — *Philipp. 2.*

A λοιπὸν τὰ ἀκόλουθα. ὡς προεγράφη· μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, ὡς πλειστάκις εἶπον, μορφὴ δούλου, οὐκ ἔστι δοῦλος· εἰ γὰρ δοῦλον θελήσῃ ὁ κύριος περιβαλεῖν δορὰν προβάτου, ἢ ἀνακλῖναι αὐτὸν ἐν τῇ πρωτοκλισίᾳ, καὶ μὴ θέλει αὐτὸν ἀπαλλάξαι τῆς δουλείας αὐτοῦ, οὐ διὰ τὸ φορέσαι τὸ κώδιον, πρόβατον ἔλαβεν· οὔτε διὰ τὴν πρωτοκλισίαν ἀνακλιθεὶς, ἐν τούτῳ ἔλαβεν ἐλευθερίαν, διὰ τὸ εἰς τόπον αὐτὸν ἀνακλιθῆναι πρῶτον. μορφὴν οὖν δούλου λαβὼν ὁ Χριστὸς Ἰησοῦς, κύριος ὤν, καὶ Θεὸς τῶν ἀποστόλων, δείπνου γενομένου τοῦ μυστικοῦ, ἐγείρεται ἐκ τοῦ δείπνου ὁ Θεὸς τῶν B ἀποστόλων Ἰησοῦς· καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ· καὶ λαβὼν λέντιον διεζώσατο· αὕτη ἐστὶν ἡ μορφὴ τοῦ δούλου· καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἐκεῖ εὑρέθη τοῖς μὴ ζητοῦσιν αὐτὸν, δοῦλος· οὐ γὰρ δούλῳ ἠκολούθησαν οἱ μαθηταὶ, καταλιπόντες πάντα (πολλὴ γὰρ ἄνοια, ἀνθρώπους ἐλευθέρους ἐᾶσαι τὰ ἴδια πάντα, καὶ ἀκολουθῆσαι δούλῳ, μὴ ἔχοντι ἐν χερσὶν ἀργύριον, ἢ χρυσίον,) ἀλλ' ἐκείνῳ αὐτῷ ἠκολούθησαν τῷ υἱῷ C τοῦ Θεοῦ Ἰησοῦ, τῷ καταδεξαμένῳ διαζώσασθαι λέντιον, καὶ βαλεῖν ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ πλύνειν τοὺς πόδας τῶν δούλων ὁ φύσει κύριος, καὶ οὐχ ὁ φύσει δοῦλος, ὁ λαβὼν τὸ σχῆμα τοῦ δούλου, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· τοῦτο λέγει ὅτι οὐκ ἔστιν εἷς μόνος δοῦλος ἐν τῷ κόσμῳ, ὃς νίπτει πόδας δεσπότου, ἀλλὰ πολλοί· ἵνα οὖν μὴ νομισθῇ, ὅτι δοῦλον ἔλαβέ τινα, ἐπάγει πολλούς· ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. καὶ μετὰ τὸ νίψαι τοὺς πόδας τῶν ἀποστόλων, τίθησι τὸ λέντιον, τὴν μορφὴν, καὶ τὸ σχῆμα τοῦ δούλου· καὶ λαμβάνει τὰ ἱμάτια, καὶ μυσταγωγεῖ λέγων· γινώσκετε, τί πεποίηκα ὑμῖν; ὑμεῖς φωνεῖτέ με D ὁ κύριος, καὶ ὁ διδάσκαλος, ἔνιψα ὑμῶν τοὺς πόδας· καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων τοὺς πόδας νίπτειν· ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν ἵνα ὃ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. πῶς οὖν τὸ ὑπόδειγμα κληθῇ ἐνυπόστατος δοῦλος; μορφὴν γὰρ δούλου, καὶ σχῆμα ὑπέδειξε· καὶ τοῦτο λέγει ὅτι δέδωκα ὑμῖν· εἰ δὲ τὸ ὑπόδειγμα ἐνυπόστατος δοῦλος, ἄρα λοιπὸν τοὺς ἀποστόλους ἀπαιτείτω ὁ Σαμοσατεὺς, λαβόντας τὴν μορφὴν, ἣν λέγει ἐνυπόστατον. ἔπειτα ἐπάγει ὁ ἀπόστολος, λέ- E γων· ἐταπείνωσεν ἑαυτόν. ὁρᾷς, τί λέγει, ὅτι ἑαυτὸν ἐταπείνωσεν; ὁ δοῦλος ἑαυτὸν οὐ ταπεινοῖ, ἀλλ' ἡ δεσποτεία τοῦ δούλου, ἀπαιτοῦσα αὐτὸν δουλεύειν, ὡς ὁ Φαραὼ τὸν Ἰσραὴλ κατεδούλωσεν. ἐνταῦθα λέγει ὅτι ἑαυτὸν ἐταπείνωσεν. οὐκ ἐδόθη οὖν χώρα τοῖς βλασφήμοις ἐν τούτῳ ἀθετῆσαι τὸ ῥητόν. ἐμφράττει δὲ αὐτοὺς ὁ ταπεινώσας ἑαυτὸν, μέχρι θανάτου ὑπήκοος γενόμενος. ἑαυτὸν γὰρ ὁ Θεὸς ἐδυσώπησε, καὶ ἐπήκουσε τῆς δεήσεως τῶν ἱκετῶν αὐτοῦ· καὶ ἔκλινεν οὐρανοὺς,

A καὶ κατέβη, ἐξελέσθαι ἡμᾶς, ἐλεύθερος ὤν, ὡς Θεὸς καὶ κύριος τῆς δόξης, Ἰησοῦς Χριστός. ὅταν οὖν λέγῃ· ὑπήκοος γενόμενος, ὡς προέφην, ὅτι ὑπήκουσε τῶν ἁγίων αὐτοῦ, καὶ μέχρι θανάτου ἦλθεν, ἵνα σώσῃ ἡμᾶς ἐκ θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε. ναὶ ὁ Θεὸς γὰρ λέγει τῷ Θεῷ μου Ἰησοῦ Χριστῷ διὰ Δαβίδ· ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. τοῦτό ἐστι, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ ἐπάγει· ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ κάμψῃ πᾶν γόνυ· καὶ τὰ ἑξῆς· B ἐδόξασεν αὐτὸν ὁ πατήρ· ἀλλὰ καὶ ὁ υἱὸς ἐδόξασε τὸν πατέρα, λέγων· ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· ὡσαύτως καὶ ὁ πατὴρ ἐφανέρωσεν ἡμῖν τὸν ὄντα σὺν αὐτῷ ἀεὶ Χριστόν, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἀκούετε, πῶς λέγει τὸ μυστήριον ὁ ἱερὸς ἀπόστολος Παῦλος. τὸ γὰρ σωματικῶς κατοικεῖν τὸν πατέρα, καὶ τὸ πνεῦμα ἐν τῷ Χριστῷ, ἐπεὶ σὰρξ γέγονεν ὁ λόγος ὁ Χριστός. οὐ παρὰ τὸ γενέσθαι οὖν σῶμα τὸν Χριστόν, οὐκ ἀπέστη ὁ πατὴρ τοῦ χωρισθῆναι τῷ γενομένῳ σαρκί· σὰρξ ὁ λόγος γέγονε· καὶ δείκνυσιν C ὅτι ἄτρεπτος ὁ Χριστὸς γενόμενος σάρξ, ἀεὶ συνὼν τῷ γεννήσαντι, ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. εἴ τις οὖν οὐχ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, οὗτός ἐστιν ὁ ἀντίχριστος. οὐκ εἰς δοῦλον ἐνῴκησεν, ἀλλ' ἐν τῇ ἁγίᾳ αὐτοῦ σκηνῇ τῇ ἀχειροποιήτῳ, ἥτις ἐστὶν ἡ θεοτόκος Μαρία· ἐκεῖ ἐν αὐτῇ ὁ βασιλεὺς ἡμῶν, βασιλεὺς τῆς δόξης, γέγονεν ἀρχιερεύς· καὶ μένει εἰς τὸ διηνεκές, ἅπαξ εἰσελθὼν εἰς τὰ ἅγια, καὶ αἰωνίαν λύτρωσιν εὑράμενος. D προῆλθεν ἐξ αὐτῆς ὁ λόγος, γενόμενος ἀρχιερεύς, οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. γέγονε σὰρξ ὁ λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. ταύτης ἀνάξιοι τῆς θεωρίας οἱ δοῦλοι τῶν καταχρημνισθέντων δαιμόνων, οἱ λέγοντες, τὸν κύριον τῆς δόξης δοῦλον, ἢ ἕνα τῶν κατ' ἐξαίρετον δεδικαιωμένων· οὐ γὰρ οὕτως ἡμᾶς διδάσκει ἡ γραφή, ἵνα μορφῇ δούλου κάμπτωμεν γόνυ, καὶ ὀμόσωμεν ἐν αὐτῷ· οὐδὲ γὰρ ἐδιδάχθημεν, ἔχειν Θεὸν ἕτερον, πλὴν τοῦ Θεοῦ ἡμῶν. E οὐχ ἅγιος ἄνθρωπος, οὔτε δοῦλος ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν. θεοὶ δέ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ὑποκάτωθεν παντὸς τοῦ οὐρανοῦ καὶ οἱ προσκυνοῦντες αὐτούς.

Πρότασις η'. τοῦ Σαμοσατέως.

Εὑρίσκομεν ἐν τοῖς εὐαγγελίοις, ὅτι ἐν τῇ ἑορτῇ, δωδεκαετοῦς ὄντος τοῦ Ἰησοῦ, ἀνέβη Ἰωσήφ, καὶ Μαρία ἡ μήτηρ τοῦ Ἰησοῦ, ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. καὶ ὡς ἐπλήρωσαν τὰς ἡμέρας τῆς ἑορ-

& descendit vt liberaret nos, qui erat liber,
vtpote Deus & Dominus gloriæ, Iesus Chri- *Psal. 17.*
stus. Cum igitur dicit, Factus obediens, quia,
vt dixi, exaudiuit sanctos suos, & vsque ad
mortem venit, vt seruaret nos à morte, ve-
nit inquam ad mortem, mortem autem cru-
cis: propter quod Deus exaltauit illum. ita
sanè, Deus enim ait Deo meo Iesu Christo
per Dauid: Exaltare super cœlos Deus; & *Psal. 56. & 107.*
super omnem terram gloria tua. Hoc est
quod ait Apostolus: Propter quod Deus ex-
altauit illum, & donauit illi nomen quod est *Philip. 2.*
super omne nomen. & subiungit: Vt in no-
mine eius omne genu flectatur; & quæ se-
quuntur. Glorificauit eum & Pater: sed Fi-
lius Patrem glorificauit, inquiens: Ego te *Ioan. 17.*
glorificaui super terram; manifestaui nomen
tuum hominibus. Similiter & Pater manife-
stauit nobis Christum, qui cum eo erat sem-
per, in quo habitat plenitudo diuinitatis cor-
poraliter. Audite quomodo dicit sanctus *Coloss. 2.*
Apostolus Paulus mysterium. Habitare
enim ait corporaliter Patrem & Spiritum
sanctum in Christo, quia Verbum Christus
caro factum est. Non igitur quia Christus fa-
ctus est corpus, discessit Pater, ita vt non esset *Ioan 1.*
in eo qui factus est caro: Verbum caro fa-
ctum est. Et demonstrat quod Christus est
immutabilis factus caro, semper cum eo qui
genuit coæternus, in quo habitat omnis ple-
nitudo diuinitatis corporaliter. Si quis igitur *Coloss. 2.*
non confitetur Christum in carne venisse, hic *1 Ioan. 2.*
est antichristus. Non in seruo inhabitauit,
sed in sancto suo tabernaculo non manufa-
cto, quod est Deipara Maria. Illic enim in ip- *Hebr. 7. & 9.*
sa rex noster, rex gloriæ factus est pontifex,
& manet in perpetuum, semel ingressus in
sancta, & æterna redemptione inuenta. Ex
ipsa exiuit Verbum factum pontifex non se-
cundum legem carnalis mandati, sed secun-
dum virtutem vitæ indissolubilis. Factum est *Ioan. 1.*
Verbum caro, & habitauit in nobis, & vidi-
mus gloriam eius, gloriam quasi vnigeniti à
Patre, plenum gratiæ & veritatis. Hanc glo-
riam indigni sunt vt videant serui dæmonum,
qui se præcipitauerunt; qui dicunt Domi-
num gloriæ esse seruum, aut vnum eorum
qui præcipuè & eximiè iustificati sunt. non
enim sic nos docet Scriptura, vt formæ serui
flectamus genua, & iuremus in ipso. non
enim edocti sumus habere Deum alium præ-
ter Deum nostrum. Non homo sanctus, ne-
que seruus fecit cœlum & terram: dij autem
qui non fecerunt cœlum & terram, pereant
sub omni cœlo, & qui adorant eos.

QVÆSTIO VIII.

Reperimus in Euangeliis, quod in festo, *Luc. 2.*
cum esset Iesus duodecim annorum, ascendit
Ioseph & Maria mater Iesu à Galilæa in Hie-
rusalem: consummatisque diebus cùm redi-

rent, remansit puer Iesus in Hierusalem, & non cognouerunt parentes eius. existimantes autem illum esse in comitatu, venerunt iter diei, & requirebant eum inter cognatos & notos. & non inuenientes eum, reuersi sunt Hierusalem, & inuenerunt illum in templo sedentem. Deinde subiungit Euangelista, inquiens: Et dixit mater eius ad illum: Quid fecisti nobis sic? ecce pater tuus & ego dolentes quærebamus te. (*Ibidem.*) Si quærebatur à parentibus inter notos & in comitatu, explica hoc nobis, quomodo eum opinaris duodecim annos natum & quæsitum, propter quem parentes dolebant quousque inuenerunt; si hic est non factus, & ex æternitate cum Patre? Scio enim non posse philosophicè concludi, quomodo* forma serui sit, quam conclusisti, cum ais, quod ciuitas non fert leges, sicut rex; neque domus cum eo qui eam ædificauit, operatur. Hîc duodecimum annum agentem neque sine hypostasi dicis esse, neque potes: quandoquidem res & videtur & ambulat, & quæritur, & inuenta est.

*id est, quomodo forma serui sit, & non seruus.

RESPONSIO.

Num de re quæsita contendit Samosatensis, (25) an de verbo? & si vnum ex duobus quæris, quid misces quæ non possunt misceri, confundens notionem rei, de qua interrogas, & alia in aliis admiscens? Sed siue Samosatensis de verbo interrogas, siue de re; posuisti quæstionem vt respondeam: respondeo Deo duce. Scriptum est: (*Psal.76.*) In die tribulationis meæ Deum exquisiui manibus meis, nocte coram eo, & non sum deceptus. Deipara quidem reuersa est vt quæreret Dominum suum, & Deum factum filium suum. ipsa quidem pedibus circuibat quærens non absentem, sicut ipse Dominus docet, cum ait: (*Luc.2.*) (26) In iis quæ Patris mei sunt, oportet me esse. (*Ioan.20.*) Thomas autem qui dicitur Didymus, manibus suis exquisiuit eum, & non est deceptus, carnem Verbum attrectans, profunda Dei in profundo intra diuinum latus manibus Deum quærens. Tu vero Samosatensis deceptus es cum audisti formam serui, & seruum intellexisti hominem per se existentem. Quicumque igitur ipsum Dominum quærunt, cum inueniunt, eum inuocant: tu vero quia audisti formam serui, formam per se existentem quæris: circuis inuia & præcipitia, seruum propter formam serui quærens. Rursus prædictum fuit per Prophetam, quærendum esse Dominum cum clamore. ait enim mater Domini mei Deo meo: (*Luc.2.*) Dolebamus quærentes te. (*Osee 12.*) Scriptum est enim in Osee Propheta: In Spiritu sancto clamauerunt, inquit, & rogauerunt me: in domo mea inuenerunt me; & illic locutus sum eis. Dominus autem ac Deus omnipotens erit memoriale ipso-

A τῆς, ἀπῆλθον ὑποστρέψαντες εἰς τὴν Γαλιλαίαν Ἰωσὴφ καὶ Μαρία, Ἰησοῦς δὲ ἀπέμεινεν ἐν Ἱερουσαλήμ· πορευομένων δὲ αὐτῶν, ἔδοξαν αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι. ὡς δὲ ἐζήτησαν αὐτόν, καὶ οὐχ εὗρον ἐν τοῖς γνωρίμοις, ὑπέστρεψαν πάλιν εἰς Ἱερουσαλήμ· εὗρον δὲ αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον. ἔπειτα ἐπάγει, λέγων ὁ εὐαγγελιστής· ὅτι εἶπεν αὐτῷ ἡ μήτηρ αὐτοῦ· τί ἐποίησας ἡμῖν οὕτως, ὅτι ὀδυνώμεθα ἐγώ τε καὶ ὁ πατήρ σου ζητοῦντές σε; ἆρα ὁ ζητούμενος ὑπὸ τῶν γονέων ἐν τοῖς γνωρίμοις, καὶ ἐν τῇ συνοδίᾳ, τοῦτο ἡμῖν φράσον, B πῶς αὐτὸν δοξάζεις τὸν δωδεκαετῆ, καὶ ζητούμενον, δι' ὃν οἱ γονεῖς ὠδυνῶντο, ἕως εὗρον; εἰ ἔστιν ἄναρχος, καὶ συναΐδιος τοῦ πατρός· ἐν τούτῳ, οἶδα γάρ, ἀδύνατόν ἐστιν ἐκ τῆς ἔξω σοφίας συλλογισθῆναι, ὃν τρόπον ἡ μορφὴ τοῦ δούλου, ἣν συνελογίσω, λέγων· ὅτι πόλις οὐ νομοθετεῖ, ὡς βασιλεύς· οὔτε οἰκία μετὰ τοῦ κτίσαντος. ἐνταῦθα τὸν δωδεκαετῆ, οὔτε ἀνυπόστατον λέγεις, οὔτε ἀνέχῃ· ἐπειδὴ τὸ πρᾶγμα καὶ ὁρᾶται, καὶ βαδίζει, καὶ ζητεῖται, καὶ εὑρέθη.

Ἀπόκρισις η΄. τοῦ Πάπα Διονυσίου.

C Περὶ ζητουμένου πράγματος ζυγομαχεῖ ἆρα ὁ Σαμοσατεύς, ἢ λέξιν; καὶ εἰ ταῦτα ζητεῖς, ἓν τῶν δύο, τί μίσγεις τὰ ἄμικτα, ὡσεί φησι συγχέων τὴν διάνοιαν τοῦ ἐρωτωμένου, καὶ περιμίσγων ἄλλα ἐν ἄλλοις; πλὴν εἴτε περὶ λέξιν, εἴτε περὶ πράγματος ἐρωτᾷς· προέτεινας ἡμῖν ἵνα εἴποιμι· λέγω σὺν Θεῷ. γέγραπται, ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. ἡ μὲν θεοτόκος ὑπέστρεψε τὸν κύριον αὐτῆς καὶ Θεὸν ζητοῦσα, τὸν γενόμενον αὐτῆς υἱόν· D αὕτη μὲν ποσὶ περιῄει ἐπιζητοῦσα οὐκ ἀπολιμπανόμενον, ὡς διδάσκει αὐτὸς ὁ κύριος, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι. ὁ δὲ Θωμᾶς ὁ καλούμενος δίδυμος ταῖς χερσὶν αὐτοῦ, ἐναντίον αὐτοῦ ἐξεζήτησεν αὐτόν, καὶ οὐκ ἠπατήθη, σάρκα τοῦ λόγου ψηλαφῶν, τὰ βάθη τοῦ Θεοῦ, εἰς τὸ βάθος ἔσω τῆς θείας πλευρᾶς ταῖς χερσὶν αὐτοῦ ἐκζητῶν τὸν Θεόν. σὺ δὲ ὁ Σαμοσατεὺς ἠπατήθης ἀκούων μορφὴν δούλου, καὶ δοῦλον, ἐνόησας ἄνθρωπον ἐνυπόστατον. ὅσοι οὖν ζητοῦσιν αὐτὸν τὸν κύριον, ἡνίκα εὕρωσιν αὐτόν, ἐπικαλοῦνται· E σὺ δὲ ἐνυπόστατον ζητεῖς μορφὴν δούλου ἀκούσας, περιάγεις ἀνοδίας, καὶ κρημνούς, δοῦλον τῇ μορφῇ ζητῶν. πάλιν προεγράφη διὰ τοῦ προφήτου, ζητηθῆναι τὸν κύριον μετὰ κλαυθμοῦ· λέγει γὰρ ἡ μήτηρ τοῦ Θεοῦ μου τῷ Θεῷ μου, ὅτι ὀδυνώμεθα ζητοῦντές σε. γέγραπται ἐν τῷ προφήτῃ Ὠσηέ, λέγων· ἐν πνεύματι ἁγίῳ ἔκλαυσαν, φησί, καὶ ἐδεήθησάν μου, ἐν τῷ οἴκῳ μου εὕροσάν με· καὶ ἐκεῖ ἐλάλησα πρὸς αὐτούς. ὁ δὲ κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐ-

τῶν. ὁρᾷς ποῦ εὑρέθη ὁ ζητούμενος μετὰ κλαυθμοῦ; ἐκεῖ ἐλάλησεν αὐτοῖς κύριος ὁ Θεὸς λέγων· τί ὅτι ἐζητεῖτέ με; οὐκ οἴδατε, φησὶν, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; ἐν τῷ οἴκῳ μου εὕροσάν με, λέγει διὰ τοῦ προφήτου· ἐν δὲ εὐαγγελίοις ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, αὐτοῦ ἐστιν. εἴτε οὖν περὶ λέξεις ἀμφισβητεῖ ὁ Σαμοσατεὺς, μὴ δεῖν ζητεῖσθαι τὸν κύριον, ἐπεὶ ἄνθρωπός ἐστιν, ὡς αὐτὸς λέγει· ἰδοὺ ἡ γραφὴ δείκνυσιν αὐτῷ ὅτι Θεὸς ὁ ζητηθεὶς καὶ ἐκζητηθεὶς, καὶ εὑρέθη παρὰ τῶν ζητούντων· ἀπὸ δὲ τῶν τοῦ Σαμοσατέως ἀπελύεσθη· ἡμεῖς δὲ B ζητοῦμεν, ἵνα ἀξιωθῶμεν καὶ ἡμεῖς, ὡς ὁ Φίλιππος εἶπε τῷ Ναθαναὴλ, ὅτι ὃν ἔγραψε Μωϋσῆς καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν ἐκ Ναζαρέτ.

Πρότασις θ΄. τοῦ Σαμοσατέως.

Γέγραπται ἐν τῷ Ἡσαΐᾳ φησὶ, λέγων· ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, οὐ πεινάσει, οὔτε κοπιάσει· οὔτε ἐστὶν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. γέγραπται δὲ περὶ τοῦ Ἰησοῦ, ὅτι καὶ ἐπείνασε καὶ ἐκοπίασεν· ὁ δὲ κύριος αἰώνιος, ὡς προεῖπον, οὐ πεινάσει, οὐδὲ κοπιάσει.

Ἀπόκρισις θ΄. τοῦ Πάπα Διονυσίου.

Ὁ ἀπόστολος γράφει· ὅτι οὐκ ἐγώ φησιν ἐκοπίασα· ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. ἡ δὲ χάρις τοῦ Θεοῦ οὐκ ἔστιν ἀνυπόστατος· μὴ γένοιτο· ἐπεὶ τὸ ἀνυπόστατον * ὢν, οὔτε κοπιᾷ, οὔτε κόπου αἰσθάνεται, κἂν μυριάκις μηχανήσεταί τις εὑρεῖν ἀνυπόστατον κινούμενον, κοπιῶν οὐ δύναται δεῖξαι· ἀφ' ἑαυτῶν οὐ κινοῦνται τὰ ἄψυχα, εἴτε αὐλὸς, εἴτε κιθάρα, οὔτε κόπου αἰσθάνεται. ὁ δὲ ἱερὸς Παῦλος σκεῦος ὢν ἐκλογῆς γράφει· ὅτι περισσότερον πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ· αὖθις ἐπάγει· ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. D γράφει δὲ καὶ εἷς τῶν σοφῶν, δεόμενος τοῦ Θεοῦ ἀποστελῶσαι αὐτῷ τὴν σοφίαν ἀπὸ θρόνων ἁγίων, καὶ ἀπὸ ὕψους δόξης, ὅπως συμπαροῦσα αὐτῷ συγκοπιάσῃ· περὶ δὲ τῆς χάριτος τοῦ Θεοῦ, ἥτις ἐκοπίασε σὺν τῷ Παύλῳ τῷ ἀποστόλῳ, ὁ κύριός ἐστι πνεῦμα τὸ ἅγιον· περὶ δὲ τοῦ πεινάσαι τὸν Θεὸν, ἢ μὴ πεινάσαι, ἢ φαγεῖν ἢ μὴ φαγεῖν, τὸν τρόπον οὐδεὶς δύναται φράσαι. οἶδα δὲ ὅτι γέγραπται· ὅτι εἶπεν ὁ Θεὸς τῶν θεῶν, ἐὰν πεινάσω οὐ μή σοι εἴπω. εὑρίσκομεν δὲ ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς Ἰησοῦς ὁ Χριστός. ὅτι πεινάσας, E οὐδενὶ εἶπεν ὅτι πεινῶ· ἀλλὰ προσελθόντες οἱ ἄγγελοι μετὰ τὸν πειρασμὸν, διηκόνουν αὐτῷ. γέγραπται δὲ, μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; ὥσπερ φησὶ λέγει ὁ Θεός· ἀλλ' οὐκ εἶπεν ὅτι οὐκ ἔφαγεν, ἀψευδὴς γὰρ ὁ Θεός· ἀλήθεια γάρ. παρέθηκεν Ἀβραὰμ τῷ Θεῷ τὸ μοσχάριον ὃ ἐποίησε, καὶ τοὺς ἀζύμους οὓς ἔπεμψε Σάρρα, καὶ ἔφαγεν ὁ Θεὸς καὶ οὐκ ἀπέκρυψεν αὐτὸν, ὅτι ἐπανελεύσομαι πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. ἀκούετε Θεοῦ,

A rum. Vides vbi inuentus est qui quærebatur cum clamore? Illic locutus est eis Dominus Deus, dicens: Quærebatis me; nesciebatis *Luc. 2.* quòd in iis quæ Patris mei sunt, oportet me esse? In domo mea repererunt me; ait per Prophetam, in Euangelio autem dicit: In iis quæ Patris mei sunt; oportet me esse. omnia enim quæ Patris sunt, ipsius sunt. Siue igitur Samosatensis de verbis contendit non oportere quærere Dominum, quia homo est, sicut ipse dicit; ecce Scriptura demonstrat ei quod Deus est, qui quæsitus & exquisitus est, & inuentus ab iis qui eum quærebant: à Samosatense autem & ab iis qui eum sequuntur, discessit. Nos autem quærimus, vt habeamur etiam nos digni qui eum inueniamus, sicut Philippus dixit Nathanaeli: Quem scripsit Moyses & Prophetæ, inuenimus Iesum à *Ioan 1.* Nazareth.

QVÆSTIO IX.

Scriptum est in Esaia: Deus magnus æternus non esuriet, neque fatigabitur, nec est *Esai. 40.* inuentio prudentiæ eius. scriptum verò est de Iesu quod esuriuit & fatigatus est, siue laborauit: Deus autem æternus, vt prius dixi, *Math. 4.* *Ioan. 4.*
C non esuriet neque laborabit.

RESPONSIO.

Scribit Apostolus; Non ego laboraui, sed gratia Dei mecum. Gratia vero Dei non est *1. Cor. 15.* ἀνυπόστατος, id est, quæ non subsistat, apage: quoniam quod non habet hypostasim, neque laborat, neque laborem sentit. etsi millies quis operam det vt reperiat aliquid non subsistens, siue non habens hypostasim, quòd moueatur & laboret, non poterit ostendere. inanimata è se ac nutu suo non mouentur, siue tibia sit, siue cithara, neque laborem sentiunt. Sanctus vero Paulus vas electionis
D scribit: Plus omnibus laboraui. & subiungit: *Ibid.* Non ego, sed gratia Dei mecum. Scribit etiam vnus ex sapientibus, deprecans Deum *Sap. 9.* vt mittatur sibi sapientia à sanctis sedibus, & ab excelso gloriæ, vt secum sit, & secum laboret. Gratia autem quæ cum Apostolo Paulo laborauit, Dominus Spiritus sanctus est. Quomodo autem Deus esuriat aut non esuriat, comedat aut non comedat, nemo potest exprimere. Scio autem scriptum esse, quòd dixit Deus deorum: Si esuriero, non *Psal. 49.* dicam tibi. reperimus autem eumdem esse
E Deum Iesum Christum, qui cum esurisset, non dixit, Esurio; sed accedentes Angeli post *Math. 4.* tentationem, ministrabant ei. Scriptum au- *Psal. 49.* tem est: Numquid carnes taurorum manducabo, aut sanguinem hircorum potabo? Sic inquit Deus. at non dixit: Non manducaui, Deus enim mentiri non potest. est enim veritas. Apposuit Abraam Deo vitulum quem *Gen. 18.* fecit, & azymos quos Sarra coxerat; & comedit (27) Deus: & non celauit eum quod facturus erat. Reuertar, inquit, ad te in horas, & habebit filiũ Sarra vxor tua. Audite Deũ,

Reuertar, inquit, ad te in horas. Annon liquet eumdem esse qui dicit discipulis: Vado
Ioan.14. & venio ad vos, & assumam vos mecum? Hic
Psal.49. est Deus qui dixit: Si esuriero, non dicam tibi. idem est, & non est mutatus factus, caro, qui est Verbum Deus; & esuriuit volens, & non dixit, Esurio: sed & famem pauperum & nuditatem & hospitalitatem ad se refert, cum
Matth.25. ait: Quamdiu fecistis vni de his fratribus meis minimis, mihi fecistis. Ceterum scriptum est de hominibus, quòd non esurient neque laborabunt, sicut ait Esaias. Qui expectant
Esai.40. Deum, mutabunt vires; ambulabunt, & non esurient; current, & non laborabunt. Tempus est vt dicat Samosatensis, quod Apostolus non expectauit Deum, quia scribit: In
2.Cor.11. fame & siti Vides quemadmodum hic Apostolus nec aqua sitim explebat? Qui autem expectant Deum, non esurient, inquit, ambulantes, neque laborabunt currentes. Quare igitur, inquit, non sunt hæc in Apostolo
Ibidem. facta? quin potius sicut scribit, ter naufragium fecit? Hoc (28) perfidiam tuam conuincit, quod Christus non erat homo sanctus,
Coloss.4. sed Deus sanctus. Paulo enim cibum homi-
Ad Philem. nes præbuerunt, ex quibus est Onesimus studiosus in ministrando Apostolo. Nihil horum in Christo reperimus: sed reperimus quæcumque in veteri scriptura scripta sunt. Deus ipse reuersus est ad nos, qui reuersus est ad Abraam in horas: qui pransus est apud
Genes.18. Abraam, cum venit ad nos, esuriuit, qui dixit: Si esuriero, non dicam tibi. Verbum caro
Psal.49. factum esuriuit, qui dat cibum omni carni
Psal 135. Iesus Christus. Extrusæ ergo sunt machinationes dolosæ Samosatensis.

QVÆSTIO X.

Existimo, presbyter, Petrum Apostolum, vtpote discipulum Christi, plus quàm omnes gloriam Christi nouisse: hoc vero non te latet; immo magis quàm omnes alij scis. quod
Act.2. Lucas in Actis Apostolorum confirmat, cum scribit: Stans autem Petrus cum omnibus Apostolis: Certissime, inquit, sciat omnis domus Israel, quia & Dominum eum & Christum fecit Deus, hunc Iesum, quem vos crucifixistis. Dic igitur nobis presbyter, quomodo hic accusabis nos esse extrusos, cum sic tradat nobis Apostolus, vt scienter & firme teneamus factum Christum & Dominum à Deo, quem Iudæi crucifixerunt? Quæ enim à vobis scripta sunt, Deum habent crucifixum, & coæternum Patri. Ipse
Ioan 20. vero crucifixus dicit Mariæ: Noli me tangere; nondum enim ascendi ad Patrem meum. Sed vos dicere non patimini quod nondum ascendit, sed vbique scribitis, coæternum esse Patri illum, qui dicit, Nondum ascendi ad Patrem meum.

ἐπανελεύσομαι πρὸς σὲ εἰς ὥρας. ἆρ' οὐ φανερόν ἐστιν ὅτι αὐτός ἐστιν ὁ λέγων τοῖς μαθηταῖς, ὅτι ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς, καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμοῦ; τοῦτό ἐστιν ὁ Θεὸς ὁ εἰρηκώς, ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· αὐτός ἐστι καὶ οὐκ ἠλλοίωται γενόμενος σὰρξ ὁ λόγος, ὢν Θεὸς καὶ πεινάσας ἑκών· οὐκ εἶπεν ὅτι πεινῶ· ἀλλὰ καὶ τὴν τῶν πτωχῶν πεῖναν, καὶ γυμνίαν, καὶ ξενιτείαν εἰς ἑαυτὸν ἀναφέρει, λέγων· ὅτι ὅσα ἂν ποιήσητε ἑνὶ τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. πλὴν γέγραπται ἐπ' ἀνθρώπων, ὅτι, οὔτε πεινάσουσιν, οὔτε κοπιάσουσι, φησίν, ὡς λέγει Ἡσαΐας· ὅτι οἱ ὑπομένοντες τὸν Θεόν, ἀλλάξουσιν ἰσχύν,
B βαδιοῦνται καὶ οὐ πεινάσουσι· δραμοῦνται καὶ οὐ κοπιάσουσιν. ὥρα σοι τῷ Σαμοσατεῖ εἰπεῖν τὸν ἀπόστολον, ὅτι οὐχ ὑπέμεινε τὸν Θεόν· γράφει γὰρ λέγων, ὅτι ἐν λιμῷ καὶ δίψει. ὁρᾷς, ὅτι οὐδὲ ὑπὸ τοῦ ὕδατος ἐχορτάζετο; οἱ δὲ ὑπομένοντες τὸν Θεόν, οὐ πεινάσουσι βαδίζοντες, οὔτε κοπιάσουσι τρέχοντες, ὡς γέγραπται. διατί οὖν ἄρα οὐκ ἐθύμουν τῷ ἀποστόλῳ ταῦτα φησί; ἀλλ' ὡς γράφει ὅτι καὶ τρὶς ἐναυάγησε; τοῦτο ποιεῖ σου τὴν κακοπιστίαν ἐμφράξαι, ὅτι οὐκ ἄνθρωπος ἦν ἅγιος ὁ Χριστός, ἀλλὰ Θεὸς ἅγιος. τὸν γὰρ Παῦλον τὸν ἱερὸν ἄνθρωποι ἑστίασαν,
C ὧν ἐστιν εἷς ὁ φιλαπόστολος Ὀνήσιμος, ὁ σπουδαῖος περὶ τὴν θεραπείαν τοῦ ἀποστόλου. τούτων δὲ οὐδὲν εὑρίσκομεν ἐπὶ Χριστοῦ· ἀλλ' εὑρίσκομεν ὅτι ὅσα ἐν τῇ παλαιᾷ γέγραπται, λέγων, ὁ Θεός, ὁ αὐτὸς ἐπανῆλθε πρὸς ἡμᾶς, ὁ πρὸς Ἀβραὰμ ἐπανελθὼν εἰς ὥρας. ὁ φαγὼν πρὸς Ἀβραάμ, ἐλθὼν πρὸς ἡμᾶς ἐπείνασεν, ὁ εἰρηκώς, ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. σὰρξ γενόμενος ὁ λόγος, ἐπείνασεν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ Ἰησοῦς ὁ Χριστός. ὥστε ἐκβέβληνται πάλιν αἱ σκαιωρίαι τοῦ Σαμοσατέως.

Πρότασις ι'. τοῦ Σαμοσατέως.

Ὑπολαμβάνω πρεσβύτα, ὅτι πλέον πάντων Πέτρος ὁ ἀπόστολος ὡς ὢν τοῦ Χριστοῦ μαθητὴς ᾔδει τὴν
D περὶ Χριστοῦ δόξαν. ταῦτα δὲ οὐ λανθάνει ὑμᾶς, ἀλλὰ καὶ πλέον πάντων ἐπίστασαι, ὅτι ἀσφαλίζεται γράφων εἰς τὰς πράξεις ὁ Λουκᾶς· ὅτι ἔστη ὁ Πέτρος ἐπὶ πάντων λέγων, ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Χριστὸν καὶ κύριον αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε· εἰπὲ οὖν ἡμῖν πρεσβύτα· πῶς ἄρα ἐν τούτῳ ἡμῶν καταγράφῃ, ἐκβολαίου οὑτωσὶ τοῦ ἀποστόλου παραδιδόντος
E ἡμῖν κρατεῖν μετὰ γνώσεως καὶ ἀσφαλείας τὸν γενόμενον Χριστὸν καὶ κύριον ἀπὸ τοῦ Θεοῦ, ὃν ἐσταύρωσαν οἱ Ἰουδαῖοι; τὰ γὰρ παρ' ὑμῶν γραφέντα Θεὸν ἔχει τὸν ἐσταυρωμένον, καὶ συναΐδιον τῷ πατρί. αὐτὸς δὲ λέγει ὁ σταυρωθείς, μή μου ἅπτου, φησὶ τῇ Μαρίᾳ· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. ἀλλ' ὑμεῖς οὐκ ἀνέχεσθε εἰπεῖν, ὅτι οὔπω ἀνέβη· ἀλλὰ γράφετε πανταχοῦ, ὅτι συναΐδιος ἦν τοῦ πατρός, ὁ λέγων, οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα.

Ἀπόκρισις ι'. τοῦ Πάπα Διονυσίου.

Ὅτι μὲν ἔγραψα, καὶ γράφω, καὶ ὁμολογῶ, καὶ πιστεύω, καὶ κηρύττω συναΐδιον τῷ πατρὶ τὸν Χριστὸν, τὸν μονογενῆ υἱὸν καὶ λόγον τοῦ πατρός. πλὴν οὐδενὶ τῶν αἱρετικῶν οὔτε ἔγραψα, ὡς οὐδὲ νῦν σοι, ἀγέννητον πατέρα. τί οὖν ὃ οὐκ ἔγραψά σοι κατηγορεῖς μου; ἃ δὲ ἔγραψα, γνωρίζω, καὶ παρ' ἐμοί εἰσιν. ἰδοὺ δὲ εἰς σὲ πληροῦται καὶ τοὺς κατὰ σέ· ὅτι κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ· καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον· οὐ κατ' ἐμοῦ λέγω, ἀλλὰ κατὰ τοῦ Θεοῦ. οὐκ οἶδα τίς σοι ἐκέρασε τὸ τεθολωμένον τοῦτο δρᾶμα τῆς ἀσεβείας καὶ ἐσκότωσε, μὴ νοῶν ἃ λέγεις· ἔγραψα γάρ σοι καὶ ἐν τῇ ἐπιστολῇ, πρὸς ἣν καὶ ταῦτα ἀντέγραψας, ὅτι ἑκὼν λέληθας ὦ ἑταῖρε. οὐχ ὡς συμπρεσβύτερον ἑταῖρον εἶπον, ἀλλ' ὡς ἕτερον ὄντα, ᾧ ἐρρέθη παρὰ τοῦ Κυρίου· ἑταῖρε ἐφ' ᾧ πάρει; ἔλθω τοίνυν σὺν Θεῷ ἐπὶ τὴν διήγησιν, τί τὸ εἰρημένον, ὅτι καὶ Χριστὸν καὶ κύριον αὐτὸν ὁ Θεὸς ἐποίησε· γέγραπται, ὅτι οὕτως ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν εἰς τὸν κόσμον· γέγονεν ἡμῖν εἰς Θεὸν ὁ Χριστὸς Ἰησοῦς ὁ ὢν ἀεὶ Χριστὸς κύριος· καὶ ἡμεῖς ἐγενόμεθα αὐτοῦ λαὸς, οἵ ποτε ὡς πρόβατα πλανώμενοι· νῦν δὲ ἐπεστράφημεν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν, ἐπὶ τὸν ὄντα ἀεὶ Χριστὸν κύριον ἐπεστράφημεν. ἡμῖν γὰρ ἐγένετο Χριστὸς κύριος. ὥσπερ γὰρ ἡμῖν ἐγεννήθη παιδίον ὁ υἱὸς, ὢν ἀΐδιος· αὐτὸς ἐγένετό μοι εἰς σωτηρίαν· ἡμεῖς οὐκ ἦμεν πάλαι λαὸς αὐτοῦ, καθότι ἠγνοοῦμεν· οὐ λόγῳ παρήχθη ὁ λόγος τοῦ πατρός, ὥσπερ ἡ τῶν ἄνω ἁγίων πνευμάτων πληθύς· ἀλλὰ λόγος ὢν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς ἐγεννήθη· οὐ γὰρ κτιστὸς ὁ λόγος Ἰησοῦς ὁ Χριστός. διὸ ὡς ἀληθινῷ λατρεύομεν τῷ Χριστῷ· ἐπεὶ ἄρα καὶ ἐν ἐγκλήσει ἐσμὲν λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα. καὶ εἰ, κατὰ τὸν Σαμοσατέα, οὐκ ἀνέβη πρὸς τὸν πατέρα, πόθεν ἦν ὁ εἰπών, ὁ πατήρ μου ἐν ἐμοὶ μένει; εἰ γὰρ οὐκ ἀνέβη, τί καὶ λέγει, ὅτι οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς; ἄρα κατὰ τὸν ἑταῖρον τῶν παρανόμων ψεύστην θέλει αὐτὸν δεῖξαι τὸν λέγοντα, ἐγώ εἰμι ἡ ἀλήθεια; ἡμεῖς δὲ διὰ τῶν δύο πραγμάτων ἀμεταθέτων ὄντων συνηγορήσομεν τῇ ἀληθείᾳ. ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν· ὥσπερ λέγει· οὐδέπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. ὅτι δὲ ὁ Σαμοσατεὺς λέγει, πρὸ Μαρίας μὲν ἦν πνεῦμα ἅγιον, Χριστὸς δὲ οὐκ ἦν· πῶς ὅτι ἐστὶν αὐτοῦ ἔγγραφος κατάθεσις, ὅτι ἦν πρὸ Χριστοῦ καὶ Μαρίας πνεῦμα ἅγιον; λέγει δὲ ὁ εὐαγγελιστής, ὅτι οὔπω ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη; ἐν τούτῳ ὁ Σαμοσατεὺς τί λέγει; ὅτι καὶ αἱ δύο φωναὶ αὐτοῦ τοῦ Κυρίου εἰσὶ, καὶ ἀδύνατον ψεῦδος ἐν αὐτῷ, μὴ γένοιτο·

RESPONSIO.

A Scripsi & scribo, & confiteor ac credo, &
prædico coæternum Patri Christum vnigenitum filium & Verbum Patris. Verumtamen nulli hæreticorum scripsi, sicut neque
nunc scribo tibi, Patrem ingenitum. Quid
igitur quod non scripsi, accusas? quæ autem
scripsi, agnosco, & apud me sunt. Ecce in te
impletur, & in iis qui te sequuntur: Contra *Psal. 68.*
me loquebantur qui sedebant in porta, & in
me psallebant qui bibebant vinum. non in
me dico, sed in Deum. Nescio quis tibi
B hunc actum turbatum impietatis tamquam
poculum porrexit, & tenebras offudit vt
non intelligeres quæ dicis. Scripsi enim tibi
in epistola, ad quam hæc rescripsisti, quod
volens teipsum decipis, ô amice. Non dixi
amicum tamquam compresbyterum; sed
tamquam alterum amicum, cui dictum est à
Domino: Amice, ad quid venisti? Accedam *Matth 26.*
igitur duce Deo ad exponendum quid sit
quod dictum est: Et Christum & Dominum *Act. 2.*
fecit eum Deus. Scriptum est: Sic Deus di- *Ioan. 3.*
lexit mundum, vt filium suum vnigenitum
daret. Factus est nobis in Deum Christus Ie-
C sus, qui est semper Christus Dominus; &
nos facti sumus eius populus, qui aliquando *1. Pet. 2.*
eramus sicut oues errantes; nunc autem conuersi sumus ad pastorem & episcopum animarum nostrarum: conuersi sumus ad sem-
per Christum & Dominum: nobis enim fa- ** Fort. ὄντως*
ctus est Christus Dominus. Sicut enim nobis natus est puer qui erat filius; sic qui erat
æternus, factus est nobis in salutem. Non
eramus nos olim populus eius, quatenus eũ
ignorabamus. Verbum Patris non Verbo
productum est, sicut multitudo supernorum
spirituum sanctorum: sed cum sit Verbum,
D ex substantia Patris genitum est. non enim
creatum est Verbum Iesus Christus. Quamobrem tamquam vero Christo seruimus. An
accusamur quòd creaturæ seruimus præter
creatorem? Et si, vt sentit Samosatensis, non
ascendit ad Patrem, vnde erat qui dixit: Pater *Ioan. 14.*
meus in me manet? Si enim non ascendit,
quid est quod ait: Nemo ascendit in cœlum, *Ioan. 3.*
nisi qui descendit de cœlo? Numquid Samosatensis tanquam amicus iniquorum, men-
dacem vult facere eum qui dixit: Ego sum *Ioan 14.*
E veritas? Nos autẽ (29) per duas res immobiles *Hebr. 7.*
veritatem defendemus. Nam pro bono for-
sitan quis audeat mori. Quemadmodũ dicit: *Rom. 5.*
Nondũ erat Spiritus, quoniam Iesus nondũ
erat glorificatus. Quod vero ait Samosaten-
sis: Ante Mariam quidem erat Spiritus san- *Ioan. 7.*
ctus, Christus vero non erat: Quomodo affirmat scripto quod erat Spiritus sanctus ante Christũ & Mariã. cum tamen Euangelista
dicat: Nõdum erat Spiritus, quia Iesus non- *Ibidem.*
dum erat glorificatus? Quid hic dicit Samosatensis? quoniã hæ duæ voces ipsius Domini
sunt: & impossibile est ipsum mentiri, apage.

μεῖζον δὲ πάντων τὸ εἶναι αὐτὸν χωρούμενον ἐν πατρί, καὶ χωρεῖν ἐν ἑαυτῷ τὸν πατέρα σωματικῶς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. περὶ ἀσωμάτου πατρὸς, καὶ ἁγίου πνεύματος λαλεῖ ὁ ἱερὸς μαθητής· καὶ σωματικῶς λέγει αὐτὸν ἐν τῷ υἱῷ κατοικηκότα. τοσαύτας δὲ μαρτυρίας ἐχουσῶν τῶν θείων γραφῶν, μένει μυωπάζων ὁ ἀλλότριος· πεπλήρωται εἰς αὐτὸν τὸ γεγραμμένον, ὅτι ἐτύφλωσεν ὁ Θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι ἐν αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου· ἵνα κατανοήσωσι * τῷ ἀποστόλῳ λέγοντι· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικε. πρῶτον ἐρῶ τί ἐστιν ὃ λέγει, ὅτι ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. ὡς πολλάκις ἔγραψα· ὅτι εἶπεν ὁ Θεὸς, ὅτι ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. ὡμοιώθη τῷ Ἰωνᾷ εἰσελθὼν ἐν μνημείῳ καὶ σὺν πατρὶ προσκυνούμενος· ὑψώθη ἐπὶ σταυροῦ γυμνὸς καὶ ἀνυπόδετος· ὡς Ἡσαΐας προφητεύων κατὰ τῆς συναγωγῆς τῶν Ἰουδαίων. τὰ δὲ ἄλλα διαφόρως μοι εἴρηνται ὡς καὶ ταῦτα. παραλέλειπται δὲ τὸ, ποῦ προδιεγράφη, καταφρονήσας αἰσχύνης. ὁ Ἰούδας, ὅτε ἐμοιχεύσατο τὴν νύμφην αὐτοῦ ἀγνοῶν, ὡς ἐφανερώθη ἡ σύλληψις τῆς Θάμαρ, ὑπολαβὼν ὁ Ἰούδας, ὥς φησι, νομίσας αὐτὴν ἐκ πορνείας συνειλῆφθαι, κατέκρινεν αὐτὴν θανατωθῆναι· ἀγομένη δὲ ἡ Θάμαρ, ἔφη· ἐπίγνωθι ταῦτα, τὴν ῥάβδον καὶ τὸν ὁρμίσκον. ἐξ οὗ γάρ εἰσι ταῦτα, ἐγὼ ἔχω ἐν γαστρί. τότε ὁ Ἰούδας καταφρονήσας τῆς αἰσχύνης, ὡμολόγει λέγων, δεδικαίωται Θάμαρ ἢ ἐγώ· καὶ διασώζεται Θάμαρ μὴ ἀποθανεῖν. εἰ μὴ γὰρ κατεφρόνησεν Ἰούδας αἰσχύνης, Θάμαρ ἀπέθνησκε πικρῶς. ἀλλ' ὁ Ἰούδας οὐκ ἀπέθανεν ὑπὲρ τῆς Θάμαρ· ὁ δὲ Χριστὸς ὑπὲρ πάντων ἀπέθανεν. ἀναλογισώμεθα οὖν τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς ἑαυτὸν ἀντιλογίαν, ἵνα μὴ κάμωμεν ταῖς ψυχαῖς ἐκλυόμενοι· αὐτός ἐστιν ὁ καταβὰς ἐπὶ Ἀβραάμ· αὐτὸς ἐπὶ Μωϋσῆν κατέβη ἐξελέσθαι τὸν λαόν· καὶ νῦν δι' ἡμᾶς ἐπ' ἐσχάτων ἐλθὼν, οὐκ ἐν σχήματι πυρὸς, ἀλλὰ συνελήφθη ἐν γαστρὶ τῆς ἁγίας Μαρίας, τοῦ ἁγίου πνεύματος ἐπελθόντος ἐπ' αὐτήν. καὶ ὡς οἶδεν αὐτὸς μόνος τὸν τρόπον τῆς συλλήψεως καὶ γενέσεως αὐτοῦ, φυλάττων ἄφθαρτον τὴν μητέρα, ἀπὸ ποδῶν ἕως κεφαλῆς εὐλογημένην. αὕτη γάρ ἐστιν, ἣν προορῶν ὁ Ἰσαὰκ ἔλεγε τῷ Ἰακώβ· δώσει σοι κύριος εὐλογίαν οὐρανοῦ ἄνωθεν καὶ εὐλογίαν γῆς ἐχούσης τὰ πάντα. ὁ γὰρ ἐξ οὐρανοῦ καταβὰς μονογενὴς Θεὸς λόγος ἐγεννήθη κυοφορηθεὶς ἐκ τοῦ παρθενικοῦ παραδείσου ἔχοντος τὰ πάντα. πνεῦμα ἅγιον ἐπ' αὐτήν· δύναμις ὑψίστου ἐπισκιάζουσα· καὶ τὸ γεννώμενον ἅγιον τὸ παιδίον Ἰησοῦς ὁ ἰσχυρὸς Θεὸς, ὁ ἐξουσιαστὴς, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας·

A maius vero omnibus est esse eum in Patre, & Patrem in eo ipso corporaliter, & Spiritum sanctum. *Coloss. 2.* De Patre incorporeo & Spiritu sancto loquitur sanctus discipulus, & tamen dicit corporaliter habitare eum in Filio. Et cum tot testimonia sint in diuinis scripturis, manet tamen cæcus & manu tentans, *1. Petr. 1.* qui à nobis alienus est: impletúmque est in eo quod ait Apostolus: Excæcauit *2. Cor. 4.* Deus sæculi huius mentes infidelium, ne fulgeat in eis illuminatio Euangelij: vt considerent quod Apostolus dicit: ** Fort. παρὰ τοῦ ἀποστόλου* Qui proposito sibi gaudio sustinuit crucem, confusione *Hebr. 12.* B contempta, atque in dextera Dei sedet. Primum dicam quid est quod ait: Sustinuit crucem confusione contempta. Vt sæpe scripsi, dixit Deus: Ego vi[si]ones multiplicaui, *Osee 12.* & in manibus Prophetarum assimilatus sum. Assimilatus est Ionæ ingressus in monumentum, *Iona 2.* & (30) cum Patre adoratus: sublatus est in crucem nudus, & nudis pedibus: sicut Esaias prophetans contra synagogam Iudæorum. *Esai. 20.* Alia autem dicta sunt à me diuersis locis sicut hæc: prætermissum vero est, vbinam præfiguratum est illud: C Confusione contempta. Cum Iudas adulterauit nurum suam, *Genes. 38.* nesciens, statim vt patefactum est quod esset prægnans Thamar, suspicatus Iudas ex fornicatione concepisse, condemnauit eam, iussitque vt interficeretur. cum autem duceretur ad supplicium Thamar: Cognosce, inquit, hæc, virgam & armillam: ex eo enim cuius hæc sunt, concepi. Tunc Iudas confusione contempta, confessus est quòd iustior se esset Thamar; atque ita liberata est à morte. Nisi enim Iudas confusionem contempsisset, interfecta esset acerbè Thamar. Verum Iudas non est D mortuus pro Thamar: Christus vero pro *Hebr. 12.* omnibus mortuus est. Recogitemus igitur eum qui talem sustinuit à peccatoribus aduersus semetipsum contradictionem, vt ne *Genes. 18.* fatigemur animis nostris deficientes. *Exod. 3.* Ipse est qui descendit ad Abraam; ipse qui descendit ad Moysen vt liberaret populum; & qui nunc nouissimis diebus propter nos venit, non in figura ignis, *Luc. 1.* sed conceptus in ventre virginis Mariæ, superueniente Spiritu sancto in eam; & matrem incorruptam à pedibus vsque ad caput benedictam seruauit, sicut ipse solus nouit modum conceptus & E ortus sui. *Gen. 28.* Hæc est quàm Isaac prævidens, *Gen. 45.* dicebat Iacob: Det tibi Dominus benedictionem cœli desuper, & benedictionem terræ habentis omnia. Qui enim è cœlo descendit vnigenitus Deus Verbum, gestatum est in vtero, & genitum ex paradiso virginali *Luc. 1.* habente omnia. hæc sunt, Spiritus sanctus qui superuenit in eam, & virtus Altissimi quæ obumbrauit ei: & quod natum est sanctum puer Iesus, qui est Deus fortis, potens, *Hebr. 12.* sustinuit crucem confusione contempta,

vt saluos faceret eos, qui ex Adam propter abiectam obedientiam mortui erant. ipse sedit in dextera sedis Dei. Si vero dixerit Samosatensis quod crucifixus non erat semper in cœlo, quia dictum est quod in dextera sedis Dei sedit; colligit sibi spinas & tribulos. dicet enim Deus ei tunc: An quia dixit filius meus vnigenitus, nondum ascendi ad Patrem; & cum dicit, descendi de cœlo; & Moysi dicit, Descendi vt liberarem eos: dicis me orbatum esse filio in cœlo? Si vero de Patre dicit: Ascendit Deus ab Abraham: rursus opinione Samosatensis, pater erat in terra orbatus filio; quod quidem absit vt dicamus: quin potius illa dicamus, quæ oportet confiteri de Patre & Filio vero & Spiritu sancto. Sic enim laudes eius celebrantes gratiam inueniemus in auxilium opportunum. Qui autem confitebitur ei Patrem, confitebitur eum & ipse Filius coram Patre suo, & nunc, & cum venerit ad remunerandum. Ipsi gloria in Ecclesia in omnes generationes sæculi, Amen.

Ioan.10. Gen.18. Exod.3. Hebr.4. Matth.10.

A ἵνα σώσῃ τοὺς διὰ τὴν παρακοὴν ἐκ τοῦ Ἀδὰμ νεκρωθέντας· αὐτὸς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ. εἰ δὲ εἴποι ὁ Σαμοσατεὺς, ὅτι ὁ σταυρωθεὶς οὐκ ἦν ἀεὶ ἐν οὐρανῷ, διὰ τὸ εἰρημένον, ὅτι ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικε, συνάγει ἑαυτῷ ἀκάνθας καὶ τριβόλους· ἐρεῖ γὰρ αὐτῷ ὁ Θεὸς τότε· Εἰ διὰ τὸ εἰπεῖν τὸν υἱόν μου τὸν μονογενῆ, οὔπω ἀναβέβηκα πρὸς τὸν πατέρα, ἄρα ἄτεκνόν με λέγεις ἐν οὐρανῷ, καὶ ὅτε λέγει, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ· καὶ πρὸς Μωσῆν, ὅτι λέγει κατέβην ἐξελέσθαι αὐτούς. Εἰ δὲ περὶ B τοῦ πατρὸς λέγει, ὅτι ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ, κατὰ τὸν Σαμοσατέα, πάλιν ἄτεκνος ἦν ἐπὶ τῆς γῆς ὁ πατήρ; ὃ μὴ γένοιτο λέγειν. ἀλλὰ ἃ δεῖ ὁμολογεῖν κατὰ τὴν παράδοσιν τοῦ μονογενοῦς περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τοῦ ἀληθινοῦ, καὶ τοῦ ἁγίου πνεύματος. οὕτω γὰρ αὐτὸν δοξάζοντες χάριν εὑρωμεν εἰς εὔκαιρον βοήθειαν. ὃς δὲ ἂν γὰρ ὁμολογήσῃ ἐν αὐτῷ τὸν πατέρα, ὁμολογήσει αὐτὸν ὁ υἱὸς ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ, καὶ νῦν, καὶ ὅταν ἔλθῃ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ, καὶ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.

C

EXEMPLVM EPISTOLÆ missæ Paulo Samosatensi ab orthodoxis Episcopis Synodi Antiochenæ priusquam deponeretur.

Hymenæus, Theophilus, Theotecnus, Maximus, Proclus, Bolanus, Paulo in Christo Sal.

IAM quidem in congressum & colloquium inter nos venimus, ac fidem nostram ostendimus. vt vero manifestius fiat quid quisque sentiat, & ea quæ in quæstionem ac dubitationem vocantur, certiorem exitum accipiant, decreuimus fidem scripto edere & exponere, quam à principio accepimus, & habemus traditam & seruatam in Catholica & sancta Ecclesia vsque in hodiernum diem, à beatis Apostolis, qui viderunt ipsi & ministri fuerunt verbi, prædicatam ex Lege & Prophetis, ac nouo Testamento: Esse vnum Deum ingenitum, sine principio, inuisibilem, immutabilem, quem nullus hominum vidit, neque videre potest; cuius gloriam vel amplitudinem intelligere aut enarrare pro dignitate, vt in re & veritate est, humana natura non potest: notionem vero eius vtcumque mediocrem si habemus (reuelante Filio eius, sicut ait: Nemo nouit Patrem, nisi Filius, & cui Filius reuelauerit) contenti esse debemus. Hunc autem Filium genitum, vnigenitum, imaginem Dei inuisibilis, primogenitum omnis creaturæ, sapientiam, & verbum, ac virtutem Dei ante sæcula, non præcognitione, sed substantia & hypostasi Deum Dei filium cum in veteri

Luc.1. 1.Tim.6. Matth.11. Coloss.1. 1.Cor.1.

ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ πεμφθείσης Παύλῳ τῷ Σαμοσατεῖ ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων πρὶν ἢ καθαιρεθῆναι αὐτόν.

Ὑμέναιος, Θεόφιλος, Θεότεκνος, Μάξιμος, Πρόκλος, Βωλανός, Παύλῳ ἐν Χριστῷ χαίρειν.

ΗΔΗ μὲν εἰς λόγους ἀλλήλων ἀφικόμενοι τὴν ἑαυτῶν πίστιν ἐδείξαμεν. ἵνα δὲ φανερώτερα ἅπερ ἕκαστος φρονεῖ, γένηται, καὶ πέρας ἀσφαλέστερον D τὰ ἀμφισβητούμενα λάβῃ· ἔδοξεν ἡμῖν ἔγγραφον τὴν πίστιν ἣν ἐξ ἀρχῆς παρελάβομεν, καὶ ἔχομεν παραδοθεῖσαν καὶ τηρουμένην ἐν τῇ καθολικῇ καὶ ἁγίᾳ ἐκκλησίᾳ μέχρι τῆς σήμερον ἡμέρας ἐκ διαδοχῆς ὑπὸ τῶν μακαρίων ἀποστόλων· οἳ καὶ αὐτόπται καὶ ὑπηρέται γεγόνασι τοῦ λόγου, καταγγελλομένην ἐκ νόμου καὶ προφητῶν καὶ τῆς καινῆς διαθήκης ταύτην ἐκθέσθαι· ὅτι ὁ Θεὸς ἀγέννητος, εἷς, ἄναρχος, ἀόρατος, ἀναλλοίωτος· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· οὗ τὴν δόξαν ἢ τὸ μέγεθος νοῆσαι ἢ E ἐξηγήσασθαι καθώς ἐστιν ἀξίως τῆς ἀληθείας ἀνθρωπίνῃ φύσει ἀνέφικτον· ἔννοιαν δὲ καὶ ὁπωσοῦν μετρίαν περὶ αὐτοῦ λαβεῖν ἀγαπητὸν, ἀποκαλύπτοντος τοῦ υἱοῦ αὐτοῦ καθά φησιν· οὐδεὶς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ. τοῦτον δὲ τὸν υἱὸν γεννητὸν, μονογενῆ υἱὸν, εἰκόνα τοῦ ἀοράτου Θεοῦ τυγχάνοντα, πρωτότοκον πάσης κτίσεως, σοφίαν καὶ λόγον καὶ δύναμιν Θεοῦ πρὸ αἰώνων ὄντα, οὐ προγνώσει, ἀλλ' οὐσίᾳ καὶ ὑποστάσει Θεὸν, Θεοῦ υἱὸν, ἐν τῇ παλαιᾷ,

καὶ νέα διαθήκη ἐγνωκότες ὁμολογοῦμεν καὶ κηρύσσο- A
μεν· ὃς δ' ἂν ἀντιμάχηται τὸν υἱὸν τοῦ Θεοῦ Θεὸν μὴ εἶναι
πρὸ καταβολῆς κόσμου, πιστεύειν καὶ ὁμολογεῖν φά-
σκων δύο Θεοὺς καταγγέλλεσθαι, ἐὰν ὁ υἱὸς τοῦ Θεοῦ
Θεὸς κηρύσσηται, τοῦτον ἀλλότριον τοῦ ἐκκλησιαστικοῦ
κανόνος ἡγούμεθα· καὶ πᾶσαι αἱ καθολικαὶ ἐκκλησίαι
συμφωνοῦσιν ἡμῖν. περὶ γὰρ τούτου γέγραπται· ὁ θρό-
νος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτη-
τος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην,
καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ
Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
καὶ πάλιν Ἡσαΐας· ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, B
καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοι-
χθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκού-
σονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς· καὶ τρανὴ
ἔσται γλῶσσα μογιλάλων· καὶ πάλιν, ἐν σοὶ προσκυνή-
σουσι, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν
σου· σὺ γὰρ εἶ ὁ Θεὸς καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ
Ἰσραὴλ σωτήρ. καὶ παρὰ τῷ ἀποστόλῳ· ἐξ ὧν ὁ Χρι-
στὸς τὸ κατὰ σάρκα· ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς
τοὺς αἰῶνας, ἀμήν· τοῦ, ὁ ὢν ἐπὶ πάντων, ἐκ τοῦ, πλήν
σου, νοουμένου ἐπὶ πάντων γενητῶν. καὶ ἐν τῷ Ὠσηέ,
διότι ὁ Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅ- C
γιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, ὀπίσω Κυρίου
πορεύσομαι. καὶ πᾶσαι αἱ θεόπνευστοι γραφαὶ Θεὸν τὸν
υἱὸν τοῦ Θεοῦ μηνύουσιν· ἃς καθ' ἑκάστην παρατίθε-
σθαι * τὸν υἱὸν ὑπερβησόμεθα· τοῦτον πιστεύομεν σὺν
τῷ πατρὶ ἀεὶ ὄντα ἐκπεπληρωκέναι τὸ πατρικὸν
βούλημα πρὸς τὴν κτίσιν τῶν ὅλων· αὐτὸς γὰρ εἶπε,
καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν·
ὁ δὲ ἐντελλόμενος ἑτέρῳ ἐντέλλεται τινί. ὃν οὐκ ἄλ-
λον πεπείσμεθα, ἢ τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ Θεὸν,
ᾧ καὶ εἶπε, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ D
καθ' ὁμοίωσιν ἡμετέραν. ἐν κεφαλαίῳ δὲ κατὰ τὸ
εὐαγγέλιον· πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγέ-
νετο οὐδὲ ἕν. καὶ κατὰ τὸν ἀπόστολον· ἐν αὐτῷ ἐκτίσθη τὰ
πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁ-
ρατὰ, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε ἀρχαὶ, εἴτε
κυριότητες, εἴτε ἐξουσίαι· πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν
ἔκτισται· οὕτω δὲ, ὡς ἀληθῶς ὄντος καὶ ἐνεργοῦντος ὡς
λόγου ἅμα καὶ Θεοῦ δι' οὗ ὁ πατὴρ πάντα πεποίηκεν,
οὐχ ὡς δι' ὀργάνου, οὐδ' ὡς δι' ἐπιστήμης ἀνυποστά- E
του· γεννήσαντος μὲν τοῦ πατρὸς τὸν υἱὸν ὡς ζῶσαν ἐνέρ-
γειαν, καὶ ἐνυπόστατον, ἐνεργοῦντα τὰ πάντα ἐν πᾶ-
σιν· οὐχὶ βλέποντος δὲ μόνον, οὐδὲ παρόντος μόνον
τοῦ υἱοῦ, ἀλλὰ καὶ ἐνεργοῦντος πρὸς τὴν τῶν ὅλων
δημιουργίαν, ὡς γέγραπται· ἤμην παρ' αὐτῷ ἁρ-
μόζουσα. τοῦτον λέγομεν καταβάντα καὶ ὀφθέντα
τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαυρῇ, * ἕνα τῶν τριῶν,
ᾧ ὡς Κυρίῳ καὶ κριτῇ ὁ πατριάρχης διελέγετο·

& nouo Testamento cognouerimus, confitemur & prædicamus. Qui autem contradicit, filium Dei non esse Deum ante constitutionem mundi, dicitque credere & confiteri duos prædicari deos, si filius Dei prædicetur Deus; hunc alienum esse ab ecclesiastica regula arbitramur; & omnes Ecclesiæ Catholicæ nobiscum consentiunt. De hoc enim scriptum est: Thronus tuus Deus in sæculum sæculi; virga rectitudinis virga regni tui dilexisti iustitiam, & odisti iniquitatem; propterea vnxit te Deus, Deus tuus, oleo lætitiæ præ participibus tuis. & rursus Esaias: Deus noster iudicium retribuit, & retribuet: ipse veniet, & saluabit nos. tunc aperientur oculi cæcorum, & aures surdorum audient. tunc saliet sicut ceruus, claudus; & expedita erit lingua mutorum. & rursus: In te adorabunt, quoniam in te est Deus, & non est alius præter te. tu enim es Deus, & nesciuimus; Deus Israël saluator. & apud Apostolum: Ex quibus Christus secundum carnem, qui est super omnia Deus benedictus in sæcula, amen In quibus illud, Qui est super omnia; & illud, Preter te, de omnibus creaturis intelligendum est. Et in Osee: Quoniam Deus ego sum, & non homo in te sanctus; & non ingrediar in ciuitatem: post Dominum ambulabo. Et omnes scripturę diuinæ Deum filium Dei declarant: quas singulatim proponere in aliud tempus differimus. Hunc Filium, qui semper cum Patre est, credimus impleuisse voluntatem paternam in creatione vniuersi. Ipse enim dixit, & facta sunt: ipse mandauit, & creata sunt. Qui autem mandat, alteri mandat, quem non alium esse persuasum habemus, quàm vnigenitum filium Dei Deum, cui dixit: Faciamus hominem ad imaginem & similitudinem nostram. & vt in summa dictum sit secundum Euangelium: Omnia per ipsum facta sunt; & sine ipso factum est nihil. & secundum Apostolum: In ipso condita sunt omnia quæ in cœlis & quę in terra, siue visibilia, siue inuisibilia, siue Throni, siue Principatus, siue Dominationes, siue Potestates; omnia per ipsum, & in ipso creata sunt; quippe qui vere est, & operatur vtpote Verbum simul & Deus, per quem omnia fecit Pater, non tanquam per instrumentum, neque tamquam per scientiam non per se existentem. Generauit quidem Filium Pater tãquam actũ viuentem, & per se existentem, omnia in omnibus operantem: non autem solũ vidit filius neque solũ pręsens fuit filius, sed etiã operatus est ad creationem vniuersi, sicuta scriptum est Cum eo eram cũcta componens. Hunc dicit Scriptura descendisse, & apparuisse Abraę ad quercum Mambrę, vnum ex tribus: cum quo Patriarcha tamquã cum Domino & iudice colloquebatur;

Hebr.1 ex Psal.44.
Esai.35.
Esai.45.
Rom.9.
Osee11.
* Fort τὸν υἱὸν
Psal.148.
Genes.1.
Ioan.1.
Coloss.1.
Prouerb.8
Genes.18.
* ἴσως τῶν

 O ij

A vt qui omne iudicium à Patre accepisset: de quo scriptum est: Dominus pluit super Sodoma & Gomorrha ignem & sulphur à Domino de cœlo. Qui implens voluntatem paternam Patriarchis apparet, & cum eis loquitur in eisdem clausulis, & eisdem capitibus, aliquando quidem tamquam angelus, quandoque vero tamquam Dominus, quandoque autem Deus esse affirmatur. Deum enim vniuersi impium est existimare vocari angelum: Filius vero angelus Patris est, qui est ipse Dominus & Deus. Scriptum enim est, Angelus magni consilij. sicut & B alias in Abraam, Et vocauit eum Angelus Domini de cœlo, & quæ deinceps sequuntur. Nunc enim cognoui quod times Deum, & non pepercisti filio tuo dilecto propter me. Et vocauit nomen loci, Dominus vidit, vt dicant vsque in hodiernum diem. In monte Dominus apparuit. Et in Iacob: Dixit, inquit, mihi angelus Dei per somnium: Iacob: ego dixi, Quid est? & dixit: Respice oculis tuis, & quæ sequuntur. ego sum Deus, qui apparuit tibi in loco Dei, vbi vnxisti mihi illic titulum, & vouisti mihi illic votum. Et post luctam, eámque (31) hominis C præfigurati, subiungitur: Et appellauit Iacob nomen loci illius, Facies Dei. vidi enim Deum facie ad faciem, & salua facta est anima mea. Hominem autem præfiguratum dicimus esse Filium Dei, quem ipsa scriptura Deum esse declarauit. Quin etiam legem similiter datam esse Moysi dicimus ministrante Filio Dei, sicut Apostolus docet, cum ait: Quid igitur lex? propter transgressiones posita est, donec veniret semen, cui promiserat, ordinata per angelos in manu mediatoris. Mediatorem autem alium Dei & hominum nescimus præter hunc. Hæc etiam docet nos Moyses, cui apparuit D angelus in flamma ignis ex rubo, & quæ sequuntur. Postquam autem vidit Dominus quod pergit ad videndum; vocauit eum ex rubo. & rursus: Ingrediens congrega senatum filiorum Israel, & dices eis: Dominus Deus patrum nostrorum apparuit mihi, Deus Abraam, & Deus Isaac, & Deus Iacob, & quæ sequuntur. Si igitur non crediderint mihi, nec audierint vocem meam (dicent enim quod non apparuit mihi Dominus Deus) quid eis dicam? Et in benedi- E ctionibus: Et quæ fuerint accepta ei qui apparuit in rubo, veniant super caput Ioseph. & alias: Et dixit Dominus ad Moysen: Et hunc sermonem, quem dixisti, faciam tibi. & dixit: Ostende mihi gloriam tuam. & dixit: Ego trãsibo prius te in gloria mea, & vocabo in nomine Domini coram te; & miserebor cui misertus sum, & misericordiã præstabo, cui miserebor. Quod quidem sic perficitur. Et descendit Dominus in nube, & stetit coram eo illic, & vocauit in nomine Domini.

Ioan. 5. *Genes. 19.* *Esai. 9.* *Genes. 22.* *Genes. 28.* *Genes. 32.* *Galat. 3.* *1. Tim. 2.* *Exod. 3.* *Ibidem.* *Exod. 4.* *Deut. 33.* *Exod 33.* *Exod. 34.*

A ἅτε τὴν κρίσιν ἅπασαν εἰληφότος παρὰ τοῦ πατρός. περὶ οὗ γέγραπται· κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα πῦρ καὶ θεῖον παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ· τοῦτον εἶναι ὃς ἐκπληρῶν τὴν πατρικὴν βουλὴν τοῖς πατριάρχαις φαίνεται, καὶ διαλέγεται ἐν ταῖς αὐταῖς περιοχαῖς, καὶ τοῖς αὐτοῖς κεφαλαίοις· ποτὲ μὲν ὡς ἄγγελος· ποτὲ δὲ ὡς κύριος· ποτὲ δὲ Θεὸς μαρτυρούμενος. τὸν μὲν γὰρ Θεὸν τῶν ὅλων ἀσεβὲς ἄγγελον νομίσαι καλεῖσθαι· ὁ δὲ ἄγγελος τοῦ πατρὸς ὁ υἱός ἐστιν, αὐτὸς κύριος καὶ Θεὸς ὤν. γέγραπται B γὰρ, μεγάλης βουλῆς ἄγγελος· ὡς καὶ ἐν ἄλλοις πρὸς τὸν Ἀβραάμ, καὶ ἑξῆς. νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον ἐν τῷ ὄρει, κύριος ὤφθη· καὶ ἐπὶ τοῦ Ἰακώβ, καὶ εἶπέ μοι φησὶν ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον, Ἰακώβ· ἐγὼ εἶπα, τί ἐστι; καὶ εἶπεν, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ τὰ ἑξῆς. ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ· οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· καὶ μετὰ τὴν πάλην καὶ ταῦτα ἀνθρώπου προγεγραμμένου ἐπάγεται, καὶ C ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ἄνθρωπον δὲ τὸν προγεγραμμένον λέγομεν ὄντα υἱὸν τοῦ Θεοῦ, ὃν Θεὸν ἡ αὐτὴ γραφὴ μεμήνυκεν· ἀλλὰ μὴν καὶ τὸν νόμον ὁμοίως Μωϋσῇ φαμὲν δεδόσθαι διακονοῦντος τοῦ υἱοῦ τοῦ Θεοῦ, ὡς ὁ ἀπόστολος διδάσκει λέγων· τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. μεσίτην γὰρ ἄλλον οὐκ ἴσμεν Θεοῦ καὶ ἀνθρώπων, ἢ τοῦτον. διδασκόμεθα δὲ καὶ ταῦτα διὰ D τοῦ Μωσέως· ὤφθη δὲ αὐτῷ ἄγγελος ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου· καὶ ἑξῆς. ὡς δὲ εἶδε κύριος, ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τῆς βάτου· καὶ πάλιν, εἰσελθὼν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ· καὶ ἐρεῖς πρὸς αὐτούς· κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν ὦπταί μοι, ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακὼβ· καὶ ἑξῆς. ἐὰν οὖν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου· (ἐροῦσι γὰρ, οὐκ ὦπταί σοι κύριος ὁ Θεός) τί ἐρῶ πρὸς αὐτούς; καὶ ἐν ταῖς εὐλογίαις, E καὶ τὰ δικαιώματα τῷ ὀφθέντι ἐν τῇ βάτῳ, ἔλθοισαν ἐπὶ κεφαλὴν τοῦ Ἰωσήφ. καὶ ἀλλαχοῦ· καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· καὶ τὸν λόγον σοι τοῦτον ὃν εἴρηκας ποιήσω. καὶ εἶπε, δεῖξόν μοι τὴν δόξαν σου· καὶ εἶπεν· ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου. καὶ καλέσω ἐν ὀνόματι Κυρίου ἐνώπιόν σου, καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ· καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ὅπερ τελεῖται οὕτως. καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ· καὶ ἐκάλεσεν ἐν ὀνόματι Κυρίου.

καὶ παρῆλθε κύριος πρὸ προσώπου αὐτοῦ· καὶ ἐκάλεσε κύριος ὁ Θεός. ὁ γὰρ ἄνω παρελεύσεσθαι ἐπαγγειλάμενος ὁ υἱὸς τοῦ Θεοῦ κύριος· καὶ ἐκάλεσεν ἐν ὀνόματι Κυρίου τοῦ πατρός. οὗτός ἐστιν ὃς καὶ ἀληθῶς λέγων· οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ πατρός. οὗτος ἑώρακε τὸν πατέρα. καὶ ἐν τῷ αὐτῷ εὐαγγελίῳ· οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε. καὶ, Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο· καὶ ὁ ἀπόστολος ἐν ἄλλῳ· τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ B Θεῷ φησί. τὸν δὲ υἱὸν παρὰ τῷ πατρὶ ὄντα Θεὸν μὲν καὶ κύριον τῶν γενητῶν ἁπάντων· ὑπὸ δὲ τοῦ πατρὸς ἀποσταλέντα ἐξ οὐρανῶν, καὶ σαρκωθέντα ἐνηνθρωπηκέναι φαμέν· διόπερ καὶ τὸ ἐκ τῆς παρθένου σῶμα χωρῆσαν πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς τῇ θεότητι ἀτρέπτως ἥνωται, καὶ τεθεοποίηται· οὗ χάριν ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπος Ἰησοῦς Χριστὸς προεφητεύετο ἐν νόμῳ, καὶ προφήταις, καὶ ἐν τῇ ἐκκλησίᾳ τῇ ὑπὸ τὸν οὐρανὸν πάσῃ πεπίστευται Θεὸς μὲν κενώσας ἑαυτὸν ἀπὸ τοῦ εἶναι ἴσα Θεῷ· ἄνθρωπος δὲ, καὶ ἐκ σπέρματος C Δαβὶδ τὸ κατὰ σάρκα. τὰ μὲν σημεῖα καὶ τὰ τέρατα τὰ ἐν τοῖς εὐαγγελίοις ἀναγεγραμμένα ὁ Θεὸς ἦν ἐπιτελέσας· τὸ δὲ, σαρκὸς καὶ αἵματος μετεσχηκέναι τὸν αὐτὸν, πεπειρασμένον κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· οὕτω καὶ ὁ Χριστὸς πρὸ τῆς σαρκώσεως ἐν ταῖς θείαις γραφαῖς ὡς εἷς ὠνόμασται· ἐν μὲν Ἱερεμίᾳ· πνεῦμα προσώπου ἡμῶν Χριστός· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι κατὰ τὸν ἀπόστολον· κατὰ δὲ τὸν αὐτόν· ἔπινον γὰρ ἐκ πνευματικῆς πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· καὶ πάλιν· μηδὲ ἐκπειράζωμεν τὸν κύριον, καθώς τινες αὐ- D τῶν ἐξεπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλλυντο· καὶ περὶ Μωϋσέως· μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. καὶ ὁ Πέτρος· περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες· ἐρευνῶντες εἰς τίνα, ἢ ποῖον καιρὸν ἐδήλου τὸ πνεῦμα Χριστοῦ ἐν αὐτοῖς. Εἰ δὲ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, πρὸ αἰώνων ἐστίν· οὕτω καὶ καθὸ Χριστὸς ἕν, καὶ τὸ αὐτὸ ὢν τῇ οὐσίᾳ· Εἰ καὶ τὰ μάλιστα πολλαῖς ἐπινοίαις ἐπινοεῖται· ταῦτα ἀπὸ E πλείστων ὀλίγα σημειωσάμενοι, βουλόμεθα μαθεῖν εἰ τὰ αὐτὰ φρονεῖς ἡμῖν καὶ διδάσκεις, καὶ ὑποσημειώσασθαί σε, εἰ ἀρέσκῃ τοῖς προγεγραμμένοις, ἢ οὔ.

Et transiuit Dominus ante faciem eius, & vocauit Dominus Deus. Qui enim supra promiserat se transiturum Filius Dei Dominus, & vocauit in nomine Domini, qui est Pater, hic est qui verè ait: Non quia Patrem vidit quisquam, nisi qui est à Deo; hic vidit Patrem. *Ioan.6.* & in eodem Euangelio: Neque vocem eius vnquam audistis, neque speciem eius vidistis. *Ioan.5.* &: Deum nemo vidit vmquam: vnigenitus Filius qui est in sinu Patris, ipse enarrauit. *Ioan.1.* Et Apostolus in alio loco: Regi autem sæculorum immortali, *1 Tim.1.* B inuisibili, soli sapienti Deo. Filium vero qui est apud Patrem, Deum quidem & dominum omnium creaturarum dicit, à Patre autem missum de cœlis, & carne assumpta factum esse hominem. Quamobrem corpus eius ex Virgine sumptum, io quo omnis plenitudo diuinitatis corporaliter habitauit, diuinitati immutabiliter vnitum & deificatum est. *Coloss.2.* Qua de causa idem Deus & homo Iesus Christus prophetabatur in Lege & Prophetis, & ab omnibus in Ecclesia quæ sub cœlo est, creditus est Deus quidem, qui seipsum exinaniuit, cum esset æqualis Deo; *Philip.2.* *Rom 1.* C homo vero ex semine Dauid secundum carnem. Signa quidem & prodigia, quæ in Euangeliis descripta sunt, Deus operabatur: participatione vero carnis & sanguinis tentatus est per omnia pro similitudine absque peccato. *Hebr.4.* Sic & Christus ante incarnationem in diuinis scripturis tamquam vnus nominatus est: in Hieremia quidem, Spiritus ante faciem nostram Christus. *Thren.4.* Dominus autem spiritus est, secundum Apostolum *2.Cor.3.* & secundum eumdem Apostolum: Bibebant autem ex spirituali petra, petra autem erat Christus. *1.Cor.10.* & rursus: Neque teotemus Dominum, *Ibidem.* D sicut quidam eorum tentauerunt, & à serpentibus perierunt. & de Moyse: Maiores diuitias æstimaos thesauro Ægyptiorum improperium Christi. *Hebr.11.* & Petrus: De qua salute exquisieruot Prophetæ, qui de futura in oobis gratia prophetauerunt, scrutaotes in quod vel quale tempus significaret in eis spiritus Christi. *1.Pet.1.* Si autem Christus Dei virtus & Dei sapieotia, *1.Cor.1.* ante sæcula est. sic & quatenus Christus vnum & idem est substaotia, quamuis multis notionibus cogitetur. Hæc ex plurimis pauca notaui- E mus. Scire volumus, an eadem nobiscum sentias & doceas: & vt nobis significes, an iis quæ superius scripsimus, assentiaris, an non.

BEATI DIONYSII ARCHIepiscopi Alexandrini epistola ad Basilidem Episcopum, qui de quibusdam variis capitibus interrogauerat, ad quæ Dionysius per hanc epistolam respondit: quæ deinde responsiones veluti canones receptæ sunt. Et primum, Qua nam hora Sabbati sancti, illucescente die sancto Dominico, oporteat nos nocte illa soluere ieiunium.

Dionysius Basilidæ dilecto mihi filio, & fratri in sacris comministro, in Domino salutem.

MISISTI ad me, fidelissime & sapientissime fili mi, interrogans qua hora die Paschæ soluendum sit ieiunium. Ais enim aliquos fratres dicere, quod oportet hoc in galli cantu facere, alios verò quòd vespere id faciendum sit. Qui enim Romæ sunt fratres, vt aiunt, gallum expectant. De iis autem qui hic sunt, dixisti quod citius. Horam autem exactam & valde demensam quæris imponere, quod quidem est difficile & lubricum. Quòd enim post resurrectionis Domini tempus oportet festum lætitiámque inchoare, ad illud vsque animis ieiunio humiliatis, erit apud omnes similiter in confesso. Per ea autem quæ scripsisti, probasti (sane admodum diuinorum Euangeliorum sensu percepto) quod nihil ab ipsis certo definitum de hora qua resurrexit, apparet. Diuersè enim Euangelistæ ad monumentum venisse scripserunt mutatis temporibus, & omnes surrexisse iam Dominum dixerunt inuenisse: & vespere sabbatorum, vt dixit Matthæus: & cum mane adhuc esset obscurum, vt scribit Ioannes: & summo diluculo, vt Lucas: & valde mane orto iam sole, vt Marcus: & quando surrexit quidem, nemo apertè declarauit. Quod autem vespere sabbati lucescente vna sabbatorum, vsque ad ortum solis vnius sabbatorum, qui ad monumentum venerunt, eum non amplius iacentem inuenerunt, hoc in confesso est. Ac neque dissentire, nec aduersari inter se Euangelistas existimemus. Sed quamquam parua quædam circa id quod quæritur, controuersia esse videatur, si omnes in vna nocte mundi lucem Dominum nostrum exortum esse consentientes, in hora dissentiunt: nos tamen quæ ab eis dicta sunt; fideliter ac piè conciliare studeamus. Quod à Matthæo quidem dictum est, sic habet: Vespere sabbatorum lucescente in vnam sabbatorum, venit Maria Magdalene, & altera Maria ad spectandum sepulchrum. Et ecce terræmotus factus est magnus. Angelus enim Domini cùm descendisset de cœlo,

Matth. 28.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Βασιλείδην ἐπίσκοπον ἐρωτήσαντα περί τινων διαφόρων κεφαλαίων, πρὸς ἃ διὰ τῆς ἐπιστολῆς ὁ Διονύσιος ἀποκρίσεις ἐποιήσατο, αἳ καὶ ὡς κανόνες ἐδέχθησαν· καὶ πρῶτον, περὶ τοῦ ποίαν ὥραν τοῦ ἁγίου σαββάτου ἐπιφωσκούσης τῆς ἁγίας κυριακῆς χρὴ ἡμᾶς ἀπονηστίζεσθαι τῇ νυκτί.

Διονύσιος Βασιλείδῃ τῷ ἀγαπητῷ μου υἱῷ, καὶ ἀδελφῷ συλλειτουργῷ, ἐν Κυρίῳ χαίρειν.

ἈΠΕΣΤΕΙΛΑΣ μοι πιστότατε καὶ λογιώτατε υἱέ μου, πυνθανόμενος καθ' ἣν ὥραν ἀπονηστίζεσθαι δεῖ τῇ τοῦ πάσχα ἡμέρᾳ. τινὰς μὲν γὰρ τῶν ἀδελφῶν λέγειν φῄς, ὅτι χρὴ τοῦτο ποιεῖν πρὸς τὴν ἀλεκτοροφωνίαν. τινὰς δὲ, ὅτι ἀφ' ἑσπέρας χρή. οἱ μὲν γὰρ ἐν Ῥώμῃ ἀδελφοί, ὥς φασι, περιμένουσι τὸν ἀλέκτορα. περὶ δὲ τῶν ἐνταῦθα ἔλεγες, ὅτι τάχιον, ἀκριβῆ δὲ ὅρον ἐπιθεῖναι ζητεῖς, καὶ ὥραν πάνυ μεμετρημένην, ὅπερ καὶ δύσκολον, καὶ σφαλερόν ἐστι. τὸ μὲν γὰρ ὅτι μετὰ τὸν τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν καιρὸν χρὴ καὶ τῆς ἑορτῆς καὶ τῆς εὐφροσύνης ἐνάρχεσθαι μέχρις ἐκείνου τὰς ψυχὰς ταῖς νηστείαις ταπεινοῦντας, ὑπὸ πάντων ὁμοίως ὁμολογηθήσεται. κατεσκεύασας δὲ δι' ὧν ἔγραψάς μοι, πάνυ ὑγιῶς, καὶ τῶν θείων εὐαγγελίων ᾐσθημένος, ὅτι μηδὲν ἀπηκριβωμένον ἐν αὐτοῖς περὶ τῆς ὥρας, καθ' ἣν ἀνέστη, φαίνεται. διαφόρως μὲν γὰρ οἱ εὐαγγελισταὶ τοὺς ἐπὶ τὸ μνημεῖον ἐλθόντας ἀνέγραψαν κατὰ καιροὺς ἐνηλλαγμένους· καὶ πάντες ἀνεστηκότα ἤδη τὸν Κύριον ἔφασαν εὑρηκέναι. καὶ, ὀψὲ σαββάτων, ὡς ὁ Ματθαῖος εἶπε· καὶ, πρωΐας ἔτι σκοτίας οὔσης, ὡς ὁ Ἰωάννης γράφει· καὶ, ὄρθρου βαθέος, ὡς ὁ Λουκᾶς. καὶ, λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, ὡς ὁ Μάρκος. καὶ πότε μὲν ἀνέστη, σαφῶς οὐδεὶς ἀπεφήνατο. ὅτι δὲ ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ μιᾷ σαββάτων, μέχρις ἀνατολῆς ἡλίου τῆς μιᾶς σαββάτων, οἱ ἐπὶ τὸ μνημεῖον παραγενόμενοι οὐκέτι κείμενον ἐν αὐτῷ κατέλαβον αὐτὸν, τοῦτο ἀνωμολόγηται· καὶ μὴ διαφωνεῖν, μηδὲ ἐναντιοῦσθαι τοὺς εὐαγγελιστὰς πρὸς ἀλλήλους ὑπολαμβάνωμεν. ἀλλ' εἰ καὶ μικρολογία τις εἶναι δόξει περὶ τὸ ζητούμενον, εἰ συμφωνοῦντες πάντες ἐν ἐκείνῃ τῇ νυκτὶ τὸ τοῦ κόσμου φῶς, τὸν Κύριον ἡμῶν ἀνατεταλκέναι, περὶ τὴν αὐτὴν ὥραν διαφέρονται· ἀλλ' ἡμεῖς τὰ λεχθέντα εὐγνωμόνως καὶ πιστῶς ἁρμόσαι προθυμηθῶμεν. τὸ μὲν ὑπὸ τοῦ Ματθαίου λεχθὲν οὕτως ἔχει· ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον· καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ.

καὶ προσελθὼν ἀπεκύλισε τὸν λίθον, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναιξί, μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε, ἠγέρθη γάρ, καθὼς εἶπε. τοῦτο δὲ λεχθὲν τὸ, ὀψέ, οἱ μὲν τινες ἡγήσονται κατὰ τὴν κοινότητα τοῦ ῥήματος τὴν ἑσπέραν δηλοῦν τοῦ σαββάτου· οἱ δὲ *σοφώτεροι, ἐξακούοντες, οὐ τοῦτο, ἀλλὰ νύκτα βαθεῖαν ἐροῦσιν εἶναι, βραδυτῆτα, καὶ μακρὸν χρόνον τοῦ ῥήματος τοῦ ὀψὲ δηλοῦντος. καὶ ὅτι νύκτα λέγει, καὶ οὐχ ἑσπέραν, ἐπήγαγε· τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, καὶ ἦκον· οὔπω, ὡς οἱ λοιποί φασι, τὰ ἀρώματα φέρουσαι, ἀλλὰ θεωρῆσαι τὸν τάφον· καὶ εὗρον τὸν σεισμὸν γεγενημένον, καὶ καθήμενον τὸν ἄγγελον ἐπὶ τοῦ λίθου, καὶ ἀκηκόασι παρ' αὐτοῦ· οὐκ ἔστιν ὧδε, ἠγέρθη· ὁμοίως ὁ Ἰωάννης· ἐν μιᾷ τῶν σαββάτων, φησί, Μαρία ἡ Μαγδαληνὴ ἦλθε πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἀπὸ τοῦ μνημείου· πλὴν παρὰ τοῦτο σκοτίας ἔτι οὔσης προεληλύθει. ὁ δὲ Λουκᾶς φησι, τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἐπὶ τὸ μνῆμα ἦλθον, φέρουσαι, ἃ ἡτοίμασαν ἀρώματα, εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου· ὁ βαθὺς οὖν ὄρθρος ἴσως προϋποφαινομένην ἔχει αὐγὴν ἑωθινὴν ἐμφανίζειν τῆς μιᾶς τῶν σαββάτων· διὰ τὸ παρῳχηκέναι ἤδη τελείως σὺν τῇ μετ' αὐτὸ νυκτὶ πᾶν τὸ σάββατον, καὶ ἑτέραν ἄρχεσθαι ἡμέραν, ὅτε ἦλθον τὰ ἀρώματα καὶ τὰ μύρα φέρουσαι. ὅθεν δῆλον, ὡς ἀνέστηκει πρὸ πολλοῦ. τούτῳ κατακολουθεῖ καὶ ὁ Μάρκος λέγων· ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου. λίαν μὲν γὰρ πρωῒ καὶ οὗτος εἶπεν, ὅπερ ταυτόν ἐστι τῷ, βαθέος ὄρθρου. καὶ ἐπήγαγεν, ἀνατείλαντος τοῦ ἡλίου· ἡ μὲν γὰρ ὁρμή, καὶ ἡ ὁδὸς αὐτῶν, δῆλον, ὡς ὄρθρου βαθέος, καὶ λίαν πρωῒ κατήρχθη· παρέτειναν δὲ κατά τε τὴν πορείαν, καὶ περὶ τὸ μνημεῖον διατρίβουσαι μέχρις ἀνατολῆς ἡλίου· καὶ λέγει τότε ταύταις ὁ νεανίσκος ὁ λευχείμων· ἠγέρθη, οὐκ ἔστιν ὧδε. τούτων οὕτως ἐχόντων, τοῦτο τοῖς ἀκριβολογουμένοις *ἀπολογούμεθα, κατὰ ποίαν ὥραν, ἢ ποῖον ἡμιώριον, ἢ ὥρας τέταρτον ἄρχεσθαι προσήκει τῆς ἐπὶ τῇ τοῦ Κυρίου ἡμῶν ἐκ νεκρῶν ἀναστάσει χαρᾶς. τοὺς μὲν λίαν ἐπιταχύναντας, καὶ πρὸ νυκτὸς ἐγγὺς ἤδη μεσούσης ἀνιέντας, ὡς ὀλιγώρους, καὶ ἀκρατεῖς μεμφόμεθα, ὡς παρ' ὀλίγον προκαταλύοντας τὸν δρόμον, λέγοντος ἀνδρὸς σοφοῦ· οὐ μικρὸν ἐν τῷ βίῳ τὸ παρὰ μικρόν.

A accedens reuoluit lapidem, & sedit super ipsum. Erat autem species eius sicut fulgur, & vestimentum eius candidum sicut nix: Præ timore autem eius concussi sunt qui custodiebant, & facti sunt velut mortui. Respondens autem Angelus, dixit mulieribus: Nolite timere vos: scio enim quod Iesum crucifixum quæritis: non est hic: surrexit enim sicut dixit. Id autem quod dictum est, Vespere, alij quidem existimabunt secundum verbi communitatem significare vesperam sabbati: sapientiores autem id audientes, non hoc, sed pro- *σοφώτεροι ἐξακούοντες,*
B fundam noctem esse dicent, tarditatem & longum tempus vespere significante. Et quod noctem dicit, & non vesperam, subiunxit: illucescente in vnam sabbatorum, & venerunt, nondum vt ceteri dicunt, aromata ferentes, sed ad spectandum sepulchrum. Inuenerunt autem factum esse terræmotum, & Angelum super lapidem sedentem: & audierunt ab ipso: Non est hic, surrexit. Similiter Ioannes, In vna sabbatorum, inquit, Maria Magdalene venit mane, cum adhuc tenebræ essent, ad mo- *Marc.16. Luc.24. Ioan.20.*
C numentum, & videt lapidem sublatum à monumento: sed iuxta eum, cum adhuc essent tenebræ, præcesserat. Lucas autem dicit: Sabbato quidem quieuerunt secundum præceptum: vna autem sabbatorum summo mane ad monumentum venerunt, ferentes quæ parauerant aromata. inuenerunt autem lapidem à monumento reuolutum. Summum mane fortasse matutinum splendorem, qui prius subapparet, significat vnius sabbatorum. Et ideo iam perfectè præterito cum tota consequente nocte sabbato, & alio die incipiente venerunt, aroma- *Luc.24.*
D ta & vnguenta ferentes. Vnde perspicuum est, quod multo antè resurrexerat. Hoc Marcus quoque sequitur, dicens: Emerunt aromata, vt venientes vngerent Iesum. Et valde mane vnius sabbatorum veniunt ad monumentum orto iam sole. Valde enim mane hic quoque dixit, quod idem ac summo diluculo. & subiunxit, Orto iam sole. Profectió quidem & iter earum summo diluculo & valde mane incepit: in itinere autem & circa monumentum moram traxerunt vsque ad ortum solis. & illis quidem tunc dicit adole- *Marc.16.*
E scens candidatus: Surrexit, non est hic. Hæc autem cum ita se habeant, illis qui hoc accuratius subtiliúsque considerant, enuntiamus quota hora, vel etiam semihorula, vel quarta horæ oportet incipere lætitiam ob Domini nostri à mortuis resurrectionem: & eos quidem qui nimium festinant, & paulo ante mediam noctem ieiunium frangunt, vt negligentes ac intemperantes reprehendimus, vt qui propemodum antequam par sit cursum abruperint: dicente viro sapiente: Non paruum est in vita quod parum abest. ** ὑποφαινόμεθα,*

Eos autem qui differunt, & plurimum perferunt: & ad quartam vsque vigiliam fortiter abstinent, in qua etiam Saluator noster nauigantibus in mari ambulans apparuit, vt generosos & labntum tolerantes suscipimus: iis autem qui interea vt mnti sunt, vel vt potuerunt, quiescunt, nnn valde molesti sumu: quandoquidem nec sex ieiuniorum dies æquali aut simili omnes tolerantia perferunt: sed alij quidem vel nmnes transmittunt ieiuni permanentes, alij duns, alij tres, alij quatuor, alij nullum. Et iis quidem qui in illis transmittendis valde laborauerunt, deinde defessi sunt, & propemodum deficiunt, ignoscendum est quod celerius gustent. Si qui antem nnn modn nnn transmissis, sed ne ieiunatis quidem, vel etiam in delicatis cnnuiuiis, consumptis præcedentibus quatuor diebus, ad duos eósque solos extremos dies cum venerint, illis à se cibn non gustatn transmissis, parasceue & sabbato, magnum quid & egregium se facere existimant si ad aurora vsque permanserint: non puto eos ex æquo certamen subiisse eum iis qui se pluribus diebus prius exercuerunt. Hæc quidem vt sentio, consulens de hnc scripsi.

Matth.14.

II. De mulieribus quæ sunt in abscessu, an eas sic affectas nporteat dnmum Dei ingredi, superuacaneum vel interrogare existimo. Neque enim ipsas arbitror, si fint fideles ac piæ, sic affectas, ausuras vel ad sanctam mensam accedere, vel cnrpus & sanguinem Dnmini attingere. Neque enim quæ duodecim annorum fluxum patiebatur, ipsum Dnminum festinans ad medicinam tetigit, sed snlam vestimenti eius fimbriam. Orare enim qunmodocumque se habeat aliquis, & vtcumque sit affectus Dnmini meminisse, & auxilium implorare, non est reprehendendum: ad sancta autem sanctnrum, qui non anima & corpore purus est, accedere prohibebitur.

Matth.9.

Quod hic ait Dionysius, mulieres tempore menstrui non debere ad sacram mensam accedere, non id tanquā canonem ab omnibus seruandum, proposuit, nec contrarium sentientes dānauit, sed tātum ex propria sententia locutus est, quam etiam ab aliis examinari voluit. Vide Card. Baron. tom. 2. Annal. Eccl. an. Domini 266. num 11.

* III. Porro & qui matrimonio iuncti sunt, debent esse sui idonei iudices. Quod enim à se inuicem ex ennsensu ad tempus abstinere conueniat, vt vaeent nrationi, & rursus conueniant, Paulum dicentem audierunt.

1. Cor. 17.

* IV. Qui autem in nnn vnluntario nocturno fluxu fuerint, ij quoque propriam conscientiam sequantut, & se ipsns au de eo discernāt, an non, considerent: & quemadmodum in cibis, Qui discernit, inquit, si comederit, condemnatus est; in his quoque bonæ sit conscientiæ & fiduciæ, secundum propriam cogitationem, qui ad Deum accedit.

Rom.14.

Has tu quidem, nos honorans (non enim ea ignnras, ô dilecte) nnbis quæstinnes proposuisti, nns vt eiusdem sententiæ sicut & sumus, eiusdemque animi, simul præparans. Ego autem nnn vt doctor, sed vt eum omni simplicitate conuenit nos inuicem disserere, meam sententiam in commune edidi:

A τοὺς δὲ ὑφυπερίζοντας, καὶ διαρκοῦντας ἐπὶ πλε
μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας, κ
καὶ τοῖς πλέουσιν ὁ σωτὴρ ἡμῶν περιπατῶν ἐπὶ τ
λάσσης ἐπεφάνη, ὡς γενναίους, καὶ φιλοπόνους
χόμεθα. τοῖς δὲ μεταξὺ ὡς ἐκινήθησαν, ἢ ὡς
θησαν ἀναπαυσαμένοις, μὴ πάνυ διοχλῶμε
μηδὲ γὰρ τὰς ἓξ τῶν νηστειῶν ἡμέρας ἴσως, οὐδὲ ὁμοίω
τες διαμένουσιν· ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερ
σιν, ἄσιτοι διατελοῦντες· οἱ δὲ δύο, οἱ δὲ τρ
τέσσαρας, οἱ δὲ οὐδεμίαν· καὶ τοῖς μὲν πάνυ δι
θλοῦσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκάμνουσι, κ
B οὐκ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γ
εἰ δέ τινες οὐχ ὅπως ὑπερθέμενοι, ἀλλὰ μ
στεύσαντες, ἢ καὶ τρυφήσαντες τὰς προαγούσ
ρας, εἶτα ἐλθόντες ἐπὶ τὰς τελευταίας, δύο
νας αὐτὰς ὑπερτιθέντες τήν τε παρασκευήν,
σάββατον, μέγα τι καὶ λαμπρὸν ποιεῖν νομίζοι
μέχρι τῆς ἕω διαμείνωσιν, οὐκ οἶμαι τὴν ἴση
σιν αὐτοὺς πεποιῆσθαι τοῖς τὰς πλείονας ἡμέρας
σκηκόσι. ταῦτα μὲν οὖν, ὡς φρονῶ, συμβ
περὶ τούτου ἔγραψα.

C Περὶ δὲ τῶν ἐν ἀφέδρῳ γυναικῶν, εἰ προσ
ταῦτα διακειμένας εἰς τὸν οἶκον εἰσιέναι τοῦ Θ
ειπεῖν καὶ τὸ πυνθάνεσθαι νομίζω. οὐδὲ γὰρ αὐτ
πιστὰς οὔσας, καὶ εὐλαβεῖς τολμήσειν οὕτω διακ
ἢ τῇ τραπέζῃ τῇ ἁγίᾳ προσελθεῖν, ἢ τοῦ σώμα
τοῦ αἵματος τοῦ Χριστοῦ προσάψασθαι· οὐδὲ
δωδεκαετῆ ῥύσιν ἔχουσα, πρὸς τὴν ἴασιν σπ
ἥψατο αὐτοῦ ἀλλὰ μόνου τοῦ κρασπέδου. προσ
μὲν γάρ, ὅπως ἂν ἔχοι τις, καὶ ὡς ἂν διακέοιτο
σθαι τοῦ δεσπότου, καὶ δεῖσθαι βοηθείας τυχεῖν
D φθονον· εἰς δὲ τὰ ἅγια, καὶ τὰ ἅγια τῶν ἁγίων, ὁ μ
καθαρὸς καὶ ψυχῇ καὶ σώματι, προσιέναι κωλ

Αὐτάρκεις δὲ καὶ οἱ γεγαμηκότες ἑαυτῶν ὀφ
εἶναι κριταί. ὅτι γὰρ ἀπέχεσθαι προσήκει ἀλλή
συμφώνου πρὸς καιρόν, ἵνα σχολάσωσι τῇ προσ
πάλιν ἐπὶ τὸ αὐτὸ ὦσιν, ἀκηκόασι Παύλου λέ

Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενό
οὗτοι τῷ ἰδίῳ συνειδότι κατακολουθείτωσαν
τες, εἴτε διακρίνονται περὶ τούτου, εἴτε μὴ
E τωσαν· ὡς ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενο
ἐὰν φάγῃ, κατακέκριται· καὶ ἐν τούτοις εὐσυ
ἔστω, καὶ εὐπαρρησίαστος πᾶς, κατὰ τὸ ἴδιον ἐνθ
προσιὼν τῷ Θεῷ.

Ταῦτα μὲν σὺ τιμῶν ἡμᾶς, οὐ γὰρ
ἀγαπητέ, τὰ πεύσματα ἡμῖν προσήγαγες,
νας ἡμᾶς ὥσπερ ἐσμέν, καὶ ἰσοψύχους ἑαυτῷ
νάζων· ἐγὼ δὲ οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς
σης ἁπλότητος προσήκει ἡμᾶς ἀλλήλοις
γεσθαι, εἰς κοινὸν τὴν διάνοιαν ἐμαυτοῦ

ὧν ἐπικρίνας καὶ σύ, συνετώτατέ μου υἱέ, ὅ, τι ἂν σοι φανῇ βέλτιον, καὶ οὕτως ἔχειν δοκιμάζεις, ἀντιγράψεις. ἐρρῶσθαί σε ἀγαπητὲ υἱέ μου, ἐν εἰρήνῃ τῷ Κυρίῳ λειτουργοῦντα, εὔχομαι.

A quam cum tu examinaueris, fili mi ſapientiſſime, quod tibi melius apparuerit, & ſic etiam ſe habere exiſtimaueris, reſcribes. Valere te, dilecte fili mi, in pace Domino miniſtrantem opto.

ΠΡΟΚΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

πρὸς Ἀρμενίους, Περὶ πίστεως.

Τοῖς θεοφιλεστάτοις καὶ θεοσεβεστάτοις ἐπισκόποις καὶ πρεσβυτέροις, καὶ ἀρχιμανδρίταις τοῖς οὖσι κατὰ πᾶσαν τὴν Ἀρμενίαν τῆς ὀρθοδόξου ἁγίας ἐκκλησίας, Πρόκλος ἐν Κυρίῳ χαίρειν.

PROCLI EPISCOPI CONSTANTINOPOLITANI,

AD ARMENIOS, *De Fide.*

Dei amantiſſimis ac religioſiſſimis Epiſcopis & Presbyteris & Archimandritis per vniuerſam Armeniam orthodoxæ ſanctæ Eccleſiæ, Proclus in Domino gaudere.

Interprete Antonio Agellio Epiſcopo Acernenſi.

Οὐ μετρίως, ἀδελφοί, συνέχεεν ἡμῶν τὴν ψυχὴν καὶ τὸν λογισμὸν τῇ τυράννῳ λύπῃ, καὶ ἔτρωσεν ἡ φήμη τῶν νεαρῶν τῆς ἀπάτης ζιζανίων, ἅπερ ἔναγχος τῇ ὑμετέρᾳ πανούργως ἐπέσπειρε χώρᾳ ὁ κοινὸς τῆς φύσεως ἐχθρός. πλήττει γὰρ ἀφορήτως ἡ τῶν ἀπευκτῶν εἴωθεν ἀκοὴ τὴν μήπω προγυμνασθεῖσαν ἐν τῇ τοιαύτῃ μελέτῃ ψυχήν. καὶ τοσούτῳ πλέον χαλεπώτερον τιτρώσκει, κατὰ βάθους εἰσωθοῦσα τὰ βέλη, ὅσῳ τὸν κίνδυνον οὐ περὶ τὴν τοῦ σώματος ἵστησι παχύτητα, ἀλλὰ τὸν ἄϋλον πολιορκεῖ ταῖς φήμαις, τὸ ἔντιμον τῆς πίστεως διαθρυλλοῦσα, ἢ ἐλεεινῶς διερρῆχθαι, ἢ παντελῶς σεσυλῆσθαι ἱμάτιον. πᾶσα μὲν γὰρ ἀρετὴ περισπούδαστος ὑπάρχει, τοῖς τὸ λογικὸν μὴ ἀμαυρωθεῖσιν ὑπὸ τῆς ὕλης. πᾶσα δὲ κακία βδελυκτὴ οὐκ ἀπεικότως τοῖς εὖ φρονοῦσι κέκριται, οἷα δὴ κατ' ἐναντιότητα πολεμοῦσα τῇ φύσει τῷ παρὰ φύσιν. ὥσπερ γὰρ τὸ συμφέρον τοῖς αἱρουμένοις, ἀναγκαίως περιμάχητον, οὕτω τὸ μὴ τοιοῦτον, ἀλλὰ ἀντικείμενον ἢ παρὸν ἀποβολῆς ἄξιον, ἢ προσδοκώμενον τὸ μὴ συμβῆναι φροντίδος οὐκ ἀλλότριον. Ἀρετῆς μὲν οὖν εἴδη πολλά. Διαφόρως δὲ ὡρίσαντο περὶ ταύτης, οἵ τε ὑπὸ πλάνης* ἀγόμενοι Ἕλληνες, καὶ τὸ ἀκριβὲς τῆς διακρίσεως ὑπὸ τῆς περὶ τὸ θεῖον ἀγνοίας ἐπισκοτούμενοι· καὶ οἱ διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς διανοίας πεφωτισμένοι Χριστιανοί, καὶ πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον τρανῶς διὰ τῆς ὁμολογίας ἀτενίζειν δυνάμενοι· οἱ μὲν γὰρ τοῖς οἰκείοις λογισμοῖς ὥσπερ ἐν σκότει προσπταίοντες, καὶ ἀνηγεμόνευτον ἔχοντες ὑπὸ προλήψεως τὸν νοῦν,

B Non mediocriter, fratres, animum rationémque noſtram violento mœrore confudit ac ſauciauit rumor nouellorum ac fallacium zizaniorum, quæ nuper in veſtra regione communis ille noſtræ naturæ inimicus callidè ſuperſeminauit. Solet enim triſtium rumor intolerabili vulnere animum percutere, nondum eiuſmodi exercitationibus aſſuetum: tantóque acerbius ferit, teláque altius infigit, C quanto periculum non in concreta corporis natura ſiſtit, ſed gliſcente fama ſubtiliorem animi ſtatum obſidet, ſermone diſpergens pretioſam illam Fidei veſtem aut diſciſſam eſſe, aut prorſus deprædatione ſublatam. Omnem etenim virtutem ij expetendam putant, in quibus rationis vis non fuerit culpa naturæ materialis obſcurata; omne quoque vitium à prudentibus viris iure fugiendum cenſetur; quippe cum ex aduerſo pugnet cum ipſa natura eo ipſo quod eſt contra naturam. Sicut enim id quod vtile D eſt eligentibus, neceſſario tuendum eſt, ita quod eiuſmodi non eſt, ac potius cõtrarium, aut præſens repellendum eſt, aut ſi metuitur, ne eueniat ſollicitè præcauendum. Virtutis igitur multæ ſunt ſpecies: hanc autem variè definierunt, ſiue Gentiles qui errore ducuntur, & quorum diſcernendi ſubtilitatem ignoratio diuinitatis obſcurat; ſeu Chriſtiani, qui Fidei luce mentis oculos illuminatos habentes, ſolem iuſtitiæ clarius per confeſſionem intuentur. Illi namque in ſuis cogitationibus velut in tenebris offendentes, & propter anticipatam opinionem, animum habentes duce ac rectore deſtitutum,

* ἀγόμενοι

suarum ratiocinationum ductu periculosum iter ingrediuntur: nihil in iis quæ decernunt, præter fluxam & instabilem visibilium rerum naturam attrectantes, cum veræ contemplationis aciem aut vi temporis hebetem habeant, aut erroris vitio obcęcatam amiserint. Aiunt enim quatuor esse species virtutis, id est, iustitiam, prudentiam, temperantiam ac fortitudinem: quæ licet bonæ atque honestæ esse videantur, humi tamen repũt, & circa terram innatant, & longe inferiora sunt cœlesti fastigio. Cum enim fortitudinem dixerint, quæ aduersus materiam luctatur, ac temperantiam quæ vitia passionésque superat, & prudẽtiam quæ in gubernatione Reipublicæ plurimum pollet, iustitiam præterea optimã illã æqualitatis distributionem: huic quidem vitæ vt ipsi putabant, ordinem constituerunt, cum hac definitione illam in vtramq; partem excessus immoderantiam repressissent; sed sublimius aliquid, & præsenti vita prætatius neque cogitare, neque exprimere potuerunt, sed per obscurati cordis insipientiam, quantum in ipsis fuit, virtuti vim afferentes, eam in his tantum quæ videntur, incluserunt, nihilque illi sublime & cœlesti conuersationi persimile concesserunt. Qui vero per Fidem illuminatos habent oculos cordis, quorum instructor ac magister est beatus Paulus, virtutem definierunt esse quæ nos ad Deum euehit, & ea quæ in terris sunt, ordinatè moderatur. Itaque hic ipse vir in omnibus celebrandus, multas enumerauit species virtutis, sed tria hæc præcipua prædicauit, Fidem, Spem, Charitatẽ: ex quibus Fides quæ super naturã sunt, largitur hominibus, rebus intelligibilibus admiscens eũ qui adhuc materiale indumẽtum gestat multis passionibus obnoxium: nam quæ Angelorum, reliquarúmque incorporearum virtutum natura propter excellentiam ignorat, eorum scientiam hominibus qui humi repunt, & in terra volutantur, largitur Fides, cum ad regalem thronum, quem nullæ claudunt figuræ, perducat, & illius principio carentis & increatæ naturæ clarum splendorem immittat, suóque fulgore non modo sensuum caliginem expellat, verum etiam quicquid hic crassum & nubilum est à nostro intellectu discutiat. Facit enim vt ea clare conspiciat, quæ eo ipso quod ad ea pertingi non potest, cõspiciuntur, & eo ipso, quod sunt inaccessa, comprehenduntur. Spes autem efficit non vt belle somniemus, vt ita dicam, sed vt strenue in præsentibus futura teneamus; cum firma illa certitudo id quod tempore nondum est præsens, cogitationi perinde ac si iam adesset, exhibeat, & quæ expectantur, pene sub aspectum perducat. Spes enim obiecta impedimenta transgrediens, desiderantem cum desiderato connectit, fluxámque temporis naturam futurarum rerum comprehensione superat.

A ἐπισφαλῶς ὁδεύουσι τοῖς λογισμοῖς· μόνην ἐν δογματίζουσι ψηλαφῶντες τὴν ῥέουσαν καὶ ἄστατον τῶν ὁρωμένων φύσιν· τὸ δὲ τῆς ἀληθοῦς θεωρίας ὄμμα ἢ ἀμβλυώττοντες ὑπὸ χρόνου, ἢ πηρωθέντες ὑπὸ πλάνης ἀπολέσαντες, καί φασιν ἀρετῆς τέτταρα εἴδη εἶναι, δικαιοσύνην φημί, καὶ φρόνησιν, σωφροσύνην τε καὶ ἀνδρείαν. ἅπερ εἰ καὶ καλὰ ἐκεῖ τυγχάνειν, χθαμαλά τε ἕρπει, καὶ περὶ γῆν νήχεται, καὶ κατώτερα τῆς τοῦ οὐρανοῦ τυγχάνει ἁψῖδος. ἀνδρείαν γὰρ φήσαντες τὴν πρὸς τὴν ὕλην πάλην· καὶ σωφροσύνην, τὸ κατὰ τῶν παθῶν B κράτος· καὶ φρόνησιν, τὴν ἐν ταῖς πολιτείαις ἐπικράτειαν· καὶ δικαιοσύνην τὴν ἀρίστην τοῦ ἴσου μερίδα· τῷ βίῳ ὥς γε ἐνόμισαν τάξιν ἐνομοθέτησαν· χαλινώσαντες τῷ ὅρῳ τὴν ἐφ' ἑκάτερα πλείονος ἀμετρίαν. ὑψηλὸν δὲ καὶ τῆς παρούσης * λέξεως κρεῖττον, οὐδὲ νοῆσαι οὐδὲ ἐκφράσαι ἠδυνήθησαν· ἀλλὰ τῷ ἀσυνέτῳ τῆς πεπωρωμένης καρδίας βιασάμενοι, τό γε ἐπ' αὐτοῖς, τὴν ἀρετήν, τοῖς ὁρωμένοις αὐτὴν περιέκλεισαν C μόνον, μηδὲν συγχωρήσαντες ἔχειν ὑψηλόν τε καὶ τῆς οὐρανίου διαγωγῆς ἐφάμιλλον. οἱ δέ γε πεφωτισμένοι διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς καρδίας, ὧν καθηγητὴς καὶ διδάσκαλος ὁ μακάριος ὑπάρχει Παῦλος, ἀρετὴν ὡρίσαντο τὴν πρὸς τὸν Θεὸν ἀναπτεροῦσαν, καὶ τὰ περὶ γῆν ἐν τάξει πηδαλιουχοῦσαν. Τοιγαροῦν αὐτὸς οὗτος ὁ ἐν πᾶσιν ἀοίδιμος πολλὰ μὲν ἀπηριθμήσατο ἀρετῆς εἴδη. τρία δὲ ταῦτα ἐξαίρετα ἀνεβόησε, πίστιν, ἐλπίδα, καὶ ἀγάπην· ὧν, ἡ μὲν πίστις, χαρίζεται τοῖς ἀνθρώποις ὑπὲρ φύσιν, τοῖς νοητοῖς ἤδη καταμιγνῦσα τὸν D φοροῦντα τὸ πολυπαθὲς τῆς ὕλης ἱμάτιον. ἃ γὰρ ἡ ἀγγέλων καὶ τῶν λοιπῶν ἀσωμάτων δυνάμεων ἠγνόει διὰ μέγεθος φύσις, τούτων τοῖς χαμαὶ βαδίζουσι, καὶ ἐπὶ γῆς κυλινδουμένοις ἀνθρώποις τὴν ἐπιστήμην χαρίζεται ἡ πίστις, προσάγουσά τε τῷ βασιλικῷ καὶ ἀσχηματίστῳ θρόνῳ, καὶ ἀκριβῆ τὴν ἔλλαμψιν ἐνιεῖσα τῆς ἀνάρχου καὶ ἀκτίστου φύσεως, τῇ οἰκείᾳ ἀστραπῇ, καὶ τὴν ἀχλὺν τῶν αἰσθήσεων ἀπελαύνουσα, καὶ εἴ τι παχὺ καὶ νεφῶδες τῶν τῆς τοῦ νοῦ ἀποστήσασα. ποιεῖ γὰρ τρανῶς ἐκεῖνα ὁρᾶν, E ἃ τῷ μὴ φθάνεσθαι ὁρᾶται, καὶ τῷ ἀπροσίτῳ καταλαμβάνεται. Ἡ δὲ ἐλπὶς οὐκ ὀνειροπολεῖν ἀξίως τις εἴποι, ἀλλὰ γενναίως κρατεῖν ἐν τοῖς παροῦσι παρασκευάζει τὰ μέλλοντα· τῆς ἀναμφιβόλου πληροφορίας τὸ μήπω παρὸν τῷ χρόνῳ ὡς ἐνεστὸς ἤδη τῷ λογισμῷ ἐγχειριζούσης, καὶ σχεδὸν τὰ προσδοκώμενα ὑπ' ὄψιν ἀγούσης. ὑπερβᾶσα γὰρ ἐλπὶς τὰ ἐμποδὼν κωλύματα, συνάπτει τὸ ποθοῦν πρὸς τὸ ἐρώμενον, παραρρέον τοῦ χρόνου τῇ τοῦ μέλλοντος χάριτι νικῶσα

* λήξεως

καλ.

Ἡ δὲ ἀγάπη τοῦ καθ' ἡμᾶς μυστηρίου ἐστὶ τὸ κεφάλαιον· αὐτὴ γὰρ τὸν Θεὸν λόγον ἐπὶ γῆς ἀεὶ παρόντα ἐλθεῖν διὰ σαρκὸς ἐδυσώπησεν. ἑκάτερα τοίνυν ἀλλήλαις συμβαίνει· ἡ μὲν γὰρ πίστις ἔσοπτρόν ἐστιν ἀγάπης· ἡ δὲ ἀγάπη βεβαίωσις ὑπάρχει πίστεως. πιστεύομεν ὅτι ὁ Θεὸς λόγος ἀπαθῶς ἐσαρκώθη, καὶ εὐσεβῶς πιστεύομεν. αὕτη γὰρ τῆς ἡμετέρας σωτηρίας ἡ κρηπίς· ἀλλὰ καὶ ἀγαπῶμεν τὸν δι' ἡμᾶς τὴν τοῦ δούλου μορφὴν λαβόντα, καὶ μήτε φύσεως τροπὴν ὑπομεμενηκότα, μήτε προσθήκην τῇ τριάδι ἐργασάμενον. Πᾶς τοίνυν Χριστιανὸς ὁ μὴ πλουτῶν πίστει, καὶ ἐλπίδι, καὶ ἀγάπῃ, οὐκ ἔστιν ὃ λέγεται· ἀλλ' εἰ καὶ δοκεῖ πολλάκις δουλαγωγεῖν τὸ σῶμα, καὶ τῶν τῆς ψυχῆς παθῶν ἐλευθεριάζειν τὴν ἠθικὴν μόνην ἀρετὴν κατορθώσας, τῶν τῆς νίκης στεφάνων οὐκ ἀξιοῦται, οἷα δὴ πρὸς ἐκεῖνον τῇ θεογνωσίᾳ μὴ φθάσας τὸν βραβευτὴν ὄντα τῶν στεφάνων. πίστις τοίνυν καθὰ προέφην, πασῶν τῶν ἀρετῶν ὑπάρχουσα κεφάλαιον, φυλαττέσθω ἀνόθευτος, μηδὲν κίβδηλον ἐπαγομένη ἐκ λογισμῶν ἀνθρωπίνων· μήτε μὴν βεβήλοις καινοφωνίαις ἐπιθολουμένη, ἀλλ' εἴσω τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν μένουσα ὅρων. μηδενὸς τολμῶντος περιεργάζεσθαι τὴν δι' ἧς ἐσώθημεν, καὶ ἣν ἐν τῷ βαπτίσματι τῇ γλώττῃ ἐξεγράψαμεν· ἀποπέμπεται γὰρ τὸ ὕψος τῆς πίστεως πᾶσαν ἔφοδον θράσους, καὶ τόλμαν οὐ μόνον ἀνθρωπίνην, ἀλλὰ καὶ ὑπὸ φύσεως ἀσωμάτου κορυφουμένην, τοῦ μακαρίου Παύλου βοῶντος· ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. λειτουργεῖν γὰρ ἄγγελος ἐτάχθη, οὐ δογματίζειν· καὶ ἐπισφαλὲς τυγχάνει τὸ μὴ ἕκαστον ἐν οἷς ἐτάχθη, ἐμμένειν, ἀλλ' ἐπιχειρεῖν τοῖς ὑπὲρ φύσιν· ὥστε εἰ καὶ τὸ τῆς φύσεως ὁ τολμῶν ἐπάγοιτο ἀξιόπιστον, ἀπαράδεκτος ἔστω ἡ καινοτομία τοῦ κηρύγματος· φυλάξωμεν τοίνυν ἀνυστάκτως ἃ παρελάβομεν, ἀμετεώριστον ἀεὶ ἐπὶ τοῦ θησαυροῦ τῆς πίστεως, τὸ τῆς ψυχῆς διανοίγοντες ὄμμα. τί δὲ ἐκ τῶν γραφῶν παρελάβομεν, ἢ πάντως τοῦτο, ὅτι ὁ Θεὸς ἐδημιούργησε λόγῳ τὸν κόσμον, καὶ παρήγαγεν οὐ πρότερον οὖσαν τὴν κτίσιν· ὅτι νόμῳ φυσικῷ τὸ λογικὸν ἐτίμησε ζῷον· ὅτι δέδωκεν ἐντολὴν τῷ αὐτεξουσίῳ, ὑποδεικνὺς τὸ συμφέρον, ἵνα φύγῃ τῇ καλλίστῃ αἱρέσει τὸ βλαβερόν· καὶ ὅτι ἡ ἐθελούσιος πρὸς τὸ χεῖρον τοῦ ἀνθρώπου ὁρμή, ἐξόριστον ἐποίησε τὸν ἀπειθῆ τοῦ παραδείσου. ὅτι διὰ πατέρων, καὶ πατριαρχῶν, καὶ νόμου, καὶ κριτῶν, καὶ προφητῶν ἐπαίδευσεν ὁ πλάστης τὴν φύσιν, καταφεύγειν μὲν τῶν ἁμαρτημάτων, φροντίζειν δὲ τοῦ δικαιοπραγεῖν· ὅτι τέλος ὡς ἐπεκράτει βουλομένων ἡμῶν ἡ ἁμαρτία,

A Charitas vero sanctæ religionis nostræ caput est. Hæc namque Deum Verbum cum præsens iugiter esset in terris, ad nos per carnem venire persuasit. Ambæ igitur inter se conueniunt: nam Fides speculum est Charitatis, & Charitas confirmatio Fidei. Credimus Deum Verbum citra passionem incarnarum, & piè credimus. hæc namque salutis nostræ fundamentum est: quin etiam diligimus eum qui propter nos formam serui suscepit, ita vt nec mutationem vllam suæ naturæ subiret, neque Trinitati accessionem faceret. B Omnis itaque Christianus qui non est fide & spe & charitate diues, id non est, quod dicitur: atque etiam si corpus suum in seruitutem redigere videatur, & ab animi passionibus esse liber, cum virtutem tantummodo moralem perfecerit, victoriæ coronam haud consequetur: quippe qui ad illum per agnitionem diuinitatis minimè peruenerit, qui coronarum est distributor. Fides igitur, quæ omnium sicut prædixi, virtutum est caput, syncera seruetur, nihil ex humanis ratiocinationibus adulterarum admittens, neque profanis vo- C cum nouitatibus inquinata, sed intra Euangelicos & Apostolicos terminos consistens, ita vt nemo præter eam aliquid audeat, per quam saluati sumus, & quam in baptismate linguæ ministerio scripsimus. Nam sublimitas Fidei omnem audaciæ impetum conatúmque repellit, non modo humanum, verumetiam ab incorporea natura sublimiter admotum, beato Paulo dicente: si nos aut angelus de cœlo euangelizauerit vobis præter id quod accepistis, anathema sit. *Galat. 1.* In ministrandi D namque ordine locatus est angelus, non dogmata præscribendi: & periculosum sane est non in eo quemque ordine consistere in quo collocatus est, sed ea quæ supra naturam suam sunt aggredi: itaque si quid ausus, naturæ suæ afferat auctoritatem, prædicationis nouitas ne recipiatur. Igitur quæ accepimus, vigilantissimè seruemus, defixam semper in Fidei thesauro animi aciem habentes. Quid autem è scripturis accepimus, nisi hoc prorsus, quod Deus verbo mundum condidit, & creaturam quæ prius non erat, E produxit: quod lege naturali rationale animal honestauit: quod eius libero arbitrio mandatum dedit, indicans quid expediret, vt optima electione quod erat noxium vitaret: quod ille etiam voluntarius hominis ad deteriora motus, contumacem expulit à paradiso: quod prætera per patres ac patriarchas, per legem, & iudices & prophetas ille formator naturam erudiuit vt peccata respueret, iustis actionibus studeret: quod postremo cum volentibus nobis peccatum dominaretur,

A diabolus vero in pœnam delinquendi commune naturæ totius exitium exigeret, quippe cum lex naturalis obscurata esset, & scripta contemnerentur, & quamuis Prophetæ monerent vtpote homines quæ facienda essent, non tamen à vitio ac pernicie liberarent: tum denique Deus ipse figura carens, sine initio, incircumscriptus, & omnipotens Verbum aduenien incarnatum est: aderat enim illi posse cum vellet, & natum ex Virgine: vbique volens ostendere verè se hominem factum. ipsam enim naturam necessario & initia & habitus & passiones consequuntur. Neque enim dicit B Euangelista in hominem iam perfectum introisse, sed carnem factum esse, ad ipsa nostræ naturæ primordia perueniens, & ad ipsa generationis initia recurrens. Sicut enim qui naturæ ordine gignitur homo, non statim perfectus ad operandum prodit, sed ipsa naturæ initia primum caro fiunt, deinde tempore progrediente paulatim vires accipiunt quæ ad integritatem sensuum & operationum conferant: sic Deus Verbum ad ipsa initia radicémque generationis humanæ recurrens, primum caro factum est, non C quod in carnem sit versum, absit; manet námque diuinitas omni mutabilitate superior; mutatio enim, naturæ fluentis est passio: sed perennis illius ac semper eodem se habentis modo naturæ, incommutabilitas est propria. Fatemur igitur vtrisque scripturæ vocibus vtentes, & carnem factum esse, & serui formam accepisse: & vtræque piè intellectæ salutis nobis sunt semina. Nam per id quod dixit, Factum est, indiuiduam summæ vnionis vim Euangelista subindicat. Vt enim vnitas diuidi in duas vnitates D non potest, nam si diuidatur, iam non erit vnitas, sed dualitas; sic quod per summam vnionem est vnum, nunquam in duo diuidetur. Porro verbum, Accepit, naturæ immobilitatem declarat. Nam quia omne quod fit, aut ex non existente fit, vt cœlum quod ante non erat. aut ex aliquo extante in aliud

Exod. 7. conuertitur: vt Nili fluenta ex aquis in sanguinem sunt mutata; & neutrum diuinæ naturæ congruit; neque enim ex nullis extantibus productus est, qui nunquam initium habuit, neque ex aliquibus extantibus E immutatum illud incommutabile Verbum; ideo diuina Scriptura vt per vtrumque Verbum & immutabilitatem Deitatis & mysterij indiuiduam vnitatem indicaret, Factum est, dixit, & verbum Accepit, pronuntiauit, vt priore verbo vnitatem personæ commendaret, altero autem immutabilitatem naturæ prædicaret. Deus igitur Verbum factus est homo perfectus, sed ita vt miraculum quod intelligentiam superat, immutabilem naturam non imminuerit; sed formam serui accipiens caro factum est, &

A ὁ δὲ διάβολος δίκην τοῦ πλημμελεῖν ἀπῄτει τὴν τῆς φύσεως παντωλεθρίαν, οἷα δὴ καὶ τοῦ φυσικοῦ νόμου ἀμαυρωθέντος, καὶ τοῦ γραπτοῦ φαυλισθέντος, καὶ τῶν προφητῶν ὡς ἀνθρώπων ὑπομνησάντων τὰ πρακτέα, ἀλλ' οὐκ ἐξαρπασάντων τοῦ χείρονος. αὐτὸς ὁ Θεὸς ὁ ἀσχημάτιστος, καὶ ἄναρχος, καὶ ἀπερίγραπτος, καὶ παντοδύναμος λόγος ἐλθὼν ἐσαρκώθη. τὸ γὰρ δυνατὸν παρῆν αὐτῷ βουλομένῳ. καὶ λαβὼν τὴν τοῦ δούλου μορφὴν, ἐγένετο σὰρξ, καὶ ἐτέχθη ἐκ παρθένου, πανταχοῦ βουλόμενος δεῖξαι, ὅτι κατ' ἀλήθειαν γέγονεν ἄνθρωπος· ἀναγκαίως γὰρ τῇ B φύσει παρέπονται αἱ ἀρχαὶ καὶ τὰ σχήματα, καὶ τὰ πάθη· οὐδὲ γὰρ λέγει ὁ εὐαγγελιστὴς ὅτι εἰσῆλθεν εἰς τέλειον ἄνθρωπον, ἀλλ' ἐγένετο σὰρξ, ἐπ' αὐτὴν τὴν καταβολὴν τῆς φύσεως φθάσας, καὶ εἰς τὴν ἀρχὴν τῆς γενέσεως ἀναδραμών. ὥσπερ γὰρ ὁ τικτόμενος κατὰ φύσιν ἄνθρωπος, οὐκ εὐθὺς τέλειος τῆς ἐνεργείας πρόεισιν. ἀλλ' αὐτὴ ἡ καταβολὴ τῆς φύσεως, πρῶτον γίνεται σάρξ. εἶτα τῷ χρόνῳ κατὰ μικρὸν προσλαμβάνει τὰς πρὸς ἀπαρτισμὸν τῶν αἰσθήσεών τε καὶ ἐνεργειῶν συντελούσας δυνάμεις. οὕτως ὁ Θεὸς C λόγος ἐπ' αὐτὴν τὴν ἀρχὴν καὶ ῥίζαν τῆς ἀνθρωπείας γενέσεως ἀναδραμὼν, πρῶτον γίνεται σάρξ, οὐ τραπεὶς εἰς σάρκα, μὴ γένοιτο, μένει γὰρ ἡ θεότης ἀλλοιώσεως ἀνωτέρα· ἐπείπερ τὸ τρεπτὸν, τῆς παραρρεούσης φύσεως πάθος· τῆς γὰρ ἀϊδίου καὶ ἀεὶ ὡσαύτως ἐχούσης τὸ ἄτρεπτον ἴδιον. φαμὲν οὖν ἑκατέραις κεχρημένοι ταῖς γραφικαῖς φωναῖς, ὅτι καὶ ἐγένετο σὰρξ, καὶ ἔλαβε τὴν τοῦ δούλου μορφήν· καὶ ἑκάτερα εὐσεβῶς νοούμενα, σωτηρίας ἡμῖν τυγχάνει σπέρματα. διὰ μὲν γὰρ τοῦ ἐγένετο, τὸ ἀδιαίρετον τῆς ἄκρας ἑνώ- D σεως ὁ εὐαγγελιστὴς ὑπαινίττεται. ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἂν τμηθείη εἰς μονάδας δύο. ἡ γὰρ εἰς ταῦτα διαιρουμένη, οὐκ ἂν εἴη μονὰς, ἀλλὰ δυάς· οὕτω τὸ ἓν κατὰ τὴν ἄκραν ἕνωσιν οὐκ ἂν διαιρεθείη εἰς δύο. τὸ δὲ ἔλαβε, βοᾷ τὸ ἄτρεπτον τῆς φύσεως. ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἢ ἐξ οὐκ ὄντος γίνεται, ὡς ὁ οὐρανὸς μὴ πρότερον ὢν ἢ ἐκ τοῦ ὑπάρχοντος ἀλλοιοῦται, ὡς τὸ Νειλῷον ῥεῖθρον ἐξ ὕδατος εἰς αἷμα μετεβλήθη. ἑκάτερα δὲ ἐπὶ τῆς θείας φύσεως ἀνάρμοστα. E οὔτε γὰρ ἐξ οὐκ ὄντων παρήχθη ὁ ἀεὶ ἄναρχος, οὔτε ἐξ ὄντων ἐτράπη ὁ ἀναλλοίωτος λόγος. Διὰ τοῦτο δι' ἑκατέρων καὶ τὸ ἄτρεπτον τῆς θεότητος, καὶ τὸ ἀδιαίρετον τοῦ μυστηρίου, ἡ θεία ὑπεμφαίνουσα γραφὴ τὸ ἐγένετο, εἶπε καὶ τὸ ἔλαβεν, ἐκήρυξεν, ἵνα διὰ μὲν τοῦ προτέρου τὸ ἑνικὸν τοῦ προσώπου παραστήσῃ, διὰ δὲ τοῦ ἑτέρου τὸ ἀναλλοίωτον τῆς φύσεως ἐκβοήσῃ. Ἐγένετο τοίνυν ὁ Θεὸς λόγος, τέλειος ἄνθρωπος· οὐ κολοβώσαντος τὴν ἄτρεπτον φύσιν τοῦ ὑπὲρ ἔννοιαν θαύματος· ἀλλὰ

id fide

A πίστει τὸ τοιοῦτο μεμαθήκαμεν, οὐκ ἐρεύνῃ κατειλήφαμεν. καὶ γενόμενος ἄνθρωπος, σώζει τῷ ὁμοιοπαθεῖ τὸ κατὰ σάρκα ὁμόφυλον γένος· ἐκτίσας μὲν τῆς ἁμαρτίας τὸ χρέος τῷ ὑπὲρ ἁπάντων ἀποθανεῖν ὡς ἄνθρωπος· καταργήσας δὲ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι, τὸν διάβολον, ὡς μισοπόνηρος Θεός· τοῦ νόμου τὸ δυνατὸν ὑπέδειξε διὰ τοῦ πληρῶσαι πᾶσαν δικαιοσύνην· καὶ τῇ φύσει τὴν προτέραν εὐγένειαν ἀπέδωκεν, διὰ τοῦ τιμῆσαι τῷ ἐνανθρωπῆσαι τὴν ἐκ γῆς παρ' αὐτοῦ διαπλασθεῖσαν φύσιν. εἷς τοίνυν ἐστὶν υἱός. B τριάδα γὰρ ὁμοούσιον προσκυνοῦντες, τέταρτον τῷ ἀριθμῷ οὐκ ἐπεισφέρομεν. ἀλλ' ἔστιν εἷς υἱὸς ὁ ἀνάρχως ἐκ πατρὸς γεννηθεὶς, δι' οὗ τοὺς αἰῶνας πιστεύομεν γεγενῆσθαι· ὁ συναΐδιος τῇ ῥίζῃ κλάδος, ὁ ἀρρεύστως ἐκ πατρὸς ἐκλάμψας· ὁ ἀχωρίστως τοῦ νοῦ προϊών τε καὶ μένων λόγος. εἰ γὰρ καὶ ἐπὶ γῆς ὤφθη, ἀλλὰ τοῦ γεννήσαντος οὐκ ἐχωρίσθη· οὗτος ἠθέλησε σῶσαι ὃν ἔπλασε, καὶ ἔσωσέ γε, μήτραν οἰκήσας τὴν κοινὴν τῆς φύσεως πύλην, ἣν καὶ τῇ οἰκήσει εὐλογήσας, καὶ τῇ γεννήσει σφραγίσας, ἔδειξε τῷ ὑπὲρ φύσιν τόκῳ, ἑαυτὸν ὑπὲρ C λόγον ἐνανθρωπήσαντα. Οὐκ ἄλλος οὖν ὁ Χριστὸς, καὶ ἄλλος ὁ Θεὸς, ὁ Θεὸς λόγος. δύο γὰρ υἱοὺς ἡ θεία φύσις οὐκ οἶδεν· ὁ μόνος, μονογενῆ ἐγέννησεν. ἔνθα γὰρ οὐκ ἔστι συζυγία τῶν τικτόντων, ἐκεῖ οὐχ εὑρίσκεται δυὰς τῶν τικτομένων. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. εἰ δὲ ἄλλος ἐστὶν ὁ Χριστὸς παρὰ τὸν Θεὸν λόγον, ἀνάγκη ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, κατὰ τὸν τῶν ἐμπλήκτων λόγον. Εἰ δὲ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, πῶς τὸν κατὰ φύσιν αὐτὸν προτιμᾷ D τὰ οὐράνια, καὶ γονυπετεῖ τὴν ἐπωνυμίαν τοῦ ἥττονος; πῶς δὲ ἂν δεξώμεθα τὰς προφητικὰς φωνὰς βοώσας· ὁ Θεὸς ἡμῶν ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὀπτασίαν γάρ φησι, τὴν κατὰ σάρκα φανέρωσιν· καὶ συναναστροφὴν ὀνομάζει τὴν ἐπὶ καιροῦ μετὰ ἀνθρώπων πολιτείαν, ἐν ᾗ δημοσιεύων ὁ ἄφθονος τὸ παντοδύναμον ἔδειξεν, ὅτι ὡς παντοκράτωρ, καὶ ὃ ἦν ἔμεινε δι' ἑαυτὸν, καὶ ὃ ἠθέλησε, γέγονεν δι' ἡμᾶς. Εἰ δέ τισι σκανδάλου παραίτια γέγονε τὰ σπάργανα, καὶ ἡ ἐν E φάτνῃ ἀνάκλισις, καὶ ἡ ἐν χρόνοις κατὰ σάρκα αὔξησις, καὶ τὸ καθευδῆσαι ἐν πλοίῳ, καὶ τὸ κοπιάσαι ὁδοιπορήσαντα, καὶ τὸ πεινῆσαι ἐν καιρῷ, καὶ ὅσα τῷ κατὰ ἀλήθειαν γεγονότι συμβαίνει ἀνθρώπῳ· ἴστωσαν ὡς κωμῳδοῦντες τὰ πάθη, ἀρνοῦνται τὴν φύσιν· ἀρνούμενοι δὲ τὴν φύσιν, οὐ πιστεύουσι τῇ οἰκονομίᾳ· μὴ πιστεύοντες δὲ τῇ οἰκονομίᾳ, ζημιοῦνται τὴν σωτηρίαν. Εἰ μὲν γὰρ ἐξωλίσθησεν ἀπὸ γενέσεως κόσμου εἰς τὸν βίον ἄνθρωπος,

A id fide didicimus, non inquisitione comprehendimus. Ac factus homo, cognato secundum carnem generi per id quod erat similiter passibile salutem tribuit: cum peccati quidem debitum, tanquam homo pro omnibus mortuus, persoluisset: destruxisset autem tanquam execrator mali Deus illum qui habebat mortis imperium, id est, diabolum: & legem esse possibilem ostendit, omnem implendo iustitiam, naturæque nostræ pristinam nobilitatem restituit, in eo quod homo factus, naturam à se de terra B formatam honorauit. Vnus igitur est filius: nam Trinitatem consubstantialiter cum adoremus, quarto numero non adiicimus, sed vnus est filius sine initio de patre natus, per quem secula facta esse credimus: ramus radici coæternus, ille ex patre citra fluxum exortus, Verbum ex illa mente * inseparabiliter & procedens & manens. nam etiamsi in terris visus est, non tamen est à generante seiunctus. Hic voluit saluare quem formauit, & quidem saluauit; vterum inhabitans communem naturæ ianuam; quem cum sua inhabitatione benedixisset, & ge- C neratione obsignasset, partu qui supra naturam fuit, ostendit se supra rationem fuisse hominem factum. Ergo Deus Verbum non alter est Christus, & alter Deus: duos namque filios natura diuina non nouit: ille solus vnigenitum genuit: vbi enim non est coniunctio generantium, ibi dualitas generatorum non inuenitur. In nomine Iesu Christi omne genu flectitur, cœlestium, terrestrium & infernorum. Quod si alius est Christus, præter Deum Verbum, necesse est purum hominem esse Christum, vt stupidi homines D dicunt. Si autem purus homo est Christus, quomodo illum supra eius naturæ conditionem cœlestia venerantur, & ad inferioris nomen genu flectunt? quomodo etiam accepturi sumus prophetica oracula clamantia: Deus nuper in terris visus est, & cum hominibus conuersatus? Nam visionem dicit hoc ipsum, quod est in carne manifestatus: & conuersationem appellat illam ipsam ad tempus cum hominibus commorationem, in qua ille minime inuidus, vt omnipotentiam suam declararet, ostendit quod tanquam omnipotẽs, & id quod erat mansit propter se, & quod vo- E luit, factus est propter nos. Quod si nonnullis occasionem scandali præbent fasciæ, & illa in præsepi reclinatio, & illud in tempore secundum carnem augmentum, & quod in naui dormierit, & ex itinere sit fatigatus, & esurierit in tempore, & quæcumque facto secundum veritatem homini conueniunt; nouerint se dum passiones irrident, negare naturam: dúmque naturam negãt, non credere dispensationem: non credentes vero dispẽsationem, dãnum facere salutis: Nã si ex quo cõditus est mundus, quisquam in hanc vitam lapsus est,

* Dionys. ineffabiliter, ἀῤῥήτως

Philip. 2.

Baruch. 3.

aliam præter hanc naturæ viam ingressus, id A ostendant qui contentiose aduersantur, & tunc demum sua deliramenta contexant. Sed si hæc sint naturæ communis initia, & Deus Verbum reuera factus est homo; cur qui naturam confitentur, passiones irrident? Alterum igitur ex duobus eligant, aut erubescentes de passionibus naturam negent, & cum Manichæis consentientes, inter impios censeantur: aut si lucrum ex incarnatione proueniens admittunt, de passionibus non erubescant, quæ naturæ conueniunt. Miror autem hominum amentiam nouum erroris iter ingredientium. Ego namque cum vnum filium esse sciam, ac piè didicerim, vnam incarnati Dei confiteor hypostasin: itaque cum vnus sit qui passiones pertulit, & qui miracula perfecit, cur diuiniora reticentes, humiliora per iocum irrident? Vt enim fidem faceret, se, cum Deus esset ac Verbum existeret, permanendo quod erat, factum esse carnem, & infantem, & hominem, tanto Sacramento nulla mutatione violato, idem ipse perficiebat miracula, & sustinebat passiones, per signa quidē se mãsisse quod erat significãs, per passiones autem id se factum esse quod formauerat, confirmans. Vnum igitur & eundem filium confitemur, & sempiternum, & in nouissimis temporibus incarnatum, diuinæ naturæ nihil adulterinum adiicientes. nihil enim superuacuum est in illo throno. Sed illud prorsus multorum sermone diuulgatum dicent, & syllogismos aranearum telis infirmiores texent. Si Trinitas est eiusdē essentiæ, profecto Trinitas est impassibilis. sed Deus Verbum in Trinitate spectatur: Verbũ igitur est impassibile. Quod si Deus Verbũ est impassibile, colligitur ergo crucifixũ alium esse præter Deum Verbum quod est impassibile. Verè telam araneæ texunt qui hæc dicunt, & scribũt in aquis, qui has inanes propositiones meditantur. Dicentes enim se esse sapientes, stulti facti sunt, & obscuratum est insipiens cor eorum. Nam lippus oculus solis radios non recipit, & mēs infirma sublimitatem Fidei non admittit. Quid igitur nos ad ista dicimus? Nimirum quod ad rationem attinet diuinitatis, consubstantialem & impassibilem esse Trinitatem: neque enim cum ipsum dicimus passum fuisse, ratione diuinitatis passum dicimus: natura namque diuina nullam recipit passionem. Sed confitentes Deum Verbum vnam Trinitatis personam incarnatam, iis qui cũ Fide sciscitãtur, causam afferimus intelligendi quare sit incarnatus. Nam quia Deus Verbũm passiones destruere volebat, quarum finis mors erat, & immortalis illa natura passiones in se admittere non poterat: si enim omnis passio compositarum rerum pugna est atque seditio, in immateriali autem & singulari substantia nulla est compositio: non igitur eò pertingit passio,

Quod Cyrillus dicit. Vna natura Dei Verbi incarnata, & item Athanasius, hoc iste dicit, Vna hypostasis.

* κενὰς *Dionys.*

Isa. 59.

* ἔστως

ἑτέραν παρὰ ταύτην φύσεως βαδίσας ὁδὸν, ἐξελεγχέτωσαν οἱ φιλόνεικοι, καὶ τότε τοὺς οἰκείους ὑφαινέτωσαν λήρους. εἰ δὲ αὕτη τῆς κοινῆς φύσεως ἡ ἀρχὴ, ὁ δὲ Θεὸς λόγος κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, τοῦ χάριν συνομολογοῦντες τὴν φύσιν σκώπτουσι τὰ πάθη; θάτερον οὖν ἑκατέρων ἐπιλεξάσθωσαν, ἢ ἐπαισχυνόμενοι τὰ πάθη, ἀρνείσθωσαν τὴν φύσιν, καὶ τὰ Μανιχαίων φρονοῦντες τοῖς ἀσεβέσι συντετάχθωσαν. ἢ εἰ προσίενται τὸ ἐκ τῆς ἐνανθρωπήσεως κέρδος, ὁμολογοῦντες τὴν φύσιν, μὴ αἰσχυνέσθωσαν τὰ τῇ φύσει συμβαίνοντα πάθη. θαυμάζω δὲ καὶ τὴν φρενοβλάβειαν τῶν * κενὰς ὁδοὺς ἀπάτης ἀνατεμνόντων. ἐγὼ γὰρ ἕνα εἰδώς τε καὶ διδαχθεὶς εὐσεβῶς υἱὸν, μίαν ὁμολογῶ τὴν τοῦ σαρκωθέντος Θεοῦ λόγου ὑπόστασιν. ἑνός τε ὄντος τοῦ τε τὰ πάθη ὑπομείναντος, καὶ τοῦ τὰ θαύματα τελεσιουργήσαντος, τοῦ χάριν τὰ θειότερα σιωπῶντες, τὰ ἥττονα κωμῳδοῦσιν; ἵνα γὰρ πιστώσηται ὅτι Θεὸς ὢν, καὶ λόγος ὑπάρχων, καὶ μείνας ὃ ἦν γέγονε σὰρξ, καὶ βρέφος, καὶ ἄνθρωπος, μηδεμιᾶς τροπῆς τὸ μυστήριον ὑβριζούσης, ὁ αὐτὸς καὶ θαυματουργεῖ, καὶ πάσχει, διὰ μὲν τῶν σημείων τὸ εἶναι ὃ ἦν αἰνιττόμενος, διὰ δὲ τῶν παθῶν, τὸ γενέσθαι ὃ ἔπλασε πιστούμενος. ἕνα τοίνυν καὶ τὸν αὐτὸν ἀϊδίως τε καὶ ἐπ' ἐσχάτων σαρκωθέντα ὁμολογοῦμεν υἱὸν, μηδὲν ἐπεισάγοντες τῇ φύσει νόθον. οὐδὲν γὰρ περιττὸν ἐν τῷ θρόνῳ. Ἀλλὰ πάντως ἐκεῖνο τὸ πολυθρύλλητόν μοι ἐροῦσι, πλέκοντες συλλογισμοὺς ἀράχνης ἀσθενεστέρους. Εἰ ἡ τριὰς φησὶν ὁμοούσιος, ἡ τριὰς ἀπαθής· ὁ δὲ Θεὸς λόγος ἐν τῇ τριάδι ὁρᾶται· καὶ ὁ λόγος ἄρα ἀπαθής· Εἰ δὲ ὁ Θεὸς λόγος ἀπαθὴς, εὑρεθήσεται ὁ σταυρωθεὶς ἕτερος παρὰ τὸν Θεὸν λόγον τὸν ἀπαθῆ * οὕτως ἱστὸν ἀράχνης ὑφαίνουσιν οἱ ταῦτα λέγοντες, καὶ καθ' ὑδάτων γράφουσιν οἱ τὰ κενὰ ταῦτα μελετῶντες προβλήματα. φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Λημῶν γὰρ ὀφθαλμὸς ἡλίου ἀκτῖνας καθαρῶς οὐ δέχεται, καὶ ἀσθενοῦσα διάνοια πίστεως οὐ προσίεται ὕψος. τί τοίνυν φαμὲν ἡμεῖς; ὅτι κατὰ τὸν λόγον τῆς θεότητος ἡ τριὰς ὁμοούσιός ἐστι καὶ ἀπαθής. οὐδὲ γὰρ φάσκοντες αὐτὸν πεπονθέναι, τῷ λόγῳ τῆς θεότητος φαμὲν αὐτὸν πεπονθέναι· ἀνεπίδεκτος γὰρ ἡ θεία φύσις παντὸς πάθους. ἀλλ' ὁμολογοῦντες τὸν Θεὸν λόγον τὸν ἕνα τῆς Τριάδος σεσαρκῶσθαι, διδάσκομεν τὴν αἰτίαν τοῦ νοεῖν τοῖς μετὰ πίστεως ἐρωτῶσι δι' ὃ ἐσαρκώθη. ἐπεὶ γὰρ ἠβούλετο Θεὸς λόγος καταργῆσαι τὰ πάθη, ὧν πέρας ἦν ὁ θάνατος· προσίεσθαι δὲ πάλιν τὰ πάθη ἡ ἀθάνατος φύσις, οὐχ οἵα τε ἦν· εἰ γὰρ πᾶν πάθος στάσις ἐστὶ, καὶ μάχη τῶν συνθέτων, περὶ δὲ τὸ ἄϋλον καὶ μόνον οὐδεμία σύνθεσις, οὐκ ἄρα ἐκεῖ ἔφθανε πάθος,

ἔνθα οὐδὲ σκιώδης τυγχάνει. Βουληθεὶς τοιγαροῦν τὰ τυραννοῦντα τὴν λογικὴν σάρκα πάθη καταργῆσαι, καθὰ προεξέφημεν, ὧν ἀκρόπολις ὑπῆρχεν ὁ θάνατος, σαρκοῦται ἐκ τῆς παρθένου ὡς οἶδεν ὁ Θεὸς λόγος. καὶ χρηματίζεται ὡς ἄνθρωπος. τοῦτο γὰρ ηὐδόκησε. καὶ κενοῖ ἑαυτὸν ἐν δούλου μορφῇ μηδεμίαν τῆς θεότητος περιγραφὴν ὑπομείνας· καὶ οὕτω σώζει πᾶν τὸ ἀνθρώπινον γένος· ἐν τῇ σαρκὶ μὲν αὐτοῦ καταργήσας τὰ πάθη· φυλάξας δὲ αὐτοῦ ἀπαθῆ τὴν θεότητα. Διὰ τοῦτο καὶ ὁ Γαβριὴλ εὐαγγελιζόμενος τὴν τοῦ τεχθέντος αὐθεντίαν καὶ δύναμιν, ἐβόα πρὸς τὴν Μαριάμ. αὐτὸς γάρ, φησι, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἀνομιῶν αὐτῶν. λαὸς δὲ οὐκ ἂν εἴη ἀνθρώπου, ἀλλὰ Θεοῦ. οὐδὲ ἂν ἀπαλλάξαι τὸν κόσμον ἁμαρτημάτων ὁ μετὰ φθορᾶς εἰσπηδήσας εἰς τὸν βίον, καὶ τὴν ἀρχὴν τῆς γενέσεως οὐκ ἔχων καθαρὰν ἀκατηγόρητον, ἀλλὰ ἀναγκαίως ὁ αὐτὸς Θεός τε ὢν καὶ ἄνθρωπος, οὐ διαιρούμενος εἰς δύο, ἀλλὰ μένων εἷς, διὰ μὲν τοῦ ἐκ γυναικὸς γεννηθῆναι, δείκνυσιν ὅτι ἄνθρωπος· διὰ δὲ τοῦ ἀσυνδυάστως, καὶ φυλάξει τὴν τεκοῦσαν παρθένον, μαρτυρούμενος ὅτι ἐστὶ Θεός· ἔσωσε τὸν* κόσμον Ἰησοῦς ὁ Χριστός, ἐλθὼν ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συναναστραφείς· εἰ δὲ ὁ Χριστὸς ψιλός ἐστιν ἄνθρωπος, καὶ οὐκ αὐτὸς ὁ Θεὸς λόγος, πῶς ἔκτισε τὰ πάντα ἐν ἀρχῇ τότε οὐκ ὤν; Εἰ γὰρ μεταγενέστερος τῆς δημιουργίας ὁ ἄνθρωπος, εὔδηλον ὡς τοῖς πρὸ αὐτοῦ τὴν γένεσιν οὐκ εἰργάσατο ὁ Χριστός, οἷα δὴ μεταγενέστερος παραχθεὶς ὡς ψιλὸς ἄνθρωπος. πῶς οὖν Παῦλος ἐβόα, εἷς κύριος Ἰησοῦς ὁ Χριστός, δι' οὗ τὰ πάντα; Εἰ γὰρ διὰ Χριστοῦ τὰ πάντα, εὔδηλον ὅτι Χριστὸς Θεός ἐστι λόγος· τοῦ Εὐαγγελιστοῦ βοῶντος· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι' αὐτοῦ ἐγένετο. Εἰ τοίνυν ὁ εὐαγγελιστὴς βοᾷ, ὅτι διὰ τοῦ λόγου τὰ πάντα ἐγένετο· καὶ ὁ Παῦλος τοῦτο ἑρμηνεύων λέγει, εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα. εὔδηλον ὅτι Χριστὸς Θεός ἐστι λόγος. Εἰ δὲ προφέροιεν τὰς ἐν ταῖς θείαις γραφαῖς φωνάς, ἐν αἷς κέκληται ἄνθρωπος, τοῦ Πέτρου λέγοντος· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ ἄνδρα· καὶ τοῦ Παύλου λέγοντος, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρέχων. καὶ αὐτοῦ τοῦ δεσπότου περὶ ἑαυτοῦ λέγοντος· τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον; ἴστωσαν ὡς ἢ διὰ νωθείαν ἀπελείφθησαν τῆς γραφικῆς ἐννοίας, ἢ διὰ πονηρίαν πρὸς τὴν ἑαυτῶν μοχθηρίαν διαστρέφουσι τὰ καλῶς γραφέντα. καὶ ἄνθρωπος γάρ ἐστι κατ' ἀλήθειαν ὁ Χριστός· ἀλλὰ τοῦτο γέγονεν, οὐ πρότερον ὢν εἰ μὴ μόνον Θεός· ὥσπερ γὰρ Θεὸς οὐ κτιστός, οὕτως, ὁ αὐτὸς καὶ ἄνθρωπος οὐ φανταστός, καὶ ὥσπερ τῷ πατρὶ κατὰ τὴν θεότητα ὁμοούσιος,

A vbi non est compositio: volens igitur, vt prædiximus, destruere passiones quæ rationalem carnem opprimebant, quarum summa arx erat interitus, incarnatur ex virgine, vt nuuit ipse Deus Verbum, & habitu formatur vt homo, id enim ipsi placuit, & exinaniuit semetipsum in forma serui: nullam suæ Deitatis circumscriptionem admittens: & hoc modo salutem vniuerso hominum generi tribuit, in sua quidem carne passiones destruens, sed suam Deitatem seruans impassibilem. Hanc ob causam cum Gabriel nascentis auctoritatem ac potentiam annuntiaret, dixit ad Mariam: ipse saluum faciet populum suum à peccatis eorum. Populus autem non hominis, sed Dei est: neque mundum à peccatis liberare potest quisquis in hanc vitam per corruptionem intrauerit, & non habuerit expers culpæ natiuitatis exordium. Sed necessario idem cum Deus & homo esset, non in duo diuisus, sed vnus permanens, per id quod ex muliere natus est, se hominem esse demonstrauit: per id autem quòd sine coniunctione natus, & quod matrem virginem seruauit, quod Deus esset, declaratus est: saluauit mundum Iesus Christus vbi venit in terras, & cum hominibus conuersatus est. Quod si Christus purus homo est, & non ipse Deus Verbum, quomodo in principio creauit omnia, qui tunc, vt ipsi dicunt, non erat? Nam si postremus in creaturis homo fuit, liquet, iis quæ ante illum fuerant, creationem largiri non potuisse Christum, quippe qui vt purus homo posteriùs productus fuit. Quomodo igitur Paulus ait, Vnus Dominus Iesus Christus per quem omnia? Nam si per Christum omnia, liquet Christum Deum esse Verbum, Euangelista testante: In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum, hoc erat in principio apud Deum, omnia per ipsum facta sunt. Si igitur Euangelista dicit, omnia esse per Verbum facta, & hoc ipsum beatus Paulus interpretans, ait, Vnus Dominus Iesus Christus, per quem omnia: liquet Christum esse Deum Verbum. Quod si voces proferunt ex diuinis literis, in quibus homo est appellatus, cum dicat Petrus: Iesum à Nazareth, virum approbatum à Deo: & Paulus adserat: In viro in quo statuit, fidem præbens omnibus: & ipse Dominus de se fateatur: Quid me quæritis interficere hominem? nouerint se aut per segnitiem non assequi scripturæ intelligentiam, aut per malitiam, quæ bene scripta sunt, ad suam improbitatem peruertere. Nam & homo est reuera Christus, sed hoc factus est, cum prius non esset nisi tantummodo Deus. Sicut enim Deus est non creatus, sic idem quoque homo est non imaginatione fictus: & quemadmodum Patri secundum diuinitatem consubstantialis,

Luc. 1.

Dionys. Saluum fecit populum suum? Iesus Christus qui venit in terras.

**λαὸν αὐτοῦ. τὸς Ἰησοῦς*

1. Cor. 8.

Ioan. 1.

Act. 2.

Act. 17.

Ioan. 8.

A sic idem ipse matri secundum carnem cognatus, ita vt vbique veritas mysterij præfulgeat, omnisq; deceptionis fraus remota sit. Quod si Virgo non Deum genuit, nec magno digna erit illa inuiolata miraculo: multæ siquidem & aliæ mulieres iustos homines huic sæculo protulerunt. Si autem Prophetarum voces mysterium adeo ineffabile præcinen-
Esai.7. tes clamant: Ecce virgo in vtero habebit, & pariet filium & vocabunt nomen eius Emanuel: quod interpretatus est Gabriel, dicens,
Matth.1. Nobiscum Deus, cur propter nascentis inclinationem, gloriam parientis amputant? Sed prorsus illud opponēt ac dicent: Omne quod B nascitur, eiusdem generis est cum generante. si igitur homo est quæ genuit, necesse est hominem quoque esse qui ex ea natus est. Recte equidem dicitis: sed tunc pariens eiusdem generis partum edit, cum secundum naturam progreditur partus: naturalis autem partus exordium corruptio est, quia cōmixtio quoque corruptionem præcedit: hîc verò cum huius iniuriæ ne cogitatio quidem fuerit, sed miraculum supra rationis captum, effectum sit, vbi supra naturam est partus, ibi qui nascitur Deus est. Confitemur igitur eundem & C mundum condidisse, & legem dedisse, Prophetas quoq; inspirasse, & in nouissimis temporibus incarnatum, & Apostolos ad salutē gentium & populorum piscatum fuisse. Fugiamus igitur turbidos & cœnosos deceptionum riuos, hæreses inquam cum Deo pugnantes: Arij insaniam diuidentem indiuisam Trinitatem: Eunomij audaciam, quæ intra cognitionis nostræ terminos naturam incōprehensibilem includit: Macedonij rabiem, quæ Spiritum inseparabiliter procedētem à Deitate seiungit: D hâc quoque nuper fabricatam nouamq; blasphemiā, quæ Iudaismum, quo ad blasphemiæ magnitudinem, longe superat. Illi namque dum eum qui Filius est, reprobant, ramo radicem priuant, hi vero vltra hunc qui est Filius, alium adiiciētes, intemerabilem naturam tāquam multigenam denotāt. Dicamus ergo cum Paulo Christus
Ephes.2. est pax nostra, qui fecit vtrumq; vnum. Nam Iudæum & Græcum per baptismum in vnum nouum hominem condidit, vniens potentia quæ conuersatione dissidebant. Horreant damnationem nouæ impietatis auctores: siquidem cum dissidentia in vnam cōcordiam E vnita sint, is qui vniuit, quantum in illis fuit, in duo est diuisus. sed iam omissa sermonis longitudine, ad compendium veri dogmatis veniam. Si quis cupit vere cognoscere illum esse vnum ac solum Filium, qui est antequam Abraam fieret, & in nouissimis proficiebat ætate ac sapientia secundum carnem (nam eius diuinitas semper est perfecta) interroget Paulum qui pietatem personabit, ostendens eum etiam postquam ex Iudæis secun-
Rom.9. dum carnem extitit, Deum esse ante sæcula:

οὕτως ὁ αὐτὸς καὶ τῇ παρθένῳ κατὰ τὴν σάρκα ὁμόφυλος, πανταχοῦ τῆς ἀληθείας τοῦ μυστηρίου προλαμπούσης, καὶ πάσης ἀπάτης σχολαζούσης. εἰ δὲ μὴ ἔτεκε Θεὸν ἡ παρθένος, οὐδὲ πολλοῦ θαύματος ἀξία ἡ ἄφθορος. πολλαὶ γὰρ καὶ ἄλλαι γυναῖκες ἐκαρποφόρησαν τῷ βίῳ δικαίους. εἰ δὲ προφητῶν γλῶσσαι τὸ ἄρρητον προσαυλίζουσαι μυστήριον, βοῶσιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὃ ἑρμηνεύων ὁ Γαβριήλ, φάσκει, μεθ' ἡμῶν ὁ Θεός· τί χάριν διὰ τὴν τοῦ τεχθέντος συγκατάβασιν, τὴν δόξαν τῆς τεκούσης περικόπτουσιν; Ἀλλ' ἀντιτιθέασι πάντως τοῦτο· πᾶν τὸ τικτόμενόν φησιν, ὁμόφυλον ὑπάρχει τῇ τικτούσῃ. εἰ τοίνυν ἄνθρωπος ἡ τεκοῦσα, ἄνθρωπος ἀναγκαίως καὶ ὁ τεχθείς. εὐλόγως φατὲ ὦ οὗτοι· ἀλλὰ τὸ ὁμόφυλον τίκτει ἡ ὠδίνουσα, ὅταν κατὰ φύσιν προβαίνῃ ὁ τόκος· φυσικοῦ δὲ τόκου τὸ προοίμιον φθορά· ἐπεὶ καὶ μίξις προηγεῖται τῆς φθορᾶς· ἐνταῦθα δὲ τῆς ὕβρεως ταύτης, οὐδὲ ἔννοια, ἀλλὰ ἐξειργάσθη ὑπὲρ λόγον τὸ θαῦμα· ὅπου ὑπὲρ φύσιν ὁ τόκος, ἐκεῖ ὁ τεχθεὶς Θεός.

Ὁμολογοῦμεν τοίνυν τὸν αὐτόν, καὶ τὸν κόσμον παραγαγόντα, καὶ τὸν νόμον δεδωκότα, καὶ ἐν προφήταις ἐμπνεύσαντα, καὶ ἐπ' ἐσχάτων σαρκωθέντα, καὶ τοὺς ἀποστόλους εἰς σωτηρίαν ἐθνῶν τε καὶ λαῶν ἁλιεύσαντα. Φύγωμεν τοὺς θολεροὺς καὶ βορβορώδεις τῆς ἀπάτης ῥύακας, τὰς θεομάχους λέγω αἱρέσεις. Τὴν Ἀρείου μανίαν διαιροῦσαν τὴν ἀμέριστον τριάδα· τὴν Εὐνομίου τόλμαν, περικλείουσαν τῇ γνώσει τὴν ἀκατάληπτον φύσιν· τὴν Μακεδονίου λύσσαν, χωρίζουσαν τῆς θεότητος τὸ ἀχωρίστως ἐκπορευόμενον πνεῦμα· καὶ τὴν νεόπλαστον ταύτην καὶ καινὴν βλασφημίαν, τὴν τὸν Ἰουδαϊσμὸν κατὰ πολὺ εἰς βλασφημίας νικῶσαν. οἱ μὲν γὰρ τὸν ὄντα υἱὸν ἀθετοῦσι, ζημιοῦντες τὴν ῥίζαν τοῦ κλάδου· οἱ δέ, παρ' ὅ ἐστι καὶ ἕτερον ἐπεισάγουσι, στηλιτεύοντες ὡς πολύγονον τὴν ἀκήρατον φύσιν. εἴπωμεν οὖν μετὰ Παύλου· Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. Ἰουδαῖον γὰρ καὶ Ἕλληνα διὰ τοῦ βαπτίσματος εἰς ἕνα καινὸν ἔκτισεν ἄνθρωπον, ἑνώσας τῇ δυνάμει τὰ τῆς πολιτείας διεστῶτα. Φριττέτωσαν τὴν κατάκρισιν οἱ νεωτεροποιοὶ τῆς ἀσεβείας· εἴ γε τὰ μὲν διεστῶτα εἰς συμφωνίαν ἡνώθη· ὁ δὲ ἑνώσας εἰς δυάδα, τό γε ἐπ' αὐτοῖς, διῃρέθη. Ἀλλὰ λοιπὸν τὸ μῆκος τῶν λόγων παρεὶς, ἐπὶ τὴν συντομίαν ἐλεύσομαι τοῦ ὀρθοῦ δόγματος. Εἴ τις θέλει γνῶναι κατὰ ἀλήθειαν ὅτι αὐτός ἐστιν ὁ εἷς καὶ μόνος υἱός· ὁ πρὶν τὸν Ἀβραὰμ γενέσθαι ὤν, καὶ ἐπ' ἐσχάτων προκόψας σοφίᾳ καὶ ἡλικίᾳ κατὰ σάρκα· ἔχει γὰρ ἀεὶ ἡ θεότης αὐτοῦ τὸ τέλειον· ἐρωτάτω Παῦλον, καὶ αὐτὸς βροντήσει τὴν εὐσέβειαν, δεικνὺς ὅτι καὶ ἐξ Ἰουδαίων προελθὼν τὸ κατὰ σάρκα Θεὸς ὑπάρχει προαιώνιος.

A φάσκων γὰρ περὶ τῶν Ἰουδαίων, καὶ σεμνύνων τὸ ἀχάριστον καὶ θεομάχον ἔθνος διὰ τὴν ῥίζαν τὸν Ἀβραὰμ καὶ τὸ σπέρμα τὸν δεσπότην Χριστὸν, οὕτως λέγει· ὧν φησιν ἡ υἱοθεσία. ἐβόα γὰρ Θεὸς ἐν προφήταις· υἱὸς πρωτότοκός μου Ἰσραήλ. καὶ ἡ δόξα [μου] ἄμετρον γὰρ προσώδευε δόξαν τοῖς τροφευομένοις τὰ ἐπάλληλα θαύματα. καὶ αἱ διαθῆκαι, αἱ πρὸς τὸν Ἀβραὰμ τὸ πλῆθος καὶ τὴν εὐλογίαν παρεγγυῶσαι. καὶ ἡ νομοθεσία ἡ ἐν ὄρει δακτύλῳ Θεοῦ γραφεῖσα. * καὶ αἱ ἐπαγγελίαι. ἥ τε γῆ τῆς Παλαιστίνης, καὶ τὸ διὰ σπέρματος τοῦ Ἀβραὰμ εὐλογηθῆναι πάντα τὰ ἔθνη. ὧν οἱ πατέρες, οἱ ἐν τῇ νυκτὶ τῆς πλάνης ἀνατείλαντες, ὡς πίστεως φωστῆρες. καὶ ἐξ ὧν ὁ Χριστὸς, καὶ οὐκ ἔστη μέχρι τούτων Παῦλος. οὐδὲ γὰρ ἀφ' οὗ ὁ ἐκ Μαρίας τόκος, ἔκτοτε τοῦ ἀνάρχου λόγου ἡ ὕπαρξις ἀλλ' εὐθὺς ἐπήγαγε, τὸ κατὰ σάρκα, ἵνα ἐπισημαίνηται τὴν κατὰ σάρκα φανέρωσιν. ἀλλ' οὐ* κατὰ τὴν θεότητα γέννησιν. τίς μὲν οὖν ἐστιν οὗτος ὁ Χριστὸς ὁ ἐκ παρθένου γεννηθεὶς, ὁ ἐν σπηλαίῳ χωρηθεὶς, ὡς οἶδεν, ὁ ἐν φάτνῃ * ἀνακληθεὶς, ὁ τῷ χρόνῳ κατὰ σάρκα αὐξήσας, ὁ μέχρι τῶν κατωτάτω τῆς γῆς καταβὰς, ὁ πάντα τὰ τῆς σαρκὸς ὑπομείνας, ἵνα πιστώσηται, ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, ὁ οὐκ ἄλλος ὢν παρὰ τὸν καταβάντα, ἀλλ' αὐτὸς ὢν καὶ ὁ καταβὰς, καὶ ἀναβάς· οὐ γὰρ ἀνέβη πρότερον, ἀλλὰ κατέβη, οἷα δὴ οὐ προκοπῆς Θεὸς, μὴ γένοιτο, ἀλλὰ δι' εὐσπλαγχνίαν ἄνθρωπος. τούτου γὰρ ἐδεόμεθα. μὴ παρ' ἐμοῦ μάθῃς ἢ παρ' ἄλλου τινὸς, ἀλλὰ παρὰ Παύλου τοῦ παρὰ πατρὸς ἐν ἀποκαλύψει μαθόντος τὸν υἱὸν, καὶ φάσκοντος, ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί. οὗτος γάρ σε διδάξει ἀληθῶς τίς ἐστιν ὁ Ἰησοῦς ὁ Χριστὸς, βοῶν. ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ποίαν παρείσδυσιν συκοφαντίας οὐκ ἀποτειχίζει τὰ Παύλου ῥήματα τοῖς φιλολοιδόροις; εἶπεν αὐτὸν Χριστὸν, ἵνα δείξῃ ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος. εἶπεν αὐτὸν ἐξ Ἰουδαίων τὸ κατὰ σάρκα, ἵνα δείξῃ ὅτι οὐκ ἀφ' οὗ ἐσαρκώθη ἔκτοτε μόνον ὑπάρχει· εἶπεν αὐτὸν ὄντα, ἵνα ἄναρχον βεβαιώσῃ· εἶπεν αὐτὸν ἐπὶ πάντων, ἵνα τῆς κτίσεως δεσπότην κηρύξῃ· εἶπεν αὐτὸν Θεὸν, ἵνα μὴ πρὸς τὰ πάθη καὶ τὸ σχῆμα δελεασθέντες, τὴν ἀνώλεθρον αὐτοῦ ἀρνησώμεθα φύσιν· εἶπεν αὐτὸν εὐλογητὸν, ἵνα ὡς παντοκράτορα προσκυνήσωμεν, ἀλλ' οὐχ ὡς ὁμόδουλον συκοφαντῶμεν· εἶπεν αὐτὸν εἰς τοὺς αἰῶνας, ἵνα δείξῃ ὅτι περ ὁ λόγῳ τούτους δημιουργήσας, ἀϊδίως ἐν αὐτοῖς θεολογεῖται. ἔχοντες οὖν τὸν Χριστὸν καὶ ὄντα Θεὸν, καὶ εὐλογητὸν, αὐτὸν προσκυνήσωμεν λέγοντες πρὸς τοὺς ἑτεροδόξους·

cum enim de Iudæis loqueretur, & ingratam illam Deoque rebellem gentem propter Abraam gentis radicem, & eius semen Christum Dominum, collaudaret, sic dixit: [Quorum est adoptio filiorum] clamabat enim Deus per Prophetas: Filius meus primogenitus Israël. *Exod 4.* [& gloria] nam iis quos Deus tamquam nutrix gestabat, immensam gloriam assidua miracula conferebant. & testamenta, per quæ ipsi Abraam multiplicatio & benedictio est promissa: & legislatio, illa in monte digito Dei scripta. * & obsequium, quo diuino cultui seruiebant. & (** Hoc non est in Græco, sed in Dionys & certè requiritur.*)

B promissa, tum illa terra Palæstinæ, tum omnes gentes per semen Abrahæ benedicendæ. quorum Patres, qui in erroris nocte tanquam fidei luminaria sunt exorti: neque verò huc vsq: stetit beatus Paulus. non enim ex quo fuit ille ex Maria partus, ex eo cœpit Verbi principio carentis initium, sed mox intulit, [secundum carnem] vt manifestationem illam factam in carne, non generationem secundum diuinitatem indicaret. Quis nam igitur Christus hic sit ex Virgine natus, hic in spelunca, vt ipse nouit, collocatus, hic (** καὶ λατρεία· δι' ἧς Θεῷ ἐλάτρευον.* — ** Fort. τὴν κατὰ θεότητα* — ** Fort. ἀνακλιθεὶς*)

C in præsepi reclinatus, hic tempore secundum carnem auctus, hic qui vsque ad infimas partes terræ descendit, hic qui omnia quæ carnis sunt, subiit, vt fidem faceret vere se hominem factum fuisse, hic qui non alius est ab eo qui descendit, sed qui descendit, ipse est & qui ascendit: non enim prius ascendit, sed descendit, vtpote qui non secundum progressionem Deus est, absit, sed propter suam misericordiam homo: nam hac re indigebamus: hic inquam quinam sit, noli à me aut ab alio aliquo discere, sed à beato Paulo, qui Filium ab ipso Patre per reuelationem didicit,

D ac dixit: Cum autem placuit Deo, qui segregauit me ex vtero matris meæ, & vocauit per gratiã suam, vt reuelaret Filium suum in me. *Galat. 1.* is namque quinam sit Iesus Christus, vere te docebit, clamans: Ex quibus Christus secundum carnem, qui est super omnia benedictus in secula. *Rom. 9.* Quem aditum calumniæ hæc beati Pauli verba iis qui conuiciari student, non obstruant? Dixit eum Christum, vt ostenderet, vere hominem factum: dixit eum ex Iudæis secundum carnem, vt indicaret non ex quo incarnatus est, ex eo esse cœpisse: dixit

E eum esse, vt initium non habere declararet: dixit eũ super omnia, vt creaturæ totius esse Dominum prædicaret: dixit ipsum Deum, ne illius passionibus & habitu decepti, immortalem eius naturam negemus: dixit benedictum, vt eum tamquam omnipotentem adoremus; non tanquam conseruum calumniemur: dixit eum in fæcula, vt ostendat, qui ea secula verbo cõdidit, perpetuo in ipsis vt Deũ prædicari. Cum igitur habeamus Christum & Deum esse, & benedictum, ipsum adoremus, dicamúsque aduersus eos qui aliter sentiunt:

1.Cor.2. Si quis Spiritum Christi non habet, hic non est eius; nos autem sensum Christi habemus: adeóque expectamus gloriam magni Dei & Saluatoris nostri Iesu Christi, qui reddet his quidem qui piè sentiunt, suæ fidei præmia: iis autem qui eum reprobant, suæ audaciæ mercedem. Hæc vestræ charitati direximus, vestris permoti libellis, quos ad nos misistis, significantes, pestiferos quosdam homines, ac verborum portenta proferentes in vestram regionem irruisse, studentes peruersis scriptis, & oppositionibus falsi nominis scientiæ simplicem ac puram rectæ Fidei speciem peruertere. Sed ego vos iterum beati Pauli verbis admoneo: Videte ne quis vos decipiat per Philosophiam & inanem fallaciam secundum traditionem nugacium hominum, & non secundum Christum. Fundamentum enim aliud piæ Fidei nemo potest ponere, præter id quod positum est, quod est Christus Iesus. State igitur in vno spiritu, vnanimes collaborantes fidei Euangelij, & in nullo terreamini ab aduersariis, sed custodite traditiones quas accepistis à sanctis ac beatis Patribus qui apud Nicæam rectam fidem ediderunt, & à sanctis ac beatis viris Basilio & Gregorio, & reliquis qui cum illis eadem senserunt, quorum nomina sunt in libro vitæ. Omnem vobiscum fraternitatem ego & qui mecum sunt, salutamus.

* propriè. sic Cyrillus contra Nestoriũ, lib. 4. fol. 91. οἱ δὲ δὴ πάλιν ἡμῖν καὶ ἕτεροι ἡμῶν τερατείας πρόσωπον.

Coloss. 2.

A εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· διὸ καὶ προσδεχόμεθα τὴν δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἀποδώσει τοῖς μὲν εὐσεβοῦσι, τὰ τῆς δόξης ἔπαθλα· τοῖς δὲ ἀθετοῦσι, τὰ τῆς τόλμης ἐπίχειρα. Ταῦτα δὲ πρὸς τὴν ὑμετέραν ἐπεστείλαμεν ἀγάπην, ἐκ τῶν ὑμετέρων προτραπέντες λιβέλλων, ὧν πρὸς ἡμᾶς διεπέμψασθε, φήσαντες λυμεῶνάς τινας καὶ * τερατολόγους ἀνθρώπους ἑαυτοὺς ἐπεισφρῆσαι τῇ ὑμετέρᾳ χώρᾳ, βουλομένους διὰ πονηρῶν γραμμάτων καὶ τῶν ἀντιθέσεων τῆς ψευδωνύμου γνώσεως διαστρέφειν τὸ ἁ-

B πλοῦν καὶ ἀμαλγάμευτον τῆς ὀρθοδόξου πίστεως κάλλος· ἀλλὰ τὰ τοῦ μακαρίου Παύλου καὶ πάλιν φημὶ πρὸς ὑμᾶς· Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν εἰκαιοβούλων ἀνθρώπων, καὶ οὐ κατὰ Χριστόν. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι εὐσεβοῦς πίστεως παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. στήκετε τοίνυν ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ Εὐαγγελίου καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἀλλὰ φυλάττοντες τὰς παραδόσεις ἃς παρελάβετε τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νι-

C καίᾳ τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων, καὶ τῶν περὶ τὸν ἅγιον καὶ μακάριον Βασίλειον καὶ Γρηγόριον, καὶ τῶν λοιπῶν τῶν αὐτοῖς ὁμοφρόνων, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα, ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

DE THEODORO PRESBYTERO RAITHV.

VIXIT hic Theodorus tempore sancti Maximi; nam sanctus Maximus ad eum Epistolam scribit hoc titulo: Theodoto Presbytero Lauræ Raithu de Essentia & Natura. *vt patet ex indice operum sancti Maximi apud Baronium, Tom. VIII. Anno Christi DCLVII. maximè autem floruit Maximus sub Heraclio Imperatore & Constante: sub quo veritati illustre testimonium præbuit, amputata ab impiis manu, & exsecta lingua, Anno Christi DCLVII. Imperij Constantis XVI. Ex quo fit vt nullo modo noster Theodorus esse possit ille, cuius libros de Incarnatione recenset Gennadius in Catalogo scriptorum Ecclesiasticorum, cum tempora sancti Maximi & Theodori Gennadius longè antecesserit. Euanescit & Bezæ coniectura, qui rectè quidem suspicatur hunc Theodorum fuisse ex Laura Raithu, cuius passim mentio occurrit in actis & vitis veterum Monachorum & Eremitarum: at non rectè illud; quod scribit hunc Theodorum aut tempore Concilij quinti Oecumenici sub Iustiniano, aut certè proximus secutis temporibus vixisse. Nam ab anno Christi DLXXVIII. quo synodus quinta est indicta, sat profectò grande internallum vsque ad tempora sancti Maximi intercedit. Ineptè etiam Beza vocat Theodorum Presbyterum Rhetensem, scil. ex Rhætia originem ducentem. Nunquam porro hæc Turiani versio antehac lucem vidit.*

ΘΕΟΔΩΡΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΡΑΙΘΟΥ

προπαρασκευή τις καὶ γυμνασία, τῷ βουλομένῳ μαθεῖν τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως, καὶ οἰκονομίας, καθ' ὃν πέπρακται, καὶ τίνα τὰ πρὸς τοὺς ταύτην μὴ ὀρθῶς νοοῦντας λεγόμενα παρὰ τῶν τῆς ἐκκλησίας εὐφήμων.

THEODORI PRESBYTERI RHAITHENSIS

præparatio quædam & meditatio in eius gratiam qui discere cupit quomodo facta sit incarnatio diuina, & quæ ab Ecclesiasticis Patribus contra eos qui non rectè de ea senserunt, dicta sint.

Interprete Francisco Turriano societatis Iesu

ΑΤΟΠΟΝ οἶμαι καὶ καλῶς γε τοῦτο νενόμικα, καὶ γάρ ἐστιν οὕτως ἄτοπον, εἰ οὗτοι μέν, οἱ ἐξ Εὐτυχέως καὶ Διοσκόρου τῷ ψεύδει συνιστάμενοι καὶ στρατευόμενοι κατὰ τῆς ἀληθείας, οὕτω καρτερῶς καὶ ἀγρύπνως πολεμοῦσι τὴν μόνην καθολικὴν καὶ ἀποστολικὴν τοῦ Θεοῦ ἐκκλησίαν· ὥστε καὶ τὰ παρ' αὐτοῖς παιδία μήπω τετρανωμένης αὐτοῖς τῆς γλώσσης, πρὶν εἰς διδασκάλους φοιτῆσαι, καὶ τὰ πρῶτα στοιχεῖα μαθεῖν, ἀκονᾶν τε καὶ ἐμβιβάζειν ὅπως λέγειν καὶ ἀκούειν δύναιντο ὑπὲρ τοῦ παρ' αὐτοῖς πρεσβευομένου δόγματος. ἡμᾶς δὲ οὕτω καταρραθυμεῖν καὶ ἀναπεπτωκέναι ὡς μηδὲ αὐτὸ τοῦτο σπουδάζειν εἰδέναι τίς ἡ διαφορὰ τούτων πρὸς τὴν ἐκκλησίαν, καὶ ἐκ ποίων ἀρχῶν ὁ πρὸς ἡμᾶς αὐτοῖς συνέστηκε πόλεμος, τίνες τε καὶ οἱ ἡγεμόνες αὐτῶν οὗτοι ἀφ' ὧν ἔχουσι τὴν προσωνυμίαν. διὰ ταῦτα μὴ περίεργον ἡγεῖσθαι ὀφείλομεν τὴν περὶ ταῦτα σχολήν. μηδέ, ὅτι Θεοῦ χάριτι καὶ εὐμενείᾳ εἰρηνεύει τὰ τῆς ἐκκλησίας, ἐν γαλήνῃ τε καὶ ἀταραξίᾳ ἐσμέν, πάσης αἱρέσεως ἐκποδὼν εἰς τοὺς ἑαυτῆς φωλεοὺς κατακεκρυμμένης, ἤδη καὶ ἡμεῖς ἄοπλοί τινες ὦμεν καὶ ἀπειροπόλεμοι· μήπως καὶ ἄφνω ἐνστάντος πολέμου γυμνοὶ καὶ ἀπαράσκευοι εὑρεθέντες ὑπὸ τῆς δυσσεβείας ἀναιρεθῶμεν. ἕως ἐξ οὐρίας πλέεις, φοβήθητι τὸ ναυάγιον, φησὶν ὁ θεολόγος Γρηγόριος, καὶ ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοηθῷ χρώμενος. τοίνυν κατὰ τὴν ἐντολὴν τοῦ κορυφαίου τῶν ἀποστόλων, ἕτοιμοι γινώμεθα πρὸς ἀπολογίαν ἀεί, παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, μετὰ πραΰτητος καὶ φόβου, συνείδησιν ἔχοντες ἀγαθήν· ἵνα ἓν τῶν ὁποτέρων πάντως ἡμῖν ὑπάρξῃ διὰ τῆς τοιαύτης ἀξιεπαίνου σπουδῆς, ἢ τὸ σώζειν τοὺς ἀποδιορίζοντας ἑαυτούς, καὶ ἐκ τῆς πονηρᾶς διακρίσεως ταύτης αὐτοὺς ἐξαρπάζειν, καθὰ παραινεῖ ὁ κατ' ἐπίκλησιν ἀδελφὸς τοῦ Κυρίου· ἢ εἰ μὴ τοῦτο, κἂν ἀποφράττειν αὐτῶν στόμα τοῖς δικαίοις ἐλέγχοις,

A ABSVRDVM arbitror, & rectè quidem me arbitrari iudico, est enim reuera absurdum, si ij quidem qui ad tuendum mendacium Eutychetis & Discori conspirarunt, & contra veritatem militant, ita fortiter & vigilanter solam Ecclesiam Dei Catholicam & Apostolicam oppugnant, vt pueros suos cum nondum expeditam habent linguam, antequam eant ad magistros,
B & prima elementa didicerint, exacuere, & instruere curent, vt dicere & audire possint pro defensione dogmatis quod ipsi profitentur; nos verò ita desides simus, & languentes, vt nec hoc ipsum studeamus scire, quæ istorum sit contra Ecclesiam controuersia; & ex quibus initiis ipsorum aduersus nos extitit bellum; & qui sint eorum duces, à quibus cognominantur. Idcirco non est arbitrandum otiosum esse ponere in his studium, neque, quia Dei gratia & beneuolentia, in pace sunt res Ecclesiasticæ; &
C tranquillitate ac quiete fruimur, omni hæresi de medio sublata, & in suas latebras relegata, continuo nos inermes erimus & militiæ rudes; ne bello derepente illato, si nudi & imparati reperiamur, ab impietate occidamur. Dum secundis ventis nauigas, metue, inquit Gregorius Theologus, naufragium, & minus naufragium facies, adiutore vsus metu. Quare vt princeps Apostolorum Petrus præcipit, simus semper parati ad satisfactionem omni po- *1. Pet. 3.*
D scenti nos rationem de ea quæ in nobis est spe cum modestia & timore, conscientiam habentes bonam, vt hoc laudabili studio alterum duorum omnino assequamur, vt vel eos saluos reddamus, qui semetipsos segregant, & à mala segregatione eos, tamquam ex igne ereptos, rapiamus, vt ille, qui frater Domini vocatur, admonet. aut si non hoc, os eorum saltem iustis argumentis obstruamus,

Orat. 16. de amore paup.

vt non habeant tempus laxandi os contra Ecclesiam, & quod melius ac præstantius est, vti nos ipsi cognoscamus & certo sciamus, in qua fide stemus, & gloriemur eam confitentes. Ex quo fiat, vt eos qui contradicunt, declinemus. coniecturam verò facio, cum aderit tempus remunerationis, copiosius esse remunerandos eos, qui scienter, firmè, ac constanter pietatem in Deum coluerunt, quam qui simpliciter, & propter morem à maioribus suis traditum in eadem fide sunt. Illi enim fideles numerantur, quia casu solum fideles esse cognoscuntur; hi vero, cum intelligentia, & iudicio, vt iam si ita euenisset, vt si isti desides, & qui nihil inquirunt, ex hæreticis parentibus nati essent, nihil curassent paternam impietatem exuere; vsque adeo & vituperabile est ignorare, & nolle discere, idcirco dicit scriptura, *Qui sapientiam, & disciplinam spernit miser; qui vero amat disciplinam, inueniet cognitionem cum iustitia*: vt autem facilia fiant lectori huius libri ea, quæ contra aduersarios dicuntur, visum est necessarium pauca quædam ad aperiendum aditum scribere, inde principio sumpto.

Sap. 3. 11.

Opinio Manichæi.

Manichævs inuentor tenebrarum contrariarum, imò à potestate tenebrarũ instructus, finxit, aut somniauit apparuisse Dominum phantasticè solum & inani figura corporis humani, ita vt videretur, inquit, pati, & agere, quæ agebat, & passus esse, sicut nos, nihil tamen re ipsa & veritate extitisse, sed visum esse tantum, & sic falsa specie illusisse hominibus, cum quibus versari putabatur. Idcirco non vult dicere in Domino duas naturas sed vnam scilicet diuinitatis; quia figura illa ad fallendum simulata idigna videretur nomine naturæ.

Opinio Pauli Samosatensis.

Pavlvs quidam, qui fuit ætate Manichæi, genere Samosatensis, Episcopus autem Antiochæ in Syria, blasphemè prædicauit esse Dominum hominem tantùm, & habitasse Verbum in eo sicut in quolibet ex numero Prophetarum; vnde aiebat duas naturas esse in Christo diuisas, vel sine vlla penitus inter se communione, tanquam alius esset Christus, & alius qui in ipso habitabat Deus Verbum. Hæ primæ origines vnam, & duas naturas in Saluatore Christo prauè & blasphemè profitendi. Illa humanitatem tollebat: hæc diuinitatem.

Opinio Apolinarij.

Non exiguo post tempore præsul Laodiceæ Syriæ maritimæ Apolinarius alterius insaniæ fuit auctor. Cum enim Arriani carnem Christi omnino inanimatam esse dicerent, aiebat Apolinarius

A ὡς μηδὲ καιρὸν ἔχειν αὐτοὺς ἀθυρογλωττεῖν κατὰ τῆς ἀληθείας. ὃ δὲ τούτων τιμιώτερόν τε καὶ μεῖζον, ἵνα ἡμεῖς γινώσκωμεν καὶ πεπληροφορήμεθα ἐφ' οἵᾳ πίστει ἕστημεν καὶ καυχώμεθα, παρρησιαζόμενοί τε καὶ ἐλευθεροστομοῦντες τῇ αὐτῆς ὁμολογίᾳ, οὗ χάριν τοὺς ταύτῃ ἀντικειμένους ἀποστρεφόμεθα. στοχάζομαι δὲ ὅτι καὶ κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως μείζων ὁ μισθὸς ἔσται καὶ ἡ ἀποχὴ πλείων τοῖς μετὰ γνώσεως ἐμμένουσι, ἀραρότως ἑδρασμένως ἐμμένουσι τῆς εὐσεβείας, τῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἐκ πατέρων παραδοθείσης συνηθείας ἐν τῇ αὐτῇ B γνωριζομένων. οἱ μὲν γὰρ κατὰ συμβεβηκὸς μόνον, οἱ δὲ ἀπὸ διανοίας καὶ γνώμης πιστοὶ γεγονότες εὑρίσκονται. εἴπερ ἔτυχεν ἐκείνους τοὺς ῥαθύμους καὶ οὐκ ἐξετάζοντας ἀπὸ αἱρετικῶν γονέων ὑπάρξαι, οὐδ' ἂν ἐφρόντισαν πατρῴαν δυσσέβειαν ἀποδύσασθαι· οὕτω καταγνωστὸν ἀμαθία καὶ τὸ μὴ θέλειν διδάσκεσθαι. διὰ τοῦτο καὶ εἴρηται· σοφίαν καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος· ὁ δὲ ἀγαπῶν παιδείαν, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης. ἵνα δὲ εὔληπτα γένηται πάντα τῷ ἐντυγχάνοντι τῷ προκειμένῳ πονήματι τὰ πρὸς τοὺς δι' ἐναντίας λεγόμενα, C μικρά τινα πρὸς εἰσαγωγὴν συντάξαι ἀναγκαῖον ἐνόμισα, ἧς καὶ ἀρχόμενος, οὕτω φημί.

Δόξα Μάνεντος.

ΜΑΝΗΣ ὁ τοῦ ἀντιθέτου σκότους ἐφευρετής, μᾶλλον δὲ τῆς ἐξουσίας τοῦ σκότους ἀνάπλασμα, φαντασίᾳ ψιλῇ σχήματι διακένῳ σώματος ἀνθρωπίνου, πεφηνέναι τὸν κύριον ἐφαντάσθη ὡς ἀληθῶς καὶ ὠνειρώξεν, ὥστε καὶ πάσχειν δοκεῖν αὐτὸν καὶ πράττειν, ἅπερ ἔδρα καὶ πονθεὶ καθ' ἡμᾶς, καὶ μηδὲν δὲ τούτων πράγματι καὶ ἀληθείᾳ ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποβουκολῆσαι D τοὺς ἀνθρώπους, οἷς καὶ συναναστραφῆναι νενόμισται. διὰ τοῦτο καὶ δύο φύσεις παραιτεῖται λέγειν ἐπὶ τοῦ Κυρίου, ἀλλὰ μίαν τὴν τῆς θεότητος, ὡς ἅτε τοῦ πεφενακισμένου [ἐν σχήματος, μὴ ἀξιουμένου] τοῦ ἀνθρωπίνης φύσεως κατονομάζεσθαι.

Δόξα Παύλου Σαμοσατέως.

ΠΑΥΛΟΣ δέ τις τούτῳ τῷ Μάνεντι σύγχρονος γεγονώς, Σαμοσατεὺς μὲν τὸ γένος, Ἀντιοχείας δὲ τῆς ἐκκλησίας πρόεδρος, ψιλὸν ἄνθρωπον εἶναι τὸν κύριον ἐδυσφήμησεν· ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καὶ ἐν E αὐτῷ γενέσθαι τοῦ Θεοῦ λόγου τὴν οἴκησιν· ἔνθεν καὶ δύο φύσεις διῃρημένως ἐχούσας καὶ ἀκοινωνήτους πρὸς ἑαυτὰς εἶναι τὸ παντάπασιν ἐν τῷ Χριστῷ, ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ, ἄλλου δὲ τοῦ ἐν αὐτῷ κατοικήσαντος Θεοῦ λόγου. αὗται αἱ πρῶται φυαὶ τοῦ τὴν μίαν φύσιν, καὶ τὰς δύο κακῶς καὶ δυσφήμως λέγεσθαι ἐπὶ τοῦ σωτῆρος Χριστοῦ, τὸ μὲν ἀναιρετικὸν τῆς ἀνθρωπότητος, τὸ δὲ τῆς θεότητος.

Δόξα Ἀπολιναρίου.

ΧΡΟΝΟΥ δὲ οὐ μικροῦ παριόντος Ἀπολινάριός τις πρόεδρος γενόμενος Λαοδικείας τῆς Συρίας, τῆς παραλίου, ἑτέρας ματαιοφροσύνης [illegible]σατ. τῶν γὰρ Ἀρειανῶν παντάπασιν ἄψυχον λεγόντων τὴν τοῦ Κυρίου σάρκα, αὐτὸς ὁ Ἀπολινάριος

ὅτι σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ A
κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο. μηδὲ γὰρ
δεηθῆναι τοῦ ἀνθρωπίνου ἐκείνην τὴν σάρκα, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος Θεοῦ λόγου. ἀλλὰ μηδὲ χωρεῖν αὐτὴν ἄλλην νοερὰν δύναμιν παρὰ τὴν θείαν. μηδὲ γὰρ αὐτὸν τὸν ἀνθρώπινον νοῦν ὑποστῆναι δύνασθαι τὴν μετὰ τοῦ κρείττονος καὶ δεσπότου ἐνοίκησιν. ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου, καὶ τῆς σαρκός, ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον ὅλον, καὶ διὰ τοῦτο μηδὲ ἀξίαν φύσιν προσαγορεύεσθαι.

Δόξα Θεοδώρου Μοψουεστίας. B

ΜΕΤΑ τοῦτον δὲ τὸν Ἀπολινάριον εὐθέως ἀναφαίνεταί τις Θεόδωρος τῆς Μοψουεστίας οὕτω λεγομένης ἐν τῇ γῇ τῶν Κιλίκων τὴν ἡγεμονίαν λαχών· ὃς ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος, ὕβρεις οὐ τὰς τυχούσας τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ καταχέει τοῦ δεσπότου Χριστοῦ· ἄνθρωπον ἕνα τῶν καθ᾽ ἡμᾶς κοινὸν ἀποκαλῶν, καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ Θεοῦ, Θεὸν ὀνομάζεσθαι· καὶ ἐκ τοῦ ἐν τῷ Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι ἐν πρώτοις τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου C
πνεύματος βαπτισθέντα. τὸν δὲ Θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν κατ᾽ εὐδοκίαν ἐν αὐτῷ κατοικήσαντα, μεταδοῦναι αὐτῷ τῆς θεϊκῆς ἀξίας καὶ προσκυνήσεως εἰς ὕστερον μετὰ τὴν τελείωσιν· ταῦτά τε καὶ ἕτερα πολλὰ δυσφημήσας τοιαῦτα, δύο φύσεις ἰδιοπεριορίστους φησὶν εἰδέναι ἐπὶ Χριστοῦ, σχέσει τινὶ καὶ μόνον ἀλλήλαις οἰκειωμένας. δευτέρα καὶ αὕτη πλάνη τοῦ μίαν φύσιν καὶ δύο φύσεις ἰδιοπεριορίστους, μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι ἐν τῷ Χριστῷ.

Δόξα Νεστορίου.

ΜΕΤΑ τούτους δὲ γίνεταί τις Νεστόριος ὀνόματι, D
ὃς ὥρμητο μὲν ἀπὸ Γερμανικείας τῆς ἐν Συρίᾳ· κληροῦται δὲ ἐν Ἀντιοχείᾳ τῇ παρὰ Ὀρόντην ποταμόν, Κωνσταντινουπόλεως δὲ τὸν θρόνον λαμβάνει. οὗτος πάλιν τῇ φωνῇ τῶν δύο φύσεων τῶν ἐν Χριστῷ κακοφυῶς ἀποκέχρηται ὁμοίως Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις. οὐ γὰρ ἵνα τὴν ἀλήθειαν τῆς κατὰ Χριστὸν θεότητός τε καὶ ἀνθρωπότητος, καὶ τὴν τούτων ἀτρεψίαν καὶ ἐπιμονὴν καὶ ἀσυγχυσίαν σημαίνῃ, τὸν ἀριθμὸν τῶν δύο κατὰ φράσιν φύσεων, ἀλλ᾽ ἵνα δύο πρόσωπα δι᾽ αὐτοῦ τοῦ δύο ἀριθμοῦ δολερῶς εἰπεῖν ἔχῃ, τὴν τῶν φύσεων E
κλῆσιν ἀντὶ τῶν προσώπων λαμβάνων κακούργως, ὡς ἀληθῶς, καὶ κακοήθως πεπαρρησιασμένῃ προσωνυμίᾳ τῶν φύσεων, τὸ ἀπηγορευμένον τῶν προσώπων εἰσάγων, ὥστε ἄλλον εἶναι παρ᾽ αὐτὸν τὸν Χριστόν, καὶ ἄλλον τὸν Θεὸν λόγον κατὰ τὴν πατρῴαν αὐτοῦ πλάνην· υἱὸς γὰρ ὢν τοῦ Κίλικος, τοῦ δὲ Σαμοσατέως ἀπόγονος· καὶ διὰ τοῦτο πρὸς τὴν σεμνὴν παρθένον ἄσπονδον ἤρατο πόλεμον, μὴ δυσωπηθεὶς τὴν θεομήτορα καὶ ἁγνὴν Μαρίαν, ὡς δεσπότου μητέρα.

assumpsisse quidem dominum carnem animatam, mentem verò nostram non assumpsisse: nec enim carnem illam mente humana indiguisse, quod illam Deus Verbum, qui eam induerat, gubernaret; neque capere eam aliam vim intelligentem præter diuinam: non enim ipsam humanam mentem posse sustinere vt cum potentiore & domino habitaret. His positis, affirmat vnam naturam esse verbi, & carnis, quippe cum caro imperfecta sit, vt fit totus homo, & ob hanc causam, indigna, quæ vocetur natura.

Opinio Theodori Mopsuestiæ.

POST hunc Apolinarium statim extitit Theodorus quidam Mopsuestiæ ciuitatis sic nominatæ in Cilicia Episcopus, qui ex toto contradicens Apolinario, contumelias non leues audaci animo, & corde imperterrito Christo iofert, dum eum vnum hominem è nostro numero & vulgo hominum vocat, qui per progressum accepta Dei gratia, nominatus fuerit Deus; & ex baptismo in Iordane, baptizatus in nomine Patris, & Filij, & Spiritus sancti, &c. habitus, sit dignus inter primos dono Spiritus sancti. Deum autem Verbum propter excellentem virtutem eius, in eo habitantem, pro bona sua voluntate communicare cum eodem postea ad consummationem, diuinam dignitatem & adorationem. hæc & alia eiusmodi blasphemè commentus duas naturas sigillatim signatas dicit se in Christo agnoscere, solum habitudine inter se conciliatas. Hæc est secunda heresis, qua post Paulum Samosatensem vnam naturam, & duas naturas *sigillatim signatas* praue in Christo confitetur.

Opinio Nestorij.

POST hos fuit quidam nomine Nestorius oriundus ex Germanicia in Syria. Factus est clericus Antiochiæ, quæ sita est iuxta Orontem fluuium, & Ecclesiæ Constantinopolitanæ præfuit. hic rursus voce duarum naturarum in Christo praue abusus est, sicut maiores eius Paulus & Theodorus. non enim numerum duarum naturarum affirmat, vt veritatem diuinitatis & humanitatis in Christo sine mutatione & confusione significet; sed vt per ipsum numerum duarum naturarum duas personas designet, naturas pro personis appellans; & appellatione naturarum malitiose, & per dolum fretus & confisus, personas contra vetitum introducens; vt apud eum alius esset Christus, & alius Deus Verbum secundum errorem patrum, ac maiorum suorum: fuit enim filius Cilicis, & ex posteris Pauli Samosatensis. idcirco bellum suscepit cum virgine venerabili, nullam reuerentiam adhibens matri Dei, & purissimæ Mariæ, vt pote matri Domini,

A sed potius vt seruus superbus, & impudens, negans dominum suum, & dominam suam vituperans, non tam inuidens ei appellationem matris Dei, quam inuidens Dei appellationem ex ipsa virgine matre nato. hic igitur Nestorius tertius huius hæresis Iudaicæ defensor, & patronus, eam sibi vendicauit.

Opinio Eutychetis.

SECTÆ contrariæ Manichæi & Apolinarij tertius rursus patronus ortus est Eutyches, præfectus cuidam monasterio circum Constantinopolim. hic cum nollet confiteri
B esse carnem Domini eiusdem substantiæ & naturæ, qua nostra est, negabat seruari in Christo duas naturas vna cum earum vnione. nec hoc solum; sed quædam instar monstri, & absona fingebat. aiebat enim delatum esse corpus Christi è cœlo, & Deum verbum cum corpus è cœlo induisset, per virginem tamquam per canalem transmeasse; vt videatur natus ex muliere, cum tamen natus non sit. hoc aiebat Manichæus, immo magis hoc, quam illud commentitium est. sic igitur vnam naturam in Christo peruersè
C professus est. Cum igitur duæ sint partes, vna Manichæi, Apolinarij, & Eutychetis; altera Pauli, Theodori, & Nestorij, illi vnam naturam, hi duas in Christo inscienter, ac inter se pugnantes ponant: istorum in alterutram partem pessimas declinationes, & impias aberrationes respuens Ecclesia Catholica, media inter vtramque via regia incedit, nec ad eam declinans quæ videtur ad dexteram tendere, nec ad eam, quæ planè tendit ad sinistram. non enim simpliciter profitetur vnam naturam in Christo sicut Manichæus, Apolinarius, & Eutyches, sed potius vnam natutam verbi Dei incarnatam: adiungendo enim, in-
D carnatam, declarat naturam humanitatis, quam natura Verbi Dei assumpsit, & simul cum hac factus est vnus Dominus, Iesus Christus: nec ipsa natura verbi Dei facta est alia præter seipsam, & ea, quæ ipsi vt eam decent, conueniunt, tametsi carnem assumpsit, carnem vero non simpliciter assumpsit, hoc enim dicunt Arriani, sed carnem animatam, nec animatam tantum, hoc enim tradit Apolinarius, sed anima rationali & intelligente præditam: neque naturam hominis, quam
E assumpsit, in seipsam refudit, nec illam ipsam mutauit, vt extra definitionem eius naturalem & substantialem poneret, nec hanc consumpsit vt ignis ceram. vt iam tota definitio, quæ hæc declarat, sic à piis & Catholicis efferatur, vna natura verbi Dei incarnata, anima rationali & intelligente prædita. Rursus Ecclesiasticum dogma non probat vt dicamus simpliciter duas naturas in Christo, sicut Paulus, Theodorus, & Nestorius: sed duas naturas substantialiter vnitas:

A ἀλλ' ὡς δοῦλος τραχηλιαστὴς καὶ ἀναίσχυντος, ἀρ-
νούμενος τὸν ἑαυτοῦ κύριον, καὶ ἀτιμάζων τὴν δέσποιναν ἐ
βασκαίνων οὐ τοσοῦτον αὐτῇ τῆς (θεοτόκου) προσηγορ
ὅσον τοῦ (Θεὸς) τῷ ἐξ αὐτῆς γεννηθέντι. οὗτος μὲν ὁ
Νεστόριος τρίτος προστάτης τῆς Ἰουδαϊκῆς ταύτης
αἱρέσεως γεγονώς, εἰς ἑαυτὸν αὐτὴν περιέστησεν.

Δόξα Εὐτυχοῦς.

ΤΗΣ δὲ ἀντιθέτου μοίρας τῆς κατὰ Μανῆν καὶ Ἀ
λινάριον τρίτος πάλιν προστάτης ὁ Εὐτυχὴς ἐ
φάνη, ὅς ἦν ἡγούμενος μοναστηρίου ἑνὸς τῶν περὶ
B Βυζάντιον. οὗτος γὰρ μὴ ἀνεχόμενος ὁμοούσιον ἡμ
ὁμοφυῆ τὴν σάρκα τοῦ Κυρίου ὁμολογεῖν, τὰς δύο φ
ἀπηρνεῖτο σώζεσθαι λέγειν ἐν τῷ Χριστῷ μετὰ τὴν τ
ἑνώσεώς τε καὶ συμφυΐας· οὐ μόνον δέ, ἀλλὰ καὶ τερατ
τινὰ καὶ ἀλλόκοτα ἔπλαττεν, ἐξ οὐρανοῦ λέγων κατ
τοῦ Κυρίου τὸ σῶμα, καὶ ὡς διά τινος σωλῆνος τῆς π
παραδραμεῖν τὸν Θεὸν λόγον, οὐρανόθεν τοῦτο ἐνδεδ
ἵνα δόξῃ δῆθεν γεγεννῆσθαι ἐκ γυναικός, καίτοι μὴ τ
γεννημένου. Μανιχαῖος, ὁ λόγος οὗτος καὶ τερατολογία
νος πολλῷ μᾶλλον ἐκείνου. καὶ οὕτως οὗτος μίαν φύ
Χριστοῦ διεστραμμένῃ καρδίᾳ ἐπρέσβευσε. τῶν οὖν
C μερῶν τούτων, τοῦ τε κατὰ Μανῆν καὶ Ἀπολινάριον καὶ
τυχέα, καὶ τοῦ κατὰ Παῦλον καὶ Θεόδωρον καὶ Νεστόριον, τ
μίαν φύσιν, τῶν δὲ δύο φύσεις ἐξ ἐναντίας ἀλλήλων τ
αὐτὸν Χριστὸν ἀμαθῶς εἰρηκότων, τὰς ἐφ' ἑκα
κακίστας μετατροπὰς καὶ δυσσεβεῖς τῆς ἐκκλίσεις ἀπο
νεμομένη ἡ καθολικὴ ἐκκλησία μέσην ἀμφοτέρων
διὰ τῆς ὁδοῦ βασιλικῆς πορευομένη, μὴ ἐκκλίνουσα ε
δοκοῦντα δεξιά, μηδὲ εἰς τὰ περιφανῆ ἀριστερ
γὰρ Μάνητα καὶ Ἀπολινάριον καὶ Εὐτυχέα μίαν
ἁπλῶς ἐπὶ Χριστοῦ λέγειν οὐ παραδέχεται, ἀλλὰ
φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην διὰ τῆς προσθ
D (σεσαρκωμένην) δηλοῦσι τὴν φύσιν τῆς ἀνθρωπότητ
ἣν φύσις τοῦ Θεοῦ λόγου προσλαμβανομένη ἅμα τε
ταύτῃ εἷς Κύριος Ἰησοῦς Χριστὸς γέγονεν· οὐδὲ αὐτ
λόγου φύσις ἑτέρα παρ' ἑαυτὴν καὶ τὴν κατ' αὐτὴν
πρεπόντως αὐχημάτων γενομένη, εἰ καὶ ἐν προσλήψει σ
γέγονε, σαρκὸς δὲ οὐχ ἁπλῶς. (τοῦτο γὰρ Ἀρειανῶν)
ἀλλὰ σαρκὸς ἐμψυχωμένης· καὶ οὐχὶ ἐμψυχωμένης
(πάλιν γὰρ Ἀπολιναρίου καὶ τοῦτο) ἀλλ' ἐμψυχωμ
ψυχῇ νοερᾷ καὶ λογικῇ. οὐδὲ μὴν τὴν ἀνθρώπου φ
E ἧς ἐν προσλήψει γέγονεν, εἰς ἑαυτὴν ἀνέχεεν, ἢ ἀ
ἐκείνην ἠλλοίωσεν ἔξω τοῦ κατὰ τὸν φυσικὸν αὐτῆς
οὐσιώδη ὅρον καὶ λόγον, οὐδέ, ὡς κηρὸν πῦρ, ταύτην ἐξ
πάνησεν. ὥστε τὸν ὅλον ὅρον ταῦτα δηλοῦντα οὕτως
λέγεσθαι πρὸς τῶν εὐσεβῶν· μία φύσις τοῦ Θεοῦ λόγου
σεσαρκωμένη, σαρκὶ ἐμψυχωμένῃ ψυχῇ νοερᾷ καὶ λο
πάλιν δὲ κατὰ Παῦλον καὶ Θεόδωρον καὶ Νεστόριον δύ
σεις ἁπλῶς ἐπὶ Χριστοῦ λέγειν ἀποδεδοκίμακεν ὁ
ὁ ἐκκλησιαστικός· ἀλλὰ δύο φύσεις οὐσιωδῶς ἡνωμ

διὰ τῆς ἐπαγωγῆς ταύτης ἀποβάλλων πᾶσαν διαιρετικὴν ἔννοιαν, καὶ τὴν καθ' ὁποιονοῦν ἐπιχειροῦντα διαζευγνύναι τὴν ὄντως ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν· καὶ οὐ μόνον δύο φύσεις οὐσιωδῶς ἡνωμένας, ἀλλὰ καὶ ἑνώσει τῇ καθ' ὑπόστασιν ἀδιασπάστως ἅμα καὶ ἀσυγχύτως.

Ἐξήγησις τοῦ ὅρου.

Ο ΔΕ τοιοῦτος ὅρος, διὰ μὲν τοῦ λέγειν δύο φύσεις, σημαίνει τὸ ἑτερογενὲς καὶ ἑτερούσιον τῶν συνελθουσῶν δύο φύσεων, τῆς τε προσλαβούσης θεότητος καὶ τῆς προσληφθείσης ἀνθρωπότητος. διὰ δὲ τοῦ λέγειν οὐσιωδῶς ἡνωμένας, σημαίνει τὸ μὴ κατ' εὐδοκίαν, ἢ ἑτέραν τινὰ σχετικὴν ἔννοιαν νοεῖσθαι τὴν τῶν δύο φύσεων ἕνωσιν, ἀλλ' αὐτῇ οὐσίᾳ καὶ ὑποκειμένῳ καὶ πράγματι συνυφεστάναι ταύτας καὶ συντεθεῖσθαι. διὰ δὲ τοῦ λέγειν ἑνώσει τῇ καθ' ὑπόστασιν, σημαίνει τὸ μὴ πρότερον διαπεπλάσθαι τὴν ἀνθρωπότητα, καὶ οὕτως αὐτῇ εἰσδεδυκέναι τὴν θεότητα, ἀλλ' ὅτι κατ' αὐτὸ τὸ ὑφίστασθαι τὴν πρώτην ἀρχὴν ἥνωται τῇ θεότητι. διὰ δὲ τοῦ ἐπάγειν, ἀδιασπάστως ἅμα καὶ ἀσυγχύτως, σημαίνει μηδὲ καινοτομηθῆναι τὰς συνελθούσας φύσεις διὰ τῆς ἑνότητος, ἀλλὰ καὶ τὴν ἕνωσιν τούτων ἀεί τε καὶ ὡσαύτως διαπεφυλάχθαι, καὶ ἑκατέραν τῶν φύσεων μένειν ἀμειώτως ἐπὶ τῷ οὐσιώδει αὐτῆς ὅρῳ καὶ λόγῳ. ταῖς οὖν τοιαύταις ἀνεπηρεάστοις ἐπαγωγαῖς, τοὺς ἐξ ἑκατέρου μέρους ἀποσφαλέντας, μακρὰν ἀποπέμπεται ὁ λόγος τῆς ἐκκλησίας, καὶ τοῖς συκοφαντεῖν ἐθέλουσι τὴν ἀλήθειαν, χώραν οὐ δίδωσιν. εἰ μὲν γάρ τις φιλοδιαιρετὴς διὰ τῆς τῶν δύο φύσεων ὁμολογίας, δύο ὑποστάσεις, ἤγουν πρόσωπα, συναγαγεῖν ἐπιχειρεῖν, οὐχ ἥκιστα μὲν καὶ ταῖς προλεχθείσαις ἐπαγωγαῖς, πολλῷ δὲ μᾶλλον τῷ ἑτέρῳ τῶν ὅρων διελέγχεται, καὶ μάλα ῥᾳδίως. φημὶ δὲ τῷ, μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη. ἐντεῦθεν γὰρ ὁ ὅρος ἐναργῶς παρίστησι, οὐκ ἄν ποτε ἐν ὑποστάσει τὸ καθόλου γνωρισθῆναι τὴν κατὰ Χριστὸν ἀνθρωπότητα, εἰ μὴ ἡ τοῦ λόγου θεϊκὴ φύσις ὑπεισδῦσα τὴν παρθενικὴν νηδὺν, ἐξ αὐτῆς ἀρρήτῳ λόγῳ ταύτην ἑαυτῇ προεμόρφου καὶ προεξέπλαττεν, ὥστε μηδὲ αὐτὰς τὰς πρώτας τῆς ζωοπλαστίας ἀρχὰς ἐσχηκέναι τὴν προσληφθεῖσαν φύσιν, ἄνευ τῆς οὐσιώδους καὶ φυσικῆς ἐμφιλοχωρήσεως τῆς προσλαμβανομένης αὐτὴν Θεοῦ λόγου φύσεως. καὶ τί λέγω τὰς τῆς * θεοπλαστίας ἀρχάς, ὁπουγε οὐδ' ἂν αὐτὴ ἡ μακαρία παρθένος ὑπὲρ τὸν ὅρον τῆς φύσεως γόνιμον ἔλαβε δύναμιν εἰς τὸ τεκνῶσαι, μὴ διὰ τῆς ἐνδημίας τοῦ λόγου εἰς τοῦτο παρορμηθεῖσα; πῶς οὖν αὐτὴ ἡ ἐν Χριστῷ ἀνθρωπότης ἐν ἰδιαζούσῃ ὑποστάσει καθ' ἑαυτὴν οὔποτε γενομένη, ἀλλ' ἐν τῷ προσλαβομένῳ αὐτὴν Θεῷ λόγῳ, τὸ εἶναί τε καὶ ὑποστῆναι λαχοῦσα, ὑπόστασις ἂν λεχθείη ποτέ, ἢ πρόσωπον ἰδιοσύστατον καθ' ἑαυτό, καὶ ἀνὰ μέρος γνωριζόμενον ἔχοι; ἠλίθιον ὄντως καὶ μάταιον τὸ ταῦτα συνομολογεῖν.

A hac enim adiunctione excludit omnem cogitationem diuidentem eas, & eos omnes, qui quocunque modo conantur disiungere vnionem vsque adeo admirabilem, & supra naturam: & non solum duas naturas dicit substantialiter vnitas, sed vnione hypostatica inseparabiliter & inconfusè vnitas.

Explanatio definitionis.

Hæc autem definitio dogmatis cum dicit duas naturas, significat diuersam substãtiam duarum naturarum quæ conuenerunt, diuinitatis scilicet, quæ assumpsit, & humanitatis, quæ assumpta est: cum dicit substantia- B liter vnitas, significat non esse intelligendam vnionem duarum naturarum secundum beneuolum affectum aut aliam quandam notionem habitudinis, sed ipsa substantia, & subiecto, ac re consubsistere & coniunctas esse: cum dicit vnione hypostatica, significat non prius fuisse formatam humanitatem, & sic in eam ingressam esse diuinitatem, sed vnitam esse diuinitati tum primum subsistendo: cum adiungit inseparabiliter, & inconfusè, significat, naturas quæ coierunt, nihil nouasse per vnionem, quin potius sem- C per & eodem modo seruatam esse harum vnionem, & vtramque naturam manere sine vlla imminutione in substantiali sua definitione, & ratione. Definitio igitur Ecclesiæ huiusmodi adiunctionibus, quæ calumnias subire non possunt, eos qui ex vtraque parte aberrant, procul relegat, & eis, qui veritatem calumniari volũt, non præbet locum. si enim quis studiosus diuidendi, per confessionem duarum naturarum, duas hypostases, id est, duas personas introducere conatur, redarguetur quidem nihilominus adiunctionibus illis, quas diximus; multo vero magis altera D definitione dogmatis, illa inquam, qua dicitur vna natura verbi Dei incarnata. Hæc definitio euidenter ostendit quod nunquam in vniuersum humanitas Christi agens in hypostasi cognita fuisset, nisi natura diuina verbi Dei in vterum virginalem ingressa, ex ipsa modo inexplicabili hanc naturam sibi formasset, & fecisset, ita vt nec ipsa prima principia diuinæ incarnationis naturam assumptam sine substantiali & naturali habitatione naturæ verbi Dei eam assumentis habuissent. Et quid dico principia di- * ζωοπλασίας E uinæ formationis siue incarnationis? siquidem nec ipsa beata Virgo virtutem fœcunditatis supra naturæ leges ad procreandum filium accepisset, nisi per aduentum Verbi ad hoc impulsa esset. Quomodo igitur hæc in Christo humanitas, cum nunquam per se in propria persona fuerit, sed in verbo Dei, quod eam assumpsit, esse & subsistere sortita est, hypostasis dici vnquam queat? aut personam habeat, quæ pro parte sua per se subsistat & priuatim notam? fatuum profectò & vanum est hæc confiteri, & duas hypo-

stases, siue personas in hoc opere quærere, nisi quis forte labiis quidem honorat & osculatur hæc, cor autem eius longe ab eis abest. Quare siquis legitimè & Ecclesiasticè duas naturas in Christo confiteri vult, vnam etiam naturam verbi incarnatam, obuiis manibus & toto corde amplectatur, vt antea diximus: siquis vero existimat confundere nos hoc modo diuinam œconomiam, quasi adiunctio incarnati aliter intelligi possit, & iste non piè accipiat adiunctionem, incarnatum carne animata anima intelligente & rationali, desinat iste excusare excusationes in peccatis. Dicam clarius, cum dicitur vna natura verbi incarnata, incarnata, inquit, potest adiungi vni naturæ; & alteram quidem naturam inducere, mutationem vero quandam siue conuersionem eius significare, sicut dicimus glaciem esse naturam aquæ congelatam. Etenim scientes vnam naturam aquæ esse, & adiungentes huic, congelatam: alteram naturam per hanc significationem non apponimus: solam autem congelationem in ea natura factam intelleximus ex hac voce, congelatam. Ad hoc respondemus, quod in huiusmodi effectis huiusmodi voces non duplicantur: duplicatio enim hic significationem alterius naturæ efficit: verbi gratia, non possumus dicere naturam aquæ congelatam glacie, quia statim significaremus aliud esse naturam aquæ, & aliud naturam glaciei. sicut cum dicimus lignum auratum auro, duplicatione facta intelligimus aliud esse lignum & aliud aurum. sic igitur hic, cum dicimus vnam naturam Dei verbi incarnatam, & addimus, carne; naturam carnis significauimus, & quod diuinitas non est mutata in carnem, sed quod manens quod erat, per velamen, id est, per carnem assumptam nobis apparuit. Perfectè ergo huiusmodi sententia per hanc duplicationem redditur. Si quis vero rursus naturas confundens, & commiscens, approbat quidem hanc definitionem, quasi cum impietate eius faciat, ac consentiat, adiunctiones, quas prius diximus, maxime quidem malam mentem eius retundunt, sed multo magis adhuc altera definitio, quæ Christum in duabus naturis agnoscit, & profitetur, eúmque latenter & per insidias fallere conuincit. hæc enim definitio apertè clamat proprietatem vtriusque naturæ firmam, & immutabilem in vnione mansisse; vt facile discerni possit, quid proprium habeat vnumquodque coeuntium, & quid proprium communicet alterutrum cum eo quod secum compositum & vnitum est, & quid vicissim ab eo recipiat: hoc autem est proprium vnionis reuera inconfusæ & purissimæ, vt in ea cernantur quæ sunt communia ambarum naturarum;

A καὶ δύο ὑποστάσεις ἢ πρόσωπα ζητεῖν ἐπὶ τοῦ τοι-
ούτου ἀποτελέσματος· εἰ μή τι ἄρα τις τοῖς χείλεσι
τιμᾷ καὶ ἀσπάζεται ταῦτα, ἡ δὲ καρδία αὐτοῦ πόῤ-
ῥω ἀπέχει ἀπ' αὐτῶν. ὥστε εἴ τις γνησίως καὶ ἐκκλησια-
στικῶς ὁμολογεῖν ἐθέλοι τὰς ἐν Χριστῷ δύο φύσεις, καὶ
μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη, ὑπτίαις χερ-
σὶν ὁλοκλήρῳ καρδίᾳ καταδεξάσθω, ὡς τὰ προειρημ-
ένα δηλοῖ. εἰ δὲ συγχεῖν ἡμᾶς διὰ τοῦτο νομίζει τὴν θεί-
αν οἰκονομίαν, ὡς τοῦ σεσαρκωμένου καὶ ἄλλως νοεῖσθαι δυ-
ναμένου· παρὰ τὸν τῆς εὐσεβείας λόγον λαβὼν τὴν ἐπα-
B γωγὴν τὴν σαρκὶ ἐψυχωμένῃ ψυχῇ νοερᾷ καὶ λογι-
κῇ, παυσάσθω λοιπὸν τοῦ προφασίζεσθαι προφά-
σεις ἐν ἁμαρτίαις. ἔτι δὲ τι λέγω, τὸ σεσαρκωμένην φ-
ύσιν δύναται καὶ τῇ μιᾷ φύσει προσκεῖσθαι, καὶ ἑτέ-
ραν φύσιν ταύτῃ μὴ ἐπεισάγειν, τροπὴν δέ τινα ἤτοι
μεταβολὴν ταύτης σημαίνειν, ὥσπερ λέγομεν τὸν κρύσταλ-
λον, φύσιν ὕδατος εἶναι κεκρυσταλλωμένην. ἰδοὺ γὰρ
τὴν φύσιν τοῦ ὕδατος μίαν εἰδότες, καὶ τὸ κεκρυσταλ-
λωμένην ταύτῃ ἐπάγοντες, ἑτέραν φύσιν διὰ τῆς τοιαύ-
της σημασίας οὐ προσηγάγομεν, μόνον δὲ πῆξιν ἐν αὐ-
C τῇ γινομένην νενοήκαμεν, διὰ τῆς κεκρυσταλ-
λωμένης φωνῆς. πρὸς τοῦτο φαμὲν ὅτι ἐπὶ τῶν τοιού-
των ἀποτελεσμάτων οὐκ ἀναδιπλασιάζονται αἱ τοι-
αῦται φωναί. ὁ γὰρ ἀναδιπλασιασμὸς ἐνταῦθα σημα-
σίαν φύσεως ἑτέρας ποιεῖται. ὅθεν οὐ δυνάμεθα λέγειν ὕδα-
τος φύσιν κεκρυσταλλωμένην κρυστάλλῳ· ἐπεὶ παραυ-
τὰ ἐσημειωσάμεθα ἕτερον εἶναι, τὴν τοῦ ὕδατος φύσιν
ἕτερον τὴν τοῦ κρυστάλλου· ὡς ἐοίκαμεν λέγοντες ξύ-
λον κεχρυσωμένον χρυσῷ· διὰ γὰρ τοῦ ἀναδιπλασιασ-
μοῦ τούτου ἐνοήσαμεν ἄλλο τι εἶναι τὸ ξύλον καὶ ἄλλο τὸν χρυ-
σόν. οὕτως οὖν ἐνταῦθα ὅταν εἴπωμεν μίαν φύσιν
D Θεοῦ λόγου σεσαρκωμένην, φύσιν ἐναργῶς ὑπεσημη-
νάμεθα, καὶ ὅτι μὴ αὐτὴ ἡ θεότης εἰς σάρκα μεταπέπ-
τωκεν, ἀλλὰ μείνασα ὅπερ ἦν, διὰ τοῦ καταπετάσμα-
τος, τουτέστι, τῆς προσληφθείσης ὑπ' αὐτῆς σαρκός, ἡμῖν
πεφανέρωται. ἐντελῶς ἄρα καὶ ἡ τοιαύτη ἔννοια,
τοῦ ἀναδιπλασιασμοῦ ἀποδίδοται τούτου. εἰ δέ τις πά-
λιν ἀναχυτικὸς καὶ συμφύρτης προσίεται μὲν τὸν τοιοῦ-
τον ὅρον, ὡς συντρέχοντα δὲ τῇ αὐτοῦ δυσσεβείᾳ,
μάλιστα μὲν καὶ αἱ προλεχθεῖσαι ἐπαγωγαὶ ὡς πόῤ-
ῥωτάτω τὴν αὐτοῦ κακόνοιαν ἀποσείονται· πολλῷ δὲ μᾶλ-
λον ὁ ἕτερος ὅρος, ὁ τὸν Χριστὸν ἐν δύο φύσεσι γνωριζό-
E μενον ἀπαγγέλλων, καὶ λαθροκακουργοῦντα αὐτὸν ἀ-
πελέγχει. οὗτος γὰρ ὁ ὅρος διαῤῥήδην βοᾷ τὸ ἑδραῖ-
ον καὶ ἀνεκφοίτητον τὴν ἑκατέρας φύσεως ἰδιότητα κα-
ἐν ἑνώσει μεμενηκέναι, ὥστε ῥᾳδίως διαγινώσκειν δύνα-
σθαι τί ἴδιον ἑκάστου τῶν συνελθόντων, καὶ τί τῶν οἰκείων εἰς
ἀλλήλοις παρέχον, τὰ παρὰ τοῦ συνεφεστῶτος καὶ συγκει-
μένου ἀντικομίζεται. τοῦτο δὲ ἀληθευομένης ὄντως καὶ κα-
θαρωτάτης ἑνώσεως, τὸ τὰ κοινὰ τοῦ συναμφοτέ-

& q

καὶ τὰ ἴδια ἑκάστου τῶν συνημμένων ἐμφαίνειν. εἰ γὰρ μὴ ἰδιότης πρότερον γνωσθείη, οὐδ᾽ ἂν ἡ κοινότης ἐπιγνωσθήσεται. πῶς γὰρ ἡ ἔν τινι κοινωνία γενήσεται, μὴ ἔχοντος ἑκάστου τῶν κοινωνούντων ἴδιόν τι; σκόπει δὲ οὕτως, ἴδιον τῆς προσλαβομένης Θεοῦ λόγου φύσεως, τὸ εἶναι υἱὸν Θεοῦ· ἴδιον τῆς προσληφθείσης ἀνθρώπου φύσεως, τὸ εἶναι υἱὸν ἀνθρώπου. κιρναμένων οὖν τῶν τοιούτων φύσεων καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας καὶ τῆς ἑνώσεως, κιρνᾶνται καὶ περιχωροῦσιν εἰς ἀλλήλας ὡσαύτως καὶ κλήσεις, καὶ γίνεται ἀμφότερα, εἷς υἱὸς Θεοῦ τε ὁμοῦ καὶ ἀνθρώπου, τουτέστι τοῦ Θεοῦ πατρὸς καὶ τῆς παρθένου μητρός. οἷον, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· καὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός. ἄρα οὖν ἀμεμφὴς ὁ ἐκκλησιαστικὸς λόγος, διὰ μὲν τὸ εἶναι ἕνα κύριον Ἰησοῦν Χριστὸν Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, δύο φύσεις τὸν αὐτὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν ἀπαγγέλλων· τὸ γὰρ Θεὸς φύσεως ὄνομα, καὶ τὸ ἄνθρωπος ὡσαύτως φύσεως ὄνομα. ἐπεὶ οὖν ὁ αὐτὸς Θεός ἐστι καὶ ἄνθρωπος, διὰ τοῦτο δύο φύσεις εἷς καὶ ὁ αὐτὸς ὁμολογεῖται κύριος. πάλιν δὲ διὰ τὸ εἶναι αὐτὸν ἕνα υἱὸν τοῦ τε Θεοῦ πατρὸς, καὶ τῆς παρθένου μητρός· τὸ δὲ υἱὸς ὄνομα ὑποστάσεως ὑπάρχει σημαντικὸν, καὶ οὐ φύσεως· διὰ τοῦτο καὶ μία ὑπόστασις, τό τε θεῖον ὁμοῦ καὶ ἀνθρώπινον ὁ Χριστὸς παρὰ τῶν εὐσεβούντων δοξάζεται. μίαν οὖν ὑπόστασιν καὶ δύο φύσεις πρεσβεύων ὁ λόγος τῆς ἐκκλησίας, μέσην τινὰ ὁδὸν πεπόρευται· οὔτε διὰ τὴν ἕνωσιν Μανιχαΐζων, καὶ τὰς φύσεις φύσιν ἀναπλάττων, οὔτε διὰ τὴν διαίρεσιν, τὴν κατ᾽ ἐπίνοιαν τῶν ἡνωμένων φύσεων Παυλιανίζων, καὶ τὴν ὑπόστασιν ὑποστάσεις ποιῶν, ὅτι μηδ᾽ ἀνὰ μέρος ἐν τῶν ὁποτέρων ποιεῖ, ἢ τὴν διαίρεσιν χωρὶς τῆς ἑνώσεως, ἢ τὴν ἕνωσιν χωρὶς τῆς διαιρέσεως, ἀλλ᾽ ἅμα καὶ μετ᾽ ἀλλήλων. ἡνωμένως γὰρ διαιρεῖ, μίαν μὲν ὑπόστασιν λέγων, φύσεις δὲ δύο· καὶ διακεκριμένως συνάπτει, δύο μὲν φύσεις λέγων, ὑπόστασιν δὲ μίαν· ἔμπαλιν ἐπὶ τῆς θεολογίας κατὰ τὸν μέγαν Γρηγόριον. ἐκεῖ μὲν γὰρ ταῖς ὑποστάσεσι διαιρῶν, ἑνοῖ τῇ φύσει· ἐνταῦθα δὲ τῇ ὑποστάσει ἑνίζων, διακρίνει ταῖς φύσεσιν. ἐκεῖ μὲν γὰρ ὑποστάσεις διάφοροι, φύσις δὲ ἡ αὐτή· ἐνταῦθα δὲ φύσεις μὲν διάφοροι, ὑπόστασις δὲ ἡ αὐτή. εἴ τις οὖν κατὰ τὸν νοῦν τῆς ἐκκλησίας ἐκλαμβάνει, τὸ, μίαν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην, ἀσπασίως καταδεξάσθω καὶ τὸ δύο φύσεις οὐσιωδῶς ἡνωμένας λέγειν ἐν τῷ Χριστῷ. εἰ γὰρ ἐπὶ παράστασιν καὶ σημασίαν τῆς ἀνθρωπίνης φύσεως, μετὰ τὸ εἰπεῖν μίαν φύσιν τοῦ Θεοῦ λόγου, ἐπάγει τὸ σεσαρκωμένην, τίνι λόγῳ λοιπὸν ἀναδύεται, τὸ, δύο φύσεις ὁμολογεῖν, μίαν μὲν τὴν τοῦ Θεοῦ λόγου, ἑτέραν δὲ τὴν ἀνθρωπίνην, ἣν αὐτὸς διὰ τῆς σεσαρκωμένης λέξεως ἀπαγγέλλειν διϊσχυρίζεται;

A &quod proprium cuiusque earum. Nisi enim primum proprietas cognoscatur, numquam communitas agnoscetur. quomodo enim in re aliqua fiet communio, nisi vnumquodque eorum quæ communionem habet, proprium quid habeat? Sic ergo mihi considera: Proprium est naturæ Dei verbi, quæ assumpsit naturam humanam, esse filium Dei: propriū naturæ humanæ assumptæ, esse filium hominis. His igitur naturis in vnum compositis, & ratione cognationis & vnionis inter se coeūtibus, similiter nominationes inter se coeunt, & vicissim communicantur, & fiunt ambæ
B vnus filius Dei simul & hominis, id est Dei patris & virginis matris, vt beatus Petrus dixit, Tu es Christus filius Dei viui: & beatus *Matth 16.16.*
Paulus, Misit, inquit, filium suum factum ex *Gal. 4.4.*
muliere. Doctrina igitur Ecclesiastica reprehendi non potest, quæ cum vnum Dominum Iesum Christum simul Deum & hominem dicit, duas naturas in vno Domino Iesu Christo profitetur: Deus enim nomen naturæ est, & homo nomen item naturæ. quia ergo idem est Deus, & homo, idcirco duas naturas vnum & eundem confite-
C mur dominum. rursus quia ipse est vnus filius Dei patris, & virginis matris, filius autem nomen est hypostasim siue personam significans, & non naturam, idcirco vna hypostasis naturæ diuinæ & humanæ Christus à piis celebratur. Ecclesia igitur vnam personam & duas naturas profitendo media via ingreditur: neque propter vnionem Manichæum sequitur duas naturas in vnam refingens, neque propter diuisionem duarum naturarum secundum cogitationem Paulum Samosatensem sectatur, ex vna hypostase duas faciens; quia non facit vnam-
D quamque naturam per se subsistere, vel diuisionem, sine vnione; vel vnionem, sine diuisione. Sed simul inter se alterum cum altero; vnitè enim diuidit, vnum quidem hypostasin dicens, naturas verò duas: & diuisè vnit; duas quidem naturas dicens, hypostasin verò vnam; contra atque in Theologia Trinitaris secundum Gregorium magnum. Illic enim qui in personis diuidit, in natura vnit: hic autem, qui in hypostasi vnit, in naturis diuidit. Illic enim sunt differentes quidem hypostases, natura verò vna. hîc na-
E turæ quidem diuersæ, hypostasis verò vna. Si quis igitur secundum mentem Ecclesiæ accipit, quod dicimus vnam verbi naturam incarnatam, accipiat item libenter, quod dicimus duas naturas substantialiter in Christo vnitas. Si enim ad ostendendum & significandum humanam naturam, postquam dixit vnam naturam Dei Verbi, adiungit incarnatam, quare postea recusat confiteri duas naturas, vnam quidem Dei Verbi, & alteram humanam, quam ipse vocabulo incarnati affirmat se profiteri?

quæ enim confitetur, numeret, vt ait magnus Basilius. Si autem accusat binarium numerum tanquam diuidentem, & partientem, sciat non esse rationi consentaneam huiusmodi recusationem. Si enim, vt superius dictum est, definitio, quæ dicit simpliciter agnosci in Christo duas naturas, & nihil aliud adiungens, reticeat, fortasse locum dederit huiusmodi suspicionibus, vt quæ non planè sententiam suam protulerit, quomodo intelligeret ad se inuicem affectas huiusmodi duas naturas. Si verò adiungat vnitas, & vnam præterea hypostasin prædicet, ne volenti quidem vllum locum dat calumniæ. Demonstratum igitur est omnino, eundem sensum esse vtriusque definitionis, & alteram esse alterius interpretationem, & minimè contrariam, & hæc hactenus tanquam in speciem præparationis dicta sint nunc. Quod autem cœperam exponere, quemadmodum Ecclesia explosis aberrationibus in vtramque partem inter se dissentientium, media via eáque rectissima ingrediatur, Seuerus quidam, qui se in Episcopatum Ecclesiæ Antiochensis intulit, aliam quam ipsorum sodalium sectam, id est, Manichæi, & Apolinarij & Eutychetis, defendere aggressus est, turbans, quoad potuit, pacem Ecclesiæ. Eiectus verò ab Antiochensibus tanquam factiosus & turbulentus, irruit instar procellæ & turbinis in leuitatem Alexandrinorum, vbi alia tempestate reflante mansuetior, & minus turbidus factus est. qui autem ab eo fuerant fluctibus iactati, & circumacti, à seipsis fuerunt dissecti, & diuisi peius quam antea. dispersit enim eos Iulianus, risus inimicorum suorum, vt scriptum est. Erat hic Iulianus Episcopus Halicarnassi in Asia defensor ardentissimus sectæ Eutychetis, initio familiaris, & amicus Seueri: ambo enim contra veritatem conspirauerant, postea verò dissidere cœperunt orta inter eos disceptatione, vtrum dicendum esset corpus Christi natura aliquando corruptibile an nunquam, sed potius ab ipsa vnione sublatam esse proprietatem naturæ corruptibilis, tanquam duæ naturæ factæ essent vna, & differentia substantialis naturæ non amplius nosceretur, quasi melior pars, id est diuina simul cum ipsa vnione vicisset, & ad suam proprietatem in puncto temporis minorem partem à naturali eius proprietate transtulisset. Communis autem amborum Iuliani scilcet & Seueri hæc dubitatio, & quæstio. ambo enim vnionem confundentem defendebant.

Seuerus.

** Fed. Mor. leg. ex cod. ms. P. St. ἧττον ζαλώδ. mitior & minus turbulentus quàm antea f.*

Iulianus.

Opinio Iul. Halicarnassei.

Iulianus igitur pulchrè se facturum cogitauit, si occultè & insidiosè contra veritatem penitus procederet, & non videretur sibi contrarius, & à veritate discrepare.

A ἃ γὰρ ὁμολογεῖ καὶ ἀριθμείτω, κατὰ τὸν μέγαν Βασίλειον. Εἰ δὲ αἰτιᾶται τὸν δύο ἀριθμὸν, ὡς διχαστικὸν καὶ διαιρετικὸν, γινωσκέτω μὴ εὔλογον εἶναι τὴν τοιαύτην παραίτησιν. Εἰ μὲν γὰρ ὡς καὶ ἀνωτέρω εἴρηται, εἰπὼν ὁ ὅρος δύο φύσεις ἁπλῶς ἐν τῷ Χριστῷ γινώσκειν, καὶ μηδὲν ἕτερον προσεπιφέρων, ἀπεσιώπα, χώραν ἴσως ἐδίδου ταῖς τοιαύταις ὑποψίαις, μήπου τὴν ἑαυτοῦ ἔννοιαν τρανῶς παραστήσας, ὅπως δὲ τὰς τοιαύτας δύο φύσεις ἔχειν πρὸς ἑαυτάς. εἰ δὲ καὶ τὸ ἡνωμένας, καὶ πρὸς τούτοις τὴν μίαν καθ' ὑπόστασιν, οὐδὲ ἐθέλοντί τινι συκοφαντίας B παρέχεται. δέδεικται οὖν ἐκ παντὸς ὅτι ταυτὸν ἀμφοτέροις τοῖς ὁρισμοῖς τούτοις τὸ βούλημα, καὶ ὁ ἕτερος τοῦ ἑτέρου ἑρμηνευτικὸς μᾶλλον καὶ οὐκ ἐναντίος ὑπάρχει. καὶ ταῦτα μὲν ὡς ἐν προεισαγωγῆς λελέχθω σχήματι. ὅθεν δὲ οὖν ὁ λόγος ὥρμητο διηγεῖσθαι, ὅτι τῆς ἐκκλησίας τὰς ἑκατέρωθεν ἀποσειομένης τὰς ἐφ' ἑκάτερα τροπὰς, μέσην τε καὶ ἀληθεστάτην τεμνούσης ὁδὸν, Σευῆρός τις τῇ τῶν ἐν Ἀντιοχείᾳ προεδρίᾳ ἑαυτὸν ἐπωθήσας, τὴν ἑτέραν τῶν ὁμομοίρων τούτων, τὴν C κατὰ Μάνην, Ἀπολινάριόν τε καὶ Εὐτυχέα, διεκδικεῖν ἐπειρᾶτο, κυκῶν ὅσον δυνάμεως αὐτῷ τὴν τῆς ἐκκλησίας εἰρήνην. ἐλαθεὶς δὲ τῆς Ἀντιοχέων ὡς στασιώδης καὶ ταραξίας, τῇ Ἀλεξανδρέων κουφότητι λαίλαπος καὶ θυέλλης δίκην ἐνέσκηψεν. ἔνθα καὶ ἑτέρας τρικυμίας ἀντιπνευσάσης αὐτῷ, ἡμερώτερος μὲν καὶ τοι * ζαλώδης αὐτὸς ἑαυτοῦ γέγονεν· οἱ δὲ ὑπ' αὐτοῦ δονιζόμενοι καὶ περιφερόμενοι, διεσπάρησαν ἀπ' ἀλλήλων, καὶ διῃρέθησαν χειρόνως ἢ πρότερον. σκέδασε γὰρ αὐτοὺς Ἰουλιανὸς ἐπίχαρμα τῶν ἐχθρῶν αὐτῶν, καθὼς γέγραπται. Ἰουλιανὸς δὲ οὗτος Ἀλι- D καρνασσοῦ μὲν τῆς Ἀσίας ἐπίσκοπος ἦν, τῆς δὲ Εὐτυχοῦς συμμορίας προαγωνιστὴς ἐνθυμότατος, Σευήρῳ τὰ πρῶτα συνήθης καὶ φίλος, συγκεκροτημένοι τε ἄμφω κατὰ τῆς ἀληθείας· ὕστερον δὲ ἐμπεσόντος αὐτοῖς τοιούτου ζητήματος, πότερον φθαρτὸν φύσει λέγοιτο σῶμα τοῦ Κυρίου ποτὲ, ἢ οὐδέποτε· ἀλλ' ἐξ αὐτῆς ἑνώσεως ἀποκινηθεῖσαι τῆς φθαρτῆς φύσεως τὸ ἰδίωμα; ὡς μιᾶς φύσεως γινομένων τῶν δύο, καὶ τῆς οὐσιώδους διαφορᾶς ἀμφοῖν μηκέτι γινωσκομένης, τοῦ κρείττονός τε καὶ θείου μᾶλλον πῶς ἐκνικήσαντος ὁμοῦ E τῇ πρώτῃ συναφείᾳ, καὶ πρὸς τὸ ἑαυτοῦ ἰδίωμα ἧττον ἐν ἀκαρεῖ μεθαρμόσαντος τῆς κατ' αὐτὸ φυσικῆς ἰδιότητος. κοινὸν δὲ ἀμφοτέροις Ἰουλιανῷ καὶ Σευήρῳ τουτὶ τὸ ἀπόρημα· ἄμφω γὰρ τῆς συγχυτικῆς ὑπερμάχουν ἑνώσεως.

Δόξα Ἰουλιανοῦ.

ΙΟΥΛΙΑΝΟΣ γοῦν καλῶς ποιήσειν δὲ εἰ παντάπασιν ἐξ ἀποτόμου χωρήσῃ κατὰ τῆς ἀληθείας καὶ μὴ ἑαυτῷ τε καὶ ταύτῃ πολέμιος ἢ καὶ ἀνάρμο-

A ἀκόλουθον εἶναι νομίσας τῷ λέγοντι μίαν φύσιν, μὴ πρὸς ἑαυτὴν ἐναντίαν καὶ διαφερομένην ποτὲ ταύτην ποιεῖν. διαφορᾶς δὲ μὴ οὔσης ἀσεβέστερον φαίη, τὸ χεῖρον μετελθεῖν πρὸς τὸ κρεῖττον, τοῦτ' ἔστι τὸ φθαρτὸν πρὸς τὸ ἄφθαρτον. ταῦτα συλλογισάμενος, καὶ μηδὲν ὡς ἕτερον ἐναντιούμενον ἑαυτῷ προϊδὼν, ἄφθαρτον ἀεί τε καὶ κατὰ πάντα τὴν τοῦ Κυρίου σάρκα ἐξουσιαστικῶς ἀπεφήνατο. Σεβῆρος δὲ τούτοις μὴ ἀρεσθεὶς ὡς διαρρήδην κηρύττουσι τὴν σύγχυσίν τε καὶ σύμφυσιν, οὔτε ἀσπείσασθαι πρὸς τὴν ἐκκλησίαν ἐβούλετο, ὡς ἀκολούθως τῇ διαφορᾷ καὶ ταῖς ἰδιότησι, καὶ τὰς φύσεις ἀ- B παριθμούσῃ περὶ ἃς ἡ διαφορὰ θεωρεῖται, καὶ ὧν εἰσιν αἱ ἰδιότητες φυσικῶς αὐταῖς ἐνυπάρχουσαι. καὶ τὸ συνθέσθαι ταῖς Ἰουλιανοῦ τολμηρίαις, ἀναιδὲς ἅμα καὶ προπετὲς ὑπελάμβανε, καὶ οὐδὲν ἕτερον ἢ γυμνῇ τῇ κεφαλῇ, καὶ ἀνακεκαλυμμένῳ τῷ στόματι πολεμεῖν τὴν εὐσέβειαν.

Δόξα Σεβήρου.

ΕΚ τούτου Σεβῆρος γέγονε καὶ ἑαυτῷ καὶ τῇ ἀληθείᾳ καὶ τῷ γείτονι αὐτῆς ψεύδει ἀντίθετος, καὶ οὔτε ὅλως ἀληθὴς οὔτε ὅλως ψευδὴς, ἀλλ' ὡς εἰπεῖν ψευ- C δαληθὴς, ὅμοιος τῇ ὑπ' αὐτοῦ ἐπινενοημένῃ μιᾷ συνθέτῳ φύσει. διὰ τοῦτο καὶ πρὸς ἑαυτὸν μάχιμος καὶ ἀπαλίμβολος, ἠλιθίως ὄντως καὶ ἀμαθῶς μέσον τι χρῆμα ψεύδους καὶ ἀληθείας ζητεῖ, ὅπερ οὐκ ἔστι. μεσότητα γὰρ ἀληθείας καὶ ψεύδους οὔτε εὑρεῖν οὔτε ἐπινοῆσαι δυνατόν· ἡ μὲν γὰρ ἀλήθεια μέση ἀεὶ καὶ ἀπαρέγκλιτος, καὶ διὰ τοῦτο ἑδραία καὶ πάντοθεν ἴση καὶ εὐθύτονος· οὐ παραδέξεται οὖν ἕτερόν τι τὸ ἐγκάρσιον αὐτὴν ἀποτελοῦν, καὶ ἐξωθοῦν τῆς οἰκείας στάσεως καὶ μονιμότητος, ἐλ- D έγξει δὲ πᾶν τὸ ἐπιβούλως αὐτῇ προσπελάζον, καὶ τὸ μέσον αὐτῆς διασαλεύειν πειρώμενον· ὅπερ καὶ Σεβῆρον ὑπ' αὐτῆς πεπονθότα εὑρίσκομεν. ἐπεὶ γὰρ ὡς ἔφαμεν καινόν τι μέσον παρὰ τὴν ἀλήθειαν εὑρεῖν ἐπεχείρησε, πλανηθεὶς, ὡς οὐκ ἔγνω μέσον ἑαυτοῦ καὶ τοῦ ὁμοφύλου αὐτῷ ψεύδους, πεποίηκε ταύτην. αὐτοῦ γὰρ Σεβήρου μίαν φύσιν λέγοντος εἶναι τὸν Χριστὸν, καὶ τὴν διαφορὰν τὴν ἐν τῷ Χριστῷ δεχομένου· Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ Σεβῆρον λέγοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφοράν· ἡ ἀλήθεια, τοῦτ' ἔστιν ὁ ἐκκλησιαστικὸς λόγος, τὴν μεσότητα ἑαυτῇ πανταχοῦ διασώζουσα, δέχεται μὲν τὴν E διαφορὰν, οὐ κατὰ Σεβῆρον δέ. οὐδὲ γὰρ οἶδέ ποτε μίαν φύσιν ἑαυτῇ ἐναντίαν. δύο γὰρ φύσεις ἐν τῷ Χριστῷ γινώσκουσα, θεότητα καὶ ἀνθρωπότητα, τούτων καὶ διαφορὰν τὴν πρὸς ἄλληλα τηλαυγεστάτην θεωρεῖ. οὐ γὰρ ταυτὸν θεότης καὶ ἀνθρωπότης, εἰ καὶ εἷς ὁ Χριστὸς ὁ ἐν ἀμφοτέραις ὑπάρχων, καὶ ἀμφότερον· εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ, ὁ ἐκκλησιαστικὸς κῆρυξ προδήλως βοᾷ. μὴ δεχομένη δὲ ἡ ἐκκλησία κατὰ Σεβῆρον τὴν διαφορὰν

Existimauit ergo consequens esse, vt qui vnã naturam diceret, non faceret eam cõtrariam sibi, & à se discrepantem; sublata autem discrepantia, sequebatur magis impium esse, si diceretur, quod deterius est, aggredi ad præstantius; id est, corruptibile, ad incorruptibile. Hæc cum sic secum ratiocinatus esset, & nihil aliud sibi contrarium præuidisset, incorruptibilem semper & omnino carnem imperiosè pronuntiauit. Seuerus autem non probabat ista, vt quæ confusionem & commixtionem naturarum planè inducerent, neque tamen pacem facere volebat cum Ecclesia, quæ conuenienter differentiæ & proprietatibus naturas numerat, in quibus differentia proprietatum cernitur, & quarum sunt proprietates naturales, quæ in ipsis naturis insũt; & assentiri audaciis Iuliani impudens & petulans esse arbitrabatur; & non minus esse quàm nudo capite, & aperto ore pietatem oppugnare.

Opinio Seueri.

Ex eo tempore factus est Seuerus sibi & mendacio suo contrarius, & nec ex toto verax, nec ex toto mendax, sed vt ita dicam, Pseudalethes, id est falsiverus, similis naturæ compositæ, quam excogitauit: idcirco secum pugnat, & inconstans est, & fatuè atque ineruditè medium aliquid, inter mendacium & veritatem quærit; quod nullum est. Non enim inueniri nec excogitari potest aliquid veritati & mendacio interiectum. Veritas enim semper media est, & non transuersa, atque ideo firma, & vndique æqualis & recta: nihil igitur recipit, quod eam reddat obliquam, & è suo statu & firmitate expellat. Coarguit autem quicquid insidiosè ad eam accedit, & medium eius quatere nititur: id quod Seuero euenisse reperimus. quia enim, vt diximus, medium aliquid nouum præter veritatem conatus est inuenire, quod inuenire non potuit, fecit ipse. Cum enim Seuerus ipse diceret esse Christum vnam naturam, & differentiam in Christo reciperet, Iulianus verò vnam naturam, sicut Seuerus, poneret, sed differentiam tolleret: Veritas, id est, Ecclesiastica doctrina, suum medium vbique custodiens, recipit quidem differentiam, sed non sicut Seuerus; non enim nouit vnquam vnam naturam sibi contrariam; duas enim naturas in Christo cum agnoscat, diuinitatem scilicet & humanitatem, harum etiam inter se differentiam perspicuè contemplatur: nec enim est idem diuinitas, & humanitas: tametsi vnus est Christus in ambabus naturis; & idem est ambæ naturæ. nam quamuis ambæ naturæ sunt vnum, non tamen sunt vnum natura; sed vnum concursu. sic Ecclesia prædicat, quæ non recipit differentiam eo modo, quo Seuerus:

sed secundum rationem & doctrinam suam, illam non reiicit, vt reiicit Iulianus Halicarnasseus; scit enim assumpsisse Verbum carnem veram, & animam intelligentem, cum suis proprietatibus: scit item vnitum esse corruptibili immortale, vt antè memoratus Gregorius Theologus dixit. media igitur mansit inter vtrumque, vt dicebamus, immota veritas, quæ respuit quod Seuerus ait, esse vnam naturam & differentiam: non enim differt hoc ab ænigmate & monstro. quomodo enim eadem natura erit duo contraria? quomodo subsistet, si ei insitum est, vt sibi à se circa idem bellum inferatur? Etiam hic opportunè recolendum memoria

vt qui ab alio sit effectus, eóque indigeat. Amm. Istud etiam asseuerabatur. Chr. Minimè verò, quod sic se haberet, perfectum existere, sibive sufficere, in confesso erat. Amm. Videris vera dicere. Chr. Illud quoque in concessis habebatur, eum qui talis esset, non esse censendum opificem aut Deum, vt qui perfectionem non attingeret. Quod enim imperfectum est, alienum est à diuina natura, & beata. Amm. Pulchrè. Christianvs. Si igitur hęc se habere sermo demonstrauit, quo pacto Sol singularium hominum existit opifex? Quòd si enim istud concessum fuerit, iuxta eorum qui ista opinantur, liberam sententiam, & erroneam & plurimam insaniam, corporum opificem esse Solem atque omnino Deum, quomodo non eadem quęstio rursum emerget? Necessarium enim est vt qui Solem Deum esse fabulantur, & gigantum more insaniunt, Deum faciant & bonũ eum confiteãtur, & cuiuslibet pulchri effectorem, atque opificem Quomodo igitur, mirabilem vestram, & præclaram dubitationem effugere poteritis, etiamsi Solem nobis comminiscentes derepente Deum obtrudatis, quemadmodum ij qui plebeium sæpe regem in theatro faciunt? Etenim hîc quoque inuidia, & ignorantia pulchri, & propter pœnitentiam creatio, itémque rei pulchrè se habentis aptéque coagmentatæ dissolutio sequetur, sed & aliæ stultæ & fatuæ vestrarum sententiarum quæstiones ac dubitationes. Cæterum quis erit qui animas corporibus colligauerit? Neque enim hoc in Solem referendum est, etiam si qui omnia miscent, & turbant, sursum deorsumque res vertant, ignoratione & errore vnius soliúsque conditoris, in deorum multitudinem pertracti & prolapsi vel præcipitati: atque nobis externorum & alienorum praui operis & effectionis opificum catenas comminiscentes: quemadmodum & dæmones quosdam scelestos & errones in deorum ordinem ascripserũt, nusquam ad Homericam conuersi sapientiam, quæ sancit, *Multorum nocet imperium, rex vnicus esto*, principatum autem popularem incõditum & turpissimam omnium reipublicæ formarum, itéque mixtam semper & tumultuantem de diuinis enuntiantes: Formam autem, & pulchritudinem monarchiæ intueri non valentes, neque expetentes immateriatum & beatum huius lumen. Nam circa opinationum veritatem, quasi vertigine laborãtes, ipsum quidem bonum confitentur opificẽ verbo, reipsa autem spoliãt huius vniuersitatis opificio, in quos volũt, effectionem omnem vel certè partem referẽtes. Neque verò cupiunt intelligere quid differat inter opificem, & effectionem, inter Dei opera, & effectiones. Vtq; sol lucernæ instar à Deo constitutus in magna hac aula istã vniuersitatẽ collustret, nihilque possit vel efficere, vel operari

A ὡς ὑφ' ἑτέρου γεγονότα, κἀκείνου δεόμενον. ΑΜΜ. Καὶ τοῦτο ἐλέγετο. ΧΡ. Ἥκιστα δὲ τέλειον ἢ αὔταρκες τὸ οὕτως ἔχον, ὡμολογεῖτο. ΑΜΜ. Κινδυνεύεις ἀληθῆ λέγειν. ΧΡΙΣΤ. Κἀκεῖνο δὲ συνωμολογεῖτο. ΑΜΜ. Τὸ ποῖον δή; ΧΡΙΣΤ. Τὸ μὴ τὸν τοιοῦτον ἀποτάξειν δημιουργὸν ἢ Θεὸν ὡς τοῦ τελείου μὴ ἐφαπτόμενον. ἔξω γὰρ τῆς θείας φύσεως καὶ τοῦ μακαρίου Θεοῦ τὸ ἀτελές. ΑΜΜ. Καλῶς λέγεις. ΧΡ. Εἰ τοίνυν, κυδι ἐγώ, ταῦτα οὕτως ἔχειν ὁ λόγος ἀπέδειξε, πῶς δημιουργὸς τῶν κατὰ μέρος ἀνθρώπων ὁ ἥλιος; Εἰ δὲ καὶ τοῦτο συγχωρηθείη κατὰ τὴν τῶν τὰ τοιάδε δο-

B ξαζόντων αὐτονομίαν καὶ πλάνην καὶ τὴν πολλὴν ταύτην ἀβελτηρίαν, τὸ, σωμάτων εἶναι δημιουργὸν τὸν ἥλιον καὶ ὅλως Θεὸν, πῶς οὐχ ἡ αὐτὴ ζήτησις ἐσαῦθις ἀναφανήσεται; ἀνάγκη γὰρ δήπου τὸν Θεὸν καὶ τὸν Ἥλιον μυθολογοῦντας, καὶ γιγαντιῶντας Θεὸν ποιεῖτε. καὶ ἀγαθὸν ὁμολογεῖν τε καὶ παντὸς καλοῦ ποιητὴν καὶ δημιουργόν. πῶς τοίνυν τὴν θαυμασίαν ὑμῶν καὶ γενναίαν ἀπορίαν ἀποφυγγάνειν ἕξετε; κἂν τὸν ἥλιον ἡμῖν Θεὸν αὐτοσχεδιάζοντες ἐπεισφρήσετε; καθάπερ οἱ ἐπὶ σκηνῆς τὸν ἰδιώτην πολλάκις

C βασιλέα ποιοῦντες· κἀνταῦθα γάρ ὁ φθόνος καὶ ἡ ἄγνοια τοῦ καλοῦ καὶ ἡ ἐκ μεταμελείας δημιουργία, καὶ ἡ τοῦ καλῶς ἔχοντος καὶ ἁρμοσθέντος δὴ, λύσις ἀκολουθήσει, καὶ τ' ἄλλα σοφὰ καὶ ἠλίθια τῶν ὑμετέρων προβλημάτων ἀπορήματα. τίς δὲ ὁ τὰς ψυχὰς τοῖς σώμασι συνδεσμῶν; οὐ γὰρ δὴ καὶ τοῦτο τῷ ἡλίῳ ἀναθετέον. κἂν οἱ τὰ πάντα κυκῶντες καὶ κορυβαντιῶντες ἄνω καὶ κάτω τὰ ὄντα στρέφωσιν, ἀγνοίᾳ καὶ πλάνῃ τοῦ ἑνὸς καὶ μόνου δημιουργοῦ, εἰς Θεῶν δῆμον κατασυρόμενοι καὶ πίπτοντες, καὶ σφ-

D ᾶς ἡμῖν δημιουργῶν, ξένων τε καὶ ὀθνείων τῆς καταδημιουργίας καὶ τῆς ποιήσεως ἀναπλαττόμενοι· ὥσπερ καὶ δαιμόνων τινῶν μοχθηρῶν καὶ πλάνων εἰς ὁρμαθοὺς Θεῶν περιειλήφασι, μηδαμοῦ πρὸς τὴν Ὁμηρικὴν ἐπιστραφέντες σοφίαν. Οὐκ ἀγαθὸν πολυκοιρανίη, νομοθετοῦσαν, εἷς κοίρανος ἔστω, Εἷς βασιλεύς. δημοκρατίαν δὲ τὴν ἄτακτον καὶ αἰσχίστην τῶν πολιτειῶν καὶ πεφυρμένην ἀεὶ καὶ στασιάζουσαν, κατὰ τῶν θείων κατηγοροῦντες· τὸ δὲ κάλλος τῆς μοναρ-

E χίας ἀθρῆσαι μὴ δυνηθέντες, μηδὲ ὀριγνώμενοι τοῦ ἀΰλου καὶ μακαρίου ταύτης φωτός. ἰλιγγιῶντες γὰρ περὶ τὴν τῶν δοξασμάτων ἀλήθειαν, τἀγαθὸν μὲν ὁμολογοῦσι καὶ τὸν δημιουργὸν, μέχρι μόνης φωνῆς· ἀποσυλῶσι δὲ τούτου τὴν τοῦδε τοῦ παντὸς δημιουργίαν, οἷς βούλονται, πᾶσαν ἢ τὰ μέρη ἀνατιθέντες. καὶ οὐκ ἐθέλουσι ξυνιέναι, τί μὲν δημιουργὸς καὶ ποιητής· τί δὲ Θεοῦ δημιουργήματα καὶ ποιήματα. καὶ ὡς ὁ ἥλιος λύχνου δίκην ὑπὸ τοῦ Θεοῦ τεθεὶς ἐν τῇ μεγάλῃ ταύτῃ αὐλῇ, τόδε τὸ πᾶν καταλάμπει, ἥκιστά τι ποιεῖν ἢ ἐνεργεῖν δυνάμενος

ἔα, τί τέτακται ὑπὸ τοῦ ταξιάρχου καὶ μόνου δημιουργοῦ φωτίζειν φημὶ τὰ ζῶα, καὶ τὰ φυτὰ θερμαίνειν. τὴν δ' ὕλην πλεονάζουσαν ὑγρότητα καὶ τὰ τῶν σηπομένων χωρία τε καὶ μέρη, ἀναλίσκειν τε καὶ ἀναξηραίνειν. ταύτας γὰρ αὐτῷ μόνας τὰς ἐνεργείας καὶ τὰς τοιαύτας ὁ δημιουργὸς ἐνέθηκε, καὶ ταύτην αὐτῷ τὴν φύσιν δεδώρηται. ὅθεν τῷ ἐκείνου νόμῳ πειθόμενος δίκην τροχοῦ περιπολεῖ τόδε τὸ πᾶν, μονοειδῆ μὲν ἔχων τὴν φορὰν, καὶ ἀκούσιον, ὡς δοῦλος, καὶ ἄψυχος, καὶ μηδόλως ζῶον λογικὸν τυγχάνων, ὡς ὑποτοπάζουσιν οἱ τοῦτον θεολογοῦντες, ἢ πρὸς τὰ δύστηνα τούτων δοξάρια κεχηνότες. ἐμμελῆ δὲ ποιούμενος τὴν κίνησιν καὶ ἐναρμόνιον, καὶ μὴ ἐκβαίνων τοὺς τεθέντας ὅρους ὑπὸ τοῦ δημιουργοῦ, καὶ τὴν τάξιν ἣν ἔλαχεν, ἀλλὰ κηρύττων μετὰ τοῦδε τοῦ παντὸς φιλίᾳ τε καὶ συμπνοίᾳ καὶ συμφωνίᾳ τὸν δημιουργὸν καθάπερ οἰκία καλῶς κατεσκευασμένη, καὶ πρὸς κάλλος ἠσκημένη, τὸν οἰκοδόμον πολλάκις ἀπόντα καὶ οὐχ ὁρώμενον, καὶ τὴν ἀξιάγαστον τοῦ τεχνίτου σοφίαν. ὅθεν καλῶς τῷ θεσπεσίῳ ἀποστόλῳ, Παῦλος δ' οὗτος ἦν, πεφιλοσόφηται τοῦ Θεοῦ πέρι καὶ τοῦ κόσμου. ἔφη γὰρ ὧδε. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ μὴν καὶ Σολομῶντι τῷ σοφῷ, ὃς τὴν αὐτὴν διάνοιαν ἑτέροις ὀνόμασι διεσάφησεν, ὧδέ πως λέγων· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν καθορᾶται. τοιαύτην τινὰ διάλεξιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ποιησάμενοι, ἐγώ τε καὶ ὁ φιλόσοφος διελυσάμεθα τὴν συνουσίαν. τέλος γὰρ εἶχε καὶ αὐτὴ τῶν προκειμένων Ἀριστοτέλους θεωρημάτων ἡ ἀνάπτυξις. πολλοὶ δὲ τῶν παρόντων τηνικαῦτα συλλόγου οἳ καὶ ἐτύγχανον ἐπαΐοντες τῆς διαλέξεως, ὄντες καὶ αὐτοὶ τῶν περὶ τὰς ἀποδεικτικὰς μεθόδους καὶ τοὺς ποικίλους τῶν συλλογισμῶν λαβυρίνθους στρεφομένων, καὶ τὸν Ἀριστοτέλην τὰ σὰ παιδικὰ καὶ Πλάτωνα θαμὰ πνεόντων καὶ ἀγαμένων, τοῖς ἡμετέροις ἔθεντο καὶ ἐπεψηφίζοντο λόγοις· μᾶλλον δὲ τοῖς τῆς ἱερᾶς καὶ φίλης Χριστιανοῖς ἀληθείας· καὶ ἀνεχώρησαν οἴκαδε θαυμάζοντες τὰς Χριστιανικὰς ἀποδείξεις, καὶ διαφερόντως γλιχόμενοι θαμὰ τῶν τῆς ἀληθείας λόγων ἐπαΐειν. τῇ δ' ὑστεραίᾳ, τῶν φοιτητῶν ὁ κορυφαιότατος καὶ Γέσιος, ὃς νῦν αὐχεῖ τὴν Ἱπποκράτους τοῦ Κῴου καὶ Γαληνοῦ τοῦ ἐκ Περγάμου σοφίαν, καὶ τῶν ἰατρικὴν φιλοσοφούντων διδάσκαλος, παρὰ τὸν Νεῖλον προκάθηται, ἠξίου τὴν αὐτὴν ἀνακινηθῆναι ὁμιλίαν καὶ συνουσίαν, ὡς δή τι ὁ διδάσκαλος πλέον λέγειν δυνάμενος. καί μου τῆς δεξιᾶς λαβόμενος, ἀπάγει παρὰ τὸ τέμενος τῶν Μουσῶν· ἔνθα ποιηταὶ καὶ ῥήτορες, καὶ τῶν γραμματιστῶν οἱ παῖδες φοιτῶντες, ποιοῦνται τὰς ἐπιδείξεις. ἄρχεται δὲ τοῦ λόγου ἐνθένδε. ΙΑΤΡΟΣΟΦΙΣΤΗΣ. Πῶς δημιουργὸς ὁ Θεὸς, ὦ ἑταῖρε, εἰ μὴ ἀεὶ δημιουργεῖ; ΧΡ. Ὡς ἔχων, ἦν δ' ἐγώ,

A quàm quod constitutum sit à Deo ordinis dictatore solóque opifice, lucere inquam animantibus, plantas calore vegetare, supereffluentem humorem, & putrida loca, atque partes consumere & exsiccare. Has enim solas actiones, & tales ei opifex indidit, eáque natura ipsum affecit. Vnde illius legi obtemperans instar rotæ hanc vniuersitatem ambit, vnius speciei quidem habens motum, eúmque voluntatis expertem velut seruus, & inanimatus, nullóque modo animal rationis particeps, quemadmodum suspicantur, qui illum Deum prædicant, & ad infelices B istorum opiniones obstupescunt. Assiduum autem faciens motum, & modulatum, neque excedens terminos sibi impositos ab opifice, & ordinem quem nactus est, sed promulgans cum hac vniuersitate, amicitia, & conspiratione, & consonantia suum conditorem, quemadmodum domus eleganter confecta, & ad pulchritudinem composita, suum architectum sæpe absentem neque visum, dignámque admiratione artificis sapientiam. Vnde & præclarè à diuo Apostolo Paulo tractatum de Deo & mundo, dum sic ait, In- *Rom 1.20.* C uisibilia enim ipsius à creatione mundi ab ipsius operibus intellecta conspiciuntur. Itemque etiam à Sapiente Salomone, qui eandem sententiam aliis vocabulis hunc in modum declarauit. E magnitudine & ele- *Sap.13.5.* gantia rerum procreatarum, quadam proportione ipsarum opifex cernitur. Vbi istam disputationem illo die perfecissemus, ego & Philosophus conuentum dimisimus. Finem enim etiam habebat speculationum Aristotelis ab ipso propositarum declaratio. Plurimi autem ex illo cœtu, qui & interfuerant disputationi, cum etiam ipsi essent exer- D citati in Apodicticis rationibus, & modis, & versati circa varios ratiocinationum labyrinthos, spirarent etiam frequenter Aristotelem, tuas delicias, & Platonem, atque admirarentur, nostris verbis adhæserunt, & suffragati sunt, aut potius veritatis sacræ, quæ Christianorum est familiaris. Domum itaque discesserunt Christianas demonstrationes admirati, & valde auentes sæpius veritatis sermones audire. Postridie discipulorum præstantissimus Gessius, qui nunc Hippocratis Coï, & Galeni Pergameni scientia gloriatur, & medicinæ E studiosorum doctor ad Nilum præsidet, postulabat eundem congressum & colloquium repeti, quasi ipse posset plura quàm præceptor dicere. Ac meam dextram tenens abducit ad Musarum templum: quò Poëtæ, Rhetores, Grammatici ventitantes, præbent suorum ingeniorum specimina: hunc autem sermonem orsus est. MEDICVS DOCTOR. Qua tandem ratione Deus est opifex, mi Christiane, si semper non operatur? CHRISTIANVS. Respondi, Quoniam

ad operandum rationes intra se perpetuò habet Deus, semper est opifex. Quemadmodum & medicus apud se habens medendi rationes, medicus est, & dicitur. Quod eodem modo sentiendum de fabro materiario de ædium structore, de Rhetore. Num id tibi videtur? MEDICVS DOCTOR. Maximè, sed an medicum appellabimus, nominabimusve eum qui non sanat: Materiarium fabrum aut ædium fabricatorem eos qui artem fabricandi actu non exercent? Vti neque musicum eum qui fidium pulsu musicam non ostendit, neque concentuum harmonia mulcet audientium animos, neque illorum aures titillat. Sed nec Rhetorem dicimus, qui neque orat, neque in foro iudicibus, vel in senatu senatoribus, vel in concione concionatoribus fidem verbis facit. Non igitur opifex erit, qui actu nihil operatur, & rationes operandi, quas habet, in apertum non profert, & informem materiam in formam & speciem non adducit & aptat. CHRISTIAN. Rectè. Sed audi, mi Philosophe, quàm aptè de Deo differamus, & opinemur. Dicimus enim Deum semper fuisse opificem, utpote habentem in se efficiendi rationes, & quandocunque velit producentem. Neque enim inertiæ Deum ullo modo accusamus, neque cum nihil efficit, opificis nomen ei detrahimus, sed ex iis quæ effecta sunt, opificem agnoscentes, ab omni habitudine, & necessitate, & tyrannide, quippe qui Deus & unum sit, liberum esse arbitramur. Beata enim & soluta natura non agit necessitate, neque quando non agit, siue inordinatè, siue simul omnia, iam etiam ponetur extra opificis naturam. Nonne tibi valde absurdum, mi Philosophe, videtur, confitendum esse medicum, qui instructus est arte medica, eam habitu possidet, & in seipso circumfert, unum autem aut alterum corpore laborantem, & periclitantem, ne elementorum compage dissoluatur, medicæ artis beneficio curat, neque interea circa medicinam perpetuò occupatur: Deum autem opificem esse negandum, quòd non nisi eum velit operetur? MEDICVS DOCTOR. Maximè. CHRISTIANVS. Et verò fabrum, & architectum, causidicumque & Rhetorem nihil læserit si aliquandiu ab iis, circa quæ versatur eorum ars, desistet. MEDICVS. Minimè. CHRISTIANVS Agedum, hos quidem omnes libertate decoramus solutos, & sui iuris, ac extra omnem necessitatem ponimus, quod attinet ad propriarum artium efficientiam. Omnium autem Regem, qui solus est liber, ac veram libertatem omnibus suppeditat, & dispensat, necessitati, quæ dominatur in omnibus sub ortum & interitum cadentibus, subiiciemus? ac ei mancipari etiam ipsum existimabimus?

A τοὺς δημιουργικοὺς λόγους ἐν ἑαυτῷ ἀεὶ δημιουργ
ὁ Θεός. ὥσπερ καὶ ὁ ἰατρὸς ἔχων τοὺς ἰατρικοὺς λόγ
ἐν ἑαυτῷ, ἰατρός ἐστί τε καὶ λέγεται. ἔτι δ' αὖ καὶ ὁ τεκτ
νικὸς, καὶ ὁ οἰκοδομικὸς, καὶ ὁ ῥητορικός· ἢ σοὶ οὐ φαίνετ
ΙΑΤΡΟΣΟΦΙΣΤ. Πάνυ γε. ἀλλ' οὐκ ἄ
πω ἰατρὸν καλέσαιμεν ἢ ὀνομάσαιμεν τὸν μὴ ὑγια
ζοντα· οὐδ' αὖ τεκτονικὸν ἢ οἰκοδομικὸν τὸν μὴ τὴν τεκτο
νικὴν ἢ οἰκοδομικὴν τῇ ἐνεργείᾳ προσάγοντα· ὥσπερ οὐ
δὲ μουσικὸν τὸν μὴ τοῖς κρούμασι δεικνύντα τὴν μου
σικὴν, καὶ τῇ τῶν κρουμάτων ἁρμονίᾳ θέλγοντα τὰς τ
ἐπαϊόντων ψυχὰς, καὶ καταχηλοῦντα τούτων τὰς ἀ
B κοάς. ἀλλὰ μὴν οὔτε ῥητορικὸν λέγομεν τὸν μήτε π
νηγυρίζοντα, μήτε τοὺς λόγους πείθοντα ἐν δικαστη
δικαστὰς, καὶ ἐν βουλευτηρίῳ βουλευτὰς, καὶ ἐν ἐ
κλησίᾳ ἐκκλησιαστάς. οὐκοῦν οὔτε δημιουργὸς ἂν εἴ
μὴ τῇ ἐνεργείᾳ δημιουργῶν, καὶ τοὺς λόγους οὓς ἔχ
τοὺς ἐμφανεῖς προφέρων· καὶ τὴν ἀειδῆ ὕλην εἰς
δος καὶ σχῆμα μετασκευάζων τε καὶ μεθαρμόττ
ΧΡ. Καλῶς, φημὶ δ' ἐγώ. ἀλλ' ἄκουε, ὦ μακάριε, ὅπ
ὀρθότατα τοῦ Θεοῦ πέρι διαλαμβάνομεν καὶ δοξάζομ
φαμὲν γὰρ τὸν Θεὸν ἀεὶ δημιουργὸν, ὡς ἔχοντα τοὺς δ
μιουργικοὺς λόγους ἐν ἑαυτῷ, καὶ ὅταν ἐθέλῃ προά
C γοντα. οὐ γὰρ ἀργίαν καθόλου τοῦ Θεοῦ κατηγοροῦμ
οὔτ' ἐπειδή ποτε μὴ δημιουργεῖ, δημιουργὸν εἶναι τὸν
ἀρνούμεθα· ἀλλ' ἐκ τῶν γεγονότων δημιουργὸν ἐπιστ
άμενοι, πάσης φύσεως αὐτὸν καὶ ἀνάγκης καὶ τυραννίδος
Θεὸν ὄντα, καὶ ἕν, ἐλεύθερον εἶναι ὑποτοπάζομεν. οὐ
ἀνάγκῃ δημιουργεῖ ἡ ἐλευθέρα καὶ μακαρία φύσ
οὔτ' ἐπειδή ποτε μὴ δημιουργεῖ, μηδὲ ἀτάκτως, μη
ἅμα πάντα, ἤδη καὶ τοῦ εἶναι δημιουργὸς ἔξω κεῖσθαι
ἢ οὐκ ἐπιεικῶς ἄτοπόν σοι ὦ φίλος καταφαίνεται, ἰα
τρὸν ἐκεῖνον εἰδέναι καὶ ὁμολογεῖν τὸν τῆς ἰατρικῆς ἐπι
D λημμένον τέχνης· καὶ ἐν ἕξει ταύτης γεγονότα· κ
ταύτην ἐν ἑαυτῷ περιφέροντα· ἕνα δέ που ἢ δύ
τινὰς τὸ σῶμα κάμνοντας καὶ κινδυνεύσαντας τῆς τ
στοιχείων ἁρμονίας διαλυθῆναι, διὰ τῆς ἰατρι
εὐεργετήσαντα τέχνης, κἂν μὴ περὶ τὴν ἰατρικ
ἐς ἀεὶ ἐνεργῇ· τὸν δὲ Θεὸν μὴ δημιουργὸν ὑποτοπά
ζειν, ὅταν ἐθέλῃ, δημιουργοῦντα. ΙΑΤ. Πάνυ
ΧΡΙΣΤ. Αὐτὰρ καὶ τὸν τεκτονικὸν καὶ οἰκοδομικ
μουσικόν τε αὖ, καὶ ῥητορικὸν, οὐδὲν ἂν λωβήσαι
E ἢ ἔν τινι χρόνῳ περὶ τὰ προσήκοντα αὐτοῖς ἀργ
ΙΑΤ. Οὐ γάρ. ΧΡΙΣΤ. Εἶεν, φημὶ δ' ἐγώ, τούτ
μὲν ἅπαντας, ἐλευθερίᾳ τε γεραίρομεν, ἀφετούς τε
αὐτονόμους, καὶ πάσης ἀνάγκης ἐκτὸς εἶναι τίθεμεν
περὶ τὴν τῶν οἰκείων τεχνῶν ἐνέργειαν. τὸν δὲ πάντ
βασιλέα τὸν μόνον ἐλεύθερον, καὶ τῆς ὄντως οὔσης ἐλε
θερίας τοῖς ἄλλοις χορηγὸν, καὶ διανομέα, τῇ πάντ
τῶν ἐν γενέσει καὶ φθορᾷ κρατούσῃ ὑποζεύξομ
ἀνάγκῃ, καὶ ταύτῃ δουλεύειν καὶ αὐτὸν ὑποτοπήσομ

ἢ εἰ μὴ δημιουργὸς ὁμολογοῖτο πρὸς ἡμῶν ἐλευθερίᾳ τετιμημένος, καὶ μὴ ἀναγκαζόμενος δημιουργεῖν; μήτι ὑφ' ἑαυτοῦ; οὔτε γὰρ στάσις καὶ μάχη περὶ τὴν ἀστασίαστον καὶ ἄμαχον καὶ ἠρεμοῦσαν καὶ εἰρηναίαν, μᾶλλον δὲ αὐτοειρήνην τυγχάνουσαν θείαν φύσιν· ἐπεὶ πᾶσα ἁπλότης καὶ αὐτὸ τὸ ἕν, καὶ σύνθεσις οὐδαμοῦ, μήτε ὑπό του· οὐ γὰρ τῷ πάντων βασιλέως ἐστί τι ἐπαναβεβηκός· ἢ εἰ δημιουργὸς ὑποσπάζοιτο, δεσμοῖς ἀνάγκης τοῦτον δημιουργεῖν νομίσομεν. ΙΑΤ. Καλῶς λέγεις. ΧΡ. Ἢ οὐκ οἶσθα, ὦ φίλη κεφαλή, ὡς οὐκ ἀνάγκη, ἀλλὰ μόνη ἀγαθότης, τῆς δημιουργίας καὶ ποιήσεως τοῦδε τοῦ παντὸς καθηγήσατο, καὶ προέστατο καὶ ἡγεμόνευσε; καὶ εἰ βούλει ἄκουε καὶ τοῦ ὑμετέρου Πλάτωνος ταύτην καὶ μόνην αἰτίαν εἶναι λέγοντος τῆς τῶν ὅλων συστάσεως· ὡς τὸν Τίμαιον συντιθείς, ὧδέ φησι· λέγωμεν τὴν αἰτίαν δι' ἣν ὁ συνιστὰς τόδε τὸ πᾶν συνεστήσατο; ἀγαθὸς ἦν· ἀγαθῷ δὲ οὐδεὶς οὐδέποτε περὶ οὐδενὸς ἂν ἐγγίνοιτο φθόνος· πρὸς δὲ, καὶ τοῦτο ἄθρει. ΙΑΤ. Τὸ ποῖον δή; ΧΡ. Εἰ ἐπειδὴ ἐξ οὗπερ ἔστιν ὁ Θεός, ἐξ ἀϊδίου δὲ ἔστιν, οὐκ ἐδημιούργει, οὐκ ἔστι δημιουργός· πρὸς δὲ καὶ εὐεργέτης καὶ ἀγαθός, ὡς μὴ ἀεὶ δημιουργῶν· τί νῦν ἄρα δημιουργεῖ; οὐ γὰρ δὴ κόσμους ἑτέρους φήσεις· εἷς γὰρ μονογενὴς ὅδε κόσμος κατὰ τὸν Πλάτωνα. ΙΑΤ. Τοῦτον τὸν κόσμον καὶ νῦν δημιουργεῖ. ΧΡ. Ἄκουε οὖν, ἣν δή ἐγώ, ὡς ἀσύμβατος τοῖς ὑμετέροις δεξάσμασιν ἡ τοιάδε θέσις τε καὶ ὁμολογία. ΙΑΤ. Φαθί. ΧΡ. Τὰ ὄντα τέλεια πεποίηκεν, ἢ ἐξ ἀρχῆς ἀτελῆ τινα καταλέλοιπεν; εἰ μὲν οὖν τέλεια, περίεργον ἂν εἴη ἡ περὶ τὰ τελείως ἔχοντα καὶ ἀρτίως ἁρμοσθέντα ἀσχολία τε καὶ ἐνέργεια· εἰ δὲ ἀτελῆ, ἢ φθόνῳ τὴν ἀρχὴν οὐκ ἐποίει τέλεια, ἢ ἀγνοίᾳ τοῦ τελείου. ἑκάτερον δὲ Θεοῦ ἀλλότριον καὶ ἀνάξιον τοῦ μόνου ἐπιστήμονος καὶ ἀγαθοῦ. καὶ πῶς ἀποφεύξῃ τὸ σὸν περιδέξιον καὶ τὰς γενναίας ὑμῶν τῶν σοφῶν καὶ μακαρίων ἀντιθέσεις καὶ ἀπορίας; ἢ οὐκ ἄτοπον ὅλως τὸ Θεοῦ πέρι ταῦτα διανοεῖσθαι; ΙΑΤ. Πῶς γὰρ οὔ; ΧΡ. Οὐκ ἄρα ἀνάγκη τὸ ἀγαθὸν ἀεὶ δημιουργεῖν, ἢ παρὰ τοῦτο οὐκ εὐεργέτης ὁ ἀγαθὸς καὶ σοφὸς καὶ ἐπιστήμων τοῦ καλοῦ καὶ τελείου, ἣν ἐν χρόνῳ δημιουργῇ· πῶς δὲ ἄρα καὶ τοῦτον τὸν κόσμον ἐς τὸ παρὸν ποιεῖ; καίτοι κατὰ τὸν ὑμέτερον λόγον, οὔτε ψυχὰς νῦν δημιουργεῖ, οὔτε σώματα· τὰς γὰρ ψυχάς, οὐ νῦν δημιουργεῖσθαι φατέ· πεπερασμένας γὰρ αὐτὰς ἐξ ἀρχῆς τὸν Θεὸν δεδημιουργηκέναι ὁ ὑμέτερος πρεσβεύει λόγος· προβιῶναί τε αὐτὰς τῶν σωμάτων. καὶ πολλὰ μεταμπίσχεσθαι σώματα, ζώων τε ἀλόγων καὶ ἀνθρώπων ὑπό τινος περιττῆς σοφίας καὶ βαναυσίας, Πυθαγόρας καὶ Πλάτων οἱ παρ' ὑμῖν σοφοὶ ὀνειρώττουσι, τὸν τῆς μετενσωματώσεως μῦθον παρὰ τῶν σοφῶν Αἰγυπτίων λαβόντες· καὶ μετ' ἐκείνων παραληρήσαντες.

A vt non opifex affirmetur à nobis libertate ornatus, & non necessitate coactus ad res condendas? Neque à seipso. Neque enim est seditio vel pugna circa diuinam naturā omnis repugnantiæ, & dissensionis expertem, & quietam, & pacatam, immò verò ipsissimam pacem. Quandoquidem omnis simplicitas etiam ipsum vnum est, & cōpositio nusquā, neque ab aliquo ei aduenit. Neque enim vniuersorum regi quicquā accidit. Aut si opifex existimetur, vinculis necessitatis cōstrictum ipsum condere arbitrabimur. MED. D. Pulchrè dicis. CHR. An nescis charissimū caput, non necessitatem, sed solā bonitatē opificij & B effectionis huius vniuersitatis ducē fuisse, & præsidē, & gubernatorem? Si vis audi vestrū Platonē, hāc solā esse causam pronunciātem mūdi constituēdi. Ille Timæū cōscribens, sic inquit: Edamus causam, propter quā cōditor hāc vniuersitatem cōdidit: Bonus erat, bono nunquam vlla de re inest inuidia. Præterea etiā istud inspice. DOCT. M. Quidnam? CHR. Si Deus non est opifex, propterea quod non condebat ab eo qui puncto, ex quo extitit, extitit autem ab æterno, sic non est preterea beneficus, & bonus, & qui nō semper operatur, quid nunc igitur operatur? Non enim alios mūdos respōdebis, cum hic mūdus sit vnige- C nitus Platonis sententia. DOCT. M. Hūc mūdum etiā nunc cōficit. CHR. Ausculta, obsecro, quàm à vestris decretis hæc propositio, & sententia abhorreat. DOCT. M. Ostende. CHR. Res perfectas effecit à principio, an imperfectas quasdam reliquit? Si perfectas, quis dubitat esse superuacaneū circa ea quæ perfectè se habent, iámque coagmētata sunt, occupari & operam ponere? Sin imperfectas, aut inuidia adductus initio non perficiebat, aut perfectionis ignoratione. Atqui vtrumq; alienissimū est à Deo, & indignissimum ab ea natura, quæ sola sciētia & bonitate viget. Ac D quónā modo effugiet tui ingenij dexteritas, nobiles vestrorū sapientum & beatorum oppositiones atque dubitationes & quæstiones? Nōne absurdū omnino de Deo ista cogitare? DOCT. M. Sanè quidem. CHR. Ergo non est necesse bonū perpetuo condere, aut propterea nō est beneficus & sapiens & gnarus præclari & perfecti, quod in tēpore agat. Cæterū quo pacto hunc etiam mūdum nūc temporis cōficit? Quanquam, vt quidem dicere soletis, neque animas nunc efficit, neque corpora. Animas enim nō nunc effici dicitis, cū finitas E ipsas à principio Deum condidisse vestra declaret oratio: atque vitam egisse ante corpora, & deinde multa corpora induere vicissim, tum brutorum, tum hominum, vana quadam & sordida sapientia & artificio Pythagoras, & Plato apud vos sapientiæ nomine clari somniant, hanc de mutatione corporum fabulam ab Ægyptiorum sapientibus accipientes, & cum illis delirantes,

Sed neque hominum qui sigillatim nascuntur, opificem esse Deum conceditis. Parentes enim & Solem auctores facitis. His perstrictus & captus medicus doctor mirum in modum vocem extulit. MEDICI. Quàm ineptè, inquit, mi homo, veterum sententias moliris destruere, & euertere! Nullúsne pudor aut ratio gloriæ, & dignitatis beatorum illorum, & sapientum apud omnes, qui quidem eruditionem amant, te subit? CHRISTIANVS. Minimè, inquam. Siquidem antiqua tum honorare fas est, cũ veritatem continent tempore efflorescentem. Cum autem fabulam inaniter fucatam nominibus, & ornatu verborum demulcentem aures, tunc sanè ceram Homericam auribus apponimus. Sic exitiosum cantum perniciosarum Sirenum euadimus, cicutæ poculum melle conditum & oblitum agnoscentes. Aut sic igitur Homericas de diis fabulas, quas etiam ipse Plato à republica sua eiicit, illarum poëtam vngens perinde vnguento, quemadmodum fœminæ hirundines, amplectemur, & suscipiemus. Quamquam ipse Plato nullam habens rationem temporis, & antiquitatis, neque eloquentiæ ipsius, magnificentissimè poëtam è sua ciuitate exterminat quasi iuuenes corrumpentem, si quidem eas illis communicet. Nulla igitur apud nos erit ratio temporis, si mendacium nobis negotium facessat: neque nobis erunt pulchræ vllæ deliciæ si quando ratio & veritas appareat. MED. DOCTOR. Quorsum ista concionaris, quasi verò ratio, & ei cognata demonstratio nobis desit, idque circa potissimas sententias? CHRISTIANVS. Rationi ergo, inquam, inest necessitas, quam sequamur. Nihil quippe eorum quæ præclara sunt, vt ipse nosti, nihil sanctius & illustrius videtur quàm istud. MEDICI. DOCTOR. Dicito igitur, quo pacto sit nunc opifex Deus, quidque operetur? CHRISTIANNS. Dum continet ea quæ sunt, & iis prouidet, efficit. Sed non istud fuerit efficere, subieci ego. Nam opifex est, nostra quidem sententia, qui substantiam ipsam è nihilo, quod nullo modo existebat, producit, & formæ congruentem materiam per generationem adhibet. Substantiarum enim Deum effectorem esse dicimus, nec verò tantum formarum. Vt vos autem censetis, opifex est, qui informem & speciei expertem materiam in speciem & formam refingit, & à priore deformitate, & conturbatione, & insita permixtione vindicat. Ista igitur est opificis iuxta vtrorumque sententias definitio, atque ratio: Continere autem & prouidere aliud certè est, quàm efficere. Nam continere, est res quæ existunt, quæque factæ sunt, tueri atque conseruare: Prouidere autem, de rebus quæ extant quæque factæ sunt, curam habere.

Quatenus antiquitas æstimanda sit.

A ἀλλ' οὔτε τῶν κατὰ μέρος τικτομένων ἀνθρώπων εἶναι τὸν δημιουργὸν συνεχωρήσατε· πατέρας γὰρ αἰτιᾶσθε καὶ ἥλιον. πρὸς ταῦτα σκοτοδινιάσας καὶ συμπεδηθεὶς, πάμμεγά τι καὶ ἐξαίσιον ἀνεβόησεν ὁ ἰατροσοφιστής. ΙΑΤ. Ὡς ἄτοπος εἶ, ὦ ἑταῖρε, τὰς τῶν παλαιῶν δόξας μετιὼν ἀνασκευάζειν καὶ ἀνατρέπειν· καὶ οὐδεμία σε αἰδὼς ἢ λόγος εἰσέρχεται τῆς τῶν μακαρίων ἐκείνων καὶ σοφῶν παρὰ πᾶσιν, ὅσοι φιλολογίας μεταποιοῦνται, δόξης τε καὶ περιφανείας. ΧΡ. Οὐ γὰρ, ἦν δ' ἐγώ· ἐπεὶ τὰ παλαιὰ τιμᾶσθαι θέμις, ἡνίκα καὶ τὴν ἀλήθειαν ἔχει ἐπανθοῦσαν τῷ χρόνῳ.

B ὅτε δὲ μῦθος τὴν ἀκοὴν ᾖ, κεκαλλιεπημένος ὀνόμασι, καὶ ὑπὸ γλαφυρᾶς τῆς εὐεπείας γοητεύων τὴν ἀκοὴν, τότε δὴ τότε τὸν κηρὸν τοῖς ὠσὶν ἐπιτίθεμεν τὸν Ὁμηρικόν· οὕτω τε τὴν ὀλέθριον ᾠδὴν τῶν θανατηφόρων Σειρήνων ἀποφευξόμεθα· τοῦ δηλητηρίου τὴν κύλικα μέλιτι παρηρτυθεῖσαν καὶ περιχειλωθεῖσαν ἐπιγινώσκοντες. ἢ οὕτω γοῦν τοὺς Ὁμηρικοὺς περὶ θεῶν μύθους, οὓς καὶ αὐτὸς ὁ Πλάτων τῆς ὑπ' αὐτοῦ συντεθείσης πολιτείας ἀποπέμπεται, τὸν τούτων ποιητὴν ἀλείψας μύρῳ, καθάπερ αἱ γυναῖκες τὰς χελιδόνας, ἀγασθέντες παραδεξόμεθα.

C καίτοι γε αὐτὸς ὁ Πλάτων μηδεμίαν φροντίδα θέμενος τοῦ χρόνου καὶ τῆς ἀρχαιότητος, μήτε τῆς εὐεπείας αὐτῆς, μάλα σεμνῶς τὸν ποιητὴν ἔξω τῆς αὐτοῦ πολιτείας ἵησιν, ὡς διαφθεροῦντά γε τοὺς νέους, εἰ ταύτας αὐτοῖς μεταδοθείη. οὐ τοίνυν καὶ ἡμῖν μελήσει τοῦ χρόνου ἕως ἂν τὸ ψεῦδος παρενοχλῇ· καὶ μηδαμοῦ τὰ καλὰ παιδικὰ, ὅτε λόγος καὶ ἡ ἀλήθεια φαίνεται. ΙΑΤ. Ἀλλὰ τί ταῦτα δημηγορεῖς, ἦ δ' ὅς, ὡς ἡμῶν λόγου καὶ τῆς συντρόφου ἀποδείξεως ἀπορούντων· καὶ τοῦτο περὶ τὰ κυριώτατα τῶν δοξασμάτων;

D ΧΡ. Οὐκοῦν, ἦν δ' ἐγώ, τῷ λόγῳ ἀνάγκη, ᾗπερ ἂν ἑπώμεθα· ὡς εὖ ἴσθι, μηδέν μοι τῶν καλῶν ἁπάντων τιμαλφέστερον καὶ ἁγιώτερον καὶ σεμνότερον καταφαίνεται τουτό γε. ΙΑΤ. Φάθι τοίνυν πῶς νῦν δημιουργὸς ὁ Θεὸς, καὶ τί δημιουργεῖ. ΧΡ. Τῷ συνέχειν, ἦ δ' ὅς, τὰ ὄντα καὶ προνοεῖσθαι δημιουργεῖ. ἀλλ' οὐ τοῦτο, ἦν δ' ἐγώ, ἂν εἴη τὸ δημιουργεῖν. εἴπερ δημιουργός ἐστι καθ' ἡμᾶς μὲν ὁ τὴν οὐσίαν αὐτὴν ἐκ μηδαμοῦ μηδαμῶς ὄντος παραγαγὼν, καὶ τῷ εἴδει τὴν ἁρμόττουσαν ὕλην συναπογεννήσας· οὐσιῶν

E γὰρ τὸν Θεὸν ποιητὴν εἶναι φαμέν. οὐ γὰρ δὴ μόνον σχημάτων, κατὰ δὲ τὸν ὑμέτερον λόγον δημιουργός ἐστιν ὁ τὴν ἀσχημάτιστον καὶ ἀνείδεον ὕλην, εἰς εἶδος καὶ σχῆμα μεταπλάττων καὶ τῆς προτέρας ἀπαλλάττων ἀμορφίας καὶ ταραχῆς, καὶ τοῦ ἐνόντος φυρμοῦ. οὗτος μὲν ὁ τοῦ δημιουργοῦ κατ' ἄμφω τὰς δόξας, ὅρος καὶ λόγος. τὸ δὲ συνέχειν καὶ προνοεῖσθαι, ἕτερόν τι παρὰ τὸ δημιουργεῖν ἂν εἴη. συνέχειν γάρ ἐστι, τὸ τὰ ὄντα καὶ γεγενημένα περιστέλλειν τε καὶ φυλάττειν· προνοεῖσθαι δὲ, τὸ τοῖς οὖσί τε καὶ γεγενημένοις φροντίδα τινὰ νέμειν·

ΙΑΤ. Εὖ λέγεις· τί δέ σοι συνάγεται, ἦ δ' ὅς, ἐκ τοῦ νῦν δημιουργεῖν ἢ μὴ δημιουργεῖν τὸν Θεόν, ἡδέως ἂν σου πυθοίμην. ΧΡ. Φημὶ δέ. ΙΑΤ. Φάθι. ΧΡ. Εἰ μὴ νῦν δημιουργεῖ, νῦν δ' ἐγώ. δημιουργὸν γὰρ εἶναι φής, διὰ τὸ ἤδη δεδημιουργηκέναι· οὐ γὰρ ἀνάγκη, τοῦτον ἀεὶ δημιουργεῖν· τῷ αὐτῷ λόγῳ ἔσται δημιουργὸς ἐξ ἑαυτοῦ, καὶ μηδέπω τὰ ὄντα δημιουργήσας, ὡς μηδενὸς δεόμενος. ἀλλὰ γὰρ ἔχων τοὺς δημιουργικοὺς λόγους ἐν ἑαυτῷ, καὶ μέλλων καὶ ἐνεργείᾳ δημιουργεῖν. οὐ γὰρ ἀνάγκη τὸν δημιουργὸν ἀεὶ δημιουργεῖν, ὡς ὁ λόγος ἀπέδειξε. πρὸς δέ, κἀκεῖνο ἄθρει. ΙΑΤ. Τὸ ποῖον δή; ΧΡ. Εἰ συναΐδιον τῷ Θεῷ τὸν κόσμον εἶναι φήσομεν, ἔσται που πάντως κατά γε τοῦτο καὶ ὁμότιμος αὐτῷ. οὗ τί ἂν γένοιτο πρὸς ἀσέβειαν μεῖζον, εἰ τὸν περιγεγραμμένον καὶ ὁρατὸν καὶ ἁπτόν, καὶ σῶμα ἔχοντα ὑλικόν, ἐς ταὐτὸν δόξης καὶ τιμῆς τῇ ἀπεριλήπτῳ καὶ ἀοράτῳ καὶ δυνατωτάτῳ πασῶν ἀναγάγωμεν φύσει; ΙΑΤ. Οὐ ταῦθ' οὕτως ἔχει, ἦ δ' ὅς, καὶ εἰ βούλει, παραδείγματί σε τινὶ τῶν γνωρίμων ξεναγήσω πρὸς τὸ ζητούμενον. φασὶ γὰρ ὅτι καθάπερ αἴτιον τὸ σῶμα τῆς ἑκάστου σκιᾶς γίνεται· ὁμόχρονος δὲ τῷ σώματι ἡ σκιὰ καὶ οὐχ ὁμότιμος· οὕτω δὴ καὶ ὅδε ὁ κόσμος παρακολούθημά ἐστι τοῦ Θεοῦ αἰτίου ὄντος αὐτῷ τοῦ εἶναι, καὶ συναΐδιός ἐστι τῷ Θεῷ· οὐκέτι δὲ καὶ ὁμότιμος. ΧΡ. Εἶτα οὐ συνορᾷς ὅλως γε, νῦν δ' ἐγώ, τὴν ἀτοπίαν τῶν λεγομένων. πρῶτον μὲν δὴ ἀπροαίρετον αἰτίαν καὶ ἀβούλητον τῆς συστάσεως τῶν ὄντων τὸν Θεὸν μυθοπλαστοῦσι, παρακολούθημα τούτου τὸν κόσμον εἶναι ὑποτοπάζοντες· ὡς δὴ καὶ τοῦ σώματος ἡ σκιὰ τυγχάνει οὖσα παρακολούθημα· οὐ γὰρ δή που βουλομένοις ἡμῖν, ἡ σκιὰ παρέπεται. οὐκοῦν μὴ θέλοντος τοῦ Θεοῦ, ὁ κόσμος αὐτῷ παρηκολούθησε. καὶ ἁπλῶς ἐκ ταὐτομάτου παρυπέστη· καὶ τὴν ἄλλως τὸν Θεὸν αἴτιον εἶναι φασίν. ἔτι δὲ κἀκεῖνο οὐ διασκοποῦνται. ΙΑΤ. Τὸ ποῖον φής; ΧΡ. Ὡς ἕτερόν τι συναίτιον ἐστὶ τῆς σκιᾶς. οὐ γὰρ δὴ μόνον τὸ σῶμα· τοῦτο δ' ἂν εἴη τὸ φῶς· οὗ μὴ ὄντος, οὐκ ἂν σχηματισθείη ἢ παρακολουθήσοι σκιά. δεῖ γὰρ φῶς εἶναι καὶ σῶμα ἐν μέσῳ τὰ ποιοῦντα τὴν σκιάν. ποῖον τοίνυν συναίτιον τῷ Θεῷ ἐπιστορήσουσιν, οἱ ἀβούλητον αἰτίαν καὶ ἀπροαίρετον εἶναι λέγοντες τοῦ κόσμου τὸν Θεόν, ὥσπερ τῆς σκιᾶς τὸ σῶμα; αὐτοῦ ὄντος φωτὸς νοεροῦ, καὶ μηδενὸς σώματος ὄντος ἐν μέσῳ, ᾧ εἴωθε παρέπεσθαι ἡ σκιά. ἀντιστατοῦν γάρ φησί τις τῶν παρ' ὑμῖν σοφῶν τῷ ἡλίῳ τὸ σῶμα, οὐκ ἐᾷ κατόπιν χεῖσθαι τὴν λαμπηδόνα· καὶ τοῦτο ἡ σκιά. ὅθεν τοιαύτη διαγράφεται οἷόν περ ἂν ᾖ τὸ σῶμα. ἀλλ' ὡς ἄτοπα ταῦτα καὶ λώβης τὴν ψυχὴν ἐμπίπλησι, Θεοῦ πέρι διανοούμενα καὶ λεγόμενα, παντί που ἀριδηλότατα, νῷ τε ὁπωσοῦν μέτριον κεκτημένῳ.

MED. DOCT. Rectè sentis: sed quid ex eo colligitur, quòd Deus nunc aliquid efficiat, aut non efficiat, libentius ex te quæsierim. CHR. Dicam. MED. Age. CHR. Si hoc temporis articulo non efficit, effectorem autem esse ais, quòd iam effecerit, (neque enim necesse est illum semper efficere) eadem ratione erit effector ex sese, etiam si nondum res quæ sunt, effecerit, vt nullius egens. Etenim habet efficiendi rationes in semetipso, & actu effecturus. Nam non necesse est effectorem semper efficere, vt sermo docuit. Præterea istud inspice. MEDICI. DOCT. Quidnam. CHRISTIANVS. Mundus, si eum coæuum Deo esse dicamus, ipsi erit honore par. Quo quid esse possit magis impium, si circumscriptum, & aspectabilem, & tractabilem, & corpore materiato præditum ad eandem gloriam & honorem cum incircumscripto & inaspectabili, & omnibus naturis superiore euehamus? MED. DOCTOR. Non hæc sic se habent. Ac si vis exemplo aliquo familiari te manu ducam ad id quod quæritur. Aiunt enim quod quemadmodum corpus quidem causa existit vniuscuiusque vmbræ, & tamen vmbra par est tempore corpori, non autem honore, sic sanè hic mundus consectarium quiddam est Dei, quippe qui ipsi causam, vt sit, præbeat. Et verò coæuus est Deo, non tamen honore æqualis. CHRISTIANVS. Atqui non cernis absurditatem eorum quæ dicuntur. Primum quidem electionis expertem & inuoluntariam causam in constitutione rerum Deum esse fabulantur, qui cōsectarium illius mundum esse comminiscuntur, quemadmodum & corporis consequens vmbra ipsa existit. Neque enim volentes nos vmbra sequitur. Igitur Deum ipsum etiam si ille nollet, mundus consequeretur, & absolutè per seipsum subsisteret. Et (sic) perperam Deum causam esse dicunt. Præterea illud etiam non considerant. DOCTOR. MED. Quid tandem? CHRISTIANVS. Aliam aliquam præterea causam esse vmbræ. Nam non solum corpus illam parit, sed & lumen. Eo enim non posito non formaretur, aut consequeretur vmbra. Nam oportet lumen esse & corpus in medio, quæ vmbram creent. Iam verò quamnam adiuuantem causam Deo sociabunt qui inuoluntariam, & electionis expertem mundi causam Deum esse aiunt, quemadmodum vmbræ corpus? cùm ipse sit lumen intellectuale, & nullum corpus in medio (collocatum) sit quod vmbra consequi solet. Oppositum enim, ait aliquis vestrorum sapientum, Soli corpus non remittit, vt splendor vlterius progrediatur? atque id est vmbra. Vnde & talis formatur, quale ipsum corpus extiterit. Verùm hæc esse absurda atque animum labefactare, cum de Deo & cogitantur & dicuntur, cuiuis vel mediocriter intelligenti liquet.

Res quæ extant, quæque effecta sunt.

Quis verò non mirabitur, immò verò ridebit exemplum? Aiunt enim vmbram non esse corpori honore parem, nec verò animaduertunt, quod alia ratione hæc non pari honore afficiantur. Nam corpus triplicem recipit dimensionem. Vmbram autem corporis simulachrum si quis dixerit, non errabit. Igitur quod tempore æqualia sunt, non differunt. DOCT. MED. Præclarè, sed fortunate vir, si omne quod fit in tempore fit, tempus autem simul cum cœlo, & cœlum simul cum tempore erit, & tempus factum simul cum cœlo. Mensura enim est conuersionis mundi & motus: simul autem cum mensura, quod mensuratur, esse necesse est, quandoquidem relata sunt: & relata sunt simul natura. Quod si factum est tempus, Omne autem quod fit, in tempore est: tempus igitur in tempore factum est, & fuit tempus, vt tempus existeret. Tempus ergo erat etiam antequam esset hic mundus: quod fieri non potest. Quæ si absurda sunt, erit igitur tempus, & mundus increatus. Quandoquidem omne quod fit, in tempore efficitur. CHRIST. Egregiè, mi amice. Sapientis Platonis sententiam subuertere vos didicistis, tametsi ipsi polliceamini vos ipsius disciplinam sequuturos, & expetatis Platonici ab hominibus cognominari. Nonne hæc illius sunt? *Tempus simul cum cœlo factum est, vt quæ simul effecta sunt, simul etiam dissoluantur, siquidem ipsorum fiat dissolutio.* Vt igitur veritati & huic orationi opem feramus nos, sic concisè & simpliciter ædificationem vestrarum captionum ex arena constantem diluemus. Dicimus igitur, primam sumptionem non esse veram, nempe omne quod fit, fieri in tempore. MED. DOCT. In quo ergo tempus efficietur & mundus, si non in tempore? CHRIST. In æuo, mi medice. Imago enim eius est tempus: sicque non necesse est tempus fieri in tempore, aut ioculariter & captiosè tempus expers temporis quæretur, vt tempus subsistat. MED. DOCT. Eleganter, sed mihi istud narra, cum fatearis Deum esse bonum, & illum bonitate hanc vniuersitatem condidisse affirmes, bonitatémque solam caosam dicas rerum constitutionis, quo pacto corrumpi ais hunc mundum cum sit effectus à bono, & cùm pulcher sit? Bonum quippe omnia pulchra conficit. An mutabitur bonus, & quod dictu est nefas, fiet vt quæ pulchrè facta sunt, & rectè coagmentata, corrumpi velit? CHRIST. Minimè. Non id de summo bono, ne per cogitationem quidem animo recipimus, quippe qui sit solus & vnus semper existat, ortum non habens, constanter semper permaneat, & firmiter, neque vnquam suscipiat mutationem. Permãsio enim est immutabilitas, & quod permanet, firmũ est, & quod verè est, ipsum quoque vnum est,

Soluit rationes Medici.

A Τίς δὲ οὐκ ἂν ἀγάσαιτο, μᾶλλον δὲ γελάσειε τὸ παράδειγμα; φασὶ γὰρ μὴ ὁμότιμον εἶναι τῷ σώματι τὴν σκιάν. καὶ οὐ προσενόησαν ὡς κατ᾽ ἄλλον λόγον, οὐκ ἂν εἴη ὁμότιμα ταῦτά γε. τὸ μὲν γὰρ σῶμα, τριχῆ διαστατόν ἐστί τε καὶ λέγεται. τὴν δὲ, τοῦ σώματος εἴδωλον εἰπών τις οὐκ ἂν ἁμάρτοι. τῷ μέντοι ὁμόχρονα εἶναι, οὐδεμία τούτων διαφορά. ΙΑΤ. Καλῶς λέγεις. ἀλλ᾽ ὦ μακάριε, ἦ δ᾽ ὅς, εἰ πᾶν τὸ γινόμενον ἐν χρόνῳ γίνεται· χρόνος δὲ ἅμα οὐρανῷ, καὶ οὐρανὸς ἅμα χρόνῳ ἐστὶ, καὶ ὁ χρόνος γενητὸς ἅμα οὐρανῷ. B μέτρον γὰρ ἐστὶ τῆς τοῦ κόσμου περιστροφῆς τε καὶ περιδινήσεως· ὁμοῦ δὲ τῷ μέτρῳ τὸ μετρούμενον εἶναι ἀνάγκη· ἐπεὶ πρός τι, καὶ ἅμα τῇ φύσει, τὰ πρός τι. Εἰ δὲ γέγονεν ὁ χρόνος· πᾶν δὲ τὸ γινόμενον, ἐν χρόνῳ· ὁ χρόνος ἄρα ἐν χρόνῳ γέγονεν· καὶ ἦν χρόνος, ἵνα ὑπάρξῃ. χρόνος ἦν ἄρα καὶ πρὸ τοῦ εἶναι τὸν κόσμον· ὅπερ ἀδύνατον. Εἰ δὲ τοῦτο ἄτοπον, ἀγένητος ἄρα ὁ χρόνος καὶ ὅδε ὁ κόσμος, ἐπεὶ πᾶν τὸ γινόμενον ἐν χρόνῳ γίνεται. ΧΡ. Καλῶς, ὦ ἑταῖρε, ἦν δ᾽ ἐγὼ, τοῦ σοφοῦ Πλάτωνος τὰς δόξας ἀνασκευάζειν ὑμεῖς μεμαθήκατε· καίτοι γε C μαθητείαν αὐτοῦ ἐπαγγελλόμενοι καὶ Πλατωνικοὶ προσονομάζεσθαι πρὸς τῶν ἀνθρώπων γλιχόμενοι, ἢ οὐκ ἐκείνου ταῦτα; χρόνος ἅμα οὐρανῷ γέγονεν, ἵν᾽ ἅμα γενόμενα ἅμα καὶ διαλυθῶσιν· ἤνπερ ἄρα λύσις αὐτῶν γένηται. ἵνα οὖν τῇ τε ἀληθείᾳ καὶ τούτῳ τῷ λόγῳ συμμαχήσωμεν ἡμεῖς, οὕτω συντόμως καὶ ἁπλῶς τὴν ἐκ ψάμμου οἰκοδομίαν τῶν παραλογισμῶν ὑμῶν διαλύσομεν. φαμὲν γὰρ ὡς οὐκ ἀληθὲς τὸ πρῶτον λημμάτιον, ὅτι πᾶν τὸ γινόμενον, ἐν χρόνῳ γίνεται. ΙΑΤ. Ἐν τίνι οὖν ὁ χρόνος, ἦ δ᾽ ὅς, γενήσεται καὶ ὁ οὐρανὸς, εἰ μὴ ἐν χρόνῳ; ΧΡ. Ἐν αἰῶ- D νι, μακάριε· εἰκὼν τούτου γὰρ ὁ χρόνος· οὐκ ἄρα ἀνάγκη τὸν χρόνον ἐν χρόνῳ γίνεσθαι, ἢ ζητηθήσεται γελοίως, καὶ γριφωδῶς, χρόνος ἄχρονος, ἵνα ὑπάρξῃ ὁ χρόνος. ΙΑΤ. Καλῶς λέγεις. ἀλλά μοι τοῦτο φάθι, ἦ δ᾽ ὅς, πῶς τὸν Θεὸν ἀγαθὸν εἶναι ὁμολογῶν, καὶ τοῦτον ἀγαθότητι τόδε τὸ πᾶν πεποιηκέναι λέγων, καὶ ταύτην μόνην αἰτίαν φάμενος τῆς τῶν ὄντων διακοσμήσεως, φθείρεσθαι φὴς τόνδε τὸν κόσμον, πρὸς ἀγαθοῦ γεγονότα, καλὸν ὄντα, ἐπεὶ τὸ ἀγαθὸν, πάντα καλὰ E δημιουργεῖ. ἆρα τραπήσεται ὁ ἀγαθὸς, καὶ ὃ μὴ θέμις εἰπεῖν, γενήσεται, ἵνα τὰ καλῶς γεγενημένα καὶ ἡρμοσθέντα φθαρῆναι θελήσοι; ΧΡ. Ἥκιστα, ἦν δ᾽ ἐγώ. μὴ τοῦτο περὶ τοῦ ἀγαθοῦ, μηδὲ μέχρι διανοήματος εἰσδεξαίμεθα κατὰ τὴν ψυχήν. τοῦ μόνου καὶ ἑνὸς καὶ ὄντος μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχοντος, ἀεί τε παγίως μένοντος καὶ ἀραρότως καὶ μηδέποτε δεχομένου μεταβολήν. ἡ μονὴ γὰρ ἀτρεψία, καὶ τὸ μόνιμον καὶ τὸ βέβαιον, καὶ τὸ ὄντως ὄν, καὶ αὐτὸ τὸ ἕν,

καὶ ἡ πᾶσα ἐλευθερία καὶ ἑδραιότης, καὶ ἡ ἄκρα μακαριότης, καὶ ἡ ἄφθονος καὶ ἀΐδιος ἀγαθότης, εἰς ἣν πᾶσα ἔφεσις σπεύδει, τἀγαθὸν καὶ ἡ φύσις τοῦ ἀγαθοῦ. ΙΑΤ. Πῶς τοίνυν, ἦ δ᾽ ὅς, φθείρεσθαι φὴς τόνδε τὸν κόσμον ἢ ἐξ ἀϊδίου μὴ γεγενῆσθαι, καὶ διαμένειν ἐν ἀγαθότητι τὸν Θεόν; ΧΡ. Ἐγώ σοι, ἦν δ᾽ ἐγώ, ὃ καὶ χθὲς τῷ φιλοσόφῳ ταῦτά σοι ἐρομένῳ ἔλεγον, ἐρῶ. ΙΑΤ. Λέγε· ἡδέως γὰρ ἂν ἀκούσαιμι. ΧΡ. Φημὶ δή. ΙΑΤ. Φάθι. ΧΡ. Σωκράτη τὸν Σωφρονίσκου, καὶ Πλάτωνα τὸν Ἀρίστωνος, καὶ Ἀλκιβιάδην τὸν Κλεινίου καὶ τὸν ἀρχηγέτην τοῦ περιπάτου Ἀριστοτέλη φημί, καὶ τοὺς κατὰ μέρος ἅπαντας ἀνθρώπους, καλόν τι φὴς εἶναι, ἢ οὔ; ΙΑΤ. Ναί. ΧΡ. Καὶ δημιουργήματα τοῦ ἀγαθοῦ; ΙΑΤ. Φαίνεται. ΧΡ. Πῶς τοίνυν ἐτελεύτα μὲν Σωκράτης, ἐτελεύτα δὲ καὶ Πλάτων, καὶ μὴν καὶ Ἀλκιβιάδης ὁ καλός, καὶ ὁ τοῦ σεμνοῦ περιπάτου καθηγεμὼν Ἀριστοτέλης, καὶ οἱ κατὰ μέρος δὲ τελευτῶσιν ἄνθρωποι, ἀγαθοῦ μὲν ὄντος τοῦ Θεοῦ, τοῦ καὶ δημιουργήσαντος ἐν χρόνῳ τὰ καλά· (οὐ γὰρ δὴ ἐξ ἀϊδίου· ἴδιον γὰρ μόνου τοῦ Θεοῦ τὸ ἀΐδιον· καὶ οὐκ ἂν ὁ κόσμος αὑτῷ τοῦτο συνεπιμερίσαιτο·) καὶ φθείρεσθαι ταῦτα νομοθετήσαντος; ὅτι οὕτως ἔδει. πρὸς τὸ συμφέρον γὰρ τῶν γεγονότων, καὶ πρὸς τὸ συνοῖσον αὐτοῖς, ἡ μακαρία καὶ ἄφθονος κινεῖται φύσις. ΙΑΤ. Ἐγώ σοι, ἦ δ᾽ ὅς, παραδείγματί τινι τῶν γνωρίμων, τὴν πλάνην ἐκκαθαίρω. ΧΡ. Ἀλλά μοι χαρίσῃ τοῦτο ποιῶν, ὦ μακάριε. ὡς εὖ ἴσθι, μηδὲν ἄλλο τι μοι χαριούμενος τοιοῦτον, φίλῳ γε ὄντι, ἢ τῆς πλάνης τὴν ἐμὴν ψυχὴν ἀπαλλάττων, καὶ δοξασμάτων οὐκ ἀληθῶν. ὁπότερος δ᾽ ἂν ἡμῶν τοῦτο ποιῶν θατέρῳ, τὰ μέγιστα χαριεῖται. ἢ οὐ σοὶ δοκεῖ; ΙΑΤ. Πάνυ γε. ΧΡΙΣΤ. Φάθι τοίνυν ὅ, τι καὶ βούλει. ΙΑΤ. Καθάπερ ὁ στρατηγός, ἦ δ᾽ ὅς, ἔχων ὑφ᾽ ἑαυτὸν τριάκοντα ἢ ἑκατὸν στρατιώτας, γυμνάζοι τούτους πρὸς πόλεμον, καὶ παιδεύοι τὰ τακτικά· εἰ δέ που τις τούτων ἀποθάνοι, ἕτερον προστίθησι τῷ καταλόγῳ, καὶ οὕτως οὐδεμίαν τὸ ἔργον τῶν τριάκοντα ἢ τῶν ἑκατὸν καὶ ἡ πᾶσα ἐργασία λώβην ἢ ἀργίαν ὑπομένει· ἀντεισαγομένου τοῦ λιπόντος τῇ ἐπινοίᾳ τοῦ στρατηγοῦ, καὶ τοῦ ἀριθμοῦ ἀρτίου μένοντος. οὕτω δὴ καὶ ὁ Θεός, ἀντὶ τῶν κατὰ μέρος τελευτώντων, ἑτέρους δημιουργῶν, οὐδεμίαν πρὸς τὴν πᾶσαν τοῦ παντὸς ἁρμονίαν καὶ σύστασιν βλάβην ὑπομένει· οὕτω τε διαμένει ἐν ἀγαθότητι, καὶ τῶν κατὰ μέρος ἐν χρόνῳ γινομένων τελευτώντων τε καὶ φθειρομένων. ΧΡ. Βαβαί, ἦν δ᾽ ἐγώ, τῆς τοῦ παραδείγματος ἀγχινοίας καὶ τῆς περιττῆς ταύτης καὶ δαιμονίας σοφίας. οὐ γὰρ δὴ ὑπὸ ἀβελτηρίας καὶ βαναυσίας, αἰσθάνεσθε τῶν λεγομένων, οὐδὲ τὴν τρίχα τῶν πονηρῶν καὶ ἀθέων δοξασμάτων,

A & omnis modi libertas, & firmitas, summa beatitudo, sempiterna, inuidiæque expers bonitas, ad quam vniuersa appetitio contendit, ipsissimum bonum, & ipsiusmet boni natura. DOCTOR. MEDICVS. Qua ratione ergo ais interire hunc mundum, aut ab æterno non esse factum, & (nihilominus) perseuerare Deum in sua bonitate? CHRISTIANVS. Tibi ego id quod etiam heri Philosopho talia interroganti respondi, dicam. MED. DOCT. Dicito: libenter enim audiam. CHRISTIANVS. Dicam igitur. MEDICVS. Dic age. CHRISTIANVS. Socratem Sophronisci B filium, & Platonem Aristonis, & Alcibiadem Cliniæ, & principem Peripateticorum Aristotelem, & singulos viritim homines pulchrum ac aliquid esse ducis necne? MEDICVS. Certè. CHRISTIANVS. Et summi boni opificia? MEDICVS. Opinor. CHRISTIANVS. Quo pacto igitur interiit Socrates, interiit & Plato, & pulcher Alcibiades, & insignis Peripateticæ disciplinæ dux Aristoteles, intereunt & singulares homines, cum Deus bonus sit, qui & effecit in tempore pulchra: (Non enim ab C æterno. Propria quippe Dei solius æternitas, nec mundus sibi ipsi istud attribuerit,) & interire decreuit? Sic enim oportebat. Ad vtilitatem enim rerum creatarum, & ad id quod ipsis est commodum, beata illa, & inuidia carens natura mouetur. MEDICVS. Ego tibi familiari aliquo exemplo hunc errorem abstergam. CHRISTIANVS. Mihi si id præstes, gratissimum feceris, ô bone. Nam sat scis nihil perinde mihi amico tuo gratum esse, quàm si errore aut falsis opinionibus meum animum liberes. Vter autem nostrum istud alteri fecerit, nonne maximè D gratificabitur? Quid tibi videtur. MEDICI. DOCTOR. Maximè. CHRISTIANVS. Narra igitur quod vis. MEDICVS. Quemadmodum dux, qui sub se habet triginta, aut centum milites, exercet eos ad bellum, & ad acies ordinandas: Quòd si eorum aliquis intereat, alterum conscribit catalogo, atque ita opus triginta militum aut centum, vt & vniuersa actio, detrimentum aut vacationem sustinet: quod prudentia ducis substituatur alius in locum pereuntis, numerúsque perfectus maneat. Sic certè, E Deus loco eorum, qui sigillatim quotidie moriuntur, alios dum procreat, nullam aduersus vniuersam vniuersitatis harmoniam & constitutionem, noxam sustinet, nec patitur, sicque permanet in bonitate, etiam si pereant, & corrumpantur quotquot sigillatim in tempore procreantur. CHRISTIANVS. Papæ, quanta est exempli subtilitas, quàm eximia & mirabilis hæc sapientia: Non enim præ amentia & stoliditate sentitis ea quæ dicuntur, neque pilum prauarum & impiarum opinionum,

& domestici erroris, quem animo circumfertis, velut quandam oculorum mentis lippitudinem expurgare vultis. Etenim dux ille tuus, mi medice, vellet quidem illos primos milites non interire, sed præter voluntatem & consilium eos perdidit: cúmque non posset eos facere immortales, alteram nauigationem instituit, vt prouerbio dicitur. Nam alios in mortuorum vicem inducit, & per alios numerum eorum, qui desiderabantur, supplet, sicque ille perfectum seruat, & supplemento eorum qui demortui sunt, vsum tuetur. Id verò de Deo, qui immortalia efficere potest, sentire nonne nugamentum est & insignis blasphemia? Itaque exemplum tuum planè ineptum est, & dissentaneum. Ac sanè ego vobis illud vicissim opponam, & vestras vobis inepties ostendam. Qua enim ratione dicitis nihil lædi ad opus ducem, sic sanè & Deus nihil noxæ aut damni patietur vt sit opifex, & bonus, cum hunc mundum transformabit, & mutabit, & corrumpet: non enim hunc in æternum transformabit: neque rursum si ab æterno ipsum non effecerit; (faciebat enim intellectualem) sic non in otio permansit Deus ante rerum quæ sub sensum cadunt, constitutionem, sed recto ordine procreat. Nam quod inordinatum est, non proficiscitur à Deo, sed à fortuna, & dum destruit hunc sensibilem & spectatum mundum, bonus est, permanérque in bonitate. Non enim penitus delet, neque perfecto exitio addicit hanc vniuersitatem, sed in melius alterat, & commutat, & præstantiorem efficit. Nouos enim cœlos, & nouam terram, commemorant diuina oracula. Quod autem oportet perire hanc vniuersitatem, vel ex eius partibus quæ quotidie intercunt, intelligere est perfacile. Cuius enim partes intereunt, illius torum necessario tandem iisdem affectionibus quibus partes ipsæ, subiicietur, vti docet Basilius egregius & diuinus; suffragantur autem huic rationi etiam Stoici, & ista ratio de mundi interitu est, & necessaria, & ineluctabilis: Geometricisque necessitatibus, & vinculis, vti prouerbio fertur, implicamini, dum non potestis firmitatem & vim demonstrationum atque rationum effugere. Cæterum vt te non tantum ratione arctemus, ad tuas etiam delicias currimus. Ecce enim Platonis sapientis tibi exponemus sententiam, qui Timæum conscribens, sic alicubi de Deo, & hac vniuersitate pronuntiat. *Quidnam est quod semper existit, nunquam autem ortum habet: ac quidnam quod fit quidem, nunquam verò existit: illud quidem sanè intelligentia cum ratione comprehenditur, cum semper eodem modo se habeat. hoc verò rursus quod opinione attingitur per sensum rationis expertem,*

A καὶ τῆς συνεζευγμένου πλάνης, ἣν κατὰ τὴν ψυχ
περιφέρετε, λήμην, ὥσπερ τινὰ τῶν τῆς διανο
ὀμμάτων, ἀποκαθᾶραι βούλεσθε· ὁ γὰρ στρατηγ
ὸς, ὦ μακάριε, ἐβούλετο αὖ μὴ ἀποθανεῖν ἐκ
νους τοὺς πρώτους στρατιώτας· ἀβουλήτως δὲ τού
καὶ ἀκουσίως ἀπολέσας (οὐ γὰρ δὴ ἀθανάτους π
ἠδύνατο,) δεύτερον πλοῦν ποιεῖται, τὸ δὴ λεγόμε
ἑτέρους ἀντεισάγων ἀντὶ τῶν τετελευτηκότων,
δι᾽ ἄλλων ἀναπληρῶν τῶν κειμένων τὸν ἀ
θμὸν, οὕτω τε τοῦτον ἀρτίως διαφυλάττων, κα
B προσθήκῃ τῶν ὑπεξελθόντων διασώζων
χρείαν. τοῦτο δὲ ἐπὶ Θεοῦ τοῦ ἀθάνατα δημιουρ
δυναμένου λέγειν, μὴ καὶ λῆρος ἢ καὶ βλασφ
μία περιφανής; οὕτω μὲν οὖν τὸ παράδειγμα
ὅλου ἀνάρμοστον καὶ ἀνοίκειον. ἐγὼ δὲ ὑμῖν τοῦτ
ἀντιπαρατείνω, καὶ τὸ ὑμέτερον ἠλίθιον ὑμῖν π
βαλοῦμαι· ᾧ γὰρ λόγῳ φατὲ ὡς οὐδὲν ἠδίκ
πρὸς τὸ ἔργον ὁ στρατηγὸς, οὕτω δὴ καὶ ὁ Θε
λωβήσεται, ἢ ζημιωθήσεται τὸ εἶναι δημιουργὸ
ἀγαθὸς, τόνδε τὸν κόσμον μεταποιῶν καὶ μετασκ
ζων καὶ φθείρων, οὐκ ἐς ἀΐδιον μετασχηματίσ
C τοῦτον. οὐδ᾽ αὖ ἐξ ἀϊδίου μὴ δημιουργῶν ἀ
ἐποίει γὰρ τὸν νοητόν. οὕτως οὐκ ἐν ἀργίᾳ διέμ
ὁ Θεὸς, πρὸ τῆς τῶν αἰσθητῶν διακοσμήσ
ἀλλὰ μετὰ τάξεως δημιουργεῖ. τὸ γὰρ ἄτακτον
Θεοῦ, ἀλλὰ τοῦ αὐτομάτου· καὶ φθείρων δὲ τ
αἰσθητὸν τοῦτον καὶ ὁρώμενον κόσμον, ἐστὶν ἀγαθ
διαμένει ἐν ἀγαθότητι. οὐ γὰρ παντελῶς ἀφαν
οὔτε ἀναιρέσει παντελεῖ καταδικάζει τόδε τὸ π
ἀλλὰ τὴν πρὸς τὸ κρεῖττον ἀλλοίωσιν καὶ μετ
λαγὴν ἐργάζεται· καὶ μετασχηματισμὸν ἀμείνονα
ται. καινοὺς γὰρ οὐρανοὺς, καὶ καινὴν γῆν φ
D θεῖα λόγια. ὅτι δὲ ἀνάγκη φθαρῆναι τόδε τὸ π
καὶ ἐκ τῶν τούτου μερῶν, ὁσημέραι φθειρομέ
ἔστι ῥᾳδίως καταμαθεῖν. οὗ γὰρ τὰ μέρη φθείρ
τούτου καὶ τὸ ὅλον ἀνάγκη ποτὲ τὰ αὐτὰ παθεῖ
τοῖς οἰκείοις μέρεσιν ὑποστῆναι, ὥς φησι μὲν Β
λειος ὁ κλεινὸς καὶ θεσπέσιος. ἤθελον δὲ ταῦ
καὶ οἱ ἀπὸ τῆς Στοᾶς. καὶ οὗτος ὁ λόγος τῆς τοῦ κό
φθορᾶς ἀρραγής τε καὶ ἀναγκαστικὸς καὶ ἄφυκτο
γεωμετρικαῖς ἀνάγκαις τε δεσμεῖς, ὃ δὴ λέγεται, σ
E λύεσθε, μὴ δυνάμενοι τὸ ἀραρὸς καὶ ἰσχυρὸ
ἀποδείξεων καὶ τοῦ λόγου ἀποφυγεῖν. ἵνα δὲ σ
μόνον τῷ λόγῳ ἄγχωμεν, καὶ ἐπὶ τὰ σὰ παιδικὰ
μούμεθα. ἰδοὺ γάρ σοι τὴν Πλάτωνος τοῦ σοφοῦ
θήσομαι δόξαν, ὃς τὸν Τίμαιον συντιθεὶς, οὕτω
φησὶ τοῦ Θεοῦ πέρι, καὶ τοῦδε τοῦ παντός· τί τὸ
ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον· καὶ τί τὸ γιγνόμενον μὲν
οὐδέποτε; τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν
κατὰ ταὐτὰ ὄν. τὸ δ᾽ αὖ αἰσθήσει ἀλόγῳ δοξα

γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. πάλιν δὲ περὶ τοῦ δημιουργοῦ φησί· τὸν μὲν οὖν πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς, εὑρεῖν τε ἔργον καὶ εὑρόντα, εἰς πάντας ἐξειπεῖν, ἀδύνατον. καὶ αὖθις τοῦ οὐρανοῦ πέρι· πότερον ἦν ἀεὶ, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν ἀπ' ἀρχῆς τινος ἀρξάμενος; γέγονεν· ὁρατός τε γὰρ καὶ ἁπτός ἐστι καὶ σῶμα ἔχων. πάντα δὲ τὰ τοιαῦτα γεννητὰ ἐφάνη. καὶ πάλιν· χρόνος ἅμα τῷ οὐρανῷ γέγονεν, ἵν' ἅμα γενόμενα, ἅμα καὶ διαλυθῶσιν ἄν ποτε ἄρα λύσις αὐτῶν γίγνηται. καὶ αὖθις, τὸν πάντων βασιλέα πρὸς τοὺς ἄλλους, οὓς Θεοὺς
B ὑποτοπάζετε, οὕτω που δημηγοροῦντα ποιεῖ· Θεοὶ Θεῶν ὧν ἐγὼ δημιουργὸς, ἄλυτοί ἐστε ἐμοῦ γε ἐθέλοντος. τὸ μὲν δὴ δεθὲν πᾶν λυτόν. καὶ πάλιν· διὸ ἐπείπερ γεγένησθε, οὐκ ἀθάνατοι μέν ἐστε οὐδὲ ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως, μείζονος ἔτι δεσμοῦ, καὶ κυριωτέρας λαχόντες ἐκείνων οἷς ὅτε ἐγίγνεσθε, συνεδεῖσθε. ἆρά σε καταφαρμακεύομεν ὦ φίλος τοῖς λόγοις τούτοις, καὶ ὅλως πειθόμενος ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι; ἢ δεῖ σου κατεπᾴδειν μακρότερα; ὁ-
C ρᾷς γὰρ ὅπως αὐτὸς ὁ Πλάτων καὶ γεννητὸν οἶδε τὸν οὐρανὸν, καὶ εἰ γέγονε, λυόμενόν τε καὶ φθειρόμενον, λύσεως ἐξ ἀνάγκης τῇ συνθέσει παρεπομένης. πᾶν γὰρ σύνθετον καὶ διαλύεσθαι πέφυκε. μὴ δή σε μορμολυττέτω λέγων, ἄν περ ἄρα λύσις αὐτῶν γίγνηται. καὶ ὡς οὐ τεύξεσθε θανάτου μοίρας. ἔφη γὰρ, τὸ μὲν δὴ πᾶν δεθὲν λυτόν. καὶ ὡς οὐ πάμπαν ἄλυτοι ἔσεσθε· καὶ ἐκ τῆς οἰκείας δὲ φθορᾶς τὸν οὐρανόν φησι τρέφεσθαι, αὐτῷ Τιμαίῳ διαλεγόμενος, φύσει τε φθαρτὰ χρήματα
D πάντα ταῦτα γινώσκει, καὶ δεκτικὰ λύσεως οἶδεν, ἐπείπερ καὶ γέγονεν. Εἰ δὲ βουλήσει τοῦ δημιουργοῦ ἀθάνατα ταῦτα εἶναι φησιν, ἀσχάλλων ὅτι καὶ φησὶν ἐναντιολογῶν τε καὶ καθάπερ ἐν νυκτομαχίᾳ μαχόμενος ἑαυτῷ. ἡ γὰρ ἀνθρωπίνη σοφία, ὀλίγου τινός ἐστιν ἀξία καὶ οὐδενός, τέως τῇ φύσει αὐτῶν προσεμαρτύρηκε τὸ δύνασθαι φθαρῆναι, ἐπείπερ καὶ γέγονεν, ἢ οὔ; ΙΑΤ. Φαίνεται. ΧΡΙΣΤ. Εἰ δὴ φύσει φθαρτὰ ταῦτα, σχολῇ γ' ἂν τοὺς φύσει φθαρτοὺς Θεοὺς ὑποτοπητέον; ἢ σοι δοκεῖ ὅδε κόσμος
E Θεὸς εἶναι, γεννητὸς ὢν καὶ φύσει φθαρτός· ὡς ὁ λόγος ἀπέδειξε, καὶ ὁ Πλάτων τίθεται; ΙΑΤ. Οὐκ οἶδα ὅ,τι φῶ. ΧΡ. Οὐκοῦν φέρε συλλογιστικώτερον τῷ λόγῳ προΐωμεν. προθυμήθητι δὲ τούτῳ παρακολουθῆσαι· τοῦτο γάρ σε ποιεῖν λόγιον ὄντα καὶ φίλιον γλίχομαι. τὸν Θεὸν ἀσώματον καὶ ἀγέννητον, ἄφθαρτόν τε καὶ ἀνώλεθρον, καὶ συνθέσεως ἐλεύθερον ὁμολογεῖς, ἢ οὔ;

καὶ ἀλλήλοις, οὕτω ταῖς ὑποκειμέναις φύσεσι τὸ βουλεύεσθαι νοητέον. ΑΜΜΩΝΙΟΣ. Καλῶς λέγεις. ΧΡΙΣΤΙΑΝΟΣ. Γέγονεν ἡμῖν ποτε, ὦ ἑταῖρε, καὶ περὶ τῆς ἀρχικῆς καὶ μακαρίας τριάδος λόγος· καὶ ἠξίου μανθάνειν ὁ φιλόσοφος, ὅπως τὴν αὐτὴν, καὶ τριάδα φαμὲν εἶναι καὶ μονάδα· ἀξύμβατα γάρ πως ἔλεγεν εἶναι ταῦτα. ἐγὼ δὲ πρὸς αὐτόν· τριάδα φαμὲν εἶναι, ὦ φίλος, ἐν μονάδι, καὶ μονάδα ἐν τριάδι· ταῖς μὲν ὑποστάσεις τρεῖς εἶναι, τὴν δὲ οὐσίαν μόνην. ἡ γὰρ ἀρχὴ τῶν ὄντων ἡ γονιμωτάτη φύσις, ἡ ἄφθονος ἀγαθότης, ἡ πηγὴ τῆς ζωῆς, τὸ νοερὸν φῶς, αὐτὸ τἀγαθὸν καὶ ἕν, ἡ πρώτη αἰτία, ὁ ὤν, καὶ τὸ ὄντως ὂν, καὶ ἀεὶ ὡσαύτως ἔχον, οἷα δὴ νοῦς, καὶ πατὴρ λόγον γεννήσας, οὐ προφορικὸν, οὐδ᾽ αὖ ἐνδιάθετον, ἀλλ᾽ οὐσιώδη τε καὶ ἐνυπόστατον, καὶ τῆς αὐτῆς οὐσίας αὐτοῦ ἐξ ἀϊδίου τε καὶ συναΐδιον οἷα τῆς αὐτῆς ὄντα θεότητος αὐτοῦ, οὐ τῇ ὑποστάσει, τῇ οὐσίᾳ δὲ, καὶ ἑτέραν ὑπόστασιν ἐξ ἀϊδίου προβαλλόμενος, ὁμοούσιον αὐτοῦ τε καὶ τοῦ λόγου· ὃ δὴ πνεῦμα ἅγιον τὰ θεῖα καλεῖ λόγια, ἅμα τῇ τοῦ λόγου καὶ υἱοῦ καὶ τῆς σοφίας γεννήσει, χωρὶς τινος ῥεύσεως, καὶ τομῆς, καὶ κενώσεως. ταῦτα γὰρ σωμάτων παθήματα· ὑπὲρ αἰῶνά τε καὶ χρόνον, καὶ πᾶν διάστημα νοεῖσθαι δυνάμενον, εἷς ἐστὶ μετὰ τοῦ λόγου καὶ δημιουργοῦ καὶ τῆς σοφίας καὶ τοῦ θείου πνεύματος, ὡς εἰς αἴτιον αὐτὸν ἀναφερομένων· τοῦ μὲν γεννητικῶς, τοῦ δὲ προοδικῶς, εἴπω ἐκπορευτικῶς. εἴπερ σοφία τε καὶ λόγος, ἡγεμονεύει τῆς συστάσεως καὶ δημιουργίας καὶ οὐσιώσεως τῶν ὄντων· πνεῦμα δὲ θεῖόν ἐστι τὸ ἐμπνέον πάσαις ταῖς λογικαῖς καὶ νοεραῖς οὐσίαις, καὶ τὸ τελεωτικὸν τῆς τούτων ὑποστάσεως. τὸν οὖν πατέρα τοῦ λόγου καὶ τῆς σοφίας καὶ προβολέα τοῦ πνεύματος τοῦ ἁγίου, τὴν πρώτην αἰτίαν καὶ ἀρχὴν φαμὲν θεότητος εἶναι· ἀρχὴν ἄχρονον τῆς ἐν υἱῷ τε καὶ πνεύματι θεωρουμένης, ἥ φησιν ὁ ἡμέτερος θεολόγος Γρηγόριος. οὕτως ἡ μακαρία καὶ ἀρχικωτάτη τριὰς, καὶ τριάς ἐστι καὶ ἑνάς. μήτε εἰς πλῆθος ἄλογον καὶ Ἑλληνικὸν διεσκεδασμένη· μονὰς γάρ. μήτε μιᾷ ὑποστάσει περικλειομένη φθονερῶς καὶ Ἰουδαϊκῶς· τριὰς γάρ. ΑΜΜΩΝΙΟΣ. Οὐκοῦν, ἤδη ὡς, ταῖς μὲν ὑποστάσεσι καὶ τῷ ἀριθμῷ, τρία ταῦτά γε, τῇ δὲ οὐσίᾳ ἕν. ΧΡΙΣΤΙΑΝΟΣ. Ἀνεβόησε πάμμεγα καὶ ἀνευφήμησε τῶν ἀκροατῶν ὁ σύλλογος, μετά τινος ἡδονῆς καὶ χάριτος. τοῦτο γὰρ ὃ ἡμῖν ὁ λόγος δεῖξαι ἐσπούδαζεν, ὁ φιλόσοφος συνήγαγέ τε καὶ συνεπέρανεν. ὁ δὲ ὑπομειδιάσας μάλα τι σαρδώνιον μετά τινος ἐρυθήματος, ἐσιώπα, καὶ ἑτέρου εἴχετο λόγου. αὗται μοι τρεῖς γεγόνασι πρὸς αὐτὸν συνουσίαι· δύο μὲν τοῦ οὐρανοῦ πέρι καὶ τοῦ Θεοῦ, ὡς οὐ συναΐδιος τῷ Θεῷ ὅδε ὁ κόσμος·

A accommodatè igitur ad naturas subiectas verbum istud intelligendum est. AMM. Pulchrè dicis. CHR. Fuit nobis aliquando, ô amice, etiam de principali, & beata Trinitate sermo. & verò Philosophus postulabat scire; quo pacto eandem & Trinitatem & vnitatem esse dixeramus: hæc enim non esse vllo modo consentanea pronunciabat. Ego autem ad ipsum, Trinitatem dicimus esse mi Christiane, in vnitate, & vnitatem in Trinitate, propterea quod hypostases quidem tres sunt, vnica autem essentia. Nam principium rerum fœcundissima est natura, inuidiæ expers bonitas, fons vitæ, intelligens lumen, B ipsū summum bonum, & vnum, prima causa ipse qui est, quodque vere est, quodque semper se eodem modo habet, sanè velut mens, & pater verbū generans non pronunciabile, neque rursum internum, sed substantiale, & in se consistens, eiusdémque cum ipso substantiæ: ab æterno & coæternum, quippe eiusdem cum ipso Deitatis, non quidem hypostasi, sed substantia: & aliam hypostasin ab æterno producens sibi ipsi, & Verbo consubstantialem: quem sanè Spiritum sanctum C diuina vocant oracula, simul vna cum verbi & filij atque sapientiæ generatione, absque vllo fluxu, & sectione, & exinanitione. (Hæc enim sunt corporum affectiones.) Supra æuum, & tempus & omne spatium quod animo agitari valeat, vnus est cum verbo & opifice, & sapientia, & diuino spiritu, illis in ipsum quasi in causam relatis, illo quidem per modum generationis, hoc vero per modum progressionis siue processionis. Si quidem sapientia, & verbum præest constitutioni & opificio & procreationi rerum, spiritus autem diuinus inspirat vniuersis essentiis ratio- D nis & intelligentiæ participibus, & perficit illarum subsistentiam. Patrem ergo verbi & sapientiæ & ex quo procedit Spiritus sanctus, primam causam, & principium dicimus deitatis esse, principium carēs tempore: quæ deitas in filio, & spiritu spectatur, quemadmodum loquitur noster Theologus Gregorius. Sic beata, & principalissima Trinitas, & Trinitas est, & Vnitas. non in multitudinem alienam à ratione, & paganam dispersa: Vnitas enim. neque vnica hypostasi cōclusa, inuidè & Iudaïcè: Trinitas enim est. AMM. Igitur subsistentiis siue hypostasibus & nu- E meris tria hæc sunt, substantia autem vnum. CHR. Valde exclamauit & laudauit auditorum corona cum quadam voluptate, & gratia. Istud enim ipsum quod studebam mea oratione demonstrare, Philosophus collegit, & conclusit. Ille autem subridens valdè etiam sardonicè cum quodam rubore tacebat, & alteri sermoni insistebat. Atque hæ tres quidem fuerunt cum ipso congressiones. Duæ quidem de cœlo & Deo: mundum hunc non esse Deo coæternum;

Aliter Deus ait, aliter homo. & consilium capit.

Tertium colloquium.

Nota de S. Trinitate.

vna autem de beata & principali Trinitate, nempe triplici vnitate, & singularitate. Habui & alias multas de aliis sententiis, tam nostris quàm paganis, sed quia nihil institutæ tractationi & contemplationi conferunt, in præsens tacere integrum duxi. Vis igitur, mi homo, contentus nunc iis quæ commemorata sunt: & intellectis iis quæ cum Philosopho tractauimus, pedem domum referamus? B. Nequaquam mi Zacharia. Etenim ipsum mihi Colophonem dubitationis cupio vt ex animo deleas. Ingeniosus enim & sapiens es orator. A. Sed heus tu mihi hos sermones valere iube. Non enim laudum cupidine & ostentationis ista percurrimus, sed vt tuæ incolumitati & saluti studeremus. Laudes vero nihili facimus: sed amicam veritatem, & ecclesiasticas sententias & documenta amplectimur. Relictis igitur laudationibus, ambitiosis honorumque cupidis, & appetentibus, propone quod vis, quidque mentem tuam turbat, & commouit circa sententiarum verarum professionem. Dicebas, vir bone, hunc mundum à Deo fabricatum post intelligentias, quando ipsum oportebat in rerum naturam induci: liberè enim, & bonitate, non autem necessitate Deum condere. Sic Deum non in otio ante sensilis mundi opificium permanere dicebas: vt efficientem intelligentias, & in intelligen-es naturas primum beneficia effundentem, & ipsas suis gratiis implentem, alioqui nullo egentem eorum quæ ab ipso effecta sunt. Ex seipso enim esse opificem, & non ex iis quæ facta sunt: per se enim sufficiens & perfectus Deus. Nónne ista confirmabas? B Maximè. A. Acutus, mentéque & memoria polles, & nihil eorum quæ inuestigabantur, oratione te fugit. B. Iocaris, ô fortunate, in regerendis laudibus, & ipse quidem non vis laudari, sed laudare, quanquam æqualitatem & iustitiam in vita præcipuè seruas. A. Sed his nunc omissis propositæ insistamus tractationi. Commemora ergo quod sermone cœperas illustrare. B. Dicebas me dicere, post mundum, qui intelligentia percipitur, hunc qui sub sensum cadit, effectum esse, cum & corruptioni obnoxium esse eum, quatenus effectus esset, explicasti. Manere autem Deum in sua ipsius bonitate, citra illius noxam vllam, & detrimentum, etiam si mundus pereat, præclarè & fortiter tua oratio demonstrauit, & euicit. Præterea dicebatur à te necesse esse, vt mundus transmutaretur, & immortalis fieret, sustinens quandam alterationem, & commutationem in melius & transformationem præsentis status, & suscipiens sublimiorem, & sanctiorem, & diuiniorem. Nónne hæc sunt quæ dicebantur? A. Sanè. B. Age igitur mihi quod quæro responde. A. Quale id quæso?

Redit ad personas priores Itaque, A. Zachariam refert. B Amicum Zacharia.

μία περὶ τῆς μακαρίας καὶ ἀρχικῆς τριάδος· ἤγουν τρισσῆς ἑνάδος τε καὶ μονάδος. γεγόνασί μοι καὶ ἄλλαι πολλαὶ ἑτέρων περὶ δοξασμάτων ἡμετέρων τε καὶ Ἑλληνικῶν, ἀλλ' ὡς οὐδὲν τῷ προκειμένῳ σπουδάσματι καὶ θεωρήματι συντελούσας, σιωπᾶν ἐς τὸ παρὸν καλὸν εἶναί μοι ἔδοξε. βούλει οὖν, ὦ φίλος, ἀρκεσθεὶς τοῖς ἡμῖν εἰρημένοις, καὶ πυθόμενος τῶν πρὸς τὸν φιλόσοφον λόγων ἀναχωρεῖν οἴκαδε; B. Οὐδαμῶς, ὦ μακάριε· καὶ αὐτὸν γάρ μοι τὸν κολοφῶνα τῆς ἀπορίας, βούλομαί σε τῆς ἐμῆς ἀπελάσαι ψυχῆς· ἀγχίνους γὰρ εἶ καὶ σοφὸς δημηγόρος. A. Ἀλλὰ τούτους γ' ἔα χαίρειν τοὺς λόγους· οὐ γὰρ ἐπαίνων ἕνεκα καὶ ἐπιδείξεως ταῦτα διεξεληλύθαμεν, ἀλλὰ τῆς σῆς εὐεξίας καὶ ὑγείας μεταποιούμενοι. λόγος δ' ἐμοὶ τῶν ἐπαίνων οὐδείς· ἀλλὰ τῆς φίλης ἀληθείας καὶ τῶν ἐκκλησιαστικῶν δοξασμάτων καὶ διδαγμάτων. τοὺς ἐπαίνους οὖν καταλιπὼν τοῖς φιλοτίμοις, καὶ δόξης ἐρῶσί τε καὶ γλιχομένοις φάθι ὅ, τι καὶ βούλει, καὶ ὅ, τί σου τὴν ψυχὴν θορυβεῖ τε καὶ διαταράττει, περὶ τὰ τῶν δοξασμάτων τῆς ἀληθείας ὁμολογήματα· ἔφης, ὦ ἀγαθέ, τόνδε τὸν κόσμον ὑπὸ τοῦ Θεοῦ δεδημιουργῆσθαι μετὰ τὰ νοητά, ὅτε ἔδει αὐτὸν ἐπεισαχθῆναι τοῖς οὖσιν· ἐλευθερίᾳ γὰρ καὶ ἀγαθότητι καὶ οὐκ ἀνάγκῃ δημιουργεῖν τὸν Θεόν. οὕτω τὸν Θεὸν μὴ ἐν ἀργίᾳ πρὸ τῆς τοῦ αἰσθητοῦ κόσμου δημιουργίας διαμένειν ἔλεγες, ὡς ἐργαζόμενον τὰ νοητὰ καὶ ταῖς νοεραῖς φύσεσι πρότερον τὰς εὐεργεσίας ἐκχέοντα, καὶ αὐτὰς τῶν αὐτοῦ χαρίτων ἐμπιπλῶντα, ἄλλως τε μηδενὸς δεδεῆσθαι τῶν πρὸς αὐτοῦ γεγονότων. ἐξ ἑαυτοῦ γὰρ εἶναι δημιουργὸν καὶ οὐκ ἐκ τῶν γεγονότων· αὐτάρκης γὰρ καὶ τέλειος ὁ Θεός. ἢ οὐ ταῦτα διεβεβαιοῦ; B. Πάνυ γε. A. Καὶ ὀξὺς εἶ καὶ ἀγχίνους καὶ μνημονικός, καὶ οὐδέν σε τῶν σπουδαζομένων τῷ λόγῳ διέλαθε. B. Παίζεις, ὦ μακάριε, περὶ τὴν τῶν ἐπαίνων ἀντίδοσιν, καὶ οὐκ ἐθέλεις μὲν αὐτὸς ἐπαινεῖσθαι, ἐπαινεῖν δέ, καίτοι γε τὴν ἰσότητα καὶ τὸ δίκαιον διὰ βίου τιμῶν. A. Ταῦτά γε, ὦ ἀγαθέ, τανῦν ἐάσαντες, τῆς προκειμένης ἐχώμεθα θεωρίας. Φάθι τοίνυν ὅ, τι σοι ὁ λόγος διαπεραίνειν ὥρμητο. B. Ἔφης ὅτι δὴ ἔλεγον, ὦ μακάριε, μετὰ τὸν νοητὸν κόσμον, τὸν αἰσθητὸν δὴ τοῦτον γεγενῆσθαι· ἐοικὸς καὶ φθαρτὸν εἶναι τοῦτον εἰ γέγονε, διεσάφησας. μένειν δὲ τὸν Θεὸν ἐν τῇ οἰκείᾳ ἀγαθότητι, μηδεμιᾶς λώβης αὐτῷ καὶ ζημίας περὶ ταύτην γινομένης καὶ τοῦ κόσμου φθειρομένου, παγκάλως ὁ λόγος καὶ ἀνδρείως ἀπέδειξέ τε καὶ διηγωνίσατο. ἐλέγετο δὲ παρὰ σοῦ καὶ τοῦτο, ὡς ἀνάγκη μεταποιηθῆναι τὸν κόσμον, καὶ ἀπαθανατισθῆναι, καὶ ἀλλοίωσιν ὑπομεῖναί τινα καὶ μεταβολὴν τὴν πρός γε τὸ κρεῖττον, καὶ μετασχηματισμὸν δέξασθαι τῆς παρούσης καταστάσεως, ὑψηλότερόν τε, καὶ ἁγιώτερον καὶ θειότερον. ἢ οὐ ταῦτα ἐλέγετο; A. Πάνυ γε. B. Ἴθι οὖν μοι τὸ ἐρωτώμενον ἀπόκριναι. A. Τὸ ποῖον δή;

B. Εἰ ἀπαθανατίζειν μέλλει τόνδε τὸν κόσμον ὁ Θεὸς, καὶ μεταποιεῖν καὶ ἀναπλάττειν ἐπὶ τὸ κάλλιον, τίς ὁ λόγος τοῦ μὴ τὴν ἀρχὴν τοιοῦτον αὐτὸν πεποιηκέναι; ἀλλ' ὕστερόν ποτε τὴν ἀθανασίαν αὐτὸν μεταμπίσχεσθαι; ἢ γὰρ ἀγνοίᾳ τοῦ καλοῦ τοιοῦτον οὐκ ἐποίει οἷον ποιήσει ποτὲ, ὥσπερ ἐκ μεταμελείας· ἢ μὴ δυνάμενος, ἢ, ὃ μὴ θέμις εἰπεῖν, φθόνου πάθος οὐ διαφεύξεται· πόρρω δὲ τῆς μακαρίας φύσεως ἄγνοια καὶ ἀσθένεια καὶ φθόνος καὶ μεταμέλεια· τί λέγειν ἔχεις πρὸς ταῦτα; A. Οὔτε ἀγνοίᾳ, ὦ ἀγαθὲ, τοῦ ὄντως καλοῦ ἄφθαρτον οὐκ ἐποίει, οὔτε ὡς μὴ δυνάμενος, οὐδὲ αὖ φθόνου παθήματι κρατούμενος· ἔξω γὰρ φθόνος πᾶς, τοῦ μόνου ἀγαθοῦ καὶ αὐταγαθοῦ, καὶ ἀσθένεια τῆς δυνάμεως, καὶ ἄγνοια τοῦ σοφοῦ καὶ αὐτοσοφίας, καὶ τοῦ ἀτρέπτου ἡ μεταμέλεια. Ἀλλ' ἔδει, ὦ μακάριε, κατάλληλον εἶναι τὸ χωρίον τοῖς μέλλουσιν οἰκεῖν τὸ χωρίον· καὶ μὴ ἀπᾴδειν τὸ οἰκητήριον παρὰ πολὺ τῶν ἐνδιαιτωμένων αὐτῷ. ἀνάγκη τοίνυν ἡμῶν φθαρτῶν γεγονότων καὶ ῥεόντων ὁσημέραι, καὶ τὰ περὶ ἡμᾶς τοιαῦτα γενέσθαι. πάλιν δὲ εἰς ἀθανασίαν χωρησόντων, καὶ ταῦτα ξυνέπεσθαι· ἢ οὐ δοκεῖ σοι, τὸ ὅμοιον τῷ ὁμοίῳ χαίρειν, καὶ φίλον εἶναι καὶ σύντροφον; τοῦτο γὰρ καὶ τῆς παροιμίας ἀκήκοας, καὶ ὁ ποιητικὸς ἐδίδαξε λόγος. B. Μανθάνω ὃ λέγεις. A. Οὕτω τοίνυν καὶ ὅδε ὁ κόσμος φυτῶν τε καὶ εἰδῶν παντοδαπῶν ποικιλίᾳ καὶ ζώων διαφοραῖς, καὶ μυρίαις ἰδέαις καταπεποικιλμένος τε καὶ ἐμπρέπων, καὶ τούτοις ἅπασι πρὸς τοῦ Θεοῦ διαλάμπων, ἔτι δὲ αὖ καὶ τὰς λογικὰς φύσεις τοὺς ἀνθρώπους ἔχων περιπολούσας ἐν αὐτῷ, δι' οὓς δὴ καὶ μάλιστα γέγονε πρὸς τοῦ Θεοῦ· καὶ ταύτην μόνην αἰτίαν εἰπών τις τοῦ γενέσθαι τοῦτον, οὐκ ἂν ἁμάρτοι· ὅμοιος ἑαυτῷ γίνεται, καὶ τὴν πρὸς τὰ μέρη συμφωνίαν ἀσπάζεται. ἔδει γὰρ τοῦτον μὴ παντάπασιν ἀπᾳδόντως συναρμοσθῆναι, ἀλλ' ἔχειν ἀμηγέπῃ τινὰ πρὸς τοὺς ἐνοικοῦντας ἐμφέρειαν. ποία δὲ ἂν ἦν ἡ ἐμφέρεια, εἰ τῶν μὲν γινομένων τε καὶ ἀπογινομένων καὶ χρόνῳ τὴν εἰς τὸ εἶναι πάροδον λαγχανόντων καὶ μετ' οὐ πολὺ φθειρομένων (τοιαῦτα γὰρ τὰ ἐν γενέσει καὶ φθορᾷ) αὐτὸς ἀθάνατα διαρκεῖν ἔμελλε πρὸς τοῦ Θεοῦ, πῶς δὲ ἂν τοῦ φθειρομένου ὀφθαλμοῦ τὴν θέαν ἀπεδέξατο, καὶ τῶν ἄλλων αἰσθήσεων δεκτικὰ ἦν, οὐρανὸς καὶ τὰ κατ' οὐρανὸν κινούμενα, εἰ ἀθάνατα καὶ ἄφθαρτα καὶ ἀνώλεθρα ἐτύγχανεν ὄντα; τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ πελάζειν ὅ, τε λόγος καὶ ἡ τῶν πάλαι γεγενημένων ἀνδρῶν σοφία καὶ αὐτὴ ἡ ἐνέργεια δείκνυσί τε καὶ διδάσκει. ἀλλ' ἐπεὶ προνοίᾳ καὶ εὐεργεσίᾳ τοῦ δημιουργοῦ αὖθις ἀναβιωσόμεθα, τὰ σώματα λαβόντες ἀθάνατα, καὶ πάσης μεταβολῆς ὑπέρτερα, μεθ' ὧν καὶ ἐπολιτευσάμεθα, καὶ εἰς τόνδε τὸν βίον παρεληλύθαμεν (οὐ γὰρ δὴ καθόλου καὶ διηνεκεῖ φθορᾷ κατεδίκασεν ἡμᾶς τὰ λογικὰ πλάσματα ὁ ἀγαθὸς)

A B. Si mundum hunc Deus immortalem redditurus est, & transmutaturus, & in melius reformaturus; quæ ratio cur non à principio ipsum talem effecit, sed aliquando pòst eum immortalitate induet? Aut enim ignorantia pulchri talem non efficiebat, qualem effecturus est aliquando, velut ex incuria, aut quod non posset, aut, quod nefas dictu, inuidiæ labem non effugiet. Atqui procul à beata natura ignoratio, & imbecillitas, & inuidia, & incuria, quid ad ista habes dicere? A. Nec ignoratione veri pulchri incorruptum non faciebat, nec quod
B non posset, nec rursum inuidiæ morbo victus. Nam longè abest à solo & summo bono omnis inuidia, imbecillitas à potentia, à sapiente & ipsa sapientia ignoratio, ab immutabili pœnitentia: Sed oportebat congruere locum cum iis qui illum inhabitaturi erant, neque multum discrepare domicilium, ab iis qui in eo victuri erant. Necesse est igitur cum nati simus mortales, & fluamus quotidie, ea etiam quæ nobis circumfusa sunt, talia effecta esse. Rursus autem cum immortalitatem inibimus, hæc quoque
C consequi. Nónne sentis simile simili gaudere, esséque amicum, & contubernale? hanc enim audiuisti parœmiam, hoc & docuit poëticum dictum. B. Intelligo quæ dicis. A. Sic etiam hic mundus stirpium & specierum omnis generis varietate animantiúmque diuersitatibus & innumeris formis distinctus, atque exornatus, & his omnibus Dei beneficio fulgens: præterea etiam rationis participes naturas homines habens in ipso eminentes, quorum causa præcipuè sanè procreatus est à Deo, quámque causam solam esse qui dixerit, cur sit effectus, non aberra-
D bit: similis sibi ipsi efficitur, & cum partibus consensionem complectitur. Oportebat enim ipsum non planè discrepanter coaptari, sed habere aliquo modo cum incolentibus conuenientiam. Qualis verò esset conuenientia, si quidem aliis intereuntibus & orientibus, & tempore transitum in rerum naturam sortientibus, & aliquanto pòst pereuntibus (talia enim sunt quæ sub ortum & interitum cadunt) ipse immortalitate afficiẽdus erat à Deo? Præterea quomodo mortalis oculi aspectum cepissent, & aliorum sen-
E suũ capacia fuissent, cœlũ & quæ cœli motu cõuertuntur, si fuissent immortalia & incorrupta, & interitus expertia? Simile enim ad simile accedere ratio, & veterum sapientia, ipsáque experientia ostẽdit, & docet. Verùm quoniam prouidentia & beneficentia opificis rursum reuiuiscemus, adipiscentes corpora immortalia, omniúmque mutatione superiora, cum quibus & hoc æuum transegimus, & in hanc vitam processimus. (non enim prorsus, & perpetuo exitio nos figmenta rationem participantia addixit Deus summè bonus)

oportebat rursum quæ nobis circumfunduntur talia esse, qualia & nostra corpora, gloriæ & immortalitatis plena, & soluta omni mutatione, & alteratione, vt simile simili propinquet & adhæreat. Ista est ratio, beate vir, cur non ab origine hæc vniuersitas immortalis & incorrupta à Deo producta sit. B. Dubio dubium mihi soluisti, amice vir. Nam si etiam homines facturus erat immortales, cur beneficentiam suam differt, cur non simul cum ortu immortalia omnia effecit? A. Ausculta præclarum sermonem quem diuinus ille Propheta, & Legislator Moses scripsit, quem & verum esse ratio deprehendit. Nam opifex & effector huius vniuersi, post cœli & terræ & maris procreationem, itémque Solis, Lunæ, stellarum, & eorum qui in cœlo, terra, aëre, & mari degunt, hominem condens (oportebat enim quasi regi & conuiuæ ab omnium rege, & epuli magistro præparari regias ædes, & conuiuium, & quæ ad epulationem pertinent, deinde sic regem super terram imponi, & produci regem, & conuiuam bonorum, quæ magnus epuli magister apposuerat) hominē inquam condens bonus ille opifex, mentémque intelligentem, quam sanè imaginem ipsius esse agnoscit ratio cum corpore, quod sub sensum cadit componens, & colligans, & ab ortu primo immortalitatis semina per immortalem animam corporibus inserens, vt beneficentiam boni, & contemplationem sentirent etiam insensilia, ac per mixtionem intelligentis essentiæ, & temperationem eius particeps esset, suæ potestatis faciebat, & à necessitate liberum, solutum, & sui iuris. Illa enim est nota & tessera ratione præsertim instructæ naturæ, imago & imitatio superni regni, & præmium illud immortalitatis legem præbuit, vt nosset Dominum, neque se sine rege ac domino esse sciret, quantumuis eorum quæ sunt super terram rex esset constitutus: id profectum è beneficentia Dei, qui eum regem constituit. Præclarum enim est suam seruilem conditionem agnoscere, quod arrogantiam, & audaciam, & superbiam & fastum exterminat, primum & extremum malum, & omnino spiritus comprimit, & in memoriam reuocat Delphicam inscriptionem, Nosce teipsum. Homo autem contemnens legem, & minus curans, à legislatoris immortalitate, quam, si custos extitisset, sortitus fuisset, excidit, & punitur dissolutione. Oportebat enim malum non esse immortale, idque beneficio summi regis, & legislatoris, & opificis. Malum autem fuerit regiorum iussuum contemptio & neglectio, & erga suum benefactorem incuria, & despicatus minimè culpam ingrati animi effugiens. Hoc igitur principium alterius vitiorum turbæ, & aggregationis voluptatum, temeritatis,

A ἔδει πάλιν τὰ περὶ ἡμᾶς τοιαῦτ' εἶναι οἷά περ καὶ
ἡμέτερα σώματα, δόξης τε καὶ ἀθανασίας ἔμπλε
καὶ πάσης μεταβολῆς καὶ ἀλλοιώσεως ἐλεύθερα· ὅπ
τὸ ὅμοιον τῷ ὁμοίῳ πελάζῃ τε καὶ συζυγῇ· ἔστιν ὁ λ
γος, ὦ μακάριε, τοῦ μὴ ἀνέκαθεν τόδε τὸ πᾶν ἀθ
ανατον καὶ ἀνώλεθρον παρὰ τοῦ Θεοῦ γεγονέναι. Β.
ἀπορίᾳ μοι τὴν ἀπορίαν διαλέλυκας, ὦ ἑταῖρε. ε
γὰρ δὴ καὶ τοὺς ἀνθρώπους ἀθανάτους ποιεῖν ἔμελλε
τὴν εὐεργεσίαν ἀναβάλλεται; τί δὲ μὴ ἅμα τῇ
σει, ἀθάνατα πάντα ἐποίει; Α. Ἄκουε δὴ φασι
λα καλοῦ λόγου, ὃν Μωϋσῆς μὲν ὁ θεσπέσιος προφ
B της καὶ νομοθέτης συνέγραψεν, ἀληθῆ δὲ ὄντα ὁ λ
ἐφώρασεν. ὁ γὰρ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ πα
μετὰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάττης γένεσιν, ἡλίο
καὶ σελήνης, καὶ ἀστέρων, καὶ τῶν ἐν οὐρανῷ καὶ γῇ ἀέρι
θαλάττῃ διαιτωμένων, τὸν ἄνθρωπον δημιουργῶν (
γὰρ οἷα βασιλεῖ τε καὶ δαιτυμόνι ὑπὸ τοῦ πάντων
σιλέως καὶ ἑστιάτορος, προετοιμασθῆναι τὰ βασί
καὶ τὸ συμπόσιον καὶ τὰ τῆς ἑστιάσεως· εἶτα οὕτως τὸν
γῆς χειροτονηθῆναι καὶ προβληθῆναι βασιλέα
C δαιτυμόνα τῶν ἀγαθῶν, ὧν ὁ μέγας προεύτρεπι
στιάτωρ.) ὁ γοῦν ἀγαθὸς ποιητὴς τὸν ἄνθρωπον
μιουργῶν καὶ νοερὰν ψυχήν, ἣν δὴ εἰκόνα αὐτοῦ οἶδ
λόγος, αἰσθητῷ σώματι συγκεραννύς τε καὶ συνδέων.
ἀνέκαθεν τὰ τῆς ἀθανασίας σπέρματα διὰ τῆς ἀθανα
ψυχῆς τοῖς σώμασιν ἐγκατασπείρων, ὅπως ἂν τῆς ε
γεσίας τ' ἀγαθοῦ καὶ τῆς θεωρίας αἰσθάνοιτο, καὶ τὰ ἀ
σθητα, καὶ διὰ τῆς μίξεως τῆς νοερᾶς οὐσίας καὶ συγ
κράσεως τούτου μετέχοι, αὐτεξούσιον ἐποίει καὶ ἀ
κης ἐλεύθερον, ἄφετόν τε καὶ αὐτόνομον. τοῦτο γὰρ
εισμα, καὶ σύνθημα λογικῆς μάλιστα φύσεως, κα
D κὼν καὶ μίμησις τῆς ἄνω βασιλείας. ἆθλόν τε τῆς ἀ
θανασίας, νόμον παρέσχεν, ὅπως γνωρίζοι τὸν δε
την, καὶ ὡς οὐκ εἴη ἀβασίλευτός τε καὶ ἀδέσποτος
δείη, εἰ καὶ τῶν ἐπὶ γῆς γεγόνει βασιλεύς, εὐεργεσίᾳ
βασιλέα πεποιηκότος. χρῆμα γάρ τι καλὸν ἡ τῆς
λείας ἐπίγνωσις, ὑπερηφανίαν καὶ αὐθάδειαν καὶ τι
καὶ ἀλαζονείαν ὑπορρίζουσα, τὸ πρῶτον καὶ τε
ταῖον κακόν, καὶ ὅλως συνάγουσα τὰ φρονήματα.
τοῦ γνῶθι σαυτὸν τοῦ γράμματος ἀναμιμνήσκουσα
Δελφικοῦ. ὀλιγωρήσας δὲ τοῦ νόμου, καὶ ἧττον φρ
E σας ὁ ἄνθρωπος τοῦ νομοθέτου, τῆς ἀθανασίας, ἧς
φύλαξ ἐγεγόνει τοῦ νόμου, μετελάγχανεν, ἐκπίπτει
καὶ ζημιοῦται τὴν διάλυσιν. ἔδει γὰρ μὴ τὸ κακὸν ἀθά
τον εἶναι, καὶ τοῦτ' εὐεργεσία τοῦ βασιλέως, καὶ νο
θέτου καὶ δημιουργοῦ. κακὸν δ' ἂν εἴη ἡ τῶν βασ
κῶν προσταγμάτων καταφρόνησις καὶ ἀφροντισ
καὶ ἡ περὶ τὸν εὐεργέτην ὀλιγωρία, ἥκιστα γρα
ἀχαριστίας ἀποφυγοῦσα. ταύτην δὴ ἀρχὴν κα
ἄλλου τῆς κακίας ὁμάδου, καὶ τοῦ ἐσμοῦ τῶν ἀσελ

&

καὶ ἀκολασίας ἡ ὀδύνη, ὁ ἄνθρωπος ἐποιήσατο· οὗτος ὁ λόγος τῆς λύσεως, ἡ δὲ τῆς ἀναπλάσεως καὶ τῆς ἀθανασίας αἰτία, ἕτερον οὐδὲν ἢ ἀγαθότης Θεοῦ καὶ οἶκτος περὶ τὸν πεπτωκότα καὶ φιλανθρωπίας ὑπερβολή. ἐλεήσας γὰρ ὁ δημιουργὸς τὸ πλάσμα, καὶ νικᾶσθαι τοῦτο πρὸς τῆς κακίας μὴ ἀναφερόμενος, διαλύει μὲν τὸ ὑποδεξάμενον τὸ κακὸν ἀγγεῖον, ἀναπλάττει δ' αὖθις, καὶ ἀναχαλκεύει, τῶν μοχθηρῶν ἕξεων καὶ τύπων ἀπηλλαγμένον, ἵνα μήτε ἀθάνατα νοσῶμεν· μηδ' αὖ πάλιν ἀϊδίῳ φθορᾷ καὶ διηνεκεῖ τὸ πλάσμα καταδικάζοιτο, ἐπ' ἀθανασίᾳ τὴν ἀρχὴν γεγονός. ἀλλ' ἐπειδὴ κακία τῆς λύσεως προηγήσατο, καὶ νόμου ὑπεροψία, ἔδει πάλιν ἀρετὴν καὶ νόμου φυλακὴν καὶ ἀναμαρτησίαν καθηγήσασθαι ἀναπλάσεως καὶ τῆς ἀθανασίας. διὰ ταῦτα, ὦ μακάριε, αὐτὸς ὁ Θεὸς καὶ νομοθέτης καὶ βασιλεὺς, ἄνθρωπος γίνεται, καὶ μένει Θεὸς, καὶ αὐτὸς ὁ τῆς φύσεως δημιουργὸς ἰᾶται τὰ τῆς φύσεως ἀρρωστήματα· καθαρὰν δείξας ἐν ἑαυτῷ καὶ ἐλευθέραν τὴν φύσιν, καὶ ἀλώβητον καὶ ἀπήμαντον, πρὸς δὲ καὶ ἀθόλωτον πάμπαν καὶ ἀναμάρτητον· καὶ ὁδὸς γίνεται τῆς ἀθανασίας τῷ πλάσματι, καὶ καθηγεμὼν, καὶ ἁπλῶς εἰπεῖν, ἀρχὴ καὶ ὑπόθεσις, ἀναστήσας τὸ σῶμα καὶ ἀπαθανατίσας, ὅπερ ἐκ τῆς ἡμετέρας φύσεως καὶ οὐσίας αὐτὸς ὁ λόγος καὶ δημιουργὸς ἥνωσεν ἑαυτῷ μετὰ ψυχῆς ἀνθρωπίνης καὶ νοερᾶς δηλονότι, ἵνα πᾶσαν ἀναχαλκεύσῃ τὴν φύσιν. ᾧ γὰρ λόγῳ τοῦ πρώτου ἀνθρώπου ὑποδεξαμένου τὴν διάλυσιν καὶ τὴν πρὸς βραχὺ φθορὰν διὰ τὴν πλημμέλειαν, τὸ γένος ἅπαν τοῖς αὐτοῖς ἐτιμᾶτο· τούτῳ τῷ λόγῳ αὐτοῦ τοῦ δημιουργοῦ τοῦ μείναντος Θεοῦ, καὶ γενομένου ἀνθρώπου, ἐν ᾧ μηδὲν εἶδος μηδὲ κίνημα ἑαυτῆς ἡ κακία εὕρετο· (ἦν γὰρ ἡ πηγὴ τῶν ἀρετῶν καὶ τῆς ἁγιότητος, καὶ ἡ ἀτρεψία καὶ ἡ ἀναμαρτησία·) ἐπὶ πᾶν τὸ γένος διαπεμφθήσεται ἡ ὑπόθεσις τῆς ἀθανασίας, καὶ τὰ τῆς ἀφθαρσίας συνθήματα. ἔχεις, ὦ φιλότης, τὴν αἰτίαν τοῦ μὴ τὴν ἀρχὴν ἡμᾶς ἀθανάτους ἅμα τῇ γενέσει κατασκευασθῆναι. αὐτὸς τοίνυν ἀντιθέσει χρώμενος ἐκ συγκρίσεως πρὸς σαυτὸν τὸ διάφορον τῶν δοξασμάτων ἄθρει καὶ καταμάνθανε. Ἐκεῖνοι συναΐδιον τῷ δημιουργῷ τόνδε τὸν κόσμον ὑποτοπάζουσι, μὴ ἐῶντες τὸν Θεὸν πάντων τῶν ὄντων κατὰ πάντα καὶ ἐν πᾶσι προὔχειν καὶ διαφέρειν· ἀλλὰ πρὸς τὴν αὐτὴν δόξαν ἀνάγουσι τὸν περιγεγραμμένον καὶ σῶμα ἔχοντα ὑλικὸν, τῇ ἀπεριλήπτῳ καὶ ἀσωμάτῳ φύσει· καὶ ᾗ φησι Βασίλειος, ὁ μέγας τῆς ἀληθείας διδάσκαλος, τὸν φύσει φθαρτὸν καὶ πάντως διαλυθησόμενον, ὡς δεικνῦσι τὰ μέρη καὶ ἡ σύνθεσις, εἴπερ πάντως τὸ συντεθειμένον καὶ διαλύεται, ἴσον ποιοῦσι τῷ ἀνωλέθρῳ καὶ ἀφθάρτῳ καὶ ὄντως ὄντι καὶ ἀεὶ ὡσαύτως ἔχοντι. θεολογοῦσί τε τοῦτον,

& intemperantiæ, homo sibi fecit. hæc ratio dissolutionis, hæc reformationis & immortalitatis causa, nihil aliud quàm Dei bonitas, & commiseratio eius qui ceciderat, benignitatisque exuperantia. Miseratus enim opifex suum opus, & ipsum vinci à malo minimè ferens, dissoluit quidem vas mali receptaculum, sed iterum, refingit recuditque, prauos habitus & formam delens, ne perenniter ægrotemus, neque rursus perpetuo interitu & sempiterno opificium suum damnet, ad immortalitatem à principio factum. Verùm postquam malum dissolutionis author fuit, & dux, itémque legis despicientia, rursum oportebat, virtutem & legis obseruationem, & vacuitatem peccati, restitutionem & immortalitatem antecedere. Proinde, fortunate vir, ipse Deus & legislator, & rex homo efficitur, & manet Deus, ac ipse naturæ opifex curat naturæ ægritudines, puram in seipso ostendens, & liberam noxæ labisque expertem naturam: præterea etiam planè incontaminatam, & peccati vacuam, viáque efficitur immortalitatis suo opificio atque dux, & vt semel dicam, principium & causa exuscitans corpus, & immortalitate afficiens, quod è nostra natura, & essentia ipsum verbum, & opifex sibi ipsi vniuit cum anima humana & intelligenti, vt vniuersam reformaret naturam. Qua enim ratione, vbi primus homo subiectum sese reddidit dissolutioni & breui corruptelæ sua socordia, vniuersum genus iisdem mulctatum est: ea ipsa ratione per opificem Deum permanentem, & interea effectum hominem, in quo nullam speciem aut motum sui ipsius malum inuenit. (Erat enim fons cunctarum virtutum, & sanctitatis, & ipsa mutationis & peccati immunitas) in vniuersum genus causa immortalitatis, & incorruptibilitatis signa transmittentur. Habes, charissime, causam cur à principio cum ipso ortu immortales non simus effecti. Tu igitur oppositione vsus & comparatione per te ipsum differentiam opinionum considera & disce. Illi coæternum opifici hunc mundum opinantur, non permittentes Deum omnibus rebus secundùm omnia & in omnibus præstare & excellere, sed circumscriptum, & corporatum ad eandem gloriam cum immensa & incorporea natura euehunt. Atque vt inquit Basilius ille magnus veritatis doctor, eum qui natura corruptibilis est, & omnino dissoluetur, vt ostendunt partes, & compositio, siquidem omnino id quod compositum est, etiam dissoluetur, parem faciunt ei qui est incorruptibilis, noxæ expers, reuera consistens, & semper eodem modo se habens. Quin & Deum efficiunt eum,

Comparatio Gentilis & Christianæ sententiæ.

& eius partes, imperiti & agreſtes, prouidentia & conſilio opificem eſſe Deum non concedunt, expertem electionis, & cauſam mundi eſſe ipſum exemplo peruulgato comminiſcuntur. Rurſum autem propriis, iuxta parœmiam, capti ſunt pennis. Eum enim qui à bono effectus eſt, & præclarè coagmentatus, non oportere corrumpi aientes, de ſingulis hominibus interrogati, quorum cauſa maximè hæc vniuerſitas fabricata eſt, vt naſcantur, & intereant, à bono Deo facti, & præclarè coagmentati, velut boni Dei opificia hærent, & magis muti quàm lapides, aut piſces, redduntur. Præterea hunc mundum minimè habere à ſeipſo immortalitatem confitentes: vt enim audiui quendam è diſcipulis Platonis triumphantem, ſi cogitatione abſtraheretur ab vniuerſo opifex, aut ſi non contineret, & quæ condita ſunt ſtabiliret, complecteretúrque ea quæ ab ipſo producta ſunt, caſſa omnia, perirent, & interitus atque corruptela vniuerſi ſequeretur: iſtud, inquam, ſic confitentes: Solem, Lunam, & vt ſummatim dicam, ſeptem qui vocantur planetæ, ipſúmque cœlum Deos eſſe prædicant, & cauſas eorum quæ ſigillatim geruntur, cum natura ſint corruptibiles, ſic eos Deos notis comminiſcuntur, & magnum, & præſtantiſſimum Deitatis nomen & numen contumelia afficiunt, & deprimunt ad tabem noxæ corruptelæque expertem naturam. Ac hæ quidem iſtorum ſunt opiniones, immo verò de vniuerſitate furioſæ narrationes, & commenta erroriſque licentia. Noſtra autem de rebus ſententia, & veritatis oratio talis eſt: Deum ſolum increatum, naturáque immortalem, principio carentem, ſempiternum confitemur: mundum autem hunc qui ſub ſenſum cadit, & cernitur, productum eſſe poſt * eorum quæ ſunt, effectionem. Ordine enim & conſequentia efficit opifex, ne in rebus vlla ſit inordinatio. Ordinis enim vacuitas, non eſt Dei, ſed caſus. Sic Deum ex ſeipſo eſſe opificem, & non ex rebus procreatis. Cæterum non manere in otio ante huius mundi ſub ſenſum cadentis procreationem aſſerimus, vt pote efficientem res quæ intelligentia percipiuntur, & minimè neceſſitate ad res condendas adductum. Præterea mundum aſtitiſſe ipſi ab æterno, neutiquam dicimus, atque conſecutum eſſe, ne cum cauſam vniuerſitatis conſilij, electioniſque vacuam ſtatuamus, quaſi inducētes naturæ appēdicem, & quaſi corollarium, ſed bonitatis exuperantia, & voluntate opificem eſſe rerum profitemur. Mundum verò natura corruptibilem ſcimus: effectus enim eſt: corrumpi autem affirmamus non omnino aut in perpetuum, propter bonitatem effectoris, ſed trāſmutari in melius, & cū noſtris corporibus immortalitate donari poſt vniuerſā cōſummationem.

Cautè lege, nā innuere videtur angelos creatos ante mundum corporeum, quæ ſententia iam abſque temeritate a ſtrui non poteſt. Vide S. Thomā 1. par. qu. 61. art. 3. atque eius interpretes. Angelos intelligit, vt apparet è ſeq.

A καὶ τὰ τούτου μέρη, ἀμαθαίνοντες καὶ ἀγροικιζόμενοι, προνοίᾳ καὶ βουλήσει δημιουργὸν εἶναι τὸν Θεὸν οὐ συγχωροῦσιν· ἀπροαίρετον αὐτὸν αἰτίαν τοῦ κόσμου, διὰ τοῦ πολυθρυλλήτου παραδείγματος ὑποτοπάζοντες. πάλιν δὲ αὖ τοῖς ἰδίοις κατὰ τὴν παροιμίαν ἑάλωσαν πτεροῖς. τὸν πρὸς ἀγαθοῦ γὰρ γεγονότα, καὶ καλῶς ἁρμοσθέντα μὴ φθείρεσθαι δεῖν λέγοντες, περὶ τῶν κατὰ μέρος ἀνθρώπων ἐρωτώμενοι, δι' οὓς μάλιστα τόδε τὸ πᾶν γέγονεν, ὅπως γίνονται καὶ φθείρονται πρὸς ἀγαθοῦ τοῦ Θεοῦ γεγονότες καὶ καλῶς ἁρμοσθέντες, ὡς ἀγαθοῦ Θεοῦ δημιουργήματα, πεπήγασι, καὶ ἰχθύων καὶ λί- B θων ἀφωνότεροι γίνονται. πάλιν δὲ αὖ τόνδε τὸν κόσμον μὴ ἐξ αὐτοῦ τὴν ἀθανασίαν ἔχειν ὁμολογοῦντες· ὡς γὰρ ἤκουσα τῶν Πλάτωνος μυσταγωγῶν τινος κομψευομένου, εἰ ἐπινοίᾳ χωρισθείη τοῦ παντὸς ὁ δημιουργὸς ἢ μὴ συνέχειν τε καὶ τὰ δημιουργηθέντα κρατύνειν καὶ περιδράττεσθαι τῶν πρὸς αὐτοῦ γεγονότων, φροῦδα τὰ πάντα οἴχεται, καὶ ἀναίρεσις καὶ φθορὰ γίνεται τοῦ παντός· τοῦτο οὕτως ὁμολογοῦντες ἥλιόν τε καὶ σελήνην καὶ συνελόντι φάναι, τοὺς ἑπτὰ λεγομένους C πλανήτας, καὶ αὐτὸν τὸν οὐρανὸν Θεοὺς εἶναι φασὶ καὶ τῶν κατὰ μέρος οἰκονομουμένων αἰτίους, τοὺς φύσει φθαρτούς. καὶ τούτους Θεοὺς ἡμῖν ἀναπλαττόμενοι, καὶ τὸ μέγα καὶ περιμάχητον τῆς θεότητος ὄνομά τε καὶ πρᾶγμα καθυβρίζοντες, καὶ καταβιβάζοντες εἰς φθορὰν τὴν ἀκήρατον φύσιν καὶ ἀπήμαντον. ταῦτα μὲν ἐκείνων τὰ δοξάσματα· μᾶλλον δὲ τὰ περὶ τοῦ παντὸς θυμώδη διηγήματα καὶ ἀναπλάσματα, καὶ ἡ αὐτονομία τῆς πλάνης. ἡ δὲ ἡμετέρα περὶ τῶν ὄντων δόξα, καὶ ὁ τῆς ἀληθείας λόγος οὗτος· τὸν Θεὸν μόνον ἀγένητον, καὶ φύσει ἀθάνατον, ἄναρχόν τε καὶ ἀΐδιον ὁμολογοῦμεν, τὸν D δὲ κόσμον τοῦτον τὸν αἰσθητὸν καὶ ὁρώμενον, γεγενῆσθαι μετὰ τὴν τῶν ὄντων δημιουργίαν. τάξει γὰρ καὶ ἀκολουθίᾳ δημιουργεῖ ὁ δημιουργός· ἵνα μηδὲν ἐν τοῖς οὖσιν ἄτακτον εἴη. τὸ γὰρ ἄτακτον, οὐ Θεοῦ, ἀλλὰ τοῦ αὐτομάτου. οὕτω τὸν Θεὸν ἐξ ἑαυτοῦ μὲν εἶναι δημιουργὸν, καὶ οὐκ ἐκ τῶν γεγονότων· μὴ διαμένειν δὲ ἐν ἀργίᾳ πρὸ τῆς τοῦ αἰσθητοῦ κόσμου δημιουργίας φαμὲν, ὡς ἐργαζόμενον τὰ νοητά· καὶ οὐκ ἀνάγκῃ ἐπὶ τὴν τῶν ὄντων δημιουργίαν ἐλθόντα· οὐδὲ αὖ συνυποστῆναι τὸν κόσμον αὐτῷ φαμὲν ἐξ ἀϊδίου καὶ παρακο- E λουθῆσαι, ἵνα μὴ τοῦτον ἀπροαίρετον αἴτιον εἰσάγωμεν τοῦ παντός· οἷον περίττωμά τι φυσικὸν ἢ ἐφόλκιον ἐπαγόμενοι· ἀλλ' ἀγαθότητος περιουσίᾳ καὶ βουλήσει δημιουργὸν εἶναι τῶν ὄντων ὁμολογοῦμεν. τὸν δὲ κόσμον φύσει φθαρτὸν ἐπιστάμεθα· γέγονε γάρ. φθείρεσθαι δὲ φαμὲν, οὐ πάμπαν, ἢ ἐς ἀΐδιον, διὰ τὴν ἀγαθότητα τοῦ πεποιηκότος, ἀλλὰ μετασχηματίζεσθαι πρὸς τὸ κάλλιον, καὶ σὺν τοῖς ἡμετέροις σώμασιν ἀπαθανατίζεσθαι, μετὰ τὸ καθολικὸν συμπέρασμα.

A οὐδὲν γὰρ τῶν δι' ἑαυτὰ παρὰ τοῦ ἀγαθοῦ γεγονότων, διηνεκεῖ φθορᾷ παραδοθήσεται. καὶ ἡ πρὸς βραχὺ δὲ φθορά, ἐπ' εὐεργεσίᾳ τῶν λογικῶν ἐπῆκται παρὰ τοῦ ἀγαθοῦ, ὡς ἂν μὴ ἀθάνατα νομίζωμεν. ἅμα δὲ καὶ διὰ τῆς τούτων πρὸς βραχὺ φθορᾶς, καὶ τοῦ μετασχηματισμοῦ, μανθάνωσιν αἱ νοεραὶ φύσεις, ὅτι μὴ δι' ἀνάγκην τῆς ἑαυτῶν φύσεως, ἀλλὰ κατὰ δωρεὰν τοῦ δημιουργοῦ, ἀθάνατοι γεγόνασι, καὶ οὐκ ἀπορίᾳ δευτέρας μοίρας, ἐν τῇ πρώτῃ ἐτάχθησαν, ὡς ἂν πρὸς τὴν πρώτην ἀρχὴν καὶ μόνην αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἓν βλέποιεν, καὶ μηδέποτε B κόρον λάβοιεν τῆς θεωρίας τοῦ εὐεργέτου, ἀγαπῶσι τὸ ἄρχεσθαι καὶ τῆς ἐκλάμψεως ἀπολαύειν ἐσαεὶ τοῦ ἀγαθοῦ, καὶ μισῶσι τὴν ἀναρχίαν. ἅμα δέ, καὶ περιουσία δυνάμεως καὶ σοφίας Θεοῦ καταφαίνεται, τὰ θνητὰ ποιοῦντος ἀθάνατα, καὶ μήτε τὸ θνητὸν ἡμᾶς ἀγνοεῖν, μήτε ἐν αὐτῷ διαμένειν συγχωροῦντος, ἥ φησί τις τῶν καθ' ἡμᾶς σοφῶν. ἡ τοίνυν λύσις τῶν αἰσθητῶν, οὐ διηνεκῆ φθορὰν εἰσάγει τῷ παντί· ἦν γὰρ ἄν, Θεοῦ ἀλλότριον ἦν τὸ γινόμενον, καὶ οὐ παρὰ ἀγαθοῦ· ἀλλ' ἐμηχανήσατο ἡ μεγάλη καὶ παμποίκι- C λος τοῦ Θεοῦ σοφία, διὰ τῆς λύσεως τῶν ἀνθρωπίνων σωμάτων, καταλῦσαι τὴν φθοράν, ἣν εἰσενήνοχεν ἡ κακία, καὶ τῆς ἀθανασίας μεταδοῦναι τοῖς θνητοῖς· ὡς ἂν οἱ ἄνθρωποι μετὰ τὴν πεῖραν τῆς φθορᾶς καὶ τῆς διαλύσεως, μισοῖεν τὴν αἰτίαν τῆς διαλύσεως· αἰτίαν δὲ ταύτης τὴν κακίαν ἐλέγομεν. ἔτι δὲ αὖ καὶ μανθάνειν ἔχοιμεν διὰ τῆς τοῦδε τοῦ παντὸς λύσεώς τε καὶ ἀναπλάσεως, καὶ τῆς ἀμφιλαφεστέρας μεταβολῆς, ὡς αὐτός ἐστιν, ὁ καὶ τὴν ἀρχὴν δημιουργήσας τὰ μεγέθη καὶ κάλλη τῶν ὁρωμένων· καὶ ὡς ἔ- D δει διὰ τῆς αὐτῶν θεωρίας, τὸν ἀριστοτέχνην ἀγασθῆναί τε καὶ θαυμάσαι, καὶ μὴ τοῖς παρ' αὐτοῦ πεποιημένοις τὴν θεολογίαν ἀνάψαι διὰ τὸ κάλλος καὶ τὴν εὔρυθμον συμφωνίαν καὶ ἁρμονίαν. οὕτω τε δικαιότατα κολάσει τοὺς θεολογοῦντας αὐτοῦ τὰ ποιήματα, καὶ τὴν μόνην αὐτοῦ δεσποτείαν ἀρνουμένους, καὶ συναΐδιον εἶναι τῷ μόνῳ ἀϊδίῳ τὸν κόσμον μυθολογοῦντας, καὶ τὴν κτίσιν ἐπανισοῦντας τῷ κτίσαντι, ἥ φησιν ὁ μέγας τῆς ἀληθείας διδάσκαλος Γρηγόριος. B. Καλῶς λέγεις, καὶ ἀνακεφαλαιωσάμενος ἐκ παραθέσεως, τὴν διαφορὰν ἔδειξας τῶν E δοξασμάτων, καὶ ὅσον τὸ φῶς τοῦ σκότους διενήνοχε, τοσοῦτον τὰ ὑμέτερα δοξάσματα τῶν Ἑλληνικῶν μυθολογημάτων. τοῦτο δέ μοι, ὦ μακάριε, σαφηνισθῆναι γλίχομαι καὶ ἀντιβολῶ. A. Χαρίζῃ μοι, ὦ 'γαθέ, ὅ, τι καὶ βούλει πυνθανόμενος. B. Τὸν Θεόν, αὐτεξούσιον πεποιηκέναι τὸν ἄνθρωπον ἔλεγες. A. Ναί. B. Καὶ νόμον αὐτὸν εἰληφέναι παρὰ τοῦ δημιουργοῦ· ὕστερον δὲ ἀφροντιστῆσαι τοῦ νόμου καὶ καταλιγωρῆσαι τοῦ νομοθέτου;

A Nihil enim eorum quæ propter se à summo bono confecta sunt, perpetuo corruptioni tradetur. Breuis autem corruptio, beneficij erga res rationis participes causa inducta est à summo bono, ne immorralia cogitemus, vtque simul ex earum non diuturna corruptione & transformatione discerent naturæ intelligentes se non necessitate suæ naturæ, sed largitate opificis esse immortales, & neque secundæ sortis inopia in prima esse collocatas, vt in primum principium, & solum summum ipsum bonum & vnum intuerentur, ac nunquam satiarentur, contemplatio- B ne sui benefactoris, amarent regi, & illustratione diuina perfrui, odióque haberent anarchiam. Simul autem excedens Dei potentia & sapientia conspicitur, qui mortalia efficit immortalia, nec concedit, vt nostram mortalitatem penitus ignoremus, aut vt in ea permaneamus, quemadmodum prodidit aliquis nostrorum sapientum. Quare eorum quæ sensu percipiuntur, dissolutio non perennem interitum vniuerso affert. Sic enim id quod fit, alterum à Deo esset, neque à summo bono procederet: sed ratio- C nem inuenit ingens illa & varia Dei sapientia qua per dissolutionem humanorum corporum tolleret interitum, quem malum introduxit, & immortalitatem communicaret cum mortalibus, vt homines post experientiam interitus & dissolutionis odio haberent causam dissolutionis, quam malum esse dicebamus. Præterea & possent intelligere ex huius vniuersi dissolutione, & reformatione, & communiore atque frequentiore mutatione ipsum esse, qui principio condidit eorum quæ cernuntur, magnitudines & species, ac oportere horum contem- D platione præstantissimum opificem suspicere, & admirari, neque iis quæ ab ipso procreata sunt, diuinitatem attribuere propter pulchritudinem, & consonantiam, & concentum apprimè congruentem. Sicque iustissimè puniet eos, qui ipsius opificia consecrant, & dominationem ipsius solam negant, ac fabulantur mundum esse coæternum ei cui soli æternitas conuenit, rémque procreatam opponunt procreatori, quemadmodum ait magnus ille veritatis assertor Gregorius. B. Rectè narras, ex comparatio- E ne summatim omnia recensens, differentiam aperuisti opinionum, & quantum lumen à tenebris differat, tantum interesse inter vestras sententias, & fabulas paganas, docuisti. Sed istud, fortunate homo, mihi quoque declarari aueo & rogo. A. Mihi rem gratissimam feceris, bone vir, si quicquid tuæ voluntati sedebit, perconteris. B. Deum suæ potestatis fecisse hominem dicebas? A. Maximè. B. Et legem ab opifice accepisse, sed eam neglexisse, contempsisséque legislatorem?

De libero hominis arbitrio.

A. Equidem. B. Ac eam causam esse narrabas dissolutionis? A. Ita est. B. Quid igitur, bone vir, necessarium fuit exornare naturam libertate, & liberum arbitrium impartire, per quod ipsa attrahenda erat ad interitum, & istud vniuersum secum simul attractura: aut quo pacto cum neglectu legis, quam causam esse dicebas dissolutionis, posteriorem vniuersitatis opificio Deus ante perciperet, corruptibilem faciebat mundum? A. Sciebat prænoscendi facultate opifex hominem contempturum suam legem, foréque mortalem, sicque anticipans mortalem ipsi præparauit mundum accommodatum domicilium. Ego autem tibi causam cur factus sit homo suæ potestatis, respondebo: sed si quid aliud habes, interroga. B. Explicato quamprimum quod propositum est. A. Faciam. Creator bonus cùm sit, imo vero ipsa bonitas, summúmque bonum, primò vult non necessitatibus subiici naturam nostram, more brutorum, vt quocumque impulsa fuerit, trahatur: deinde bonum nostrum esse non è naturæ nexu, vt vbi virtutis opera & præclara volentes gesserimus, laude & præmiis digni simus. Coactum enim bonum ipsi gratum non est, sed quod consilio & delectu geritur. Túne seruum tuum verberonem, & vinctum, tamen laudes si quando aliquid eorum quæ iussa sunt, præstiterit? an cum nulla necessitate iniecta nec flagro, nihil prætermittit eorum quæ ratione seruilis conditionis debet efficere, neque aduersum ea quæ ipsi imperantur, aggreditur, sed promptè cum animi voluptate famulatur? B. Planè posterius amplector ac recipio. A. Quidni igitur creator posteriori insistat, illúdque amplectatur, solam nostram bene agendi rationem expetens, ac istam solam è nobis voluptatem capiens, vt saluemur, quemadmodum ait insignis ille & diuinus Clemens. Itaque qui tollunt liberum arbitrium, & incusant creatorem quod non fecerit nos consilij & electionis expertes, nihil aliud quàm brutum impetum, & naturam præferunt rationis participi, inuoluntariam motionem præponentes voluntariæ motioni, & virtuti ratione & consilio præditæ & instructæ, ac propemodum ægre ferentes quod non pecora & simiæ, cameli, & asini nati sunt. B. Heus ô beate, me asinum certè & simiam, & camelum, & brutæ naturæ notas propter huiusmodi quæstionem fecisti. A. Iocaris, bone vir, ego verò existimabam non esse prudentis virique intelligentis in tam magnis ludere. B. Vrbanitatem affectans istud dicebam, non iocans. Nam ea quæ dicebantur, sat intelligo, ac gratiam habeo summo opifici quod rationis participem meique arbitrij procreauerit. Incusabo autem non ipsum quidem: quid enim homo incusauerit sapientem, penitusque bonum, & probum?

Voluptas Dei quæ.

A A. Πάνυ γε. B. Καὶ ταύτην αἰτίαν ἔφης τῆς λύσεως; A. Καὶ γὰρ οὕτως ἔχει. B. Τίς οὖν, ὦ 'γαθέ, ἀνάγκη τιμῆσαι τὴν φύσιν ἐλευθερίᾳ, καὶ τὸ αὐτεξούσιον δοῦναι δι' οὗ ἔμελλεν εἰς φθορὰν καταστρέφεσθαι, καὶ τόδε τὸ πᾶν συνεφέλκεσθαι. ἢ πῶς τῆς ὀλιγωρίας τοῦ νόμου, ἣν καὶ αἰτίαν ἔφης τῆς λύσεως, δευτέρας οὔσης τῆς τοῦ παντὸς δημιουργίας, αὐτὸς προλαβών, φθαρτὸν ἐποίει τὸν κόσμον; A. Ἤδει, ὦ 'γαθέ, τῇ προγνωστικῇ δυνάμει ὁ δημιουργὸς, ὡς ὀλιγωρήσει τοῦ νόμου καὶ ἔσται θνητὸς ὁ ἄνθρωπος. καὶ φθάσας θνητὸν αὐτῷ κατεσκεύαζε κόσμον ἐπιτήδειον ἐνδιαίτημα. B ἐγὼ δέ σοι καὶ τοῦ γενέσθαι τὸν ἄνθρωπον αὐτεξούσιον τὴν αἰτίαν ἀποκρινοῦμαι. σὺ δὲ εἴ τι ἕτερον ἔχεις, πυνθάνου. B. Φάθι τέως τὸ προτεθέν. A. Φημὶ ὁ δημιουργὸς, ὦ φιλότης, ἀγαθὸς ὢν, μᾶλλον δὲ ἡ αὐταγαθότης καὶ τ' ἀγαθὸν, βούλεται μὴ ἀνάγκαις ὑποκεῖσθαι τὴν φύσιν τὴν ἡμετέραν, δίκην ἀλόγων, ἧπερ ἂν ἄγοιτο συνεπομένην· πρὸς δὲ καὶ τὸ καλὸν ἡμέτερον εἶναι. οὐ γὰρ δὴ τοῦ δεσμοῦ τῆς φύσεως, ἵνα τὴν ἀρετὴν ἑκόντες ἐργαζόμενοι καὶ τὰ καλὰ, ἐπαίνων τε καὶ ἄθλων ἀξιώμεθα. C οὐ γάρ τὸ ἠναγκασμένον καλὸν, αὐτῷ φίλον, ἀλλὰ τὸ ἐκ προαιρέσεως γεωργούμενον. ἢ σὺ τὸν οἰκέτην τὸν σαυτοῦ, μαστιγίαν ὄντα καὶ δεσμώτην ἐπαινέσεις, εἴπου τι τῶν κελεύεται, διαπράττεται, ἢ ὅταν μηδεμιᾶς ἀνάγκης ἐπικειμένης, καὶ μάστιγος, μηδενὸς ἀπολιμπάνοιτο τῶν τῆς δουλείας ἔργων, μηδὲ κατόπιν ἴοι τῶν σῶν προσταγμάτων· ἀλλὰ προθυμίας ὑπὸ δουλεύοι σὺν ἡδονῇ; B. Δῆλον, ὦ 'γαθέ, ὡς τὸ δεύτερον ἄγαμαί τε καὶ ἀσπάζομαι. A. Οὐκοῦν, ὦ μακάριε, καὶ ὁ δημιουργὸς τῷ δευτέρῳ ἥδεται, καὶ τοῦτο ἀσπάζεται, D μόνης τῆς ἡμετέρας εὐπραξίας γλιχόμενος· καὶ τοῦτο μόνον ἀπολαύων ἡμῶν ᾧ σωζόμεθα· ὥς φησι Κλήμης ὁ κλεινὸς καὶ θεσπέσιος. οἱ τοίνυν τὸ αὐτεξούσιον ἀναιροῦντες, καὶ ὅτι μὴ γεγόνασιν ἀπροαίρετοι τὸν δημιουργὸν καταιτιώμενοι, οὐδὲν ἕτερον ἢ τὴν ἄλογον ὁρμὴν τε καὶ φύσιν προτιμῶσι τῆς λογικῆς, τὴν ἀκούσιον φορὰν προτιθέντες τοῦ ἑκουσίου κινήματος καὶ τῆς λογικῆς ἀρετῆς· καὶ μονονουχὶ χαλεπαίνοντες ὅτι μὴ θρέμματα καὶ πίθηκοι κάμηλοί τε καὶ ὄνοι γεγόνασιν. E B. Ἰοὺ, ὦ μακάριε, ὡς ὄνον με καὶ πίθηκον καὶ κάμηλον καὶ τὰ τῆς ἀλογίας γνωρίσματα, διὰ τὴν ἀπορίαν πεποίηκας. A. Παίζεις, ὦ 'γαθέ· ἐγὼ δὲ ᾤμην μὴ πρὸς φρονίμου εἶναι, καὶ ἀνδρὸς συνετοῦ τὰ οὕτω μεγάλα διαπαίζειν. B. Χαριεντιζόμενος ἔφην, ὦ μακάριε· οὐ γὰρ δὴ παίζων. ἐγὼ γὰρ ξυνίημι τῶν λεγομένων, καὶ χάριν οἶδα τῷ δημιουργῷ, ὅτι με λογικὸν καὶ αὐτεξούσιον εἶναι πεποίηκε. νεμεσήσω δὲ οὐκ αὐτῷ. τί γάρ καὶ νεμεσήσειεν ἄνθρωπος τῷ σοφῷ καὶ πανκάλῳ καὶ ἀγαθῷ;

ἀλλὰ γὰρ τῇ τῶν ἀνθρώπων ἀβουλίᾳ, οἳ, τὸ ἡδὺ προτιμῶντες τῆς ἀρετῆς, δελεαζόμενοι καὶ ἀμαθαίνοντες ὥσπερ ἂν εἴ τις ἀγαπῴη τὸ κνήθεσθαι, καὶ ὑπὸ τῆς ἡδονῆς ἀπατώμενος, ὅλον διαξέοι τὸ σῶμα τοῖς ὄνυξι, τὰς ἐπομένας μὴ διανοούμενος ψώρας. A. Καλῶς λέγεις, καὶ ἁρμονίως ἔχει τὸ τῆς εἰκόνος. εἰ τι δὲ ἕτερον ἔχεις, πυνθάνου. B. Τουτὶ μόνον μοι τὸ ἀπόρημα περιλείπεται. πῶς τὰ τῶν ἀνθρώπων σώματα εἰς μυρίας μοίρας καὶ τομὰς, εἰ τύχοι, διαιρεθέντα, ὑπό τε θηρίων πολλάκις καὶ τῶν ἐν γῇ τε καὶ θαλάττῃ λυμαινομένων αὐτὰ, πολλάκις δὲ καὶ παμπὴν ἀναλωθέντα καὶ ἀπολωλότα λέγομεν ἀναβιώσεσθαι καὶ ἀναστάσεως τυχεῖν; A. Ἐγώ σοι τὸ πολυθρύλλητον τουτὶ ζήτημα διαλύσας, πέρας ἐπιθήσω τῷ διαλόγῳ, εἰ μή τι ἕτερον ἀπόρημά σου τὴν ψυχὴν διαταράττει. B. Τοῦτο μόνον ἐφεδρεύει τῇ ψυχῇ καὶ ἐγκάθηται. ὡς εὖ ἴσθι πολλῆς ἀδολεσχίας ἀπορημάτων καὶ πλάνης τὴν ἐμὴν ψυχὴν ἐξεκάθαρας. A. Αὐτῷ τῷ δημιουργῷ χάρις, ὦ 'γαθὲ, τῷ ταῦτα λέγειν δεδωκότι. προθυμήθητι οὖν καὶ τὸ δυνατὸν καὶ τὸ εὔλογον τῆς ἀναστάσεως τῶν σωμάτων πυθέσθαι. B. Λέγε, ἡδέως γὰρ ἂν ἀκούσαιμι. A. Τὰ τῶν ἀνθρώπων σώματα, ὦ 'γαθὲ, πρὸς βραχὺ γὰρ φυσιολογεῖν ἀναγκαῖον, ἐκ τίνων συγκεῖσθαι φήσομεν; B. Ἐκ τῶν τεσσάρων στοιχείων, καὶ ὁ τῶν φυσικῶν λόγος φησὶ, καὶ ἡ ἀλήθεια δείκνυσι. A. Ταῦτα δὲ διαλυόμενα εἰς τί χωρεῖν λέγομεν; ἆρ' οὐκ εἰς ἐκεῖνα ἐξ ὧν καὶ συνέστη; B. Πᾶσα ἀνάγκη. A. Τί τοίνυν θαυμαστὸν φαίνεται ἢ ξένον, εἰ ὁ δημιουργὸς, καὶ σοφὸς καὶ δυνατὸς καὶ πάντων τοὺς λόγους εἰδὼς, εἰς μυρία τμήματα καὶ μοίρας κατακερματισθέντα τῶν ἀνθρώπων τὰ σώματα, ἐκ τῶν τεσσάρων στοιχείων αὖθις συνάγει πρὸς ἁρμονίαν; ὁ γὰρ ταῦτα πρότερον συναθροίσας τε καὶ συναρμόσας, καὶ τινὰ κρᾶσιν ἀξιάγαστον καὶ ἀξιοθέατον ἐκ τῶν ἐναντίων ἁρμοσάμενος μόνῳ τῷ βουληθῆναι, ὁ αὐτὸς διαλυθεῖσαν τὴν ἁρμονίαν εἰς ἐκεῖνα ἐξ ὧν καὶ συνέστη, αὖθις καλέσει πρὸς ἀδιάλυτον συμφωνίαν. ταῦτα δὲ πράξει τῷ μεγάλῳ αὐτοῦ νεύματι. ἢ οὐχὶ πάντα τὰ ὄντα, τά τε ἄνω καὶ κάτω καὶ τὰ ἐν μέσῳ περιδέδρακται ἡ θεία φύσις καὶ περιείληφε; καὶ ἔξω τοῦ παντός ἐστι καὶ ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν; καὶ οὐδὲν κενὸν τῆς θείας δυνάμεως καὶ τῆς ὑπερουσίου οὐσίας τῆς μόνης ἀπεράντου, καὶ περιορισμὸν οὐκ ἀνεχομένης; ἄποσον γάρ τι θεότης καὶ ἀμέγεθες, ὡς ἀσώματον. B. Πάνυ γε. A. Εἰ τοίνυν τὰ πάντα πληροῖ, καὶ πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, ἥ φησι τὰ θεῖα λόγια, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, ποία δυσχέρεια ἢ πόνος ποῖος τῷ μακαρίῳ, τὰ ἐν τῇ χειρὶ αὐτοῦ εἰδέναι; ἢ σὺ ἀγνοεῖς, ἅπερ τῇ χειρὶ περιφέρεις; B. Οὐδαμῶς. A. Οὔτ' ἄρα ἀγνοεῖ ὁ δημιουργὸς καὶ σοφὸς τοὺς λόγους τῶν σωμάτων, ἢ τὴν ἐξ ἑκάστου στοιχείου ἀποληφθεῖσαν μοῖραν,

sed hominum amentiam, quod voluptatem præferant virtuti, illecti & inscientes, vt si quis optet pruritu vexari, & voluptate deceptus totum corpus vnguibus laceret, non cogitans & expendens secuturam impetiginem. A. Rectè se habet similitudo, & valde conuenit. Si quid verò habes aliud, interroga. B. Hæc mihi sola restat dubitatio. Quî hominum corpora in mille partes, & sectiones si ita contigerit, diuisa, & à feris bestiis, tam terrestribus quàm æqualitibus sæpe depasta, sæpe etiam penitus absumpta, dicimus reuictura, & resurrectionem adeptu-
B ra? A. Ego vbi tibi vulgatam hanc quæstionem diluero, finem imponam Dialogo, nisi aliqua alia dubitatio animum tuum conturbet. B. Hoc vnum insidet animo meo, & inhærescit. Nam mihi crede magna quæstionnm importunitate, & errore animum meum expurgasti. A. Ipsi summo opifici gratia, qui hæc dicere concessit: stude igitur id quod fieri potest consentaneúmque est, corporum resurrectionem cognoscere. B. Age, libenter istud audierim. A. Hominum corpora (paucis enim
C Philosophari necesse est) è quibusnam componi dicemus? B. E quatuor elementis Physicorum sermo & veritas ostendit. A. Hæc autem dissoluta quam in rem abire dicimus? Nónne in ea ex quibus constabant? B. Omnino necessarium. A. Quid igitur mirum videatur, quid stupendum, opifex & sapiens, & potens, qui & omnium rationes tenet, in mille segmenta & partes dissipara hominum corpora è quatuor elementis rursum redigit ad concentum? Qui enim ea prius coagmentauit, congre-
D gauit, & concinnauit, & aliquam temperationem admiratu spectatúque dignam è contrariis sola voluntate coaptauit, idem dissolutum concentum in illa è quibus constabant, reuocabit ad indissolubilem consonantiam & coniunctionem. Hæc autem faciet magno suo nutu. An non diuina natura omnia quæ sunt supera, infera, interiecta, comprehendit, & complectitur, éstque extra vniuersum, & in vniuerso, & supra vniuersum, nihilque diuina illa potentia, & omnibus superiori essentia vacuum est, quæ sola interminata
E est, neque patitur circunscriptionem? Nam Deitas quantitatis expers est, & magnitudinis, tanquam incorporea. B. Maximè. A. Si igitur omnia replet, & spiritus Domini repleuit orbem terrarum, vt quidem aiunt diuina oracula, & in manu ipsius fines terræ, qualis difficultas, aut qualis labor beato illi numini, ea quæ in manu ipsius sunt, cognoscere? Túne ignoras, si quid manu complectare? B. Minimè. A. Neque igitur opifex & sapiens corporum rationes ignorat, aut partem è quolibet elemento captam,

Sap 1,7

& in ipſum denuo reſolutam. Neque ſanè A præpotens humana corpora diſſoluta congregare non poterit. Præterea iſtud mihi conſidera, humanum hoc ſemen quod in mulieris vulua ſeritur, nonne guttam alicuius humoris eſſe dicis? B. Certè. A. Quis igitur exiguam illam partem humoris, & ſeminis genitalis corpus hominis efficit, & animo colligat, & facit animal rationis compos, mortale, & diſciplinæ capax? Nónne ſummus opifex? B. Sanè. A. Quid ergo tibi mirum videtur: ſi etiam hic rationes corporum poſt diſſolutionem cognoſcens, & B reditum in quatuor elementa, & ipſa eorum ſemina, velut ſapientia & potentia inſtructus opifex rurſum ea reuiuiſcere iubet? Ac ſic quidem ſub poteſtatem cadere reſurrectionem perſpicuum eſt. Audi præterea quod etiam conſentaneum eſt. Primum quidem opifex, vt nihil eorum quæ ab ipſo producta ſunt, à morte & interitu perpetuo ſuperetur, eſſe cuncta vult, atque adeo bene & ſemper eſſe: deinde nónne tibi videtur æquum, vt animæ præmia conſequantur, quæ præclarum hoc vitæ certamen peregerunt, & in hoc ſtadio curriculum bene cum corporibus cucurrerunt, cum quibus & vixerunt, & mille ſudores virtutis exantlarunt? C B. Æquum ſanè, & conſentaneum videtur. A. Rurſus autem vt eæ quæ improbè hanc vitam transfegerunt, & laxarunt quidem pennas à virtute, à multitudine autem intemperantiæ & voluptatum ſuperatæ ſunt, & ſarcinæ ponderi obſecutæ ſunt, ac deorſum ab equo malitiæ, & quæ in nobis ſunt ludicris impulſæ ſunt, oblitæ ſuæ immortalitatis & ſupernæ cognationis, & imaginis illius primæ, & incontaminatæ, cum corporibus in ſupplicij ſacrum ergaſtulum pergant, cum quibus praue corruptæ ſunt, D & fluuios igne ardentes, quos Plato commemorat, & Cocytum traiiciant: quæ ſacra oracula appellant fluuium ignis, & vermem inſomnem & gehennam & ignominiam perpetuam, & cuſtodiam, & ſupplicium, & cætera id genus? B. Etiam iſtud conſentaneum videtur. A. Expleta ſunt quæ nobis in diſputationem venerant. Proinde nunc tempus eſt vt mentem ad precem conuertamus, & celebremus huius vniuerſitatis conditorem atque opificem.

Dan. 7.
Dan. 12.

Peroratio. Domine & opifex huius vniuerſi, Pater, Verbum, & Spiritus ſancte, Diuina Trinitas, & trina atque ſancta vnitas: Pater principij expers, & ingenite, fili ſine principio genite, diuine ſpiritus procedens citra principium à Patre, Trinitas ineffabiliter in vnitatem relata, Vnitas inenarrabiliter in Trinitate adorata, neque comprehenſa, Trinitas increata, ſempiterna & conſubſtantialis,

Ἐντεῦθεν τοιγαροῦν ἡ ἄγνοια τοῦ παραφρόνος αἱρετικοῦ Σευήρου διαρρήδην ἐλέγχεται. ἐκεῖνος γὰρ ἐπειδή φησιν, Παῦλος μὲν ἐστιν ὑπόστασις, ἄνθρωπος δὲ φύσις, ὥσπερ Παῦλος ἄνθρωπος εἶναι λέγεται, οὕτω λεγέσθω καὶ ὑπόστασις φύσις. ἡμεῖς δὲ τὴν τοῦ ἀνοήτου κακόνοιαν ἀνατρέποντες ἀντεροῦμεν. κατὰ τοῦτον τὸν τρόπον, ὃν παρενέβαλες ὦ χαλίφρον, ἐπεὶ Παῦλος μὲν ἐστιν ἄτομον, ἄνθρωπος δὲ εἶδος, καθὼς τὸν Παῦλον ἄνθρωπον εἶναι φῂς, λέγε, καὶ τὸ ἄτομον εἶδος, καὶ τηνικαῦτα καθὼς τῷ Παύλῳ δίδως τὸν τοῦ ἀνθρώπου ὁρισμὸν, καὶ τοὔνομα, δώσεις καὶ τῷ ἀτόμῳ, τὸν τοῦ εἴδους ὁρισμὸν ὁμοίως, καὶ τοὔνομα, καὶ οὕτω φήσεις τὸ ἄτομον εἶναι τὸ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον, ὅπερ ἀκρότατον καθέστηκεν ἀφροσύνης, * οἱ παρὰ τοὺς ἄλλους αἱρετικοὺς ἐξαιρέτως ἁρμόζουσα. εἶτα καθὼς τὸν Παῦλον εἶναι φῂς οὐσίαν, ἥτις ἐστὶ γενικώτατον γένος, καὶ δίδως τῷ Παύλῳ τὸν τῆς οὐσίας ὁρισμὸν, τοῦτ' ἔστι τὸ εἶναι πρᾶγμα αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, λέγεται καὶ τὸ ἄτομον εἶναι γενικώτατον γένος, καὶ δὸς τῷ ἀτόμῳ τὸν τοῦ γενικωτάτου γένους ὅρον, καὶ τοὔνομα, τοῦτ' ἔστιν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπάνω βεβηκὸς γένος, καὶ τὸ, ἀεὶ γένος ὄν. τοῦτο δὲ τίνι φίλον ἂν εἴη, εἰ μὴ πάντῃ τῷ τῆς θείας ἀπηλλοτριωμένῳ χάριτος; ἐκ τούτων οὖν ἁπάντων ἀναγκαιότατα συνάγεσθαι τῷ νοῦν ἔχοντι, μὴ εἶναι τὴν ὑπόστασιν, φύσιν, μήτε μὴν οὐσίαν τὴν κατὰ πάντα τρόπον φερομένην τε, καὶ περιφέρουσαν, ὡς ἡ φύσις, τοῦτ' ἔστι, τὴν λογικήν. πάντα γὰρ ὅσα ἐστὶν ὁμοφυῆ, πάντως ἐστὶ καὶ ὁμοούσια, καὶ τοὔμπαλιν πάντα τὰ τῇ οὐσίᾳ διενηνοχότα, καὶ τῇ φύσει διενήνοχεν, ὥστε ταὐτόν ἐστι φύσις, καὶ οὐσία.

Δέον δὲ εἰδέναι ὡς τὰ πράγματα τοῖς ἑαυτῶν φιλοσοφικοῖς ὀνόμασιν οὐκ ἀριθμοῦνται κατὰ σύνθεσιν, ἀλλὰ τοῖς ἐφαρμόζουσιν αὐτοῖς λογικοῖς, οἷον εἰ βουλοίμεθα Πέτρον ἀριθμῆσαι, καὶ Παῦλον, καὶ Ἰωάννην. οὐ φαμὲν γὰρ ἀνθρώπους τρεῖς· ἕκαστος μὲν αὐτῶν ἐστιν ἄνθρωπος, ἄνθρωπος δὲ οὐκ ἔστιν οὐδεὶς τούτων. τὰ γὰρ ἐλάττω τῶν μειζόνων οὐ κατηγορεῖται, ἀλλὰ τὰ μείζω τῶν ἐλαττόνων. οὐκ ἔτι γὰρ ἂν εἴποις τὸν ἄνθρωπον εἶναι Πέτρον, ἀλλὰ τὸν Πέτρον εἴποις ἂν εἶναι ἄνθρωπον. εἰ τοίνυν Πέτρον, καὶ Παῦλον, καὶ Ἰωάννην εἴποις εἶναι τρεῖς ἀνθρώπους, ἠριθμηκὼς ἔσῃ ὃ μὴ προέθου καθυποβάλλειν ἀριθμῷ. προέφημεν γὰρ * τὸν ἄνθρωπον μὴ εἶναι μηδένα τούτων. εἰ δὲ καὶ αὐτοὺς τούτους εἶναι τρεῖς λέγοις, ἕκαστον αὐτῶν τρεῖς ἀριθμήσεις, ὥστε τοὺς τρεῖς εἰς ἐννέα πολυπλασιασθῆναι, ὅπερ ἀδύνατον. ἐντεῦθεν ἀναγκαίως εἰσφέρεται τὸ ἐφαρμόζον αὐτῶν ἑκάστῳ, λογικὸν ὄνομα, ὅ ἐστιν, ὑπόστασις,

ἄτομόν τε, καὶ πρόσωπον. καθὸ οἱ προστεθέντες ἀριθμηθεῖσαι ἀριθμῷ καθυποβληθήσονται, τρεῖς ὑποστάσεις, ἢ ἄτομα, ἢ πρόσωπα λεγόμενοι. κατὰ τοῦτον δὴ τὸν τρόπον ἀποδείκνυται μὴ εἶναι τὸν πατέρα, καὶ τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα τρεῖς Θεούς, εἰ καὶ τούτων ἕκαστος Θεός ἐστι τέλειος, ὥσπερ ἕκαστος ἐκείνων ἄνθρωπος τέλειος· ἀλλ' οὐ λέγονται τρεῖς ἄνθρωποι. ὁ πατὴρ τοίνυν, καὶ ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον τρεῖς εἰσιν ὑποστάσεις, ὥσπερ κἀκεῖνοι. ἐκ δὴ τούτου, γνωσόμεθα σαφῶς, δεῖν ὁμολογεῖσθαι τὸν Χριστὸν εἶναι μίαν ὑπόστασιν ἐν δυσὶ φύσεσιν. ἔστι B γὰρ ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἀΐδιος υἱὸς ὁ σαρκωθείς, τοῦτ' ἔστιν, ἡ μία τῆς ἁγίας τριάδος ὑπόστασις σεσαρκωμένη. καὶ αὕτη ἡ ὑπόστασις, ἤγουν ἀΐδιος υἱός ἐστιν ὁ αὐτὸς Θεὸς ὁμοῦ, καὶ ἄνθρωπος. βουλόμενος τοίνυν ἀριθμῆσαι Θεόν, καὶ ἄνθρωπον, ὅ ἐστιν ἀΐδιος Θεός, τοῦτ' ἔστιν ἡ μία ὑπόστασις, οὐ δυνάσαι τούτους εἰπεῖν ὑποστάσεις εἶναι δύο. οὔτε γὰρ ὁ Θεὸς ὄνομα, οὔτε τὸ ἄνθρωπος ὑπόστασιν σημαίνει. ἡ μὲν ὑπόστασις οὐδενὸς ὅλως κατηγορεῖται, ὥστε οὐκ ἔστιν οὐδὲν τούτων ὑπόστασις. οὔτε μὴν C ἔοικεν εἰπεῖν τὸν Θεόν, καὶ τὸν ἄνθρωπον δύο γένη. ἐπειδήπερ ἕκαστον γένος * ἰδίων κατηγορεῖται. τούτων δὲ οὐδὲν κατηγορεῖται ἰδίων. ἀλλ' οὐδὲ δύο εἴδη ἁρμόζει αὐτοὺς λέγεσθαι. ἕκαστον γὰρ αὐτῶν ὑπὸ γένος τάττεται. Θεὸς δὲ οὐχ εἰς γένος ὑποταχθήσεται, ὡς ἔχει ἄνθρωπος. διὸ κυριώτερόν ἐστιν ἀριθμῆσαι ταῦτα δύο φύσεις, καὶ δύο οὐσίας. ἑκάτερον γὰρ αὐτῶν, καὶ φύσις ἐστίν, καὶ οὐσία τοῖς ὧν κατηγορεῖται. οὐκ ἔχει γὰρ οὐδὲν τῶν ὑφ' ἑκατέρων τούτων συστατικὰς διαφοράς, ἤγουν οὐσιώδεις, καὶ D φυσικάς, ὥστε φύσις, καὶ οὐσία * τῶν καθ' ὧν κατηγορεῖται, ἑκάτερον εἶναι.

Διὰ πολλῶν οὖν ἀποδέδεικται, μὴ εἶναι τὴν ὑπόστασιν φύσιν, μήτε μὴν οὐσίαν τὴν λογικήν, τὴν κατὰ πάντα τρόπον περιθέουσαν, ὡς ἡ φύσις. ἐπειδὴ δὲ ἡ ὀρθοδοξία φησί, μὴ εἶναι τὴν φύσιν ὑπόστασιν μίαν τῶν καθ' ὧν κατηγορεῖται, μήτε ὅλας τὰς ὑποστάσεις, ὅσαι ἂν ὑπ' αὐτὴν εἶεν, οἷον ἡ θεότης, ἤγουν ὁ Θεός, οὐκ ἔστι πατήρ. εἰ γὰρ ἐστὶ πατήρ, πάντως οὐκ ἦν ὁ υἱὸς Θεός. οὐ γὰρ ἀντιστρέφει ἡ κατηγορία, ὡς πᾶσιν εὔδηλον. ὅτι ὁ πατὴρ μέν ἐστι Θεός· Θεὸς δὲ οὐ πάντως ἐστὶ πατήρ· καὶ ὁ υἱός, Θεός ἐστιν. ὡσαύτως καὶ τὸ πνεῦμα τὸ ἅγιον. ὥστε Θεὸς οὐκ ἔστιν οὐδὲν τῶν τριῶν τούτων. ἀλλ' οὐδὲ ὅλα τὰ τρία ἐστὶ Θεός. εἰ γὰρ Θεὸς πατήρ ἐστιν, υἱός τε, καὶ ἅγιον πνεῦμα, πάντως πᾶν ὂν Θεός, ἐστὶ πατήρ, καὶ υἱός, καὶ ἅγιον πνεῦμα. ἀλλ' ἕκαστος τούτων Θεὸς ὑπάρχων τέλειος, οὐκ ἔστιν ἄλλα τὰ τρία. καὶ τοῦτο σαφές τε καὶ ἐναργὲς τοῖς γε νοῦν ἔχουσι.

A individuum, & persona, quatenus propositi erant, vt numerarentur, ita vt dicantur tres hypostases, vel indiuidua, vel personæ. in hunc modum demonstratum est, non esse Patrem, & Filium, & Spiritum sanctum tres deos, & si vnusquisque horum est Deus perfectus, sicut vnusquisque illorum est homo perfectus, non tamen dicuntur tres homines. Pater igitur, & Filius, & Spiritus sanctus tres hypostases sunt, sicut illi * ex his cognoscemus manifestè confitendum esse Christum esse vnam hypostasim in dua- B bus naturis. est enim Christus æternus Dei Filius, qui incarnatus est, id est, vna hypostasis sanctæ Trinitatis incarnata: & hæc hypostasis, æternus scilicet filius est idem Deus simul & homo. quare qui vult numerare Deum & hominem, quæ sunt æternus filius, id est, vna hypostasis, non potest dicere esse hos duas hypostases. nec enim nomen Deus, neque nomen homo hypostasin significat. hypostasis enim de nullo omnino prædicatur. quare nihil horum est hypostasis. neque C videtur licere dicere Deum & hominem duo genera, siquidem vnumquodque genus de speciebus prædicatur, quod hîc non fit. neque conuenit dicere eos duas species. vnaquæque enim species sub genere collocatur. Deus autem non habet genus, sub quo collocandus sit, sicut habet homo. quamobrem magis proprium est, numerare hæc duas naturas, & duas substantias. vtrumque enim eorum est & natura, & substantia iis de quibus prædicatur. nihil enim sub vtroque D horum habet constitutiuas differentias, vel substantiales & naturales, vt sit natura, & substantia vtrumque eorum, de quibus prædicatur.

Demonstratum igitur est pluribus non esse hypostasim naturam, neque substantiam logicam, quæ omnibus modis circuit, sicut natura. * Quia verò orthodoxa doctrina dicit non esse naturam, hypostasim vnam eorum de quibus prædicatur, neque vniuersas hypostases, quæ sub ipsa sunt, vt Deitas, id est Deus, non est Pater, si enim Deus est Pater, profectò non erit Filius E Deus. non enim reciprocatur prædicatio, vt omnibus patet. quia Pater quidem est Deus, Deus autem non est omnino Pater. & Filius similiter est Deus, & Spiritus sanctus similiter. quare Deus, nullus est horum trium. immo neque Deus vniuersa tria est. si enim Deus est Pater, Filius, Spiritus sanctus, omnino omne quod est Deus, erit Pater, & Filius, & Spiritus sanctus, immo vnusquisque horum Deus perfectus cùm sit, non est vniuersa tria, idque manifestum est, & apertum omnibus, qui mentem habent.

Est dispar ratio, quia in diuinis est vna numero natura in tribus personis. In proposito autem sunt tres numero distincta natura humana in tribus personis.

* κατ' εἰδῶν

* τὸ

* *Quæ hoc loco Theodorus disputat,* ἀρίστῃ γνώμῃ, candido animo, *interpretari decet. nam Deitas tota est in Patre; & sic perfectus Deus est: sed quia in illo non est* totaliter, *hoc est, ita, vt in Filio & Spiritu sancto non sit; ideo dicit Theodorus, Patrem non esse Deum* πάντως, *hoc est,* ὁλικῶς, totaliter, *siue,* solùm, *cum exclusione Filij & Spiritus sancti. Et quod de Patre affirmat, idem de Filio & Spiritu sancto asserit. Nam sicut anima tota est in digito, sed nō* ὁλικῶς, *quia simul est*

in capite aliisque corporis mẽbris, ita & natura diuina tota est in Patre; sed nõ ὁλικῶς hoc est, nõ solùm. & huic fundamento inædificat Theodorus totum hunc suum discursum. Cui venia danda; quia boni sensus capax est, si in bonam mentem incidat. Nam liuidus nõ mouebitur Theodorus: cui persuasum fuit, nescio ex qua phantasia potius quàm Philosophia, naturam, quæ ab vno solo nõ participaretur, non posse dare nominationem subiecto. Hinc suprà Petrum, Paulum, Ioãnẽ, tanquam tres homines numerari posse negauit: quæ sensu quodam vera sunt; quia tres non sunt, spectando naturam specificè: Tres sunt spectando eandem naturam secudum indiuiduam rationẽ prout spectari debet. Sic quando Theodorus dicit, neque tres personas esse Deum, ὁλικῶς nimirũ totaliter & adæquatè, nõ loquitur collectiuè, sed distributiuè: quia vt nec Pater, ita nec Filius, aut Spiritus sanctus est Deus ὁλικῶς, id est, solus, exclusis

A Obiiciunt autem nobis orthodoxis Seueriani hæretici imprudentissimi quæstiones quasdam subuertentes, quas nos in medium producemus, & adiuuante Deo dissoluemus, & futiles esse demonstrabimus. dicunt ergo nobis illi, si Deum dicitis non esse hæc tria; dicite, Deus est res, an non? Si nos respondemus rem esse Deum, rursus dicunt, tres hypostases non sunt res? cum nos concedimus esse tres res, colligunt contra nos; igitur secundum vos, Deus, & Pater, & Filius, & Spiritus sanctus, quatuor res numerantur, atque ita conuicti estis negare Trinitatem; & quaternitatem pro Trinitate introducere. Nos B verò respondemus istis, ignorantes rectam viam demonstrationis, fallaces istas conclusiones vomitis. ignorant enim quod omnis res, quæ alteram perficit, non connumeratur cum ea, quam perficit: verbi gratia, aurum nummi, non est ipse nummus: aurum enim quatenus aurum est, non habet signum nummi, & res est aurum; & nummus, alia rursus res est. quare aurum, quod alioqui res est præter nummum, non numeratur cum nummo, ex quo fit, vt non dicantur C hæc duæ res. nec oportet hæc cum coniunctione efferre. durum enim, & nimis inscitum est, dicere nummum & aurum. idem intelligendum est in Paulo, & corpore eius. nec enim Paulus corpus suum; neque corpus Pauli est Paulus. tamen Paulus res est, & corpus Pauli res item est, sed non numeratur Paulus cum corpore suo, vt sint duæ res. Quare hoc? quia Paulum suum corpus perficit. igitur quia deitas vnamquamque hypostasim perficit, de qua prædicatur, non numeratur D cum tribus hypostasibus, vt sit ipsa deitas & illæ hypostases quatuor res, vt hæretici somniant.

Aliam præterea quæstionem hæretici contra orthodoxam veritatem proferunt. sic enim aiunt, dicitis ne æternum Filium esse rem, an non? deinde cùm respondemus, rem esse, rursus interrogant: Corpus æterni Filij animatum, & intelligens; an non dicitis esse rem? cùm respondemus esse, statim contra nos concludunt, igitur E numeratis æternum Filium cum proprio corpore. hoc dicunt, vt nos vtrinque, quoad fieri potest, hamis aranearum captos in absurdam blasphemiam compellant, aut in propriam sententiam trahant. Si enim dicamus, duas res esse Filium æternum, & corpus eius animatum, & mente præditum, continuo condemnabunt nos, tanquam qui quatuor res in alto throno diuinitatis fundemus, quod est negare Trinitatem. sin autem Filium,

A Προβάλλονται δὲ καθ' ἡμῶν τῶν ὀρθοδόξων οἱ Σευηριανοί, οἱ λίαν ἄφρονες αἱρετικοί, αἱρετικά τινα προβλήματα, ἅτινα προσαγαγόντες εἰς μέσον, ἀνασκευάσομεν σὺν Θεῷ, ὡς σαθρά, καὶ εὐδιάλυτα. ἐρωτῶσιν ἡμῖν οἱ ματαιόφρονες, εἰ τὸν Θεὸν φατὲ μὴ εἶναι τὰ τρία ταῦτα, εἴπατε λοιπόν, Θεὸς πρᾶγμά ἐστιν, ἢ οὐκ ἔστιν; ἀποκρινομένων δὲ ἡμῶν, τὸν Θεὸν εἶναι πρᾶγμα, πάλιν ἐρωτῶσιν, αἱ τρεῖς ὑποστάσεις δὲ οὐ τρία πράγματα; συγκατατιθεμένων οὖν ἡμῶν, καὶ αὐτὰ εἶναι πράγματα, συνάγουσι καθ' ἡμῶν λέγοντες· ἄρα καθ' ὑμᾶς ὁ πατήρ τε, καὶ υἱός, καὶ ἅγιον πνεῦμα τέσσαρα ἀριθμοῦνται B πράγματα, καὶ οὕτως ἐλέγχεσθε, τὴν μὲν τριάδα νοούμενοι, τετράδα δὲ ἀντιφέροντες. ἡμεῖς δὲ τούτοις ἀποκρινόμεθα, μὴ εἰδότες, ὦ οὗτοι, τὴν ἀληθινὴν τῆς ἀποδείξεως ὁδόν, ἐμεῖτε τοὺς παραλογισμοὺς τούτους, ἀγνοοῦντες, ὡς πᾶν πρᾶγμα τελειωτικὸν ἑτέρου πράγματος οὐ συναριθμεῖται τῷ ὃ τελειοῖ πράγματι. ὁ χρυσὸς τοῦ νομίσματος, οὐκ αὐτὸ τὸ νόμισμά ἐστιν. ὁ χρυσὸς, καθ' ὃ χρυσός ἐστιν, οὐκ ἔχει τὸν τοῦ νομίσματος χαρακτῆρα. καὶ ἰδοὺ πρᾶγμα καθέστηκεν ὁ χρυσὸς· τὸ νόμισμα πρᾶγμα πάλιν ἐστὶν ἕτερον. ὁ χρυσὸς οὖν πρᾶγμα πεφυκὼς παρὰ τὸ νόμισμα, οὐ συναριθμεῖται C τῷ νομίσματι· ὅθεν οὐ λέγονται ταῦτα δύο πράγματα, ἀλλ' οὐδὲ χρὴ ταῦτα σὺν τῷ συμπλεκτικῷ συνδέσμῳ προφέρεσθαι. σκαιότης γάρ, καὶ ἀμαθία πολλὴ τὸ λέγειν, νόμισμα, καὶ χρυσός. ταὐτὸ δὲ ἐστι περὶ παύλου, καὶ τοῦ ἰδίου σώματος. οὔτε γὰρ παῦλος τὸ σῶμα αὐτοῦ, οὔτε τὸ σῶμα παύλου, ἐστὶν παῦλος. παῦλος μέντοι πρᾶγμά ἐστι, καὶ τὸ σῶμα παύλου πρᾶγμά ἐστιν, ἀλλ' οὐ συναριθμεῖται παῦλος τῷ ἰδίῳ σώματι, ὥστε εἶναι τὰ δύο, δύο πράγματα. τίνος ἕνεκεν; ἐπειδὴ τὸν παῦλον τὸ ἴδιον σῶμα τελειοῖ. * τῶν ὑπο-D στάσεων, καθ' ὧν κατηγορεῖται, οὐ συναριθμεῖται ταῖς τρισὶν ὑποστάσεσιν, ὥστε εἶναι αὐτὴν κἀκείνας τέσσαρα πράγματα, ὡς ὀνειρώττοντές φασιν οἱ αἱρετίζοντες.

Καὶ ἄλλα δὲ προσφέρουσι κατὰ τῆς ὀρθοδοξίας οἱ αἱρετικοί, πρόβλημα τοιοῦτο λέγοντες. τὸν ἀΐδιον υἱὸν φατὲ πρᾶγμα εἶναι, ἢ οὔ; εἶτα λεγόντων ἡμῶν, αὐτὸν εἶναι πρᾶγμα, ἐπερωτῶσιν αὖθις, καὶ τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα τὸ ἔμψυχόν τε, καὶ νοερόν, οὐ πρᾶγμα εἶναι λέγετε; συγκατατιθεμένων οὖν ἡμῶν εἶναι καὶ αὐτὸ πρᾶγμα, εὐθέως E συμπεραίνουσι καθ' ἡμῶν· ἄρα συναριθμεῖτε τὸν ἀΐδιον υἱὸν τῷ ἰδίῳ σώματι, λέγοντες ὅπως ἡμᾶς ἑκατέρωθεν, ὡς οἷόν τε, δήσαντες ἀραχνίοις ἱμᾶσιν, ἤτοι βάλοιεν εἰς βλασφημίας ἀτόπημα, ἢ εἰς τὸ ἴδιον ἐφελκύσωνται φρόνημα. εἰ γὰρ δύο πράγματα, τὸν ἀΐδιον υἱὸν καὶ τὸ ἔμψυχον αὐτοῦ, καὶ νοερὸν αὐτοῦ σῶμα φαμέν, αὐτίκα καταγινώσκουσιν ἡμᾶς ὡς τεσσάρων πραγμάτων ἐφίδρυσιν ἐν τῷ τῆς θείας ὑψηλῷ θρόνῳ τιθέντας, ὅπερ ἐστὶ τῆς τριάδος ἄρνησις. Εἰ δὲ τὸν υἱ-

καὶ τὸ ἴδιον αὐτοῦ σῶμα μὴ εἶναι) δύο πράγματα λέγομεν, αὐτίκα προφέρουσιν ἡμῖν φάσκοντες. μὴ ὄντων τούτων δύο πραγμάτων, πῶς ὑμεῖς τὸν Χριστὸν λέγετε δύο φύσεις; οἷς ἐροῦμεν, ὡς ἡμεῖς τὸν ἀΐδιον υἱὸν οὐ συναριθμοῦμεν τῷ ἰδίῳ σώματι, ὥστε λέγειν ἐκεῖνα δύο πράγματα· ἐπεὶ τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα ὑποστατικὸν αὐτοῦ, καθέστηκεν τρόπον τινὰ τελειοῦν αὐτόν, καθώς ἐστιν ἄνθρωπος. ἅπαν γὰρ πρᾶγμα τελειοῦν ἕτερον πρᾶγμα, ἢ ὡς γένος, ἢ ὡς διαφορά, ἢ ὡς φύσις, ἤγουν οὐσία, ἢ ὡς ὂν ὑποστατικὸν τελειοῖ, καὶ ὑφιστάνον ἐκείνου ἐστίν. ὑποστατικὸν οὖν ὑπάρχον τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα, εἰ 3 καὶ μὴ τελειοῦν αὐτὸν ἁπλῶς ἤγουν κυρίως λέγεται, οὐδαμῶς αὐτῷ συναριθμεῖται παντάπασιν, ἀλλ᾿ οὐκ ἐντεῦθεν ἀφαιρετέον ἐν τῷ Χριστῷ λέγεσθαι δύο φύσεις. ἡμεῖς γὰρ οἱ ὀρθόδοξοι, οὐ τὸν ἀΐδιον υἱὸν τῷ ἑαυτοῦ συναριθμοῦντες ὑποστατικῷ σώματι, δύο φύσεις φαμέν, ἀλλὰ τὴν θεότητά τε, καὶ ἀνθρωπότητα δύο φύσεις ἀριθμοῦμεν. τάχα δέ τις ἐντεῦθεν ἐπισκήψας φήσειεν· ἆρα οὖν ἐστὶν ἡ τοῦ δεσπότου ἀνθρωπότης οὐκ αὐτὸ πέφυκεν τὸ ἴδιον αὐτοῦ σῶμα τὸ ἔμψυχόν τε, καὶ νοερόν; πρὸς ὃν ἀποφησόμεθα οὐκ εἶναι. ἐπειδὴ ἡ τοῦ Χριστοῦ ἀνθρωπότης, πάντων ἡμῶν τῶν ἀνθρώπων καθέστηκεν. τὸ γὰρ ἔμψυχον αὐτοῦ, καὶ νοερὸν σῶμα αὐτοῦ μόνου διαφερόντως ἐστίν.

Εἰ δέ τις πρὸς ταῦτα διαμάχοιτο, εἰς τὸ δυοῖν θάτερον μεγάλ᾿ ἀτοπίαις ἐμπεσεῖται. ἤτοι γὰρ εἰπεῖν ἀναγκασθήσεται, τὴν τοῦ Χριστοῦ ἀνθρωπότητα, μὴ εἶναι τὴν πάντων ἡμῶν ἀνθρωπότητα, κἀντεῦθεν πολλὰς ἐπεισάγειν ἀνθρωπότητας, ἢ τὸ ἰδίου υἱοῦ σῶμα λέγειν ἑκάστου ἡμῶν τῶν ἀνθρώπων εἶναι σῶμα. καὶ τηνικαῦτα φαγέτω ὁ τοιοῦτος ἐπίσης τὸ τοῦ Χριστοῦ σῶμα, καὶ λῃστοῦ τινος, καὶ ἀθέου σῶμα. καὶ πάλιν εἰ τὴν τοῦ Χριστοῦ φασιν ἀνθρωπότητα, μὴ εἶναι τὴν ἡμετέραν ἀνθρωπότητα, βιασθήσεται φάναι, μὴ εἶναι τὴν Χριστοῦ θεότητα τὴν τοῦ πατρός, καὶ τοῦ ἁγίου πνεύματος. καὶ ἐκ τούτου τρεῖς ἐπεισάγειν θεότητας, ὅ δή ἐστι Χριστιανισμοῦ παντελῶς ἐστιν ἔκπτωσις. εἰ δὲ αὐτὸ ἕτερον φαίη, ἀρκεῖται τῷ ἀποφαινομένῳ τὸ πάνυ αἴσχιστον παρακολούθημα, ὅπερ φθάσαντες εἰρήκαμεν. ἰστέον ὡς οἱ ἅγιοι πατέρες, πῆ μὲν τὸν ἀΐδιον υἱὸν ἐκ τοῦ πατρός, πῆ δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας γεγεννῆσθαι φασίν. ἡμῶν οὖν τῶν ὀρθοδόξων, μὴ τὴν τοῦ πατρὸς οὐσίαν αὐτὸν εἶναι τὸν πατέρα λεγόντων, ἀλλά, παρὰ τὸν πατέρα, πρᾶγμα καθ᾿ ἡμῶν ἅλλονται διαθρυλλοῦντες ἡμᾶς πεφωρᾶσθαι τὸν υἱὸν λέγοντες ἐκ δύο γεννηθῆναι πραγμάτων. εἶτα τὸν πατέρα συναριθμεῖσθαι τῇ ἑαυτοῦ οὐσίᾳ, καθὼς ἐν τοῖς προειρημένοις ἤδη παραποδέδεικται. πρὸς αὐτοὺς ἡμῶν ἀποκρινομένων, ἐροῦσιν αἱ φρενοβλαβεῖς, κἂν τοῦτο δῶμεν εἶναι, καθὰ προέφητε, τέως γοῦν ἀναγκάζεσθε τὸν υἱὸν εἰπεῖν οὐκ ἐκ τοῦ αὐτοῦ φῦναι πράγματος. πρὸς οὓς ἀποκρινούμεθα τοὺς ἀνοήτους ἐντρέποντες·

A & corpus eius proprium non dicamus duas res esse, occurrunt nobis, Si non sunt duæ res, quomodo inquiunt, vos Christum duas naturas dicitis? quibus respondendum est, nos Filium æternum non numerare cum proprio corpore, vt dicamus esse duas res quia * corpus hypostaticum æteroi Filij quodammodo perficit ipsum, quatenus est homo. omnis autem res, quæ alterum perficit, aut tanquam geous, aut tanquam differentia, aut tanquam natura, substantia scilicet, aut tanquam hypostaticum, illud perficit cuius est. corpus igitur æterni Filij cum sit hypostaticum, quamuis non simpliciter, id est, propriè, perficere illum dicitur, non tamen cum eo corpus nùmeratur. sed non propterea non est dicendum duas naturas esse in Christo. nos enim orthodoxi, non æternum Filium numerantes cum corpore eius hypostatico, duas naturas esse dicimus; sed diuinitatem & humanitatem duas naturas numeramus. fortassis aliquis hioc occasione occutrendi arrepta, dicit, An Christi humanitas non est ipsius naturale corpus animatum, & intelligentia præ-
C ditum? cui respondebimus non esse. siquidem humanitas Christi omnium nostrum, qui homines sumus, est; corpus verò eius animatum, & intelligens, ipsius solius præcipuè est.

aliis. Ex hoc emplastro arbitror satis hunc duriorẽ & obscuriorẽ Abucara loquendi modũ mitigatũ iri.

** Corpus hypostaticum dicit, id est, corpus in hypostasi filij æterni. Schol. Thurrian.*

Si quis verò contra hæc pugnet, in alterum ex duobus absurdis incidet, aut cogetur dicere humanitatem Christi scilicet non esse nostram, & hinc multas humanitates introducere (id est, oaturas;) aut corpus æterni Flij, vniuscuiusque nostrum, qui sumus homines, corpus esse. & tunc qui sic sentit, comedat corpus Christi æquè atque
D corpus alicuius latronis, & impij. & rursus si quis dicet humanitatem Christi non esse nostram humanitatem, cogetur dicere non esse diuinitatem Christi, diuinitatem Patris, & Spiritus sancti, atque ita tres diuioitates siue Deitates introducere: quod est excidere penitus à Christianismo. sin autem illud alterum dicat, sufficiat ei, qui id dicit, turpissima consecutio, quam diximus priùs. Quamobrem scire oportet, sanctos Patres aliàs quidem æternum Filium ex Patre, aliàs verò ex substantia patris genitum esse dicere. nos igitur orthodoxi, cùm non dicimus substantiam
E Patris esse ipsum Patrẽ, sed aliam rem * præter Patrem, cõtinuo in nos prosiliunt iactantes nos esse deprehensos in eo, vt dicamus, ex duabus rebus genitum esse Filium; deinde Patrem numerari cum sua substantia, sicut in superioribus iam demoostratum est. Hæc nobis respondentibus occurrunt insani illi dicentes; etiam si demus rem ita se habere, vt prius asseruistis, interim necesse habetis affirmare Filium non nasci ex eadem re. Quibus respondemus pudore stultos afficientes;

** id est, differre substantiam Patris ab actu rationali, qui est generare, qui vocatur à Dionysio res Patris sicut res Filij est generari. Nec aliud vult quàm essentiam Patris, & paternitatem, per quam Pater est Pater, ratione distingui.*

A erratis profectò miseri, non intelligentes quæ significent ea quæ dicuntur. non enim sicut coniicitis, cogimur dicere. etsi enim * aliud quid est Pater, & aliud quid substantia Patris: nos tamen Filium ex substantia Patris, vel ex Patre genitum esse cum dicimus, ex eadem re genitum esse significamus, non ex alia, & alia, absit. Sicut enim tu cum dicis ponderaui aurum nummi, ipsum aurum ponderasse significas, & rursus, cum dicis, ponderaui nummum, aurum ponderasse dicis: character enim siue signum nummi non ponderatur, vt omnibus patet: sic & nos, B etsi dicamus ex Patre, vel ex substantia Patris genitum esse Filium, non cogimur dicere, genitum esse ex duabus rebus, sed ex vna & eadem re. vt semper orthodoxa doctrina victrix appareat, & præmia victoriæ contra hæreticos reportentur.

Rursus exoritur nobis alia istorum percunctatio. æternus Filius assumpta carne, assumpsit communem rem, an particularem? vt si dicamus rem particularem assumpsisse, crimen nobis sit dicere in Christo duas hypostases, quo modo dicimus duas naturas, C atque ita incidamus in execrabilem opinionem Nestorianorum: apud illos enim hypostasis est res particularis: aut nullo modo in Christo duas naturas confiteamur, sicut neque duas hypostases, atque ita Seueriani dici compellamur, dicentes Christum esse vnam naturam, sicut dicimus esse eum vnam hypostasim, quod est plenum interitus animæ. Sin autem communem rem filium assumpsisse dixerimus, insultant statim nobis dicentes, quomodo filius incarnatur communi re assumpta? impossibile enim est, aliquid incorporeum corporatum fieri D copulatum incorporeo. quibus occurrendum est, Non intellexistis, ô boni, propositum philosophorum, cum dixerunt, Incorporeum esse commune? Nam cum dicunt, incorporeum esse omne genus, & speciem, etiam ipsum corpus ex substantia generalissima, quæ dicitur genus generalissimum, diuisum, incorporeum esse dicunt. quamobrem scire oportet nomen incorporeum secundum philosophos homonymè, & infinitè dici, immò vt paucis rem complectar, illi materiam, & speciem, ex quibus E corpora, & omnem colorem, atque figuram, id est, omnem qualitatem vocant incorporeum, & animam, atque angelos, & ipsum Deum, quorum omnium non est vna & eadem natura, sed multæ, & variæ, vt hinc planè probetur homonymè & infinitè dici nomen incorporeum de multis significatis, & natura differentibus. quare corpus, & quæcunque sunt sub corpore communia, vt animatum, animal, homo, incorporea vocantur, quia vnumquodque horum non est subiectum sensui, sed mente comprehenditur:

A οὕτως πλανᾶσθε μὴ εἰδότες, ὦ τάλανες, τὰ τῶν λεγομένων αἰνίγματα. οὐ γάρ, ὅπερ ὑποτοπάζετε, λέγειν βιαζόμεθα. εἰ γὰρ καὶ ὁ πατὴρ ἄλλο τί ἐστι, καὶ ἡ τοῦ πατρὸς οὐσία ἄλλο· ἀλλ' οὖν ἡμεῖς τὸν υἱὸν ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἢ ἐκ τοῦ πατρὸς γεγεννῆσθαι λέγοντες, ἐκ τοῦ αὐτοῦ φαμεν πράγματος σημαινόμενον, οὐκ ἐξ ἄλλου, καὶ ἄλλου, μὴ γένοιτο. ὥσπερ γὰρ σὺ λέγων, * ἔστησα τὸ τοῦ νομίσματος χρυσόν, αὐτὸν ὑπεμφαίνεις τὸν χρυσὸν ἐστάναι σταθμῷ, καὶ πάλιν λέγων, ἐστάθμισα τὸ νόμισμα, τὸν χρυσὸν σταθμίζεσθαι φής. ὁ γὰρ τοῦ νομίσματος χαρακτὴρ οὐ σταθμίζεται, ὡς πᾶσιν εὔδηλον. οὕτω καὶ ἡμεῖς κἂν εἴποιμεν ἐκ τοῦ B πατρὸς ἢ ἐκ τῆς τοῦ πατρὸς οὐσίας γεγεννῆσθαι τὸν υἱόν, οὐκ ἀναγκαζόμεθα λέγειν αὐτὸν ἐκ δύο φάναι πραγμάτων, ἀλλ' ἐξ ἑνός, καὶ τοῦ αὐτοῦ πράγματος. ὥστε τὴν ὀρθοδοξίαν ἀεὶ τροπαιοῦχον φαίνεσθαι, καὶ τὰ τῆς νίκης βραβεῖα καθ' ὑμῶν τῶν αἱρετιζόντων κομίζεσθαι.

Πάλιν ἐπιφύεται παρ' αὐτῶν ἡμῖν ἐρώτημα λεγόντων. ὁ ἀΐδιος υἱὸς σαρκωθεὶς κοινὸν πρᾶγμα προσείληφεν, * εἰ εἴποιμεν, αὐτὸν πρᾶγμα προσειληφέναι μερικόν, ἐναχθείημεν ἐν Χριστῷ δύο λέγειν ὑποστάσεις, ὃν τρόπον λέγομεν δύο φύσεις· κἀντεῦθεν τῷ βδε- C λυρωτάτῳ τῶν Νεστοριανῶν συνεμπεσεῖν φρονήματι. παρ' ἐκείνοις γὰρ ὑπόστασίς ἐστι τὸ μερικὸν πρᾶγμα. ἢ μηδαμῶς ἐν Χριστῷ δύο φύσεις ὁμολογεῖν, ὡς οὐδὲ δύο ὑποστάσεις. κἀκ τούτου * Σευηριανοὶ χρηματίσαι συνωθείημεν, μίαν εἶναι φύσιν τὸν Χριστὸν λέγοντες, ὃν τρόπον μίαν αὐτόν φαμεν ὑπόστασιν, ὅπερ ἐστὶ ψυχολεθρίας ἀνάμεστον. εἰ δὲ κοινὸν πρᾶγμα προσειληφέναι τὸν υἱόν φαμεν, ἐπεμβαίνουσιν ἡμῖν αὐτίκα φάσκοντες, πῶς ὁ υἱὸς σαρκοῦται τοῦτο προσειληφώς; τῶν ἀδυνάτων γάρ ἐστιν ἀσώματόν τι σωματωθῆναι ἑνωθὲν ἀσω- D μάτῳ. πρὸς οὓς ἀπαντήσομεν, οὐ νενοήκατε λέγοντες, ὦ οὗτοι, τὸν τῶν φιλοσόφων σκοπὸν εἰρηκότων, ἀσώματον εἶναι τὸ κοινόν; ἐκεῖνοι γὰρ λέγοντες ἀσώματον εἶναι πᾶν γένος, καὶ εἶδος, καὶ αὐτὸ τὸ σῶμα, τὸ ἐκ τῆς οὐσίας τῆς ἀνωτάτω, ἥτις λέγεται γενικώτατον γένος διαιρούμενοι, ἀσώματον εἶναι λέγουσι. διὸ δέον ἐπίστασθαι, ὡς τὸ ἀσώματον ὄνομα κατὰ τοὺς φιλοσόφους ὁμωνύμως τε καὶ ἀορίστως λέγεται, μᾶλλον δὲ συλλήβδην φάναι, ἐκεῖνοι τὴν ὕλην, καὶ τὸ εἶδος ἐξ ὧν τὰ σώματα, καὶ χρῶ- E μα, καὶ πᾶν σχῆμα, ἤγουν πᾶσαν ποιότητα καλοῦσιν ἀσώματον, τήν τε ψυχήν, καὶ τοὺς ἀγγέλους, καὶ αὐτὸ τὸ θεῖον, ὧν οὐ μία, καὶ ἡ αὐτὴ τῶν ἁπάντων ἡ φύσις, ἀλλὰ πολλαὶ καὶ διάφοροι, ὡς ἐντεῦθεν πιστοῦσθαι σαφῶς ὁμωνύμως καὶ ἀορίστως λέγεσθαι τὸ ἀσώματον ὄνομα, κατὰ πολλῶν * σημαινομένων, καὶ τῇ φύσει διαφερόντων φερόμενον. * τὸ σῶμα τοίνυν, καὶ ὅσα ὑπὸ τὸ σῶμά ἐστι κοινά, οἷον ἔμψυχον, ζῷον, ἄνθρωπος, ἀσώματα καλοῦνται· ἐπεὶ τούτων ἕκαστον αἰσθήσει μὲν οὐχ ὑποπίπτει, ἀλλὰ νοῒ καταλαμβάνεται.

* *non concedit aliud esse Patrem, & aliud substantiam Patris, in Trinitate enim non est aliud, & aliud, sed alius, & alius. immo negat potius, quia si non est alia, & alia res, nō est aliud, & aliud. summa est: Patrem & substantiam Patris, esse vnam eandēque simplicissimam rem, sed propter infinitatem suā duabus realiter distinctis æquiualētem. Quæ æquiualentia fundans virtualem distinctionem, facit vt aliquid de paternitate seu actu rationali Patris affirmari queat, quod non potest affirmari de substantia seu essentia Patris, & vice versa. Et huc respexit Theodorus, quamuis obscurius.*

* *Fort.* ἐστάθμισα

* ἢ μερικόν;

* σευηριανοὶ

* σημαινομένων,

* *In Bauarico codice seiūgebantur hæc à superioribus, imposito hoc titulo:* τῶ ἀσωμάτων, *quasi esset nouum opusculum. Sed hæc distinctio non fuit in Turriani exemplari, vt patet ex eiusdem versione.*

οὐ γάρ εἰσιν αὐτοῖς ἰδιότητες ὁριστικαί, καθ᾽ ἃς αἰσθήσει ὑποβληθήσονται. τὰ μέντοι ἄτομα, καθ᾽ ὧν ταῦτα κατηγορεῖται, σώματά ἐστιν, ὡς ὑπὸ τὴν αἴσθησιν πίπτοντα. ὁριστικὰ γὰρ ἔχουσιν ἰδιώματα. πλὴν εἰ καὶ τὸ κοινὸν σῶμα, καὶ ὅσον ἐστὶν ὑπὸ τὸ κοινόν, διὰ τὸ μηδαμῶς αἰσθήσει, ἀλλὰ τῷ μόνῳ νῷ εἶναι ληπτόν, ἀσώματον λέγεται, ἀλλ᾽ οὖν φύσει σῶμα καθέστηκεν. παραπλήσιον δ᾽ ἂν εἴη τοῦτο τῷ ἁπλῶς λεγομένῳ κύκλῳ, τῷ γραμμὰς ὁριστικὰς οὐκ ἔχοντι. ὁ γὰρ τοιοῦτος κύκλος φύσει μὲν μετρητός, καθὸ δὲ γραμμὰς ὁριστικὰς οὐκ ἔχει, οὐδαμῶς ὑποπίπτει μετρήσει. οὐκ ἔχει γὰρ ὁριστικὸν σταυρόν, δι᾽ οὗ, πόσος ἐστί, γνωσθῆναι δυνήσεται. ἐπειδὰν δὲ κύκλος γένηται * μερικῶς, εἰδικῶς τε, καὶ ὁριστικῶς, εὐθέως ὁπόσον ἔχει μέγεθος μετρήσει καὶ περιορισθήσεται. οὐκοῦν ὁ λεγόμενος ἁπλῶς κύκλος φύσει μὲν ἀορίστως μετρεῖται· ὁριστικῶς οὐχ ὑποπίπτει μετρήσει. οὕτω δὲ καὶ τὸ παρὰ τοῦ ἀϊδίου υἱοῦ προσληφθὲν ἀνθρώπινον σῶμα, σῶμα μέν ἐστι φύσει· καθὸ δὲ κοινὸν ὄν, οὐδαμῶς ὑπὸ τὴν αἴσθησιν πίπτει, ἀσώματον καλεῖται. ἐπειδὰν δὲ χαρακτηρίζεται ὁριστικοῖς ἰδιώμασιν, ὁριστικῶς αὐτίκα τῇ αἰσθήσει ὑποπίπτει χρηματίσαν αἰσθητόν τε, καὶ ἁπτόν.

Οὐδὲ μὴν ὁ χαρακτὴρ τῶν ἰδιωμάτων μερικὸν πρᾶγμά ἐστιν, ἤγουν ὑπόστασις· ὁ χαρακτὴρ γὰρ οὐκ ἄλλου τινός ἐστιν, ἤγουν οὐκ ἄλλης ὑποστάσεως ἐν Χριστῷ, εἰ μὴ τοῦ ἀϊδίου υἱοῦ. ὃν τρόπον ἡμῶν ἑκάστου τῶν ἰδιωμάτων ὁ χαρακτήρ, οὐκ ἄλλου τινός ἐστιν, ἢ ἐκείνου, οὗπερ ἐστὶν ὁ χαρακτήρ. ὅθεν ὁ ἀΐδιος υἱός, ὁ αὐτός ἐστι Θεός τε, καὶ ἄνθρωπος, τοῦτ᾽ ἔστιν, ὁ αὐτός ἐστιν ὁ πρὸ πάντων αἰώνων ἐκ πατρὸς γεννηθείς. καὶ Ἰησοῦς ὁ ἐκ παρθένου Μαρίας ἐπὶ τέλει τῶν αἰώνων ἀσπόρως τεχθείς, ὑπόστασις μία τῆς Τριάδος ὑπάρχων. διὸ κυρίως καὶ ἀληθῶς ἡ πάναγνος, καὶ πανάμωμος Δαβιδικὴ νεᾶνις θεοτόκος ὁμολογεῖται. αὐτὸν γὰρ τὸν ἀΐδιον τέτοκεν υἱὸν ἄνθρωπον γεγονότα καθ᾽ ἡμᾶς, κατὰ πάντα, δίχα τῆς ἁμαρτίας, καὶ Ἰησοῦν προσαγορευθέντα καθὼς ἡμῶν προσαγορεύεται Πέτρος τυχόν, ἢ Παῦλος, ἢ ὁποῖον κύριον ὄνομα. τηλαυγέστατα τοίνυν ἀποδέδεικται, ὅτιπερ εἰ καὶ κοινὸν πρᾶγμα προσείληφεν ὁ ἀΐδιος υἱός, ὅπερ ἐστὶν ἀσώματον, ἤγουν τὴν ἀνθρωπίνην οὐσίαν, ἀλλ᾽ οὖν οὐκ ἀπαγορεύεται σωματωθῆναι, ἤγουν σαρκωθῆναί τε, καὶ ἐνανθρωπῆσαι, καθώς φησιν ὁ παράφρων αἱρετικός. καὶ τοῦτο δὲ πάλιν εἰδέναι χρή, ὡς οἱ αἱρετίζοντες τούτου δὴ χάριν σπεύδουσι συστῆσαι τὴν φύσιν εἶναι κοινήν τε, καὶ μερικήν. τὴν μὲν κοινήν, πάσας εἶναι τὰς ὑποστάσεις· τὴν δὲ μερικήν, μίαν ὑπόστασιν λέγοντες, ὅπως ὁμολογηθὲν τοῦτο, καὶ ὀχυρωθὲν αὐτοῖς, ὅπλον γένηται πρὸς καθαίρεσιν τοῦ ἀληθινοῦ, καὶ ἀκαθαιρέτου δόγματος.

A non enim sunt eis proprietates ὁρισταί, (id est, indiuiduantes) quibus sensui subiicientur. indiuidua tamen, de quibus hæc prædicantur, corpora sunt, vtpote sub sensum cadentia: proprietates enim habent definientes, siue terminantes. verùm etsi commune Corpus, & quodcunque est sub ipso commune, incorporeum dicitur, quia non potest sensu, sed mente percipi, tamen natura corpus consistit. simile est hoc circulo simpliciter dicto, non habenti lineas * ὁριστικάς. huiusmodi enim circulus natura quidem mensuratus, quatenus verò non habet lineas definientes, nequaquam subii- B citur mensurationi: non enim habet ὁριστικὸν σταυρόν, id est, lineam partientem in modum crucis, qua possit cognosci, quatenus sit: postquam autem factus fuerit circulus particularis, specialis, & definitus; statim mensura circumscribetur, quantam habeat magnitudinem. Igitur circulus, qui simpliciter dicitur, natura quidem indefinitè mensuratur: definitè verò non subiicitur mensuræ. Sic humanum corpus ab æterno filio assumptum, corpus quidem est natura, quatenus verò commune, nequaquam sub sensum cadens, incorporeum vocatur: postquam verò signatur proprietatibus definitis, continuò C definitè sub sensum cadit, vocatúrque sensile, & tactile.

* definientes.

* Fort [illegible]

Neque character proprietatum res particularis est, id est, hypostasis: character enim non est alterius, id est, alterius hypostasis in Christo, nisi æterni filij, sicut character proprietatum cuiusque, non est alterius character, quàm eius, cuius est character. Vnde æternus filius idem est Deus & homo, id est, idem est ante omnia sæcula ex Patre genitus, & Iesus ex Virgine Maria in fine sæculorum sine virili semine natus, qui est vna hypostasis Trinitatis. quocirca pro- D priè & verè castissima, & omnis maculæ expers virgo stirpis Dauidicæ Deipara, id est, mater Dei, prædicatur. hæc enim æternum peperit filium factum hominem, sicut nos in omnibus, excepto peccato, Iesum appellatum: sicut vnusquisque nostrum appellatur Petrus, verbi gratia, aut Paulus, aut alio quocunque nomine proprio. Clarissimè igitur demonstratum est, quod etsi communem rem assumpsit æternus filius, quæ quidem incorporea est, scilicet substantiam humanam, non tamen negatur corporatum E esse, id est, incarnatum, factúmque esse hominem, vt aiunt hæretici amentes. atque hoc rursus scire oportet, quod hæretici ea de causa properant ad constituendum, esse naturam communem, & particularem, communem quidem omnes hypostases, particularem verò vnam hypostasim, vt hoc concessum, & confirmatum, telum ipsis efficiatur ad labefactandum, verum, & inuiolabile dogma.

Si enim hoc, quod illi profitentur, verum esset, esset aliquid dicendum contra sanctissimam Synodum Chalcedonensem. Dic mihi, hæ duæ naturæ, quas in Christo prædicas, communes sunt, an particulares? Si igitur respondeat, communes esse, statim ratiocinatur, qui secundum eos loquitur, Christus igitur secundum te est omnes hypostases diuinitatis: quod quidem absurdum est: Sin verò dicar particulares esse, incidet in blasphemiam Nestorij, tanquam qui confiteatur duas in Christo hypostases. Quamobrem patronis & defensoribus Synodi Chalcedonensis necesse est demonstrare, naturam neque communem, neque particularem dici, sicut illi dicunt, sed communem rem, quæ absurditatem vtrorumque fugit: quæ quidem communis res, nec est omnes hypostases, nec vna hypostasis, sed quæ spectatur, & reperitur ὅλικῶς, id est, tota, in vnaquaque hypostasi.

Demonstratur autem (adiuuante Deo, qui illuminat) huiusmodi ratiocinationibus. Omnis res communis de multis prædicatur. quare si natura communiter dicta, est omnes hypostases, igitur omnes hypostases de se ipsis omnibus prædicabuntur. quod autem de multis prædicatur, totum in vnoquoque multorum, de quibus prædicatur, reperitur. ex quo inferendum erit, vnamquamque hypostasim esse sui hypostasim, quod est impossibile: ita vt natura non sit omnes hypostases. naturam enim secundum illos communiter cogitatam oportet prædicari de multis hypostasibus, non autem dici naturam particularem, vt illi dicunt, quemadmodum ex his demonstrabitur. Si enim natura particularis, vt illi intelligunt, hypostasis est, necesse omnino est secundùm eos Patrem, & Filium, & Spiritum sanctum, tres particulares naturas numerari, & tres deos dici, & tres deitates, quæ est summa omnium blasphemia: quin potius Christianismum penitus negare. Quamobrem manifestum est amentium hæreticorum esse, quod aiunt esse naturam particularem: & ex omni parte contra eos regia corona redimitur fides orthodoxa, quæ Christum æternum scilicet filium factum hominem vnam hypostasim esse, & duas naturas confitetur, eundem Deum simul & hominem, eundem subiectum duabus naturis vt de eo prædicentur. vtraque enim natura de eo prædicatur, & communicat cum eo & nomen, & definitionem. vnde æternus Filius est Deus, sicut Pater, & Spiritus sanctus, & definitionem Dei recipit, sicut vnusquisque illorum, estque idem æternus filius homo, sicut est vnusquisque nostrum:

* Fort. ὁμολογοῦντος.

A Εἰ γὰρ τοῦτο τὸ παρ' ἐκείνοις ὡμολογημένον ἀληθείας εἴχετο, ἔμελλεν ἄν τις πρὸς τὴν ἐν Χαλκηδόνι συνκεκροτημένην ἁγιωτάτην φάναι σύνοδον. Εἰπέ μοι, αἱ δύο φύσεις αὗται, ἃς ἐν Χριστῷ κηρύττεις, κοιναί εἰσιν, ἢ μερικαί; εἰ μὲν οὖν ἀποκρίνοιτο κοινὰς εἶναι, εὐθὺς συλλογίζεται κατ' αὐτοὺς λέγων, ὁ Χριστὸς ἄρα κατὰ σε, πᾶσαι αἱ τῆς θεότητος ὑποστάσεις ἐστίν, ὅπερ ἄτοπον. Εἰ δὲ μερικὰς εἶναι φήσειεν, ἐμπεσεῖται τῷ τοῦ Νεστορίου βλασφημήματι, ὡς δύο ἐν Χριστῷ ὑποστάσεις* ὁμολογοῦσα. δέον τοὺς τῆς ἁγίας συνόδου προ-

B μάχοις καὶ ὑπερασπισταῖς, ἀναγκαῖον ἀποδεῖξαι τὴν φύσιν, μήτε κοινήν, μήτε μερικὴν λέγεσθαι, ὡς ἐκεῖνοι φασίν· ἀλλὰ κοινὸν πρᾶγμα, φεῦγον τὴν ἀτοπίαν ἑκατέρων, ὅπερ οὐκ ἔστιν· οὔτε πᾶσαι αἱ ὑποστάσεις, οὔτε μία ὑπόστασις, ἀλλὰ τὸ θεωρούμενόν τε, καὶ εὑρισκόμενον ὁλικῶς ἐν ἑκάστῃ τῶν ἑαυτοῦ ὑποστάσεων.

Ἀποδείκνυται δὲ σὺν Θεῷ τῷ φωταγωγοῦντι τοιαύταις ἀποδείξεσιν. πᾶν πρᾶγμα κοινὸν πολλῶν ἐστι κατηγορούμενον. εἰ μὲν οὖν ἡ φύσις κοινῶς λε-

C γομένη πᾶσαι αἱ ὑποστάσεις, ἄρα πᾶσαι πασῶν ἑαυτῶν κατηγορηθήσονται. τὸ δὲ πολλῶν κατηγορούμενον, ὅλον ἐν ἑκάστῳ τῶν πολλῶν εὑρίσκεται, ὧν κατηγορεῖται. κἀντεῦθεν συναχθήσεται πάσας τὰς ὑποστάσεις, καθ' ἑκάστην ἑαυτῶν ὑπόστασιν εὑρίσκεσθαι, ὅπερ ἀδύνατον. ὥστε μὴ εἶναι τὴν φύσιν πάσας τὰς ὑποστάσεις. τὴν γὰρ φύσιν κατ' ἐκείνους κοινῶς νοουμένην, δεῖ κατηγορεῖσθαι τῶν ὑποστάσεων, μὴ λέγεσθαι μερικὴν τὴν φύσιν, ὡς ἐκεῖνοί φασιν, ὡς ἐντεῦθεν ἀποδειχθήσεται. εἰ γὰρ ἡ φύσις μερική, κατ' ἐκείνους νοουμένη, ὑπόστασίς ἐστιν, ἀ-

D νάγκη πᾶσα κατ' αὐτοὺς τόν τε πατέρα, καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον τρεῖς μερικὰς ἀριθμεῖσθαι φύσεις, καὶ τρεῖς ὁμολογεῖσθαι Θεούς, καὶ τρεῖς θεότητας, ὃ δὴ βλασφημιῶν ἐστιν ἁπασῶν ἀκροτάτη, μᾶλλον δὲ τοῦ Χριστιανισμοῦ παντελὴς ἄρνησις. ὥστε δῆλοι πεφήνασιν ἀνοήτως λέγοντες, μερικὴν εἶναι φύσιν, οἱ παράφρονες αἱρετικοί, καὶ πανταχόθεν στεφανοῦται κατ' αὐτῶν βασιλικῷ διαδήματι τῶν ὀρθοδόξων ἡ πίστις, ἡ τὸν Χριστὸν ἤγουν τὸν ἀΐδιον υἱὸν ἐνανθρω-

E πήσαντα μίαν ὑπόστασιν εἶναι, καὶ δύο φύσεις ὁμολογοῦσα τὸν αὐτὸν ὁμοῦ θεόν τε, καὶ ἄνθρωπον, ὑποκείμενον τὸν αὐτὸν ταῖς δύο φύσεσι πρὸς κατηγορίαν. καὶ γὰρ ἑκατέρα τῶν δύο φύσεων κατηγορεῖται αὐτοῦ, καὶ μεταδίδωσιν αὐτῷ τοῦ τε ὀνόματος αὐτῆς, καὶ τοῦ ὁρισμοῦ. ὅθεν ὁ ἀΐδιος υἱὸς ἐστι Θεός, ὡς ὁ πατήρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸν τοῦ Θεοῦ ὁρισμὸν ἐπιδέχεται, ὃν τρόπον ἐκείνων ἕκαστος, καὶ ἔστιν ὁ αὐτὸς ἀΐδιος υἱὸς ἄνθρωπος, ὡς καὶ ἔστιν ἡμῶν ἕκαστος,

καὶ τὸν τοῦ ἀνθρώπου ὁρισμὸν ἐπιδέχεται, τουτέστι τὸ εἶναι ζῶον λογικόν, θνητόν, καὶ ἐπιστήμης δεκτικόν, καθ' ὃν τρόπον ἡμῶν ἕκαστος.

Ὁ δὲ λέγων τὸν Χριστὸν μίαν εἶναι σύνθετον φύσιν, ὡς ἔστι μία σύνθετος ὑπόστασις, ὀνόματι φιλοσοφικῷ, τήν τε φύσιν ταύτην ὀνομάσαι, καὶ τὴν ὑπόστασιν, ὡσαύτως βιασθήσεται. τὴν μέντοι ὑπόστασιν πάντως καλέσειεν ἀΐδιον υἱὸν σεσαρκωμένον. τῇ δὲ φύσει τίνα κλῆσιν ἄρα ἐφαρμόσαι δυνήσεται; εἰ γὰρ Θεὸν ταύτην ὀνομάσειεν, ἀρνήσεται τὴν ἀνθρωπότητα. εἰ δὲ ταύτην ἄνθρωπον προσαγορεύσειεν, ἀνεῖλε τὴν τριάδα. εἰ δὲ μήτε Θεόν, μήτε ἄνθρωπον ταύτην ὀνομάσειεν, τὸν Χριστὸν ἄρα παραστήσεται, μήτε Θεὸν εἶναι, μήτε ἄνθρωπον. καὶ πρὸς τῇ αἰσχύνῃ, καὶ μεγίστῳ περιπεσεῖται βλασφημήματι, καὶ ἀπωλείας χάσματι. ποῖον γὰρ ἐφεύροι ὁ δύστηνος τῇ δὲ τῇ κενῇ καὶ νωθεῖ φύσει ἁρμόδιον ὄνομα; ὅτι μὴ σκινδαψός, ἢ τραγέλαφος, ἢ ἄλλο τι τῶν τοιούτων.

Τοῦτο δὲ μάλιστα δεῖ γινώσκειν ὑμᾶς, ὦ φιλομαθέστατοι, ὡς ἡμεῖς οἱ ὀρθόδοξοι τὸν Χριστὸν εἶναι μίαν σύνθετον ὑπόστασιν λέγοντες, οὐχ ἑτέραν παρὰ τὴν τοῦ ἀϊδίου υἱοῦ νοοῦμεν, ὑπόστασιν τὴν μίαν οὖσαν τῆς τριάδος. οὐ γὰρ καινήν τινα συνεισφέρειν ἀνεχόμεθα, μὴ γένοιτο. ἀλλ' οὖν ὁ τρόπος σαφηνιζέσθω τῆς ὑποστατικῆς συνθέσεως. σύνθετον δὲ διχῶς εἶναι τὴν τοῦ ἀϊδίου υἱοῦ λέγομεν ὑπόστασιν. λέγεται γὰρ σύνθετος ἐκ θεότητος καὶ ἀνθρωπότητος. λέγεται πάλιν σύνθετος, ὡς ἐκ ψυχῆς καὶ σώματος τῶν ἀνθρώπων ἕκαστος. ἀλλ' ἐκ θεότητος καὶ ἀνθρωπότητος οὐ λέγεται κυρίως σύνθετος, μεταφορικῶς δέ. πᾶν μὲν γὰρ κυρίως σύνθετον ὄν, οὐκ ἦν παντάπασι πρὶν ἢ συναφθῆναι τὰ ἐξ ὧν συντέθειται. τὸν δὲ Χριστὸν οὐ φαμὲν ἁπλῶς μὴ εἶναι παντελῶς πρὸ τῆς συνόδου τῆς θεότητός τε, καὶ ἀνθρωπότητος ἐξ ὧν συνετέθη. ἀλλὰ τὸν Χριστὸν λέγομεν μὴ εἶναι Χριστὸν μετὰ προσδιορισμοῦ πρὶν ἢ συνελθεῖν ἐν αὐτῷ τὴν θεότητά τε, καὶ ἀνθρωπότητα· ὧν καθ' ὑπόστασιν συνδραμουσῶν εἰς ἀσύγχυτόν τε, καὶ ἄτρεπτον ἕνωσιν, μετενήνεκται ἐπ' αὐτὸν ἡ σύνθεσις ἀπὸ τῆς ἀληθῶς οὔσης συνθέσεως. καὶ μεταφορικῷ τρόπῳ κέκληται σύνθετος ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος. τὸ γὰρ κυρίως ἐκ πράγματος συντεθειμένον, ἄλλῳ τινὶ κατονομάζεσθαι παρὰ τῶν πραγμάτων ὀνόματι, ἀφ' ὧν συνετέθη, ἅτε τρίτον ἀποτέλεσμα γεγονώς, παρά τι, ἀφ' ὧν συντέθειται. τοῦ γὰρ ἀνθρώπου συντεθέντος ἐκ ψυχῆς, καὶ σώματος, οὐ κατονομάζεται τῷ ἄνθρωπος ὀνόματι, οὔτε ἡ ψυχή, οὔτε τὸ σῶμα. ὁ μέντοι Χριστὸς τρόπῳ τινὶ συντεθειμένος ἐξ ἀϊδίου τε υἱοῦ, καὶ τῆς ἀνθρωπότητος, αὐτὸς ὁ ἀΐδιος υἱός ἐστιν ὁ Χριστός, εἰ καὶ μὴ Χριστὸς κέκληται πρὸ τῆς αὐτοῦ σαρκώσεως.

A & definitionem hominis recipit, id est, animal rationale, mortale, mentis & disciplinæ capax, sicut vnusquisque nostrum.

Qui autem dicit, Christum vnam naturam compositam esse, sicut est vna composita hypostasis, cogetur nominare nomine philosophico hanc naturam, & similiter hypostasim. atque hypostasim quidem omnino vocauerit æternum filium incarnatum: naturę vero quam appellationem accommodare poterit? Si enim hanc appellet Deum, negabit humanitatem: sin autem hanc appellet hominem, B tollet Trinitatem. Sin vero hanc neque Deum, neque hominem nominet, Christum igitur statuet neque Deum esse, neque hominem. incidetque in dedecus, & maximum crimen, & interitum. Quod enim nomen miser inuenire poterit inani & tardæ naturę accommodatum? non enim nomen scindapsus, aut tragelaphus, aut aliud huiusmodi.

Hoc autem maximè aduertendum est, vobis qui studio discendi tenemini, quod nos orthodoxi cùm Christum vnam hy- C postasim compositam esse dicimus, non aliam hypostasim quàm hypostasim ęterni filij intelligimus, quæ vna est Trinitatis: non enim patimur aliquam communem induci, absit. Sed declaremus modum hypostaticę compositionis. Compositam quidem dupliciter esse ęterni filij Dei hypostasim dicimus. dicitur enim composita ex diuinitate & humanitate: & dicitur rursus composita ex anima & corpore, sicut vnusquisque homo. Sed ex Deitate & humanitate non dicitur propriè composita, sed metaphoricè, siue trans- D latè. omne enim quod propriè compositum est, non erat prius quàm copulata essent ea ex quibus compositum est. Christum vero non dicimus simpliciter & absolutè non esse Christum ante diuinitatis cum humanitate, à quibus componitur, coniunctionem: sed dicimus non esse Christum, cum determinatione, priùs scilicet quàm in eo congressum haberent diuinitas, & humanitas: quibus congressis in vnionem confusionis & mutationis expertem, translata est in eum compositio à E vera compositione, & modo metaphorico vocata est composita ex Deitate & humanitate. Quod enim propriè ex re compositum est, alio quodam nomine, quàm nomine earum rerum ex quibus compositum est, nominatur. homine enim composito ex anima & corpore, non nominatur nomine hominis anima, neque corpus. Christus tamen quodammodo compositus ex æterno Filio, & humanitate, ipse æternus Filius est Christus, tametsi non est appellatus Christus ante incarnationem suam.

Hinc scripturæ sanctæ, & sancta Nicæna A ccc. xviii. Patrum à Deo congregata Synodus Dominum Iesum Christum prædicat ex Patre genitum ante omnia sæcula, & sæcula fecisse; & omnia ex nihilo fecisse, vt essent, esséque sapientiam Patris, & verbum, & virtutem. Si autem esset compositum ex diuinitate, & humanitate, id est, Christus noua hypostasis præter æternam, non esset Christus ex Patre ante omnia sæcula genitus, nec auctor sæculorum, neque sapientia Patris, & verbum, & virtus. Sic igitur dicitur Dominus Iesus Christus vna scilicet composita hypostasis, ex diuinitate, & B humanitate composita esse, non sicut dicimus compositum conflari ex quibus consistit.

Secundo modo Iesus Christus, id est, incarnatus, æternus, vnigenitus Filius Dei dicitur compositus esse ex anima, & corpore, sicut antea diximus. quia enim æternus Filius natura Deus factus est homo tanquam vnus nostrum, manens alioqui Deus, qualis antea, de eo dicuntur quæcunque de vnoquoque nostrum. vt ergo quisque nostrum compositus est ex anima & corpore, similiter & ipse compositus ex anima & corpore C vocatus est. Demonstratum igitur est, dupliter Christum compositum dici, sicut prius diximus, ex diuinitate, & humanitate; & ex anima & corpore, æternum Filium, id est, vnam hypostasim Trinitatis. cui gloria & imperium cum Patre sine principio, & sancto Spiritu in sæcula sæculorum. Amen.

A ἐντεῦθεν αἱ ἅγιαι γραφαὶ πᾶσαι, καὶ ἡ κατὰ Νίκαιαν τῶν ἁγίων τριακοσίων δεκαοκτὼ πατέρων θεόκλητος σύνοδος, τὸν κύριον Ἰησοῦν κηρύττουσιν ἐκ τοῦ πατρὸς γεγεννῆσθαι πρὸ πάντων τῶν αἰώνων, καὶ τοὺς αἰῶνας πεποιηκέναι· καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παρενηνοχέναι· σοφίαν τε τοῦ πατρὸς εἶναι, καὶ λόγον, καὶ δύναμιν. εἰ δὲ ἦν ὁ σύνθετος ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος, τουτέστιν ὁ Χριστὸς ὑπόστασις καινὴ παρὰ τὴν ἀΐδιον, οὐκ ἂν εἴη ὁ Χριστὸς ἐκ πατρὸς πρὸ πάντων τῶν αἰώνων γεγεννημένος, οὐδὲ ποιητὴς τῶν αἰώνων, οὔτε μὴν σοφία τοῦ πατρὸς, καὶ λόγος, καὶ δύναμις. οὕτω τοίνυν λέγεται ὁ κύριος Ἰησοῦς Χριστὸς, ἤγουν, ἡ μία σύνθετος ὑπόστασις, ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος συντεθεῖσα, οὐχ, ὡς φαμὲν, πᾶν σύνθετον συγκεῖσθαι, ἐξ ὧν συνέστηκεν. B

Κατὰ δεύτερον δὲ τρόπον ὁ κύριος Ἰησοῦς Χριστὸς, τουτέστιν, ὁ σεσαρκωμένος ἀΐδιος μονογενὴς υἱὸς τοῦ Θεοῦ λέγεται σύνθετος εἶναι ἐκ ψυχῆς τε, καὶ σώματος, ὡς ἔφθημεν εἰπόντες. ἐπειδὴ γὰρ ὁ ἀΐδιος υἱὸς Θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος, ὡς εἷς ἐξ ἡμῶν, μενόντως Θεὸς οἷος καὶ πρότερον, λέγεται κατ' αὐτὸν πάντως ὅσα καθ' ἡμῶν ἑκάστου. ὡς οὖν ἕκαστος ἡμῶν σύνθετός ἐστιν ἐκ ψυχῆς, καὶ σώματος, καὶ αὐτὸς παραπλησίως ἡμῖν κεχρημάτικεν ἐκ ψυχῆς τε, καὶ σώματος. διχῶς ἄρα σαφῶς ἀποδέδεικται τὸν Χριστὸν σύνθετον λέγεσθαι, καθὰ προεξήγημεν, ἐκ τε θεότητός τε, καὶ ἀνθρωπότητος, καὶ ἐκ ψυχῆς, καὶ σώματος, τὸν ἀΐδιον υἱὸν ὄντα. τουτέστι τὴν μίαν τῆς τριάδος ὑπόστασιν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν. C

III.

* Genebrard. vertit: cum Emeseno cursore. Malim cum præfecto cursorum, seu veredariorũ, quem Germani vocant, den postmeister: Græci λογοθέτην τοῦ δρόμου.

* Lege Carũ. Fuit enim Cariæ Episcopus, non Charrarum in Mesopotamia.

ΔΙΑΛΟΓΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ

ἐπισκόπου Καρῶν, τὸ ἐπίκλην Ἀβουκαρᾶ, γενόμενος πρὸς * τὸν τοῦ δρόμου ἐμέσης, αἰτησάμενον ἀπόδειξιν ἀποδεῖξαι αὐτῷ ἀπὸ λογισμοῦ, ὅτι ἐστι Θεός.

Πρόσκειται οὖν τῷ μὲν προσώπῳ τοῦ ὀρθοδόξου, Α. τῷ δὲ τοῦ ἀπίστου, Β.

BEATI EPISCOPI THEODORI EPISCOPI * CHARRAN,

cognomento Abucara dialogus πρὸς τὸν τοῦ δρόμου ἐμέσης, qui petierat vt ratiocinatione demonstraret, Deum esse.

Francisco Turriano interprete.

A. Orthodoxus. B. Infidelis.

B. Demonstra esse Deum. A. Omnis numerus, qui recipit accessionem, finem quoque recipit. Numerus igitur hominum accessionem recipiens, finitus est, quamuis nos quantus sit, ignoremus: sed ponamus breuitatis & declarationis gratia, omnes homines esse centum:

D A. Ἀπόδος, ὦ οὗτος, ἀπόδειξιν, ὅτι ἔστι Θεός. Α. Ἅπας ἀριθμὸς προσδεχόμενος προσθήκην, καὶ πέρας ἐπιδέχεται. ὁ οὖν τῶν ἀνθρώπων ἀριθμὸς ἐπιδεχόμενος προσθήκην, πεπερασμένος ἐστὶν, εἰ καὶ ἡμεῖς ἀγνοοῦμεν τὴν ποσότητα· ἀλλ' ὑποθώμεθα συντομίας καὶ σαφηνείας ἕνεκεν, εἶναι τοὺς πάντας ἀνθρώπους

fieri

γενητοί. ἀδύνατον δὲ τούτους ἅπαντας γεννητοὺς ὑπάρχειν. ἐξ ἀλλήλων μὲν γὰρ γενεαλογοῦνται, ἀλλ᾽ ἀναποδίζων ὁ νοῦς τὴν γενεαλογίαν ἐπὶ τὰ ἄνω εἰς ἕνα καταντᾷ πάντως ἀγέννητον. οὐ γὰρ ἐνδέχεται ἐπὶ τὸν πρῶτον ἐλθόντας εἰπεῖν αὐτὸν ἐξ ἄλλου γεγενῆσθαι. ἐπεὶ κἀκεῖνος ἐξ ἑτέρου γεγεννημένος ἂν εἴη· μέχρις ἂν ἐπὶ τὸν πρῶτον ἀγέννητον τὸν νοῦν ἐπερείσωμεν. ἀνάγκη τοίνυν τοῦτον, ἢ ἐκ τῆς γῆς φῦναι, καθάπερ τὰ βλαστήματα, ἢ ἀΐδιον εἶναι, ἢ ὑπό τινος δημιουργοῦ πεποιῆσθαι. ἀλλ᾽ εἰ μὲν ἐκ τῆς γῆς ἐβεβλαστήκει, καὶ εἰς ἔτι ἂν ἄχρι τοῦ παρόντος ἑτέρους ἐβλάστανεν, ὥσπερ καὶ τὰ τῶν δένδρων, καὶ βοτανῶν εἴδη. ἐπεὶ δὲ οὐχ ὁρῶμεν τοῦτο γινόμενον, δῆλον, ὅτι οὐδὲ τὸν πρῶτον ἐβλάστησεν. οὐδὲ μὴν ἀΐδιος ἦν. Εἰ γὰρ ἄναρχος, καὶ ἀΐδιος ὑπῆρχεν, οὐκ ἂν ἐτεθνήκει, οὐδ᾽ ἂν ἀπώλετο. τὸ γὰρ ἄναρχον, καὶ ἀτελεύτητον. λείπεται τοιγαροῦν * αὐτὸν πεποιῆσθαι, τὸ δὲ πεποιημένον ἔχει ποιητήν. ἄρα τῶν ἀνθρώπων ἐστὶ κτίστης τε, καὶ ποιητής.

Δέχου δὲ καὶ ἄλλην ἀπόδειξιν εἰς θεογνωσίαν καθοδηγοῦσαν. εἰπέ μοι εἰ βῶλον ἐκ τῆς γῆς λαβὼν ἐφ᾽ ὑψηλὸν ἀναβαίην δωμάτιον, κἀκεῖθεν τοῦτον ἀφείην, οὐχὶ φύσει κατωφερὴς ὢν ἐπὶ τὰ κάτω διηνεκῶς φέρεται, μέχρις ἂν ἐπὶ στερεώτερον καὶ ἀκίνητον ἐρεισθῇ; B. ναί. A. οὕτως καὶ ἡ γῆ. ἐκ γὰρ τοῦ μέρους τὸ πᾶν καταλαμβάνεται· καὶ γὰρ εἰ μὴ κάτωθεν εἶχέ τι στερεώτερον ὑποφέρον αὐτήν, οὐκ ἂν ἔληξεν κάτω φερομένη. νῦν δὲ ταύτην ὁρῶμεν ἀσάλευτον. ἔστιν ἄρα δύναμίς τις ἰσχυροτέρα ἡ ταύτην ὑποφέρουσα, καὶ βαστάζουσα, ἥτις ἐστὶν ὁ τοῦ Θεοῦ λόγος. Εἰ γὰρ ἕτερον ὑποβαῖον σῶμα φαίη τις ὑποφέρον αὐτήν, τί τὸ κἀκεῖνο βαστάζον; καὶ οὕτω διατείνων τὴν ἔρευναν ὁ λογισμός, οὐ παύεται ἄχρις ἂν ἐπί τι πέρας στῇ βασταζόμενον. οὐ γὰρ ἂν ἄπειρος κάτωθεν εἴη, ἄνωθεν περατουμένη. τὸ γὰρ ἐξ ἑνὸς μέρους πεπερατωμένον, καὶ ἐκ τοῦ ἄλλου δῆλος ὅτι πέρας ἔχει. εἰ γὰρ σπαρτίον καθ᾽ ὑπόθεσιν ἦν ἐκ τοῦδε τοῦ μέρους τῆς γῆς, ἕως τοῦ ἑτέρου διῆκον μέρους, ἐπιλαβόμενος δὲ τοῦ ἐπιφαινομένου ἄκρου τοῦ σπαρτίου, ἐξείλκυσα δύο, ἢ τρεῖς πήχεις· οὐχὶ καὶ τοῦ ἑτέρου ἀφανοῦς μέρους, ἀνάγκη ἀποσπασθῆναι τὸ ἄκρον τοῦ σπαρτίου, ἐξελκόμενον ἐπὶ τὰ ἄνω τοσοῦτον καθ᾽ ὅσον ἐξείλκυσα μέρος; ἐντεῦθεν ἔστι σαφῶς εἰδέναι τὴν γῆν τὸ πέρας ἔχειν κάτωθεν. ὥστε ἐκ τούτων ἀποδέδεικται, ὅτι τῶν ὄντων ἐστὶ ποιητής.

B. Καλῶς πάνυ ἀπέδειξας, καὶ χάριν ἔχω σοι τῆς ὠφελείας. πόθεν δὲ τοῦτον τὸν ποιητὴν ἀποδείξεις, υἱὸν ἔχειν; A. οὐκ οἶσθα, ὅτι ἄλλο ἐστὶ τὸ τύπτον, καὶ ἄλλο, τὸ τυπτόμενον, καὶ ἄλλο, τὸ βλέπον, καὶ ἄλλο, τὸ βλεπόμενον; καὶ ἄλλο, τὸ γινῶσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον; B. ναί. τοῦτο πάντως οὕτως ἔχει.

A fieri non potest vt hi omnes fuerint geniti. alij quidem ex aliis ortum ducunt; sed mens rationem ortus & originis sursum reuocans, omnino ad vnum non genitum euadit: cùm enim ad primum deuenerit, non potest dicere, ex alio ortum esse, quia & ille alius ex alio item generatus esset, donec in primo mens consistat fixa. necesse igitur est ex terra natum esse hunc instar arborum, aut æternum esse, aut ab aliquo creatore factum esse. Sed si è terra ortus fuisset, adhuc vsque in hodiernum diem alios terra procrearet, sicut fit in genere arborum, & herbarum. at quia B hoc fieri non videmus, manifestum est, neque primùm procreasse: sed nec æternus erat. Si enim principio caruisset, essetque æternus, nunquam mortuus fuisset, neque interisset. Quod enim principium non habet, neque finem habet. relinquitur igitur, vt factus fuerit. quod autem factum est, anctorem habet. est igitur creator, & auctor hominum Deus.

Accipe aliam demonstrationem, quæ ad cognitionem Dei deducit. Dic mihi, si glebam è terra accipetem, & in altum tectum C ascenderem, & inde hanc dimitterem, an non naturâ perpetuo deorsum ferretur, quousque in firmiore quopiam & immobili firmaretur? B. Maxime. A. Sic etiam terra, ex parte enim intelligitur totum. nisi enim haberet aliquid firmius, quod ipsam fulciret, nunquam desineret ferri deorsum. nunc autem videmus hanc immotam. est igitur vis aliqua fortior, quæ hanc sustinet, & portat, quæ est verbum Dei. Si enim dicas aliud corpus subesse, quod eam sustineat, quid erit, quod illud ipsum corpus portat, & sustinet? atque ita cogitatio scrutari pergens, D non cessabit quousque quiescat in aliquo termino, & extremo, quod sustinetur. non enim est infernè infinitum, quod est supernè terminatum. quod enim est ex vna parte terminatum, etiam ex alia terminum habebit. nam si funis, vt ita ponamus, ex hac parte terræ vsque ad alteram partem pertingat, ipse vero summam partem funis, qui videtur, apprehendam, & duobus aut tribus cubitis eum protendam, annon necesse erit, ex altera parte, quæ non apparet, auelli summam partem funis tanto spatio sursum attractam, quanto ex altera parte E attraxi? hinc licet perspicuè cognoscere habere terram finem internè. Quare ex his demonstratum est, esse Deum omnium rerum auctorem.

B. Pulcherrimè demonstrasti, & gratiam habeo pro vtilitate mihi allata. Vnde autem demonstrabis hunc auctorem habere filium? A. Nonne scis aliud esse percussum, aliud percutiens? aliud videns, aliud quod videtur? aliud cognoscens, aliud quod cognoscitur? B. Maximè. sic enim omnino habet.

non enim potest idem esse agens, & patiens. A. Deus verò an non est quiddam simplex, & penitus purum, immixtum, & à compositione alienum? B. Sic oportet esse. A. Quod igitur est ex toto simplex, & per omnia vnum, quomodo seipsum cognoscit? concessum est enim aliud esse, quod cognoscit; & aliud quod cognoscitur. & hoc maximè spectatur, & cernitur in simplicibus, & μονομερέσιν, id est, vnius modi. Quod enim ex partibus compositum est, poterit forte vna parte videre, & alia videri: quod autem eiusmodi est, necessario compositionem secum infert: Deus autem non potest esse compositus, qui est supra omnem simplicitatem, & omnem vacationem* materiæ: quare necesse est alterum duorum dicere, aut quod se ipsum cognoscit Deus, & ita erit compositus, & rursus primum, quod posuisti & concessisti, euertetur. Posuisti enim aliud esse quod cognoscit; & aliud, quod cognoscitur, aut quod se ipsum ignorat: quod est valde absurdum. B. Non potest contradici. A. Igitur quandoquidem vtrumque est absurdum, Quomodo seipsum cognoscit Deus manens in simplicitate? B. Non intelligo quomodo. A. Omnis cognitio fit vno quopiam ex quinque modis: Aut enim cognoscitur ἐκ τῆς ἰδίας ὑπάρξεως, id est, ex propria essentia, vt cùm videns aliquem, cognosco esse album vel nigrum, capillo crispo, vel non crispo, formosum vel deformem, longum aut curtum: Aut cognoscitur ex simili, id est, ex eadem substantia, & natura: verbi gratia, vnde cognoscis, quod habes cor, & hepar, & splenem, & reliquam interiorem formationem, & dispositionem, quam nunquam vidisti, nisi ex alio eiusdem naturæ, ex quo te cognouisti talem esse? ex similibus enim similia comprehenduntur. tertius modus, ex vestigio quodam sæpe res cognoscitur, vt si transeam per agrum aliquem aratum, & cultum ab aliquo, excultum esse ex vestigio cognosco, quamuis non viderim aratores. & rursus, si ex aliqua arce vndique muris cincta videam telum, aut lapidem in sublime emissum, intelligo ab aliquo emissum esse. quartus modus, cùm aliquis cognoscitur ex imagine. Si enim teneam speculum, & formam in eo apparentem alicuius retro stantis, & in speculum intuentis spectem, cognosco, vtrum ille caluitiem habeat, aut sit simus, aut naso adunco, vel magnis oculis, à similitudine in speculo expressa. quintus modus, cùm sæpenumero contraria ex contrariis cognoscuntur, vt cum dixit Deus Adæ, quocunque die ex ligno comederis, morte morieris. vnde cognouit Adam, quid esset mors, cùm numquam eam vidisset? non enim prius viderat aliquem mortuum. Cognouit scilicet ex contrario, id est ex vita; priuatio enim vitæ mors est. sic dives paupertatem cognoscit, & sanus morbū.

Marginalia: * ἀϋλίας — Cognitio ex propria essentia — ex simili — ex vestigio — ex imagine — ex contrario

A οὐ γὰρ δύναται τὸ αὐτὸ εἶναι τὸ ἐνεργοῦν, καὶ τὸ πάσχον. A. ὁ δὲ Θεὸς οὐχὶ ἁπλοῦν ἐστι, καὶ παντελῶς ἀκέραιον, καὶ ἀμιγὲς, καὶ ἀσύνθετον; B. οὕτως ὤφειλεν εἶναι. A. τὸ οὖν πάντη ἁπλοῦν, καὶ κατὰ πάντα πῶς ἑαυτὸ γινώσκει; δέδοται γὰρ ἄλλο εἶναι τὸ γινῶσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον· καὶ τοῦτο μάλιστα θεωρεῖται ἐπὶ τῶν μονομερῶν, καὶ ἁπλῶν. τὸ γὰρ ἐκ μερῶν συγκείμενον τάχα δυνήσεται μέρει μὲν ὁρᾷν, μέρει δέ τι ὁρᾶσθαι, καὶ τὶ μὲν γινώσκειν, τὶ δὲ γινώσκεσθαι. τὸ τοιοῦτον δὲ σύνθεσιν ἐξ ἀνάγκης εἰσάγει. ὁ δὲ Θεὸς συνθέσεως πάσης
B ἀνεπίδεκτος, ὁ πάσης ἀϋλίας καὶ ἁπλότητος ἐπέκεινα. ἀνάγκη τοίνυν δυοῖν θάτερον εἰπεῖν, ἢ ὅτι ἑαυτὸν γινώσκει ὁ Θεὸς, καὶ οὕτως ἐστὶ σύνθετος· καὶ πάλιν, ἡ προτέρα σύνθεσις, καὶ ὁμολογία ἀνατραπήσεται, ἄλλο μὲν τιθεμένη, τὸ γινῶσκον εἶναι, ἄλλο δὲ, τὸ γινωσκόμενον· ἢ ἐν ἀγνοίᾳ ἑαυτοῦ τὸν Θεὸν καθεστάναι, ὅπερ καὶ αὐτὸ λίαν ἄτοπον. B. ἀναντίῤῥητος ὁ λόγος. A. ἐπεὶ οὖν ἄμφω πεφύκασιν ἄτοπα, πῶς ἑαυτὸν ὁ Θεὸς οἶδε μένων ἐν τῇ ἁπλότητι; B. οὐ συνορῶ πῶς. A. πᾶσα γνῶσις καθ' ἕνα τῶν πέντε τρόπων γίνεται. ἢ γὰρ ἐκ τῆς ἰδίας ὑπάρξεως γινώσκεται, ὡς ὅταν ἴδω τινὰ, γινώσκω, ἢ λευ-
C κός ἐστιν, ἢ μέλας, ἢ οὐλόθριξ, ἢ ἁπλόθριξ, ἢ εὐειδὴς, ἢ δυσειδὴς, μακρὸς ἢ κολοβός· ἢ ἐκ τοῦ ὁμοίου, ἤγουν ὁμοουσίου, καὶ ὁμοφυοῦς, οἷον πόθεν γινώσκεις, ὅτι καρδίαν ἔχεις καὶ ἧπαρ, καὶ σπλῆνα, καὶ τὴν ἔνδον λοιπὴν διάπλασιν, καὶ οἰκονομίαν, ἣν οὐχ ἑώρακας πώποτε, εἰ μὴ ἐξ ἄλλου ὁμοφυοῦς ἐξ οὗ σεαυτὸν τοιοῦτον ὑπάρχειν ἐπέγνωκας; ἐκ γὰρ τῶν ὁμοίων τὰ ὅμοια καταλαμβάνεται. τρίτον, ἐξ ἴχνους τινὸς πολλάκις γνωρίζεται τὸ πρᾶγμα. οἷον, εἰ παρέλθοιμι ἀγρόν τινος ἀρουραίας ἠροτριασμένης, καὶ εἰργασμένης, ὑπό τινος εἰργάσθαι ταύτην γινώσκω ἐκ τοῦ ἴχνους, εἰ καὶ
D τοὺς ἀροτῆρας οὐ τεθέαμαι. καὶ πάλιν, εἰ ἀπό τινος πύργου τετειχισμένου πάντοθεν ἴδω βέλος, ἢ λίθον εἰς ὕψος ἀκοντιζόμενον, ὑπό τινος ἐξακοντίσθαι καταλαμβάνομαι. τέταρτον, ἐξ ἰνδάλματος πολλάκις γινώσκεταί τις. εἰ γὰρ κατέχων ἔσοπτρον μορφήν τινος ὄπισθέν μου ἱσταμένου, καὶ ἐνατενίζοντος, εἰκονισθεῖσαν ἐν αὐτῷ κατοπτεύομαι, γινώσκω εἰ φαλακρός ἐστιν, ἢ σιμὸς, ἢ γρυπὸς, ἢ μεγαλόφθαλμος, ἀπὸ τοῦ ἐντυπωθέντος τῷ ἐσόπτρῳ ὁμοιώματος. πέμπτον, ἐκ
E τῶν ἐναντίων τὰ ἐναντία γινώσκεται πολλάκις. ὡς, ὅτε τῷ Ἀδὰμ εἶπεν ὁ Θεὸς, ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανῇ. πόθεν ᾔδει ὁ Ἀδὰμ τί ἐστι θάνατος, μηδέποτε αὐτὸν ἑωρακώς; οὐ γὰρ προεῖδέ τινα ἀποθνήσκοντα· εἰ μὴ ἐκ τοῦ ἐναντίου, ἤγουν ἐκ τῆς ζωῆς; ἡ γὰρ στέρησις τῆς ζωῆς δῆλον ὅτι θάνατος. οὕτως καὶ ὁ πλούσιος τὴν πενίαν, καὶ ὁ ὑγιὴς τὴν νόσον ἐπίσταται.

Κατὰ ποῖον οὖν τῶν πέντε τρόπων τούτων ἑαυτὸν ὁ Θεὸς οἶδεν; ἐξ αὐτοῦ γινώσκειν ἑαυτὸν οὐ δύναται. τοῦτο γὰρ δέδοται, ἄλλον εἶναι τὸν γινώσκοντα, καὶ ἄλλο, τὸ γινωσκόμενον· οὐδὲ μὴν ἐξ ἴχνους τινός. τὰ γὰρ ποιήματα πολλῷ δεύτερα, καὶ κατώτερα. ἀλλ᾽ οὔτε δι᾽ ἐσόπτρου, οὔτε διά τινος τῶν τεσσάρων τρόπων. ἀνάγκη τοίνυν εἶναι τινα κατὰ πάντα ὅμοιον, ἤγουν ὁμοούσιον, καὶ συναΐδιον τῷ Θεῷ, ἐξ οὗ γνοίη ἑαυτὸν ἵνα μὴ ἀγνοεῖν ἑαυτὸν καταλείποιτο. ὁρῶν γὰρ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν, ὅμοιον ἑαυτῷ, κατὰ πάντα, ἑαυτὸν ἐν ἐκείνῳ ὁρᾷ· αὐτὸς γάρ ἐστιν ἡ εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. B. ἔστω δὴ, τὸν Θεὸν ἔχειν τινὰ συναΐδιον, ὅμοιον, ὅπως ἑαυτὸν ἀπ᾽ ἐκείνου γινώσκοι· πόθεν ἀποδείξεις, ὅτι υἱός ἐστιν; A. ἔοικε τοῖς τῆς δικαιοσύνης ἐρασταῖς, τῷ αὐτῷ μέτρῳ καὶ ζυγῷ, ᾧ μετροῦνταί τε, καὶ σταθμίζονται, ἀντιμετρεῖν τε, καὶ ἀντισταθμίζειν. εἰ γὰρ εἴην εἰληφὼς παρὰ σοῦ χρυσίνους ἑκατὸν, ἐθέλοιμι δέ σοι τούτους ἀποδοῦναι τῷ ζυγῷ, ᾧ σταθμισάμενος εἴληφα, ἐκείνῳ καὶ σὺ παρ᾽ ἐμοῦ οὐχ ἑτέρῳ ἀπολαβεῖν ὀφείλεις· σταθμίον γὰρ μικρὸν καὶ μέγα ἐμίσησεν ἡ ψυχή μου, φησὶν ὁ Θεός. πόθεν ἐπιστάμεθα, ὅτι ἐστὶν Θεός, καὶ τὰ τοῦ Θεοῦ ἰδιώματα; οὐχὶ ἐκ τῶν παρ᾽ ἡμῖν; εἰ γὰρ αὐτὸν οὐχ ἑωράκαμεν πώποτε, οὐδὲ ἐκ τῶν αὐτοῦ ποιημάτων αὐτὸν καταλαμβανόμεθα, ἀνάγκη πᾶσα ἐν παντελεῖ διαρκεῖν ἡμᾶς ἀγνωσίᾳ τοῦ Θεοῦ. ἐκ τῶν οὖν παρ᾽ ἡμῖν τιμιωτέρων τὸν Θεὸν διαγράφομεν, τὰ ἡμῖν ἐπισυμβαίνοντα συμπτώματα παντελῶς ὑπεξαιροῦντες ἀπὸ τῶν ὑπὸ Θεοῦ λεγομένων. οἷον ἐστὶ παρ᾽ ἡμῖν ζωὴ, καὶ θάνατος. τίνι πρέπει ἡμῖν τὸν Θεὸν χαρακτηρίσαι, τῇ ζωῇ, ἢ τῷ θανάτῳ; B. δηλονότι τῇ ζωῇ. A. λέγομεν οὖν, ὅτι ὁ Θεὸς ζῇ, καὶ ζῶν ἐστιν. ἀλλ᾽ ἐπεὶ παρ᾽ ἡμῖν ἡ ζωὴ, καὶ ἀρχὴν ἔχει, καὶ τέλος, καὶ ἐνδεής ἐστι· χρήζει γὰρ τῆς ἔξωθεν ἐπιρροῆς, βρώσεώς τε, καὶ πόσεως, καὶ τῆς τοῦ ἀέρος ἀναπνοῆς, καὶ τῶν τοιούτων, ἐξ ὧν ἡ σύστασις τῆς ἡμετέρας ζωῆς· ταῦτα πάντα τὰ συμπτώματα καὶ ἐλαττώματα κάτω θέντες, καὶ ἀφελόντες, λέγομεν τὸν Θεὸν ζῆν ζωὴν, καὶ τοιαύτην ζωὴν, τὴν μήτε ἀρχὴν, μήτε τέλος ἔχουσαν, μήτε τινὸς παντελῶς τῶν ἔξωθεν χρήζουσαν. ἢ οὐχ οὕτως ἔχειν σοι δοκεῖ; B. καὶ πάνυ θαυμασίως, καὶ εὐστοχώτατα ἐκ τῶν παρ᾽ ἡμῖν τὸν Θεὸν διαγράφεις, καὶ οὐκ ἔστιν αὐτὸν ἄλλοθεν εἰδέναι, ἢ ἄλλως εἰπεῖν. A. οὕτως * ὦ φίλος, ἐπὶ τῶν λοιπῶν μοι νόει· ἔστι παρ᾽ ἡμῖν ὅρασις, καὶ τύφλωσις. τὴν τύφλωσιν ἀφέντες, τὸν Θεὸν λέγομεν ὁρατικὸν ἀπαθῶς, ἤτοι, τὰ τῆς ὁράσεως ἐξορίζοντες πάθη ἀπ᾽ αὐτοῦ. ἐν πᾶσι γάρ ἐστιν ὁ Θεὸς ἀπαθής. ὡσαύτως ἀκοὴ, καὶ κώφωσις παρ᾽ ἡμῖν. ἀκουστικὸν, οὐ κωφὸν ἐροῦμεν τὸν Θεόν. ὡσαύτως δὲ καὶ τὰ λοιπά. * εἰ γὰρ μή ποτε γραφὴν ἐδεξάμεθα, τοῖς τοιούτοις ἴχνεσί τε καὶ τρόποις τὸν Θεὸν ἰχνηλατοῦμεν. B. πάνυ γε καλῶς, καὶ ἀποδεκτῶς εἴρηκας. τῷ αὐτῷ οὖν ζυγῷ, ὦ δικαιότατε, τὴν τοῦ λόγου ἀκολουθίαν ἀνταπόδος μοι.

A Quo igitur modo ex his quinque cognoſcit Deus ſe ipſum? cognoſcere ſeipſum è ſe ſcilicet non poteſt. hoc enim datum eſt, alium eſſe qui cognoſcit; & alium, qui cognoſcitur. nec ex veſtigio aliquo: quæ enim facta ſunt, multo ſunt inferiora. neque per ſpeculum; nec alio ex quatuor modis. neceſſe igitur eſt eſſe aliquem per omnia ſimilem, id eſt, homouſion, & coæternum Deo, ex quo cognoſcat ſeipſum, ne reliquum ſit ignorare ſeipſum. videns enim Deus filium ſuum ſibi per omnia ſimilem, ſeipſe in illo videt, B ipſe enim filius eſt imago Dei inuiſibilis; & figura ſubſtantiæ eius. B. Eſto, habeat Deus aliquem coæternum ſimilem, vt ex illo ſe ipſe cognoſcat: vnde demonſtrabis, Filium eſſe? A. Decet iuſtitiæ amatores eadem menſura, & lance, qua metiuntur, & ponderant, remetiri, & rependere. Si enim à te accepiſſem centum aureos nummos, vellémque hos tibi reddere; ea lance qua appenſos accepi, & non alia à me recipere debes. pondus enim paruum & magnum odiuit anima mea, ait Deus. vnde C ſcimus ſi Deus eſt, eiuſque proprietates? an non ex iis quæ apud nos ſunt? Etenim ſi nunquam eum vidimus, nec ex creaturis eius eum cognoſcimus, neceſſe omnino eſt nos Deum ignorare. igitur ex iis quæ apud nos ſunt nobiliora, Deum deſcribimus, eas penitus quæ nobis accidunt aberrationes eximentes è numero eorum quæ de Deo dicuntur. verbi gratia, apud nos eſt vita & mors: quo decet nos ſignare Deum, vita? an morte? B. Vita ſcilicet. A. Dicimus igitur Deum viuere, & viuentem eſſe. Sed quia apud nos vita & principium habet, & finem, & indiget, D indiget enim iis quæ extrinſecus influunt, vt cibo, & potu, & reſpiratione aëris, & aliis huiuſmodi, ex quibus vita noſtra conſtat: his omnibus, quæ accidunt, ſepoſitis, ac remotis, dicimus Deum viuere vitam, quæ neque principium habet, neque finem, nec vlla prorſus re extrinſecus indiget: an non videtur tibi ſic eſſe? B. Admirabiliter, & quàm optimè coniici poteſt, Deum deſcribis, neque poteſt aliunde cognoſci, nec aliter poſſumus de eo E loqui. A. Ad eundem modum debes intelligere de reliquis. eſt apud nos aſpectus & cæcitas, relicta cæcitate, Deum dicimus videntem ἀπαθῶς, id eſt, non patiendo, hoc eſt, remouentes ab eo paſſiones viſionis. eſt enim Deus in omnibus ἀπαθής, id eſt, alienus à paſſione. Similiter auditus, & ſurditas eſt apud nos; Deum dicemus audientem, & non ſurdum. Similiter in reliquis. B. Pulchrè, & demonſtranter dixiſti. eadem lance iuſtiſſimè, quæ conſectaria ſunt in hoc ſermone, redde mihi.

* *Turrian. legit*, ἐφίλης ὅτι τῶν λοιπῶν μοι νοεῖν.

* *Deſideratur in verſione Turriani.*

A. Quid apud nos est illustrius, ac maioris dignitatis, fœcunditas, an infœcunditas? generatio, an sterilitas? Si enim in hoc contendis, & iniustus sis, ego etiam contendam mortem esse vita meliorem, & cæcitatem ac surditatem aspectu & auditu honoratiora. ecquid ista contentione absurdius, & magis ridendum esse possit? B. Sane demonstrasti Deum esse fœcundum, & generātem, idque esse citra vllā cōtrouersiam nobilius. gignere enim præstātius est, quàm sterilem & infrugiferum esse. at generationem sequuntur passiones. A. Bone & sapiens vir, iam prius constituimus, habere Deum nobilissima eorum quæ apud nos sunt absque iis quæ consequuntur, quæ παθήματα & συμπτώματα dicuntur. B. Et satis, & plane, ac vere de hoc tractasti, quod Deus sit, & filiū habeat. Sed quare non multos genuit, vt per plures princeps, & regnator esset? A. Quia oporteret vt vnum ex tribus fieret, aut genuisse infinitos, & in sæculum sæculi, & perpetuo; aut certo numero, verbi gratia, centum aut vnū. Si infinitos genuisset, & perpetuo, nunquam quiesceret eius desideriū, neque eius voluntas vnquam impleta esset. Sin vero certos & finitos, vt centū, genuisset, qua de caussa hoc faceret? profecto quia vnus non satis esset ad implendum omne desideriū eius, omnémq; voluntatē. idcirco enim opus esset pluribus. quod quidem si dederimus, sequitur imperfectū & indigentem esse filium, neque sibi sufficere: quod si filius sit indigens, est autē æqualis, & similis Patri, vt demonstratum est, erit igitur etiā Deus Pater imperfectus, & indigēs, (sed propitius sis mihi Domine) & nō per se sufficiēs, quod quidem absurdū est. Sin vero perfectus est Filius sicut Pater, non opus est aliis: dic mihi, nónne tibi ita videtur? B. Sane quidem. A. Age. reliqua animalia sunt ne rationis & liberi arbitrij expertia? B. Sic est. A. Si igitur voluisset Deus mittere ad nos, ad mundum, inquā, nunciū, ex quo ordine missurus erat? ex angelis, aut ex hominibus? non enim ex animantibus ratione carentibus. B. Ita est. A. Cùm igitur hi essent suæ volūtatis compotes, in potestate eius qui mitteretur, erat obedire aut non obedire mittenti; item dicere, vt ei iussum esset, aut aliqua inuertere. Ao ignoras Moysem, & Hieremiā, & alios à Deo missos, recusasse, & detrectasse, ac metu ministerij obeundi, aut alia affectione captos excusasse se, quousque Deus multis verbis & hortationibus eis suasit? quid si vsque ad finē voluissent perseuerare? penes eos tanquam libero arbitrio præditos, erat. B. Sic est. A. Ionas autem fugit à facie Domini in Tarsis, cùm ab eo missus est Niniuem. B. Sic legimus. A. Si igitur qui mitterentur, aut recusarent missionem, aut alia pro aliis nunciarent: alterum duorum omnino fieri necesse erat, aut vacare, ac frustra esse consilium Dei:

* Aliter hic distinctus est codex Tarr.

A A. Τί παρ' ἡμῖν τιμαλφέστερον, τὸ γόνιμον, ἢ τὸ ἄγονον; γένεσις ἢ στέρησις; εἰ γὰρ ἐν τούτῳ φιλονεικεῖς, καὶ ἀδικεῖς, φιλονεικήσω κἀγώ, ὅτι καὶ ὁ θάνατος τῆς ζωῆς κρείττων. καὶ ἡ τύφλωσις, καὶ ἡ κώφωσις τῆς ὁράσεως καὶ ἀκοῆς τιμιωτέρα. καὶ τί ἂν τῆς τοιαύτης φιλονεικίας ἀτοπώτερόν τι, ἢ καταγελαστότερον; B. Οὕτως ἀπέδειξας, ὅτι γόνιμος ὁ Θεός, καὶ γεννητικός. πάσης γὰρ ἀντιλογίας ἐκτός, τιμιώτερον τὸ γεννᾶν, τῆς στερήσεως καὶ ἀκαρπίας. ἀλλὰ τῇ γεννήσει παρέπεται πάθη. A. Ἀλλ' ἀγαθὲ καὶ σοφέ, προαπεδείξαμεν τὸ θεῖον κεκτῆσθαι τὰ παρ' ἡμῖν τιμιώτατα, ἄνευ τῆς ἐπακολουθούσης αὐτοῖς τῶν παθημάτων
B καὶ συμπτωμάτων συμβάσεως. B. Ἀρκούντως περὶ τούτου, καὶ σαφῶς, καὶ ἀληθῶς διεξῆλθες, ὅτι Θεός ἐστι, καὶ υἱὸν ἔχει. ἀλλὰ διὰ τί μὴ πλείονας ὁ Θεὸς ἐγέννησεν, ἵνα πλειόνων ἄρχῃ, καὶ βασιλεύῃ; A. Ἐπειδὴ ἀνάγκη ἦν τῶν τριῶν τούτων γενέσθαι· ἢ ἀπείρους γεννῆσαι, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἀτελευτήτως, ἢ ὡρισμένον ἀριθμόν, ἤτοι ἑκατόν, ἢ ἕνα φέρε εἰπεῖν. εἰ μὲν οὖν ἀπείρους καὶ ἀναριθμήτους ἐγέννησεν, καὶ εἰς τὸ διηνεκὲς ἐγέννα, οὐκ ἂν αὐτοῦ ἡ ἔφεσις ἔστη, οὔτε ἡ εὐδοκία αὐτοῦ ποτὲ ἐπληροῦτο. εἰ δὲ ὡρισμένους τινάς, οἷον ἑκατὸν
C ἐγέννησεν, ὅτου χάριν ἐποίει τοῦτο; πάντως ὡς μὴ οὐχὶ τοῦ ἑνὸς ἐπαρκοῦντος πᾶσαν αὐτοῦ πληρῶσαι τὴν εὐδοκίαν, καὶ ἔφεσιν. διὰ τοῦτο γὰρ τῶν πλειόνων ἡ χρεία. εἰ δὲ τοῦτο δοίημεν, ἀτελὴς ἄν, καὶ ἐνδεής, καὶ οὐκ αὐτάρκης ὁ υἱός. εἰ δὲ ὁ υἱὸς ἐνδεής, ἴσος δὲ καὶ ὅμοιος τῷ πατρὶ πέφυκεν, ὡς ἀποδέδεικται, ἔσται ἄρα καὶ ὁ Θεὸς καὶ πατὴρ ἀτελής τε, καὶ ἐνδεής, (ἵλεως γενοῦ μοι κύριε,) καὶ οὐκ αὐτάρκης, ὅπερ ἄτοπον. εἰ δὲ τέλειός ἐστιν ὁ υἱός, ὡς καὶ ὁ πατήρ, οὐκ ἔστιν ἑτέρων χρεία. εἰπέ μοι, οὐχὶ φῄς; B. Ναί.
D A. Τὰ δὲ λοιπὰ ζῶα, λόγου τε καὶ αὐτεξουσιότητος ἀμοιρεῖ; B. Οὕτως ἔχει. A. Εἰ οὖν ὁ Θεὸς ἠβουλήθη πρὸς ἡμᾶς, ἤγουν εἰς τὸν κόσμον, ἀπόστολόν τινα πέμψαι, ποίου τάγματος ἀποστέλλειν ἔμελλεν, ἐξ ἀγγέλων πάντως, ἢ ἀνθρώπων; οὐ γὰρ ἐκ τῶν ἀλόγων ζώων. B. Οὕτως ἔχει. A. Αὐτεξουσίων οὖν ὄντων, ἐν τῷ ἀποστελλομένῳ ἦν ὑπακοῦσαι τοῦ Θεοῦ, ἢ μὴ ὑπακοῦσαι εἰς τὴν ἀποστολήν, καὶ εἰπεῖν, ὡς ἐκελεύσθη, ἢ παραστρέψαι τινά. * ἢ οὐκ οἶδας ὅτι καὶ Μωσῆς, καὶ Ἱερεμίας, καὶ ἕτεροι ἀποστελλόμενοι παρὰ τοῦ Θεοῦ, τὰ πρῶτα παρῃ-
E τοῦντο, καὶ ἀνένευον, καὶ δέει τῆς λειτουργίας, ἢ ἑτέρῳ πάθει κρατούμενοι προεφασίζοντο, μέχρις ἂν αὐτὸς ὁ Θεὸς πλείοσι λόγοις καὶ παραινέσεσιν ἀνέπειθεν. εἰ δὲ καὶ ἕως τέλους εἵλοντο διακαρτερῆσαι ἐπ' αὐτοῖς, ὡς μὲν αὐτεξουσίοις ἔκειτο τοῦτο. B. Οὕτως ἔχει. A. Ὁ δὲ Ἰωνᾶς, καὶ φυγῇ ἐχρήσατο ἀπὸ προσώπου Κυρίου εἰς Ταρσεῖς, ἀποσταλεὶς παρ' αὐτοῦ εἰς Νινευΐ. B. Οὕτως ἀναγινώσκομεν. A. Εἰ τοίνυν ἀποστελλόμενοι, ἢ παρῃτοῦντο τὴν ἀποστολήν, ἢ ἀνθ' ἑτέρων ἀπήγγελον ἕτερα, πᾶσα ἀνάγκη τῶν δύο τὸ ἕτερον ἦν γενέσθαι, ἢ τὴν τοῦ Θεοῦ βουλὴν ἀργῆσαι,

τὸ μὴ εὑρίσκειν ἀπόστολον, ἢ αὐτὸν ἀπαναστάντα τοῦ βασιλικοῦ θρόνου ἀπόστολον ἑαυτοῦ, καὶ αὐτάγγελον χρηματίσαι, καὶ διάκονον τῆς ἑαυτοῦ βουλῆς, καὶ αὐτουργὸν, καὶ ὑπηρέτην· ὅπερ, ὡς ἀπέδειξεν ὁ λόγος, ἀλλότριον πάντη, καὶ ἀπεξενωμένον τοῦ βασιλικοῦ ἀξιώματος, τὸ δι' ἑαυτοῦ αὐτουργικῶς προσομιλοῦν τι τῶν οἰκείων βουλημάτων τε, καὶ προσταγμάτων, ἀποστεῖλαι δὲ πρὸς ἡμᾶς τι τῶν ἀλόγων ζώων, καὶ τὸ λέγειν ἠλίθιον. Οὐκοῦν ἀνάγκη πᾶσα τὸν Θεὸν ἔχειν τινὰ ὁμοούσιον ἑαυτοῦ τὸ αὐτεξούσιον ἔχοντα, καὶ τὸ θέλημα, οὐ παρηλλαγμένον, καὶ ἀπᾷδον παντελῶς τῆς ἰδίας βουλήσεως εἰς ἐκπλήρωσιν τῶν θείων αὐτοῦ ἐφέσεων, ὅς ἐστιν ὁ υἱὸς συναΐδιος, καὶ παντοτελής, καὶ ὁμόβουλος, ὁ καὶ ἐν ταῖς γραφαῖς τῆς μεγάλης βουλῆς καλούμενος ἄγγελος· * καὶ τοῖς πρώην χρηματίσας πατράσιν Ἀβραάμ τε, καὶ Ἰσαάκ, καὶ Ἰακὼβ, καὶ Μωϋσῇ, καὶ τοῖς λοιποῖς, ὡς καὶ ἐκ τῶν ἁγίων γραφῶν ἀκριβέστερον ἐντυγχάνων μαθήσῃ.

B. Τί δὲ εἰπεῖν ἔχεις περὶ τοῦ πνεύματος; τίς τούτου χρεία ἦν, αὐτάρκους ὄντος τοῦ υἱοῦ, ὡς εἴρηκας, εἰς τελείωσιν τῆς ἀρχῆς, καὶ τῆς βασιλείας τοῦ πατρός; A. ἰδίωμά ἐστι τῆς ἐννομωτάτης βασιλείας, τὸ μηδὲν δήποτε δι' ἑαυτοῦ τὸν βασιλέα ποιεῖν· ἀλλὰ, τὰ δοκοῦντα αὐτῷ διὰ κελεύσεως πληροῦν. εἰ γάρ τι δι' ἑαυτοῦ ποιήσει, ἐλάττωμα, καὶ ὕφεσις, καὶ κατάπτωσίς ἐστι τῆς βασιλείας, καὶ οὐ βασιλικόν. διὸ μεσιτεύει ὁ υἱός. πάλιν τῶν ἀναγκαιοτάτων, καὶ συμπληρωτικῶν τῆς βασιλείας ἐστὶ τὸ, ἔχειν πλοῦτον ἀπέραντον, καὶ ἀδαπάνητον, καὶ θησαυροὺς, καὶ ταμεῖα. ὁ γὰρ μὴ φιλοτιμούμενος, καὶ πλουτίζων, καὶ δωρεὰς διανέμων, πένης, καὶ πτωχὸς βασιλεὺς, μᾶλλον δὲ οὐδὲ βασιλεύς. ὁ πλοῦτος τοίνυν ὁ βασιλικὸς τοῦ πατρός ἐστι τὸ πνεῦμα τὸ ἅγιον, τὸ τὰ χαρίσματα βρύον. ὁ πατὴρ οὖν δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἤγουν, τὰς ἐνεργείας, καὶ χάριτας τοῦ πνεύματος δίδωσι. B. καὶ διὰ τί μὴ ὁ υἱὸς εἴη ὁ διδοὺς ἑαυτὸν, ἵνα γένηται αὐτὸς ὁ πλοῦτος; A. Οὐκοῦν ὁ υἱὸς ἐγίνετο αὐτὸς ὢν ὁ διδοὺς, καὶ τὸ διδόμενον, ὅπερ ἐξ ἀρχῆς ἀδύνατον, καὶ παρ' ὑμῶν ὡμολόγηται, ἡνίκα ἐλέγετο, ἄλλο τὸ γινῶσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον, τὸ ἐνεργοῦν καὶ τὸ ἐνεργούμενον· Οὐκοῦν ὁ πατὴρ κελεύει βασιλικῶς, ὁ υἱὸς περαίνει τὴν πατρικὴν εὐδοκίαν, καὶ δίδωσι τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ἐστὶν ὁ πλοῦτος, καὶ τὸ ταμεῖον τῶν ἀγαθῶν ἁπάντων δωρημάτων· καὶ οὕτως ἀνελλιπὴς, καὶ τελεία ἡ βασιλεία, καὶ εὔτακτος εὑρεθήσεται. B. ἀλλὰ πρὸ τῶν κτισμάτων οὐκ ἦσαν οἱ πλουτιζόμενοι, καὶ φιλοτιμούμενοι. οὐκ ἔδει οὖν εἶναι τὸ πνεῦμα. τίς γὰρ αὐτοῦ ἦν χρεία; A. ἀλλ', ὦ βέλτιστε, τὴν βασιλείαν τοῦ Θεοῦ τελείαν ἐξ ἀϊδίου εἶναι χρὴ, ἵνα μὴ χρόνῳ καὶ ὕστερον τελειῶται. κἂν μηδεὶς ὁ μετέχων ταύτης εἴη, ὥσπερ ὁ φιλόσοφος, καὶ ἰατρὸς ἔχειν θέλει τὴν τέχνην, καὶ τὴν γνῶσιν τελείαν, κἂν μὴ ὦσιν οἱ μανθάνοντες, ἢ οἱ ἰατρευόμενοι.

A quia non inueniretur nuntius, aut ipsum à regali solio discedentem, fieri sibi nuncium, & αὐτάγγελον vocari; & sui consilij administrum, & per se confectorem, & famulum: quod quidem, vt ratio demonstrauit, alienum omnino, & extrarium à regali dignitate erat, per se ipsum ministrantem sermones facere apud nos de nostris voluntatibus & rebus. mittere autem ad nos aliquid animalium ratione carentium, vel hoc ipsum dicere, mortiferum est. quare necesse omnino erat, vt Deus haberet aliquem homoousion, id B est, suæ essentiæ, qui liberum arbitrium haberet, & voluntatem penitus à sua voluntate non diffidentem, neque discordantem ad explendum omnia sua desideria, qui est filius eius, coæternus, & per se perfectus, & * eiusdem consilij, qui in sanctis Scripturis vocatur Magni consilij angelus.

* Hæc desunt in versione Turriani.

* ὁμόβουλος.

B. Quid habes ad dicendum de Spiritu sancto? quid hoc opus est? cum satis sit filius, vt dixisti, ad perfectionem principatus, & regni Patris? A. Proprietas regni C optimè legibus instituti est, vt nihil qualecunque sit, per se faciat rex, sed quæ ei videatur, iubendo perficiat. Si quid enim per se faciat, imminutio est & deiectio, & regni depressio, & non dignitatis regiæ. quamobrem filius est * medius. rursus valde necessarium est, & quod regnum complet, habere definitas diuitias, & quæ consumi nequeant, & thesauros, ac multa recondita. Qui enim non est splendidus, & copiosus, & munificus, inops, & pauper, imò rex non est. diuitiæ igitur regales Patris, sunt ipse Spiritus sanctus, qui charis-D matibus scatet. Pater igitur per Filium dat Spiritum sanctum, id est, operationes, & gratias Spiritus sancti. B. Et quare Filius non tribuit seipsum, vt fiat ipse diuitiæ? A. Quia sic Filius esset dator, & datum, quod non posse fieri, à principio constitutum est, cùm diximus aliud esse cognoscens, & aliud, quod cognoscitur; aliud efficiens, & aliud, quod efficitur. Pater igitur iubet regaliter, Filius perficit quod patri placet, & dat Spiritum sanctum, qui est diuitiæ, & penus bonorum donorum. atque ita repe-E rietur regnum perfectum, benè compositum, & nulla re defectum. B. At antequam creaturæ essent, non fiebant diuites, nec erant, qui honores cuperent, ac proinde non opus erat vt adesset Spiritus sanctus. quid enim eo opus erat? A. Verùm, ô bone vir, oportebat vt regnum Dei esset ex æternitate, ne in tempore, & postea perficeretur, quamuis nullus participaret. Sicut Philosophus, & medicus cognitionem, & artem perfectam habere vult, quamuis non fiant, qui discant, & quibus medicina fiat.

* μεσιτεύει.

παραδοξολογία.

A etenim & tu visum habes etiam cùm nocte dormis, & in lecto cubas, quamuis non sint quos videas; quia perfectus homo es, vt cùm videre volueris, præsto sit tibi aspectus, & non tunc foris accedat. dicam autem tibi de Spiritu sancto quod de filio dicebam, opulentia Dei aut est maior, aut æqualis, aut minor: maior eo non est, quia nihil potest esse Deo maius: minor non est, alioqui pones eam inter creaturas. quod enim minus Deo est, creatura est, atque ita fiet, vt Deus aliquando sit pauper, & indigens, & cui aliquid desit. quod non est concedendum, & est absurdum. necesse ergo est æqualem esse opulentiam, & ex eadem æternitate, vt perfectus sit Deus, & rex æternus, cui gloria, & honor, & imperium in sæcula sæculorum. Amen.

καὶ σὺ γὰρ ὁρατικὸς εἶ, καὶ καθεύδων, καὶ ἐν νυκτὶ ἀνακείμενος, κἂν μὴ ὦσιν οὓς ὁρᾷς· ἐπεὶ καὶ τέλειος ἄνθρωπος εἶ, ἵν' ὅταν θελήσῃς ὁρᾷν, πάρεστί σοι ἡ ὅρασις, καὶ οὐχὶ τότε ἐπίκτητος προσγίνεται. ἐρῶ γάρ σοι περὶ τοῦ πνεύματος, ὅπερ καὶ περὶ τοῦ υἱοῦ ἔλεγον. ὅτι ὁ πλοῦτος τοῦ Θεοῦ, ἢ μείζων, ἢ ἴσος, ἢ ἐλάττων. καὶ μείζων αὐτοῦ οὐκ ἔστιν· οὐδὲν γὰρ τοῦ Θεοῦ μεῖζον· ἐλάττων δὲ οὐκ αὐτοῦ, ἐπεὶ θήσεις * αὐτὸν μετὰ τῶν κτισμάτων. τὸ γὰρ ἔλαττον τοῦ Θεοῦ, κτίσμα, καὶ ἔσται ποτὲ οὕτως ὁ Θεὸς πένης, καὶ ἐνδεὴς, καὶ ἐλλιπὴς, ὅπερ ἐστὶν ἀνεπίδεκτον, καὶ ἄτοπον. ἀνάγκη τοίνυν ἴσον εἶναι, καὶ συναΐδιον, B ἵνα τέλειος ᾖ ὁ Θεὸς, καὶ βασιλεὺς αἰώνιος, ᾧ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ τὸ κράτος εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν.

* Videtur addendum γὰρ.

IV.

EPISTOLA CONTINENS

fidem orthodoxam, missa à B. Thoma Patriarcha Hierosolymitano ad Hæreticos in Armenia, Arabicè dictata à Theodoro, cognomento Abucara, Episcopo Carum, & à Michaële Presbytero & C Syncello Ecclesiæ Hierosolymitanæ in Græcum sermonem translata, per quem & missa est; continens inquam solam verámque fidem in Concilio Chalcedonensi traditam de Christo Domino ac Deo nostro.

ΕΠΙΣΤΟΛΗ ΠΕΡΙΕΧΟΥΣΑ

τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, πεμφθεῖσα παρὰ τοῦ μακαρίου Πάππα Θωμᾶ πατριάρχου Ἱεροσολύμων, πρὸς τοὺς κατὰ τὴν Ἀρμενίαν αἱρετίζοντας, Ἀραβιστὶ μὲν ὑπὸ Θεοδώρου τοῦ τὸ ἐπίκλην Ἀβουκαρᾶ τοῦ Καρῶν ἐπισκόπου γεγονότος, ἀπαγορευθεῖσα, διὰ δὲ Μιχαὴλ πρεσβυτέρου, καὶ συγκέλλου ἀποστολικοῦ θρόνου μεταφρασθεῖσα, μεθ' οὗ καὶ ἀπέσταλται, μόνην ἀληθινὴν, καὶ κατὰ τὸν ὅρον ἐν Χαλκηδόνι οὔσης συγκεκροτημένης συνόδου τὸν περὶ τῆς εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστεως ὁρισθέντα λόγον.

Math. 16. CHRISTVS Dominus, & Deus noster dixit Petro principi Apostolorum, *Tu es Petrus, & super hanc petram ædificabo Ecclesiam meam, & portæ* D *inferi non prævalebunt aduersus eam.* Hæc verba dixit Dominus Petro, cùm Petrus Domino, qui se appellauerat filium hominis, dixit; *Tu es Christus filius Dei viui*; & copulata sunt in Christo Domino nostro vtraque verba, & confirmatum, quod esset Deus & homo. oportet igitur charissimi, vt quicunque Christianam religionem amplectitur, fidem suam probet, & consideret, & si quidem eam reperiat affirmare Christum esse Deum, & hominem, debet eam complecti, & retinere, ac pro E ea vsque ad mortem pugnare. Sin autem ad aliud quid declinet, debet abominari, & fugere, & odio prosequi, & duritiam fidei, & maiores, à quibus illam, tanquam hæreditatem accepit, eiicere ex corde suo, & illam affectionem, quam Dauid ait, Psal. 44. cùm dicit, *Audi filia, & vide, & inclina aurem tuam, & obliuiscere populi tui, & domus patris tui, & concupiscet rex pulchritudinem tuam.* tunc enim homo pulchritudinem verè concupiscendam haurit & elicit à Christo

ΧΡΙΣΤΟΣ ὁ κύριος, καὶ Θεὸς ἡμῶν τῷ τῶν Ἀποστόλων ἔφη κορυφαίῳ Πέτρῳ· σὺ εἶ Πέτρος, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσι σε. Τοῦτον δὲ τὸν λόγον ὁ κύριος ἔφησε τῷ Πέτρῳ, ἡνίκα Πέτρος πρὸς τὸν κύριον, ἑαυτὸν υἱὸν ἀνθρώπου κεκληκότα, εἴρηκεν· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ συνηρμόσθησαν ἐπὶ τοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἀμφότεροι οἱ λόγοι, καὶ πεπίστωται ὅτι Θεός ἐστι, καὶ ἄνθρωπος. Χρὴ τοίνυν ἀγαπητοὶ πάντα τὸν Χριστιανισμὸν οἰκειούμενον τὴν ἑαυτοῦ δοκιμάζειν, καὶ διασκέπτεσθαι πίστιν. καὶ εἰ μὲν βεβαιοῦσαν αὐτὴν εὕροι Χριστὸν εἶναι Θεόν τε, καὶ ἄνθρωπον, ὀφείλει στέργειν, καὶ ἀντέχεσθαι, καὶ ὑπερμαχεῖν αὐτῆς, ἄχρις ἀποβιώσεως. Εἰ δὲ καὶ ἐκβαίη τὸ πέρας εἰς ἄλλο, δεῖ μυσάττεσθαι, καὶ φεύγειν, καὶ ἀπεχθάνεσθαι, τήν τε τραχύτητα, καὶ τὴν πρὸς τοὺς προγόνους, ἀφ' ὧν ἐκείνην τὴν πίστιν ἐκληρονόμησεν, ἐξορίζειν τῆς ἑαυτοῦ καρδίας, καὶ τὴν προσπάθειαν, οἵαν φησὶν ὁ Δαβίδ, Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· τηνικαῦτα γὰρ ὁ ἄνθρωπος τὸ ὄντως ἐφετὸν ἐπισπᾶται κάλλος παρὰ Χριστοῦ

ἀληθινοῦ νυμφίου, τοῦ τῶν βασιλευόντων βασιλέως, ἡνίκα τὴν πρὸς τοὺς πατέρας προσπάθειαν ἀπορρίψειεν, καὶ τὴν εἰς τὸ διαμένειν ἐν τοῖς ἀπ' ἐκείνων παραδεδομένοις πλησμονὴν ἀποτινάξειεν. ἐπεὶ οὖν ὦ οὗτοι οὕτως ἔχει ταῦτα, δεῦρο πάντες ἀμφότεροι προσδράμωμεν τῇ προειρημένῃ πίστει τῆς ἀκλινοῦς ταύτης πέτρας τοῦ τῶν ἀποστόλων προηγήτορος, καὶ πιστεύωμεν τὸν Χριστὸν εἶναι Θεόν τε, καὶ ἄνθρωπον.

Ἰστέον δὲ, ὅτι ἐπειδὴ ὁ αὐτὸς ὑπάρχει Θεός τε, καὶ ἄνθρωπος, μία πάντως ἐστὶν ὑπόστασις· καὶ Θεὸς ὢν, καὶ ἄνθρωπος, δύο φύσεις ἔχει, θείαν τε, καὶ ἀνθρωπίνην. διὰ γὰρ τὸ κυρίως εἶναι Θεὸς, τὸ μὴ οὐχὶ θείαν ἐσχηκὼς φύσιν ἀδύνατον, καὶ ἀληθῶς ἄνθρωπος εἶναι, τὸ μὴ πεφυκὸς ἔχειν ἀνθρωπίνην φύσιν, ἀδύνατον. ἔστι δὲ αὕτη ἡ μία ὑπόστασις αὐτὸς ὁ προαιώνιος υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων ἐκ πατρὸς ἀχρόνως καὶ ἀπαθῶς γεγεννημένος, ὅς ἐστι Θεὸς, ἴσος τῷ πατρὶ, κατὰ τὴν ἀιδιότητα τὴν πατρικὴν οὐσίαν ἀιδίως ἔχων, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, ἐσαρκώθη, καὶ ἐνηνθρώπησεν. οὗτος ὁ ἀΐδιος υἱὸς ἀτρέπτως καὶ ἀναλλοιώτως γεγονὼς, ὡς εἷς τῶν ἀνθρώπων κατὰ πάντα, δίχα τῆς ἁμαρτίας, προσειληφὼς τὴν ἡμετέραν, ἣν οὐκ εἶχε, φύσιν, μεμενηκυίας αὐτῷ τῆς θείας, ἣν ἀιδίως προεῖχε, φύσεως. οὗτος ὁ ἀΐδιος υἱὸς μετὰ τὴν ἑαυτοῦ σάρκωσιν, Θεὸς ὁ αὐτὸς ἐστὶ, καὶ ἄνθρωπος, μία ὑπάρχων τῆς τριάδος ὑπόστασις, τὴν τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος φύσιν ἔχων, καὶ τὴν ἡμετέραν ἀνθρωπίνην φύσιν, τῆς τριάδος προσθήκην οὐκ εἰσδεξαμένης. καὶ γὰρ, ὦ βέλτιστοι, σαφῶς ἐπ' αὐτῆς τῆς ἀληθείας τῶνδε τῶν νῦν εἰρημένων, ὅτι ἡ τριὰς οὐ προσείληφεν αὔξησιν· ἐπειδήπερ οὐδὲ φαμὲν μίαν ὑπόστασιν Θεὸν εἶναι, ἑτέραν δὲ ἄνθρωπον, ἀλλὰ τὴν ὑπόστασιν, ἥτις ἐστὶ Θεὸς, ταύτην ἐροῦμεν ὑπάρχειν ἄνθρωπον, οὐκ ἄλλην ὑπόστασιν. οὐκ ἀληθὲς δὲ φάναι τὸ, τὸν Χριστὸν εἶναι μίαν ὑπόστασιν, διὰ τοῦτο δεῖν μὴ ἔχειν, εἰ μὴ μίαν φύσιν. ἐπεὶ πάντως ἕψεται ταύτην τὴν μίαν εἰπεῖν φύσιν, ἢ θείαν ἄκρατον, ἢ ἀνθρωπίνην ἄκρατον, ἢ θείαν καὶ ἀνθρωπίνην ἅμα, ἢ μήτε θείαν, μήτε ἀνθρωπίνην.

Εἰ μὲν γάρ ἐστιν ἡ μία φύσις αὕτη θεία ἄκρατος, * ὁ Χριστὸς ἄρα ἄνθρωπος, καὶ οὐ Θεός. εἰ δὲ ἐστιν ἡ μία φύσις αὕτη, θεία, καὶ ἀνθρωπίνη ἅμα, οὔτε τοῦ πατρὸς, οὔτε τοῦ ἁγίου πνεύματος, οὔτε μὴν τῶν ἀνθρώπων ἄρα φύσις ἐστίν. καὶ ἀμφοτέρωθεν βλασφημίας ἔγκλημα τῷ τοῦτο φρονοῦντι προστεθήσεται, καὶ τῆς ἐρρωμένης φύσεως ἐκστήσεται. εἰ δέ ἐστιν ἡ μία φύσις αὕτη, οὔτε θεία, οὔτε ἀνθρωπίνη, ὁ Χριστὸς ἄρα, οὔτε Θεὸς, οὔτε ἄνθρωπος. ὅπου τοιγαροῦν τοὺς λόγους περιστρέφωμεν, εἰς τὸ λέγειν ἀπαγόμεθα, ὅτι ὁ Χριστὸς, μία ὑπόστασις ἐκ τῆς τριάδος, δύο φύσεις ἔχων, φύσιν τε θείαν,

A vero sponso, & rege regum, quando affectionem erga parentes abiecerit; & satieratem perseuerandi in iis quæ ab illis tradita fuerunt, excusserit. Quandoquidem igitur sic se res habet, agite, omnes simul ad fidem, quam dixi, petræ huius ἀκλινοῦς, id est, quæ distorqueri & inflecti non potest, Petri scilicet ducis Apostolorum, accurramus, credamúsque Christum esse Deum, & hominem.

Sciendum autem est, quod quia idem ipse est Deus & homo, vna omnino hy-
B postasis est, & cùm Deus, & homo sit, duas habet naturas, diuinam & humanam; & quia Deus est, non potest non habere diuinam naturam; & quia homo, non potest non habere humanam. est autem hæc vna hypostasis ipse ante sæcula filius, qui est Deus æqualis patri secundum æternitatem, qui ex æternitate paternam substantiam habet, nouissimis verò diebus ex Maria virgine carnem assumpsit, & homo factus est. Sic æternus filius sine mutatione, & variatione, factus sicut vnus ex hominibus per omnia excepto peccato,
C assumpta nostra natura, quam non habebat, remanente diuina, quam ex æternitate habebat. Hic æternus filius post incarnationem suam idem est Deus & homo vna hypostasis ex Trinitate, habens naturam Patris, & Spiritus sancti, & nostram naturam, nulla ad Triniratem accessione facta. Siquidem veritas eorum, quæ à nobis dicta sunt, planè habet Trinitatem non esse auctam, quia non dicimus vnam hypostasim Deum esse, aliam verò hominem; sed hypostasim, quæ est Deus, hanc dicimus esse hominem, non
D aliam, & aliam hypostasim. non est autem verum, dicere Christum esse vnam hypostasim, & propterea non debere nisi vnam naturam habere: quia omnino, si non habeat nisi vnam naturam, sequetur, vt dicendum sit, hanc vnam naturam vel esse diuinam puram; vel humanam puram, vel diuinam, & humanam simul; vel neque diuinam, nec humanam.

Si enim est hæc vna natura purè diuina, Christus igitur Deus est, & non homo. sin verò est purè humana, Christus igitur est
E homo, & non Deus. Si autem est hæc vna natura diuina simul & humana; ergo neque Patris, neque Spiritus sancti, nec hominum natura est, & ex vtraque parte crimen blasphemiæ inuretur sic sentienti, & à sana natura excedet: sin autem est hæc vna natura neque diuina neque humana, igitur Christus neque Deus, neque homo est. Quare quocunque sermonem circumuertamus, eò adducimur, vt dicamus Christum esse vnam hypostasim sanctæ Trinitatis, naturas duas habentem, diuinam scilicet,

* *Alterum membrum hic desideratur.*

& humanam: & hanc ob caussam in eo simul concurrerunt vtrique sermones, & ipsius Christi, cùm dixit se esse Filium hominis, & Petri, cùm ipsum dixit esse Filium Dei viui. Qui verò dicit Christum esse duas hypostases, Petrum Christo respondentem facit respondere ἀσκόπως, id est extra propositum, de quo Christus non est percunctatus. Ille enim percunctatus est de Filio hominis: Petrus autem ipsum, per quem facta erat percunctatio, respondit esse filium Dei. Si igitur hypostasis, quæ est Filius hominis, alia fuit præter hypostasim, quæ est Filius Dei, aberrauit ab intelligentia mens Petri; & respondit, de quo non fuit interrogatus, vt prius diximus. Si sic autem esset, (propitius sit mihi Deus) nunquam Dominus sermonem eius laudasset: neque beatum eum prædicasset propter responsionem, quam ad reuelationem à Patre profectam retulit.

Igitur confessionis fidei in Christum verum dogma est, quod definitio diuinæ sanctorum Patrum Synodi Chalcedonensis rectè tractat, decernens Christum esse vnam hypostasim sanctę Trinitatis duas naturas habentem, diuinam & humanam, vt iam antè diximus. sitque huius exemplum perspicuum: ponamus tres aureos, quorum vnus iniectus in ignem, igne affectus, factus est ignis remanens aurum, vt erat: tu ergo si alios duos aureos seponas; & seponas multos carbones igneos, deinde aurum factum ignem inter alios duos aureos, & carbones videas habere naturam aliorum duorum aureorum perfectorum, id est, qui sit aurum, sicut vterque illorum duorum aureorum, & naturam carbonum igneorum, quia ignis est, sicut vnusquisque aliorum carbonum, ille in medio aureus vna hypostasis est aureorum Trinitatis; quia naturam carbonum, quę erat ignis, non vnum carbonem ex illis assumpsit, sed factus est sicut vnus ex illis carbonibus. ad eundem modum ęternus Filius è cœlo descendens, (intelligant auditores descensum, vt Deum decet) non hypostasim nostram, sed naturam assumpsit, factúsque est sicut vnus nostrum, extra peccatum, sicut Apostolus ait tentatum esse per omnia secundum similitudinem absque peccato.

Heb. 4.

Habet itaque ęternus Filius Patris, & Spiritus sancti naturam, quam semper antè habebat, & nostram humanam naturam post incarnationem, vna hypostasis siue persona ex sancta Trinitate non capiente accessionem, vt antè dictum est. non est autem natura facienda hypostasis, vel hypostasis natura.

τὴν φύσιν ἀνθρωπίνην· καὶ τούτου χάριν ἐπ' αὐτῷ συνθεῖν ὁμοῦ ἀμφότεροι οἱ λόγοι, αὐτοῦ τὰ περὶ ἑαυτοῦ ἐκόντος, εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ τοῦ Πέτρου αὐτοῦ, ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὁ δὲ λέγων τὸν Χριστὸν ὑποστάσεις εἶναι δύο, τὸν ἅγιον Πέτρον ἀποκρινόμενον τῷ Χριστῷ καθίστησιν ἀσκόπως ἀποκρίνεσθαι, περὶ οὗ ὁ Χριστὸς οὐκ ἠρώτησεν. ὁ μὲν ἠρώτησε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου· ὁ δὲ τὸν αὐτὸν, δι' ὃν ἡ ἐρώτησις, τοῦ Θεοῦ υἱὸν ὑπάρχειν. εἰ μὲν γὰρ τοίνυν ἡ ὑπόστασις, ἥτις ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου ἑτέρα καθέστηκε παρὰ τὴν ὑπόστασιν ἥ τις ἐστὶν ὁ υἱὸς Θεοῦ, ἀπεπλανήθη τῆς κατανοήσεως ὁ Πέτρου νοῦς, καὶ γέγονεν αὐτῷ ἡ ἀπόκρισις, ὑπὲρ οὗ οὐκ ἠρωτήθη, ὡς ἔφημεν εἰπόντες. Εἰ δὲ τοῦτο οὕτως ἦν (ἵλεως ὁ Θεὸς) οὐκ ἂν ὁ κύριος ἐπῄνεσεν αὐτοῦ τὸν λόγον· οὔτ' ἂν ἐμακάρισεν αὐτὸν τῆς ἀμοιβῆς, τῆς ἐκ τοῦ πατρὸς ἀποκαλύψεως αὐτὴν ἐπιγραψάμενος.

Οὐκοῦν δὲ τῆς εἰς Χριστὸν ὁμολογίας ἀληθινὸν δόγμα, ὁ τῆς ἐν Χαλκηδόνι συγκεκροτημένης θείας συνόδου τῶν ἁγίων πατέρων ὅρος ὀρθοτομεῖ, τὸν Χριστὸν ὁρίζων μίαν ὑπόστασιν ἐκ τῆς τριάδος εἶναι, δύο φύσεις ἔχοντα, φύσιν θείαν, καὶ φύσιν ἀνθρωπίνην, ὡς ἤδη προείπομεν. καὶ σαφὲς τούτου παράδειγμα, προκείσθωσαν χρύσινοι τρεῖς, ὧν ὁ εἷς ἐμβληθεὶς πυρὶ, πυρωθεὶς, ἐγένετο πῦρ, μεμενηκὼς χρυσὸς, οἷος ἦν. σὺ δ' εἰ θείης ἐν μέρει μὲν τοὺς ἄλλους δύο χρυσίνους, μέρει δὲ πολλοὺς ἄνθρακας πυρίνους, εἶτα τὸν χρύσινον τὸν πυρωθέντα, καὶ πῦρ γενόμενον, μεταξὺ τῶν ἄλλων δύο χρυσίνων καὶ τῶν ἀνθράκων, τὸν μέσον ἂν ἴδοις τὸν χρύσινον ἔχοντα τῶν ἄλλων δύο χρυσίνων τελείων φύσιν, τοῦτ' ἔστιν ὄντα χρυσὸν, ὡς τὴν δυοῖν ἐκείνοιν χρυσίνοιν ἑκάτερον, καὶ τὴν τῶν ἀνθράκων φύσιν· ἐπεὶ πῦρ ἐστιν ὥσπερ τῶν ἄλλων ἀνθράκων ἕκαστος· ὁ δὲ μέσος χρύσινος, ὑπόστασίς ἐστι μία τῆς τῶν χρυσίνων τριάδος. διότι τὴν τῶν ἀνθράκων φύσιν, τὴν οὖσαν πῦρ, οὐχ ἕνα προσείληφεν ἀπ' ἐκείνων τῶν ἀνθράκων ἄνθρακα, ἀλλὰ γέγονεν αὐτὸς, ὡς εἷς ἀνθράκων. τὸν αὐτὸν δὴ τρόπον ὁ ἀΐδιος υἱὸς ἐξ οὐρανοῦ καταβεβηκὼς (ἐννοείτωσαν δὲ οἱ ἀκροαταὶ, θεοπρεπῶς τὴν κατάβασιν) οὐχ ὑπόστασιν ἐξ ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν φύσιν προσείληφεν, καὶ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, δίχα τῆς ἁμαρτίας, ὡς αὐτὸς ὁ θεῖος ἀπόστολος, πεπειρασμένον, φησὶ, κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας.

Τοιγαροῦν ὁ ἀΐδιος υἱὸς ἔχει τὴν τοῦ πατρὸς, καὶ ἁγίου πνεύματος, ἣν ἀεὶ προεῖχε, φύσιν, καὶ τὴν ἡμετέραν ἀνθρωπίνην φύσιν μετὰ τὴν ἑαυτῆς σάρκωσιν, μία ὑπάρχων ἐκ τῆς τριάδος ὑπόστασις, προσθήκην οὐ δεξάμενος, ὡς προείρηται. μὴ ποιητέον δὲ φύσιν ὑπόστασιν, ἢ τὴν ὑπόστασιν εἶναι φ

εἰ δὲ μή, πᾶσιν ἡμῖν τοῖς Χριστιανοῖς συμβήσεται λέγειν τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, τρεῖς φύσεις, ὥσπερ εἰσὶ τρεῖς ὑποστάσεις, ἢ μίαν αὐτοὺς ἔχειν ὑπόστασιν, ὃν τρόπον μίαν ἔχουσι φύσιν. ἀμφότερα δὲ τῆς τῶν Χριστιανῶν ὁμολογίας ἀλλότρια. ἐπεὶ τὸ μὲν Αρείου, τὸ δὲ Σαβελλίου πέφυκε φρόνημα. ὁ μέντοι τῆς ἀληθείας λόγος, ὡς θεολόγος ἔφη Γρηγόριος, μονάς ἐστιν ἐν τριάδι, καὶ τριὰς ἐν μονάδι * προσκυνουμένη. ἔστι μὲν οὖν μονὰς τῆς φύσεως μονάς, οὐ μονὰς τῆς ὑποστάσεως. ἡ δὲ τριὰς τῶν ὑποστάσεων τριάς, οὐ τριὰς τῶν φύσεων. ὁ λέγων δὲ τὴν φύσιν αὐτὸ τὸ τῶν ὑποστάσεων εἶναι σύστημα, τὸν ἅγιον φήσει Γρηγόριον, εἰρηκότα, μονάδα αἰνίττεσθαι τὴν τριάδα. καὶ ἴσον αὐτῷ κριθήσεται φάναι, μονάδα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι· κἀντεῦθεν συνωθήσεται φάσκειν, ἑνάδα ἐν ἑνάδι, οὗ τί ἂν ἐπὶ τὴν διάνοιαν τινὸς αἴσχιον ἀνέλθοι; διὸ γὰρ ἐπιτιμήσει τῷ ταῦτα δογματίζοντι, λέγων ὅτι ἀντίστατον ἐμοί ἐστι καὶ κρατος, εἰ καί σοι, καὶ τοῖς ῥήμασιν. καὶ καθάπερ ἀκηκοὼς παρὰ τοῦ θεολόγου μονάδα, * νοεῖν αὐτὴν τριάδα, οὕτω κἀγὼ μονάδα νοῶ ἀκούων παρὰ αὐτοῦ τὴν τριάδα. καὶ συμπεραίνεταί μοι τὸ δόγμα εἰς μονάδα ἐν μονάδι. καὶ καθάπερ ὡς ἐκεῖνον σεαυτῷ τὸν λόγον ἐκύρωσας, τοῦτον εἴ μοι κυρώσεις, πεφυρμένος ὄντως ὁ νοῦς φωραθήσεται, καὶ τῶν ἀντιθέσεων, καὶ διαλύσεων ὁ νόμος ἀχρειωθήσεται, ὅπερ οὐκ ἐνδέχεται γενέσθαι. εἰ δὲ μὴ κυρώσεις, ἐνδίκως κρίσις λεχθήσεταί σοι, ὅτι τῶν λόγων οὐ τυγχάνεις ὢν ἐξεταστής, ὥστε θρασύτητι διαστρέφειν πρὸς τὸ σοὶ δοκοῦν ἀρέτως. ἐπεὶ οὖν ἀληθεῖς εἰσὶν οὗτοι οἱ λόγοι οὓς περὶ φύσεως καὶ ὑποστάσεως εἴπομεν, ἠγνόηνται, τὸ ἡμέτερον πάντως ἐβεβαιώθη φρόνημα, ὅτι ἡ φυσικὴ μονὰς ἄλλη παρὰ τὴν ὑποστατικὴν, τριάδα, καὶ ἡ πίστις ἀεὶ διαμένει ἐπὶ τῆς ὁμολογίας τῆς φυσικῆς μονάδος, ὡς ὁ θεῖος ἔφη Γρηγόριος, καὶ πᾶς ὁ τῶν ἁγίων καὶ θεολήπτων χορὸς πατέρων.

Εἰ δέ τις πάλιν εἴποι, τὴν φύσιν, κοινὴν καὶ ἰδικὴν εἶναι, καὶ ὅτι εἰ μὲν ἡ κοινὴ φύσις, ἐστὶν αἱ ὑποστάσεις πᾶσαι, ἡ δὲ ἰδικὴ ἐστὶ μία ὑπόστασις, ἀναγγελλέτω ἡμῖν ἐρωτῶσιν· ὁ πατὴρ, καὶ ὁ υἱὸς ἴσοι κατὰ τὴν φύσιν εἰσί, τουτέστιν ἀδελφοὶ, καὶ ὁμοούσιοι, ἢ οὐκ εἰσίν; εἰ μὲν γὰρ μὴ συνθήσεται ἴσους αὐτοὺς εἶναι κατὰ τὴν φύσιν, τοῦ Χριστιανισμοῦ παντάπασιν ἀπεξένωται. εἰ δὲ συνθήσεται, συνθήσεται δὴ οὖν πάντως τὸν πατέρα, καὶ τὸν υἱὸν ἴσους εἶναι κατὰ τὴν φύσιν. αὖθις ἡμῖν ἐρωτῶσιν ἀποκρινάσθω, ἡ φύσις αὕτη, καθ' ἣν ἴσοι πεφύκασιν ὁ πατὴρ, καὶ υἱὸς, κοινή ἐστιν, ἢ ἰδική; εἰ μὲν γὰρ αὐτὴν εἴποι κοινὴν εἶναι, βιασθήσεται, τὸν πατέρα καὶ τὸν υἱὸν λέγειν ἴσον ἐν τρισὶν ὑποστάσεσιν. εἰ δὲ τὴν φύσιν, καθ' ἣν εἰσὶν ὁ πατὴρ καὶ ὁ υἱὸς ἴσοι, ἰδικὴν εἴποι, ἀναγκασθήσεται τὸν πατέρα καὶ τὸν υἱὸν λέγειν ἴσους εἶναι τῇ ὑποστάσει.

A alioqui continget nobis Christianis, vt dicamus, Patrem, & Filium, & Spiritum sanctum esse tres naturas, sicut sunt tres hypostases, aut habere eos vnam hypostasim, sicut habent vnam naturam. vtrumque autem à confessione Christianorum alienum est, quia illud quidem est Arij dogma, hoc verò Sabellij. Sermo tamen veritatis est, vt Gregorius Theologus dixit, vnitas in Trinitate, & Trinitas in vnitate adorata. est igitur vnitas naturæ vnitas, non vnitas hypostasis: Trinitas verò hypostaseon siue personarum Trinitas, non Trinitas naturarum. B Qui vero dicit naturam, ipsam congregationem hypostaseon, dicet dixisse Gregorium vnitatem significare Trinitatem: & tantundem iudicabitur dicere, vt si diceret vnitatem in Trinitate, & Trinitatem in vnitate, ex quo cogetur dicere Vnitatem esse in vnitate. Quo quid vllius mente turpius cogitari potest? quamobrem reprehendet eum, qui hoc dogma tradit, inquiens, tam contra me, & tanta vi sunt verba, quàm contra te: & sicut tu audiens ex Gregorio Vnitatem, ipsam Trinitatem intelligis, sic C ego andiens ab vno Trinitatem, Vnitatem intelligo. & concludo dogma hoc, Vnitatem in vnitate esse. & sicut tu illud tibi approbasti, hoc mihi si approbes, deprehendetur profecto mens confusa, & lex contradicendi & refellendi inutilis erit: quod non potest fieri. Si autem non comprobes, iusto iudicio dicetur tibi, non te expendere verba, cùm arbitratu tuo omnia peruertere non erubescas. Quandoquidem igitur hæc, quæ de natura & hypostasi diximus, vera esse ignoras, sententia nostra confirmata est, vnitatem naturalem aliam esse præ- D ter Trinitatem hypostaseon, & fidem semper perseuerare in confessione vnitatis naturæ, (& Trinitatis personarum) sicut dixit diuinus Gregorius, & omnes sancti & diuini Patres.

Si vero rursus dicat, naturam, communem & specialem esse, & quod communis, est omnes hypostases, specialis vero est vna hypostasis, respondeat nobis percontantibus, Pater & Filius sunt ne æquales natura, id est, vnius naturæ & substantiæ, an non? Si enim non concedit, æquales esse natura, à Christianismo penitus alie- E natus est. Sin vero concedat, concedet igitur, omnino Patrem & Filium æquales esse secundum naturam. Rursus respondeat nobis, hæc natura, qua Pater & Filius æquales sunt, communis ne est, an specialis? Si enim dicat communem esse, cogetur dicere, Patrem & Filium æquales esse in tribus personis. Sin vero naturam, secundum quam Pater & Filius æquales sunt, specialem dixerit, cogetur dicere Patrem & Filium æquales esse hypostasi.

* προσκυνουμένη. Turr.

* νοῶ Turr.

Ponere in Trinitate naturam communem, quæ sit omnes hypostases, hæreticorum est. fides verò ponit vnam naturam communem in Trinitate hypostaseon.

& ei, qui hoc dicit, erunt Pater & Filius vna A hypostasis, vtraque autem consecutio valde angusta, & blasphema est.

Sermo igitur veritatis confessione Synodi Chalcedonensis sanctorum Patrum continetur, non esse naturam omnes simul hypostases, nec vnam hypostasim, sed naturam esse semper in eadem vnitate, hypostases verò esse in eadem Trinitate, sicut dixit Gregorius Theologus. docet enim hoc solum scire, vnitatem in Trinitate, & Trinitatem in vnitate adoratam habentem admirabilem diuisionem, & vnionem. Neque dicere licet, si B naturalis vnitas alia est præter Trinitatem hypostaticam, id est, hypostaseon: sunt igitur quatuor res, quia per naturam completur vnaquæque hypostasis, & non connumeratur cum re, per quam completur: mens igitur, quæ omni dubitatione agitatur, necessitate compellitur confiteri rectissimam, & ab omni macula vacantem fidem sanctæ Synodi Chalcedonensis, esse scilicet Christum vnam hypostasim, ex sancta Trinitate naturas duas habentem, diuinam & humanam. & non licet vlli dicere, quod si vna hypostasis est Christus, non desinit habere vnam C naturam: & si duas naturas habet, omnino est duæ hypostases: rata enim & fixa est confessio Synodi sanctorum Patrum Chalcedonensis, secundùm fidem beati Petri Principis Apostolorum, à qua nullo modo variat, quam principio posuimus. Et confessio hæc est illa confessio Petri, aduersus quam non præualuerunt portæ inferni. Et ipsa erit tandem sors & hæreditas omnis cœtus Christianorum, quamuis aduersarius vitæ & salutis nostræ Belial multas sectiones ei immisit, Christi permissu: vt ostendatur, quod ea dixit, nequaquam in perpetuum frustrandum esse, & omnino nunquam vin- D cendum.

Hoc præterea dicendum est, quoniam cum æterno filio simul copulata est natura diuina, & humana, post carnem assumptam habet duas naturales proprietates, & item naturales operationes, ac duas naturales voluntates, quia naturæ comprehensio non est firma, & certa, nisi natura omnino habeat quæcunque sunt perfectionis eius. Percipiat optimè quod dico auditor, quod eiusdem æterni filij sunt duæ E proprietates naturales, & duæ naturales voluntates, & operationes, eius scilicet, qui est vna hypostasis ex sancta Trinitate: quem apertè probauimus habere duas naturas, non alius & alius hypostasis, siue personæ. Siquidem possibile est, vnam hypostasim habere diuersas operationes, & manere in sua vnitate, vt exempli caussa, dicamus, videmus Paulum potentem videre, & audire ac loqui, & disputare: visio, auditio, locutio,

καὶ ἔσται τῷ τοῦτο λέγοντι, ὁ πατὴρ, καὶ ὁ υἱὸς, μία ὑ
στασις. ἀμφότερα δὲ τὰ ἐπακολουθήματα λίαν
μένα, καὶ βλάσφημα.

Ὁ τῆς ἀληθείας τοίνυν λόγος ὃν ἡ τῆς ὁμολογ
ἐν Χαλκηδόνι συνόδου ὁρισθείσης τῶν ἁγίων πα
ὁμηγύρεως ὁμολογία κατέσχηκεν, ὅτι οὐκ ἔστιν ἡ
αἱ ὑποστάσεις ὁμοῦ πᾶσαι, οὐδὲ μία ὑπόστασι
ἡ φύσις ἕστηκεν ἀεὶ ἐπὶ τῆς αὐτῆς ἑνάδος. αἱ δὲ ὑπ
σεις ἐπὶ τῆς αὐτῆς τριάδος, ὡς εἴρηκεν ὁ θεῖος Γ
ριος θεολόγος. διδάσκει γὰρ τοσοῦτον εἰδέναι μόνον
δα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι προσκυνου
παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν, καὶ τὴν ἕνωσι
ἔνι λέγειν ἔξεστιν, ὅτι εἴπερ ἄλλη πέφυκεν ἡ φυσι
κὰς παρὰ τὴν τῶν ὑποστάσεων τριάδα, ἡ φυσικὴ
καὶ ἡ τῶν ὑποστάσεων τριὰς ἄρα τέσσαρα
γματα. διότι τῇ φύσει συμπληροῦται ἑκάστη τῶν
στάσεων. οὐ συναριθμεῖται πράγματι * τῷ συμ
ροῦται. ἀπορῶν οὖν ὁ νοῦς παντοίαν ἀπορίαν, ἀ
φέρεται τὴν ὀρθοτάτην, καὶ ἀμώμητον, ὁμολογεῖν
γίαν τῆς ἐν Χαλκηδόνι συγκροτηθείσης ἁγίας συνό
ὁ Χριστὸς μία ὑπόστασις ἐκ τῆς τριάδος, ἐχ
φύσεις, θείαν τε, καὶ ἀνθρωπίνην. καὶ οὐκ ἐξὸν
γειν, ὅτι εἰ μία ὑπόστασις ὁ Χριστὸς, ἀπαραχώρ
χει αὐτὸν, καὶ μίαν φύσιν, καὶ ὅτι εἰ δύο φύσ
πάντως καὶ δύο ὑποστάσεις ἐστί. κεκύρωται δὲ,
παγίωται, ἡ τῶν ὁμοφρόνων τῆς ἐν Χαλκηδόνι συ
τηλθόντων τῶν μακαρίων πατέρων ὁμολογία, κατὰ τὴν
φαίου τῶν ἀποστόλων πίστιν ἀπαράλλακτος οὖσα,
οίμιον ἐθέμεθα. καὶ ἡ ὁμολογία αὕτη ἐστὶν ἡ Πέτρο
κατίσχυσαν αἱ τοῦ ᾅδου πύλαι. καὶ εἰς αὐτὴν
πάντως τοῦ τῶν Χριστιανῶν πληρώματος ἔσται
καὶ πολλὰς ὁ τῆς ἡμετέρας ζωῆς, καὶ σωτηρίας ἀ
λος Βελίαρ ἐμβέβληκεν αὐτῇ διαιρέσεις,
παρακεχωρηκότος, ὅπως ἐνδείξηται, ὅτι ὁ θε
περὶ αὐτῆς λόγος, εἰς τὸ διηνεκὲς ἥκιστα καταργ
ται, καὶ εἰς τὸ παντελὲς οὐχ ἡττηθήσεται.

Ἔτι δὲ τοῦτο ῥητέον, ὅτι ἐπείπερ ὁμοῦ συνῆπτα
φύσις θεία, καὶ φύσις ἀνθρωπίνη, μετὰ τὴν
ἐνανθρώπησιν, ἔχει δύο φυσικὰς ἐνεργείας,
φυσικὰς θελήσεις· διότι τῆς φύσεως κατάληψις
σοῦται, εἰ μὴ πάντως ἔχοι ὅσα τῆς αὐτῆς ἐστι τελ
κάλλιστα δὲ τῶν ἡμετέρων λόγων κατανοείτω ὁ ἀ
μενος, ὅτι τοῦ αὐτοῦ ἀϊδίου υἱοῦ εἰσιν αἱ δύο φυσικαὶ
σεις τε καὶ ἐνέργειαι, τοῦ ὄντος μία ὑπόστασις ἐκ τ
δος, ὃν ὁμοῦ δύο φύσεις ἐσχηκέναι σαφῶς παρέστη
οὐκ ἄλλης ὑποστάσεως. καὶ γὰρ τῶν δεχομένων ἐστὶν,
μίαν ὑπόστασιν διαφόρους ἔχειν ἐνεργείας, καὶ μέν
τῆς ἑαυτῆς μονάδος. ὥσπερ παραδειγματικῶς
βλέπομεν τὸν Παῦλον δυνάμενον ὁρᾶν, καὶ ἀκο
λαλεῖν, καὶ διαλογίζεσθαι· ἡ ὅρασις, καὶ ἡ ἀκοή, καὶ ἡ λ

καὶ ὁ διαλογισμός, διάφοροί εἰσιν ἐνέργειαι. καὶ τούτων ἑκάστη ἄλλη παρὰ τὴν ἑτέραν. ἀλλ' ὁ Παῦλος μία ἐστὶν ὑπόστασις, ταύτας ἔχων ὅλας τὰς τέσσαρας ἐνεργείας· ἀλλ' ὀφθαλμῷ μὲν ὁρᾷ, καὶ οὐκ ἄλλῳ τῶν τοῦ σώματος μελῶν· ἀκούει δὲ τῷ ὠτίῳ, καὶ οὐκ ἄλλῳ· καὶ τῇ γλώττῃ λαλεῖ, καὶ οὐκ ἄλλῳ μορίῳ· καὶ διαλογίζεται τῷ νοΐ, καὶ οὐκ ἄλλῳ τινί. ἑκάστη δὲ τῶν ὑποστατικῶν ἐνεργειῶν, ἔχει φυσικὴν ἐν τῇ ὑποστάσει δύναμιν, ὕλην ὑποκειμένην τῷ ἐνεργήματι, ὅπερ ἡ ὑπόστασις ἐνεργεῖ. καὶ ἔστι τὸ ἐνεργούμενον ἴδιον τῆς ὑποστάσεως. οἷον εἰπεῖν Παῦλος ὑπόστασις ὤν, δύναμιν ἔχει τῇ ἑαυτοῦ γνώμῃ λαλεῖν, ὡς ἔχουσιν οἱ πάντες ἄνθρωποι. οἱ μέντοι λόγοι, οὓς Παῦλος λαλεῖ, καθ' ὃν φθέγγεται καιρόν, τοῦ Παύλου εἰσὶν ἴδιοι. οὕτω τοίνυν μὴ ἀπαγορευτέον, τὸν ἀΐδιον υἱόν, τὸν ἐκ τῆς τριάδος ἄτομον ὑπόστασιν ἔχειν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, τήν τε θείαν φύσιν, ὡς ὁ πατήρ, καὶ τὸ ἅγιον πνεῦμα· καὶ τὴν ἀνθρωπίνην φύσιν, ὥσπερ ἕκαστος τῶν κατὰ μέρος ἀνθρώπων, καθ' ὃν προείρηται τρόπον.

Τούτων οὕτως ἐχόντων, πέφυκεν εἰλικρινῶς ἡ θεία φύσις, ἐν τῇ αὐτοῦ ὑποστάσει ὕλη τοῖς ἑαυτοῦ θείοις ἔργοις, ἃ κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ ἐπὶ γῆς ἀναστροφὴν εἰργάσατο. ἀληθῶς δὲ καὶ ἡ ἀνθρωπίνη φύσις ἔνεστι τῇ τοῦ ἀϊδίου υἱοῦ ὑποστάσει, ὕλη τοῖς ἑαυτοῦ ἀνθρωπίνοις ἔργοις, ἃ τοῖς ἀνθρώποις συναναστρεφόμενος πεποίηκε· καὶ ἔστιν αὐτοῦ ἴδια παρὰ πάντας ἀνθρώπους. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ ἐπὶ τοῖς δυσὶν αὐτοῦ φυσικοῖς ἰδιώμασί τε, καὶ θελήμασι.

Ἀναγκαῖον δὲ καὶ τοῦτο μὴ ἀσαφὲς καταλιπεῖν τῷ ἐντυγχάνοντι τῷδε τῷ ἡμετέρῳ γράμματι, ὅτι τὸν ἀΐδιον υἱὸν ἄνθρωπον λέγοντες γεγενῆσθαι, τοῦτο φαμέν, ὅπερ Ἀθανάσιός τε καὶ Κύριλλος, οἱ τῆς Ἀλεξανδρείας εἰρήκασιν ἱεράρχαι, καὶ πάντες οἱ θεοφόροι πατέρες, ὅτι κτίσας ἐκ τῆς παρθένου πανάγνου Μαρίας ἑαυτῷ ἐμψυχωμένην, λογικήν τε καὶ νοερὰν ψυχὴν ἰδίαν τῆς ἑαυτοῦ ὑποστάσεως ἐποιήσατο, ὡς ἡ τοῦ δεῖνος σάρξ τε καὶ ψυχὴ τῆς τοῦ δεῖνος ὑποστάσεως ἴδια καθέστηκεν. οἷον εἰπεῖν ὁ δεῖνα, ὁ σῶμα ἀνθρώπινον ἔχων καὶ ψυχὴν ἀνθρωπίνην ἄνθρωπός ἐστι, τὸν αὐτὸν εἰπεῖν ὁ ἀΐδιος υἱὸς κτίσας τῇ ἑαυτοῦ ὑποστάσει σῶμα ἀνθρώπινον, καὶ ψυχὴν ἀνθρωπίνην, καὶ ἴδια αὐτοῦ ἄμφω ποιησάμενος, γέγονεν ἀληθῶς ἄνθρωπος. ὥσπερ δὲ τὸ τοῦ δεῖνος σῶμα καὶ ἡ ψυχὴ ἀμφότερα τῆς ἑαυτοῦ ὑποστάσεως ἴδια, οὐκ ἄλλης τῶν ἀνθρωπίνων ὑποστάσεων, τούτου δὴ χάριν τὸν ἀΐδιον υἱὸν φαμὲν τὸν ἐκ τῆς τριάδος ὄντα μίαν ὑπόστασιν, δύο φύσεις ἔχειν οὐκ ἰδικῶς ἑκατέρας τῇ αὐτοῦ ὑποστάσει διαφερούσας. ἀλλὰ τῆς μὲν θείας φύσεως αὐτοῦ τε καὶ πατρὸς καὶ ἁγίου πνεύματος οὔσης, τῆς ἀνθρωπίνης δὲ αὐτοῦ τε καὶ τῶν κατὰ μέρος ἀνθρώπων. ἡ μέντοι ὑπόστασις αὐτοῦ διαφερόντως αὐτῷ μόνῳ παρὰ τὸν

A & disputatio, diuersæ operationes sunt, & vnaquæque alia est præter aliam, & Paulus vna est hypostasis, quæ habet toras quatuor operationes: verùm oculo videt, & non alia parte corporis, audit aure, & non alio membro, & lingua loquitur, & non alia particula, mente ratiocinatur, & non alio aliquo. vnaquæque autem operationum hypostaticarum haber naturalem in hypostasi potentiam, mariam subiectam effectui, quem hypostasis operatur, & est quod efficitur, proprium hypostasis. Sicut Paulus, qui est hypostasis, B potentiam habet loquendi sua voluntate, sicuti habent omnes homines. Sermones tamen quos Paulus loquitur, quo tempore loquitur, proprij sunt Pauli. Sic igitur non est negandum, æternum filium totum hypostasim ex Trinitate, habere post incarnationem naturam diuinam, sicuti vnus Pater, & Spiritus sanctus; & naturam humanam, sicuti vnusquisque homo particularis, sicut antè diximus.

Hæc cum sic sint, habet diuina natura in hypostasi filij vt sit* materia diuinis eius operibus, quæ secundum suam humanitatem as- C sumpram, & secundum conuersationem in terra operatus est. verè enim & natura humana inest in hypostasi æterni filij materia suis operibus humanis, quæ cum hominibus agens, & in terra versans fecit, & sunt eius propria præter omnes homines. eadem ratio est & in duabus eius naturaliter proprietatibus & voluntatibus.

Schol. Turr. * *Sicut potentia est subiecta suis operationibus in hypostasi humana, sic in hypostasi diuina, filij diuina natura subiecta erat diuinis operationibus, humana verò natura in eadem hypostasi diuina subiecta operationibus humanis, dicitur natura diuina materia, idest, instar materia, & subiecti secundum modum apprehensionis nostra, vt S. Thom. loqui solet.*

Necessarium præterea est non relinquere hoc Lectori sine explicatione, quod cum dicimus æternum filium factum esse hominem, hoc dicimus, quod Athanasius & Cy- D rillus Alexandrini Archiepiscopi, & omnes sancti Patres dixerunt, cum fabricauit sibi ex purissima virgine Maria animatam & ratiocinantem, ac intelligentem humanam carnem, etiam humanam intelligentem animam propriam suæ hypostasis fecit, sicuti cuiusdam caro & anima cuiusdam hypostasis siue personæ propria est. Sicut igitur quidam, qui corpus & animam habet, homo est: ad eundem modum æternus filius, fabricatus sibi corpus humanum & animam humanam, & ambo propria sibi faciens, factus est verè homo. Sicut igitur corpus & anima E cuiusdam vtraque sunt propria suæ personæ, & non alius humanæ personæ (* sic corpus, & anima æterni filij, ambo sunt propria suæ hypostasis, & non alius humanarum hypostaseon) hac de causa dicimus æternum filium vnam hypostasim ex Trinitate, habere duas naturas, non vtrasque *ἰδικῶς*, id est specialiter siue particulariter, hypostasi ipsius differentes. sed diuina quidem natura ipsius & Patris, & Spiritus sancti erat: humana verò ipsius & hominum. hypostasis tamen eius *διαφερόντως*, id est præcipuè ipsi soli præter

** deest in Græco.*

Patrem,& Spiritum ſanctum, diſtincta & diſcreta eſt, & corpus eius & anima ſpecialiter ſunt hypoſtaſis, ſiue perſonæ eius præter omnes homines.

Quæcunque autem ſuſtinuit, & paſſa eſt caro æterni filij, & anima eius humana, ipſe æternus filius Dei ſuſtinuiſſe, & paſſus eſſe dicitur; & ipſi verè acciderunt, & ipſi attribuuntur: ſicuti quæcunque patitur caro cuiuſdam, & anima, cuidam accidunt, & ipſi verè attribuuntur. idcirco veram confeſſionem coofitemur, cùm dicimus æternum filium eſuriſſe, & ſitiſſe, & defatigatum eſſe, & factum eſſe in agonia, & faciem eius percuſſam eſſe, & conſputam, & dorſum eius flagellatum eſſe, & æterni filij manus eſſe confixas, & pedes, & ipſum in cruce ſuſpenſum eſſe, & mortuum, ac ſepultum, & tertia die reſurrexiſſe. Verùm hæc paſſus eſt, quatenus poſſibile fuit pati, id eſt, carne ſua humana, & anima cum ſua natura diuina. Sed ſi vellemus ſigillatim explicare', quomodo vnumquodque horum, quæ diximus, factum fuerit, longa eſſet epiſtola, & ſatietatem afferrer. Sin autem horum omnium explicationem omittam, videndum erit ne quid mei ſermones excludant ab iis qui non ſunt ad intelligendum acuti, neque habent ingenij ſolertiam. quocirca mortem ad explicaodum ſeligemus, qua eorum quæ in paſſione æterno filio Dei tribuuntur, nihil eſt odioſius, & inuiſius: de hac vobis aperiemus, quomodo accidit ei, & eius reputata eſt, vt hoc dicto, & prolato, ad reliqua ducem habeatis.

Ioannes Baptiſta, quod vos non fugit, impletus eſt Spiritu ſancto, cùm adbuc in vtero matris eſſet. Erat autem Ioanni corpus, & anima. poſt aduentum igitur Spiritus ſancti, anima & corpus Ioannis Spirirus ſancti erant. mors autem cuiuſque hominis ſeparatio eſt animæ à ſuo corpore. ſeparata igitur anima Ioannis à corpore ſuo, mortuus fuit Ioannes, non autem Spiritus ſanctus qui ei aduenit. mors igitur Ioannis fuit, à qua liber fuit Spiritus ſanctus, ita, vt mors Ioannis non reputetur Spiritus ſancti mors, ſicut audiſtis. æternus verò filius non eſt copulatus hypoſtaſi alicuius hominis corpus & animam habentis: ſed potius carnem & animam ſibi aſſumpſit, & vtraque fecit propria ſuæ hypoſtaſis, ſiue perſonæ: nec aliter omnino fecit: ſicuti corpus, & anima Ioannis, non alterius fuit. atque hac ratione fuit æternus Filius ſicut vnus è numero hominum. Sicut autem anima Ioannis à corpore ſuo ſeiuncta, ipſe Ioannes eſt mortuus, cuius anima & corpus, quæ ſeparata ſunt, propria erant, ſic humana anima æterni Filij à corpore ſuo ſeparata,

A πατέρα καὶ πνεῦμα τὸ ἅγιον ἀφώρισται, καὶ τὸ σῶμα αὐτοῦ καὶ ἡ ψυχὴ ἰδικῶς ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ παρὰ πάντας ἀνθρώπους.

Ὅσα δὲ ὑπέστη καὶ πέπονθεν ἡ τοῦ αἰδίου σάρξ, καὶ ἡ ἀνθρωπίνη αὐτοῦ ψυχή, αὐτὸς ὁ αἴδιος υἱὸς ὑφεστάναι τε λέγεται καὶ πεπονθέναι, καὶ αὐτῷ συμβέβηκε κατ' ἀλήθειαν, καὶ αὐτῷ ἐπιγράφεται, ὃν τρόπον ὅσα πάσχει ἡ τοῦ δεῖνος σάρξ τε καὶ ψυχή, τῷ δεῖνι συμβαίνει, καὶ αὐτῷ κατ' ἀλήθειαν ἐπιγράφεται. διὰ τοῦτο τὴν ἀληθινὴν ὁμολογίαν ὁμολογοῦντες λέγομεν, ὅτι αὐτὸς ὁ αἴδιος υἱὸς ἐπείνασε καὶ ἐδίψησε, καὶ ἐκοπίασε, καὶ ἠγωνίασε, καὶ τὸ πρόσωπον αὐτοῦ B ἐρραπίσθη καὶ ἐνεπτύσθη, καὶ * τὸ νῶτον αὐτοῦ ἐμαστιγώθη, καὶ τοῦ αἰδίου υἱοῦ καθηλώθησαν αἱ χεῖρες, καὶ οἱ πόδες, καὶ αὐτὸς ἐπὶ σταυροῦ ἐκρεμάσθη, καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ. ταῦτα πάντα ὦ οὗτοι, τῷ αἰδίῳ συμβέβηκε. ἀλλὰ ταῦτα πέπονθε, καθὸ δυνατὸν ἦν παθεῖν· τοῦτ' ἔστι τῇ ἑαυτοῦ ἀνθρωπίνῃ σαρκί τε καὶ ψυχῇ σὺν τῇ ἑαυτοῦ θείᾳ φύσει. ἀλλ' εἰ μὲν ἀνὰ μέρος διασαφῆσαι πῶς ἕκαστον τῶν εἰρημένων ἐγένετο, βουληθείημεν, * μακρὸν ἂν εἴη τὸ γράμμα καὶ προσκορές. εἰ δὲ τὴν τούτων ἁπάντων διασάφησιν καταλίποιμεν, σκόπει λοιπόν, μή τι ἂν ἀποκλεισθεῖεν τῶν οὐκ ὄντων εἰς C κατανόησιν οὐκ ἐχόντων ἀγχίνοιαν οἱ ἡμέτεροι λόγοι. ὅθεν τὸν θάνατον ἀφορίζομεν, ὅς ἐστιν, ὅσα τῷ αἰδίῳ υἱῷ ἐπιγράφεται παθημάτων, ἀπεχθέστερός τε καὶ εἰδεχθέστερος. καὶ τοῦτο διαλευκάναντες γνωριοῦμεν ὑμῖν πῶς αὐτῷ συμβέβηκέ τε καὶ λελόγισται, ὅπως ἐντεῦθεν λεγομένου καὶ * ἠγμένου, καὶ εἰς τὰ λοιπὰ καθοδηγηθείητε.

Ἰωάννης ὁ Βαπτιστής, ὦ οὗτοι, καθὼς ἐπίστασθε, ἐπλήσθη πνεύματος ἁγίου ἔτι κατὰ γαστέρα τῆς μητρὸς αὐτοῦ κεκυημένος. ἦν δὲ τῷ Ἰωάννῃ ψυχὴ καὶ σῶμα. μετὰ γοῦν τὴν τοῦ ἁγίου πνεύματος ἐπιφοίτησιν, ἡ τοῦ Ἰωάννου ψυχή, καὶ D τὸ σῶμα τοῦ Ἰωάννου τοῦ ἁγίου πνεύματος ἦν. ὁ δὲ θάνατος ἑκάστου τῶν ἀνθρώπων, χωρισμός ἐστι τῆς οἰκείας ψυχῆς ἀπὸ τοῦ οἰκείου σώματος. χωρισθείσης οὖν τῆς τοῦ Ἰωάννου ψυχῆς ἀπὸ τοῦ ἰδίου σώματος ὁ Ἰωάννης τέθνηκεν, οὐ τὸ ἐπιφοιτῆσαν ἐν αὐτῷ πνεῦμα ἅγιον. ὁ θάνατος τοίνυν Ἰωάννου ἦν, καὶ τὸ τοῦ ἁγίου πνεύματος ἐλεύθερον, ὥστε μὴ λογισθῆναι αὐτῷ τὸν τοῦ Ἰωάννου θάνατον, καθὸ ὡς ἀκηκόατε πρότερον. ὁ μέν τοι αἴδιος υἱὸς οὐχ ὑποστάσει τινὸς τῶν ἀνθρώπων ἔχοντος σῶμα καὶ ψυχὴν ἐνηρμόσθη, ἀλλ' E ἑαυτῷ σάρκα καὶ ψυχὴν ἀνθρωπίνην προσειληφώς, καὶ οἰκειωσάμενος ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ οὐκ ἄλλως παντάπασιν ἐποιήσατο, ὥσπερ τὸ τοῦ Ἰωάννου σῶμα, καὶ ἡ ψυχὴ τοῦ Ἰωάννου οὐκ ἄλλου ὑπῆρχεν, καὶ κατὰ τοῦτο γέγονε, καὶ αἴδιος υἱὸς ὡς εἷς τῶν ἀνθρώπων. καθάπερ δὲ τῆς τοῦ Ἰωάννου ψυχῆς ἀπὸ τοῦ ἰδίου σώματος χωρισθείσης, αὐτὸς ὁ Ἰωάννης ἐστὶν ὁ τεθνηκώς, οὗ ἡ ψυχὴ καὶ τὸ σῶμα τὰ κεχωρισμένα ἴδια· οὕτω τῆς ἀνθρωπίνης τοῦ αἰδίου υἱοῦ ψυχῆς ἀπὸ τοῦ σώματος αὐτοῦ χωρισθείσης

* κατὰ τὸ

* μακρὸν

* Fort. ἀκουμένου.

A αὐτὸς ὁ ἀΐδιος τέθνηκεν υἱὸς, ἐπειδὴ ἐκεῖ οὐκ ἦν ὑπόστασις ἑτέρα παρὰ ἐκτὸς τοῦ ἀϊδίου υἱοῦ ἐσχηκυῖα σῶμα καὶ ψυχὴν, ὧν ἐγένετο χωρισμὸς, ἵνα λογισθῇ τῆς ὑποστάσεως ἐκείνης ὁ θάνατος εἶναι. ἀλλ' ὁ μὲν Ἰωάννης τῆς ψυχῆς αὐτοῦ χωρισθείσης ἀπὸ τοῦ ἰδίου σώματος τέθνηκεν καὶ ἀπόλωλεν· οὐ γὰρ παντελῶς ἦν, εἰ μὴ ἐκ συναφείας ψυχῆς καὶ σώματος. ὁ δὲ προαιώνιος καὶ τῷ πατρὶ συνάναρχος καὶ συναΐδιος υἱὸς τῆς ἀνθρωπίνης ἑαυτοῦ ψυχῆς, ἀπὸ τοῦ ἰδίου ἑαυτοῦ σώματος χωρισθείσης, ἀπέθανε μὲν ἀληθείᾳ· διότι τὸ σῶμα, καὶ ἡ ψυχὴ, ἅπερ διεζεύχθησαν, αὐτὰ οὐκ ἄλλης ὑποστάσεως ἦσαν, ὡς ἔφθημεν εἰ- B πόντες. οὐκ ἀπώλετο δὲ, ἐπειδὴ πάρ ἦν ἀεὶ, πρὸ τοῦ εἰληφέναι ταύτην τὴν ψυχὴν, καὶ τὴν σάρκα. κατὰ τοῦτον δὴ τὸν τρόπον ἀπέθανεν ὁ ἀΐδιος υἱὸς ὑπὲρ ἡμῶν ἀληθείᾳ, μεμενηκὼς ζῶν, οἷος ἦν. καὶ γέγονεν ἡ λύτρωσις ἡμῶν οὐκ ἐν θανάτῳ ὑποστάσεώς ηἰα τῶν ἀνθρώπων, ὡς δῆθεν Ἰωάννου τοῦ Βαπτιστοῦ, ἀλλ' ἐν τῷ τοῦ ἀϊδίου υἱοῦ θανάτῳ. οὐδὲ μιᾶς ἐντεῦθεν αὐτῷ ζημίας ἐπεισελθούσης. οὕτω τοίνυν, ὡδ' ὅπι, γέγονεν ὁ τοῦ ἀϊδίου θάνατος.

Ὅστις οὖν ἐστὶ νουνεχὴς, δύναται τὴν ἑαυτοῦ θεωρίαν ἐμβαθῦναι πᾶσι τοῖς εἰς ἃ κεχρημάτικεν αὐτῷ *ἀνθρώ- C ποις, καὶ γνῶναι πῶς ἐγένετο. ὅσα γὰρ ἐστὶ τοῦ θανάτου, τῶν ἀνθρωπίνων πως ἥττω τυγχάνει. εἰ γὰρ ὁ θάνατος ἁρμόζει ἐπὶ τοῦ ἀϊδίου υἱοῦ λέγεσθαι, καθ' ὃν ἔφημεν τρόπον, πάθους οὐ προσπελάσαντος αὐτοῦ τῇ θεότητι, τὰ χωρὶς θανάτου ἀπὸ τῶν ἀνθρωπίνων προσήκει μᾶλλον ἐπ' αὐτοῦ λέγεσθαι, μηδενὸς τῇ αὐτοῦ θεότητι προσβαλλομένου παθήματος. οὐκοῦν ταῦτα τὰ ἀνθρώπινα καθὰ προείρηται, τῷ ἀϊδίῳ υἱῷ, ὅς ἐστιν ὁ Χριστὸς, συμβέβηκεν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, ὅτε θάνατος, καὶ τἄλλα ὅσα τοῖς ἱεροῖς εὐαγγελίοις ἐγγέγρα- D πται. ἀλλὰ μηδαμῶς ὑποληπτέον, αὐτὸν ὑπομεμενηκέναι τι τούτων ἀνάγκῃ τὸ παράπαν, ἀλλ' ἑκουσίῳ θελήματι. πλὴν ὅτι ἡνίκα ταῦτα παθεῖν ἐβούλετο, συνέβαινεν αὐτῷ, καθ' ὃν ἡμῖν συμβαίνει φυσικὸν τρόπον. ὥστε μὴ νομισθῆναι τὴν οἰκονομίαν αὐτοῦ φαντασίαν. καὶ ὅπως ἡ κατὰ τοῦ διαβόλου ἀπόφασις δικαιωθῇ, ἐξ οὗ ταύτῃ τῇ οἰκονομίᾳ τὸ τῶν ἀνθρώπων ἐλυτρώσατο γένος.

Εἶδος δ' οὖν τῶν αὐτῷ συμβάντων ἀνθρωπίνων καταδῆλον ποιήσομαι, ἵνα τὸ ῥηθὲν βεβαιώσω. ἔστω δὲ ἡ E πεῖνα· ὅτε δὴ γὰρ πεινᾶν ὁ ἀΐδιος ἤθελεν υἱὸς, ἐφίει τῇ ἑαυτοῦ σαρκὶ τὴν τοῦ ἀέρος εἰσδέχεσθαι δύναμιν. ὥστε τὸν ἀέρα κατὰ τὴν ἐπιφάνειαν αὐτῆς, ἐν τοῖς τῷ δέρματι πόροις ἀναμάττεσθαι. εἶτα τὸ προσεχέστερον τῷ ἀέρι τῆς σαρκὸς μέρος, ἐκ τῶν μελῶν ἐπεσπᾶτο οἷς ἂν ἐμπελάζει μέρος, ἀφ' οὗ ὁ ἀὴρ ἀναιμάττεται. κἀκεῖνα τῶν κενῶν ἐξεῖλκε χωρημάτων, οἷς ἀεὶ χορηγεῖταί τις εὔχυλος ἐκ τῆς καταλλήλου τροφῆς ἀνάδοσις. ἥτις ἐκ τῶν ἐμπεφυκυιῶν αὐτοῖς ἀπὸ τοῦ ἥπατος ἐξείλκετο φλεβῶν.

A ipse æternus Filius mortuus est, quia non erat illic præter hypostasim æterni Filij, alia hypostasis, quæ habuisset corpus, & animam, quorum est facta separatio, vt illius hypostasis siue personæ mors esse reputaretur. Ioannes tamen anima à corpore suo separata, mortuus est, & interiit: nequaquam enim erat nisi ex coniunctione animæ & corporis. Qui verò est ante sæcula, & est cum Patre ex æternitate, separata anima eius humana à proprio corpore, mortuus quidem est verè, quia cor- B pus & anima disiuncta sunt, & ipsa non erant alius hypostasis, sicut antè diximus: non tamen interitum cepit, quia erat semper antequam hanc animam & corpus assumeret. Ad hunc modum æternus Filius pro nobis verè mortuus est, manens viuus, vt erat: factáque est redemptio nostra non in morte personæ alicuius hominis, vt scilicet, Ioannis Baptistæ, sed in morte æterni Filij, nec vllo incommodo hinc ei illato. sic igitur de morte æterni Filij sentiendum est.

Quicunque igitur habet animum atten- C tum, potest contemplationem suam adhibere omnibus illis, quæ in eo vocantur humana, & cognoscere quomodo facta fuerunt. Quæcunque enim sunt mortis, minora sunt quàm quæ dicuntur humana. Si enim mors aptè dicitur æterni Filij, sicut explicitum est, non pertingente passione in diuinitatem; quæ sunt citra mortem humana, multo magis conuenit vt de eo dicantur, nulla passione diuinitatem eius attingente. Hæc igitur humana, sicut dictum est priùs, æterno Filio, qui est Christus, acciderunt post carnem assumptam, mors sci- D licet & alia, quæcunque in Euangeliis scripta sunt. Sed nequaquam existimandum est quidquam horum necessario omnino sustinuisse, sed voluntariè, nisi quod quando volebat hæc pati, accidebat illi modo naturali, quo nobis accidit: ne existimaretur incarnatio eius fictio: & vt sententia contra diabolum pronunciata iustificaretur, à quo hac incarnatione genus humanum redemit.

Vnam autem speciem eorum quæ huma- E na acciderunt ei, declarabo, vt quod dictum est, confirmem. sit fames, loquamur de fame. Quando noluit æternus Filius esurire, sinebat carnem suam excipere vim aëris, vt aër illa exprimeret, quæ per superficiem carnis sunt in poris cutis. Deinde pars carnis propinquior aëri, ex membris attrahebat, quibus appropinquat pars, ex qua aër hauritur; & illa membra extrahebant ex vacuis receptaculis, quibus semper suppeditatur ex conueniente alimento digestio, quæ ex venis ipsorum membrorum ab hepate educitur;

* Fort. ἀνθρωπίνοις,

A venæ autem ex hepate; hepar verò ex duabus venis, quæ ex stomacho oriuntur, hæ duæ venæ trahebant ex stomacho. stomachus igitur exinanitus, requirit vt extrinsecus suppeditetur alimentum. hoc modo, fratres, æterno Filio accidit fames. voluntate enim libera, non necessitate naturali esuriuit. cuius rei euidens argumentum est, quod cùm quadraginta diebus & noctibus ieiunasset, postea esuriit. si enim aër potestatem in carnem eius habuisset, vt in carnem cuiusque nostrum, non vnum diem, vel duos, vel tres transegisset, quousque esuriret, sicut factum in eo esse videmus.
B Sed quando volebat, permittebat naturæ, vt quæ erant eius, operaretur, & ostenderet. Similiter etiam mortem volens sustinuit. Audite quid ipsa veritas de se dicat, Potestatem habeo ponendi animam meam, & potestatem habeo iterum sumendi eam. &, nemo tollit animam meam à me. vt autem clarius, quæ dicuntur, intelligatis, hæc addam.

* *formauit Deus.*

C Corpus Adæ purum ab omni labe * formasse Deum, nullis naturalibus passionibus à culpa vacantibus, necessitate subiectum, vt mortis, & iis passionibus, quæ sunt ante mortem, & quæ post mortem. postquam autem Adam sua voluntate diuinum mandatum transiuit, & sub peccato cecidit, & pollutus est, passiones naturales à culpa vacantes dominatæ sunt in eum: mors scilicet, & quæ ante mortem, & quæ post mortem. Ob hanc causam cogebatur Adam esurire, & sitire, ac mori. & post mortem corruptio corporis, & quæcunque his sunt similia, dominatum in eum habebant.
D æternus tamen filius corpus Adamæum assumpsit, id est, ipse sibi ex sanguinibus purissimis sanctissimæ Virginis Mariæ corpus purum, & ab omni macula liberum formauit. hac de caussa non habuit mors imperium in eum, nec ante mortem, fames scilicet, & aliarum passionum, quæ reprehendi non possit, multitudo, vt docuimus: neque post mortem corruptio corporum, quod Dauid in Psalmo prædixit, inquiens, *Neque derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem.*

Psal. 15.

E Sed quid ea, quæ ab aliis decursa sunt, subiiciam? & non potius summatim dicam? corpus scilicet æterni filij à principio suæ formationis & vnionis hypostaticæ sine confusione, perfectissimè deificatum esse, & factum sine mutatione illum, qui vnxit, & audeo dicere ὁμόθεον. verùm æternus filius volens concessit ei degere vitam more corporum humanorum, vt diabolum lateret, & incarnatio eius salutaris crederetur, experiri aspera, & molesta, & passiones suscipere, ac mortem pro nobis verè & non fictè subire.

A αἱ δὲ φλέβες ἐκ τοῦ ἥπατος· τὸ δὲ ἧπαρ ἐκ τῶν δύο φλεβῶν τῶν ἀπὸ τοῦ στομάχου ἐκφυομένων, δύο φλέβες αὗται ἐκ τοῦ στομάχου ἀφείλκοντο. κενούμενος ὁ στόμαχος τὴν ἔξωθεν τῆς τροφῆς ἐπεζήτει χορηγίαν. κατὰ τοῦτον δὴ ἀδελφοὶ τὸν τρόπον, τῷ ἀϊδίῳ υἱῷ συμβέβηκεν ἡ πεῖνα. αὐτεξουσίῳ γὰρ βουλήσει, οὐκ ἀνάγκῃ φυσικῇ ἐπείνασεν. καὶ τούτου ἀπόδειξις ἐναργής· τεσσαράκοντα ἡμέρας διαμείνας ἄσιτος, ὕστερον ἐπείνασεν. εἰ γὰρ, ὡς ἑκάστης τῶν ἡμετέρων σαρκῶν, αὐτοῦ σαρκὸς ἐξουσίαζεν ὁ ἀήρ, οὐκ ἂν ἡμέραν [illegible] μίαν, ἢ δύο, ἢ τρεῖς, ἄχρις ἂν ἐπείνασε, καθὼς
B αὐτοπτικῶς ὁρώμενον γενόμενον. ἀλλ' ὅτε ἐβούλετο, συνεχώρει τῇ φύσει, τὰ ἑαυτῆς ἐνεργῆσαι, καὶ ἐνδεῖξαι. ὡσαύτως καὶ τὸν θάνατον ἑκὼν ὑπέμεινε, καὶ αὐτῆς τῆς ἀληθείας περὶ αὐτῆς τοῦτο λεγούσης ἀκούετε. ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν, καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. ἵνα δὲ σαφέστερα τὰ λεγόμενα κατανοήσητε, ταῦτα προσθήσω.

Ὅτι τοῦ Ἀδὰμ τὸ σῶμα καθαρὸν ἀπὸ παντὸς λύματος ἔπλασεν ὁ Θεός, ὑπεύθυνον τῶν φυσικῶν
C ἀδιαβλήτων παθῶν ἀναγκαστικῶς κρινόμενον θανάτου τε, καὶ τῶν πρὸ τοῦ θανάτου, καὶ μετὰ θάνατον. ἰδίᾳ δὲ γνώμῃ καὶ ἑκουσιότητι τοῦ Ἀδὰμ τὴν θείαν παραβάντος ἐντολήν, ὑποπεσόντος τε τῇ ἁμαρτίᾳ μολυνθέντος τοῖς φυσικοῖς ἀδιαβλήτοις ἐδουλώθη κατακυριευθεὶς πάθεσι, θανάτῳ τε, καὶ τοῖς πρὸ θανάτου, καὶ μετὰ θάνατον. ὅθεν ὁ Ἀδὰμ πεινᾶν, καὶ διψᾶν καὶ θνήσκειν ἀνάγκῃ κατεβιάζετο· καὶ μετὰ θάνατον διαφθορὰ τοῦ σώματος αὐτοῦ κατεξουσίαζε· καὶ τούτοις ἕτερα ὅμοια. ὁ μέντοι ἀΐδιος υἱὸς τὸ Ἀδάμιον
D ἀνέλαβε σῶμα, τοῦτ' ἔστιν αὐτὸς ἑαυτῷ ἐκ τῶν ἁγνῶν αἱμάτων τῆς παναγίας παρθένου Μαρίας διεπλάσατο καθαρόν, καὶ παντὸς μώμου ἁμαρτίας ἐλεύθερον. ταύτῃ τοι ὁ θάνατος κατ' αὐτοῦ κράτος οὐκ εἶχεν οὔτε πρὸ θανάτου, πεῖνα δή φημι, καὶ τῶν ἄλλων σπεῖρα ἀδιαβλήτων παθῶν ἐσμός, ὡς ἀπεδείξαμεν· οὔτε μὴν τῇ μετὰ θάνατον τῶν σωμάτων διαφθορᾷ. Δαβὶδ ὁ θεοπάτωρ μελῳδῶν προανεφώνησεν· οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

E Τί δή μοι τὰ πεπερασμένα ὑποτάττειν; ἀλλ' ἁπλῶς μὴ λέγειν ἐρεῖν; ὅτι τοῦ ἀϊδίου υἱοῦ σῶμα, ἀπ' ἀρχῆς τῆς διαπλάσεως, καὶ τῆς καθ' ὑπόστασιν τοῦ ἀϊδίου υἱοῦ ἀτρέπτου ἑνώσεως, τὴν τελεωτάτην ἐθεώθη θέωσιν, καὶ γέγονεν ἀτρέπτως ὅπερ τὸ χρίσαν, καὶ θαρρῶ λέγειν, ὁμόθεον. ὁ ἀΐδιος υἱὸς ἐθέλοντι συνέδωκεν αὐτῷ διάγειν, κατὰ τὴν τῶν ἀνθρωπίνων σωμάτων διαγωγήν, ἵνα τὸν μὲν διάβολον λάθῃ, τῆς δὲ αὐτοῦ σωτηρίου οἰκονομίας γένηται πίστις, καὶ πειραθείη τῶν σκυθρωπῶν, καὶ δέξηται τὰ πάθη, τὸν θάνατον ὑπὲρ ἡμῶν ὑπομείνῃ ἀληθείᾳ, οὐ φαντα-

πληρώσας δὲ πᾶσαν αὐτοῦ τὴν οἰκονομίαν, ἀνέδειξε μετὰ τὴν ἑαυτοῦ ἐκ νεκρῶν ἀνάστασιν ἐν τῇ ἰδίᾳ σαρκὶ τὴν δόξαν τῆς ἑαυτοῦ θεότητος. ἀλλ᾽ ἵνα μὴ νομίσωμεν ταύτην τὴν δόξαν, τὴν ἐν τῇ σαρκὶ τοῦ ἀϊδίου υἱοῦ, μετὰ τὴν ἐκ τάφου ἔγερσιν ἀναδεδεγμένην ἔξωθεν ἐπεισελθεῖν, ἀλλὰ φανέρωσιν εἶναι τῆς ἐν αὐτῇ κεκρυμμένης ἀπ᾽ ἀρχῆς τῆς καθ᾽ ὑπόστασιν ἀσυγχύτου ἑνώσεως. τούτου δὲ μαρτυρία σαφής, ὅτε πρὸ τοῦ σωτηρίου πάθους ἔμπροσθεν τριῶν τῶν αὐτοῦ μαθητῶν ἐν ὄρει Θαβώρ, τὴν ἐν τῇ αὐτοῦ σαρκὶ θεϊκὴν ἔδειξε δόξαν. ἣν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναφοίτησιν ἐξέφηνεν. ἐτεθέωτο γάρ, ὡς προείπομεν, ἡ τοῦ ἀϊδίου σάρξ, τὴν τελειοτάτην θέωσιν ἀπ᾽ ἀρχῆς τῆς ἑαυτοῦ διαπλάσεως. ἀλλ᾽ ὁ ἀΐδιος υἱὸς ἐφῆκεν αὐτὴν διὰ τὴν αἰτίαν, ἧς ἐμνημονεύσαμεν, κατὰ τὴν τῶν ἡμετέρων σωμάτων ἀναστρέφεσθαι βίωσιν.

Αὕτη τοίνυν, ὦ οὗτοι, τῆς ἡμετέρας ὁμολογίας ἡ διατύπωσις. Καὶ πλατύτερον ἐδυνάμεθα περὶ αὐτῆς διεξιέναι, ἀλλὰ τὸ τοῦ λόγου παρῄτημαι μῆκος. διὸ κατανοήσαντες τὰ παρ᾽ ἡμῶν σημανθέντα, καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ προσηκάμενοι, συναρμόσθητε ἡμῖν, καὶ ἑνώθητε, καὶ γενώμεθα πάντες ἓν διὰ τοῦ ἀϊδίου πνεύματος ἐν τῇ θεοπνεύστῳ τοῦ μεγάλου καὶ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ὁμολογίᾳ ταύτῃ, ᾗ συνετάξαμεν, ὅπως ἡμῖν ἱλασθῇ Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ πᾶσαν ἐναντίαν προσβολὴν, καὶ ἀνιαρὰν ἐπαγωγὴν ἀπώσηται· καὶ εἰς τὴν ὄντως ἡμᾶς μεταστήσῃ μακαριότητα· καὶ ἐν τῇ ἑαυτοῦ συνάψῃ, καὶ συναρμόσῃ βασιλείᾳ, ἧς γένοιτο πάντας ἐπιτυχεῖν, πρεσβείαις τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου Μαρίας, καὶ Ἰωάννου τοῦ προδρόμου, καὶ Βαπτιστοῦ, Πέτρου τε τοῦ κορυφαίου τῶν Ἀποστόλων, καὶ Ἰακώβου τοῦ ἀδελφοῦ Θεοῦ, καὶ πάντων τοῦ τῶν ἁγίων συστήματος. *

A completa autem omni sua dispensatione post resurrectionem à mortuis ostendit in propria carne gloriam suæ diuinitatis. ne autem existimaremus, hanc gloriam, quæ in carne æterni filij post resurrectionem ostensa est, extrinsecus aduenisse, quin potius ostensam esse, quæ in ipsa à principio ipsius secundum hypostasim vnionis sine confusione factæ, latebat, testimonium manifestum dedit, quando ante passionem coram tribus discipulis suis in monte Thabor in propria carne sua diuinam gloriam ostendit., quam etiam post resurrectionem patefecit. erat enim, vt iam B diximus, caro æterni filij perfecta, deificatione à principio suæ formationis prædita. Sed æternus filius, siuit eam conuersari more victus nostrorum corporum, vt iam commemorauimus.

Hæc est fratres descriptio nostræ confessionis. Quam quidem latius persequi poteramus, sed nolui esse prolixus. quamobrem comprehensis mente, quæ significauimus, & admissis per charitatem erga Christum, adiungite vos nobis, & copulamini, & efficiamur omnes vnum per Spiritum sanctum, in C hac diuinitus reuelata confessione Petri principis Apostolorum, cui nos adscripsimus, vt nobis Dominus Deus noster propitius sit, & omnem contrarium incursum, & acerbam afflictionem amoueat; & ad veram beatitudinem nos transferat, & in regno suo nos omnes coniungat, & aptet. Quam vt assequamur omnes, faxit Deus precibus sanctissimæ reginæ nostræ Deiparæ Mariæ, ac Ioannis præcursoris, & Baptistæ, ac Petri summi in Apostolis, & Iacobi fratris Do- D mini, & cœtus omnium horum Sanctorum. Amen.

* Ἀμήν. Tur.

ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΒΟΥΚΑΡΑ ἐπισκόπου Καρῶν.

r.

EIVSDEM THEODORI COGNOMENTO Abucaræ, Episcopi Carum.

Turriano interprete.

Ἐρώτησις. Διὰ τί λέγομεν, ὅτι ἡ ἀνθρωπότης τοῦ Χριστοῦ αὐτή ἐστιν ἡ ἀνθρωπότης Πέτρου, καὶ Παύλου, καὶ τῶν καθ᾽ ἕκαστα ἀνθρώπων; οὐ λέγομεν δὲ ὅτι τὸ σῶμα τοῦ Χριστοῦ, οὗ καὶ μεταλαμβάνομεν, αὐτό ἐστι τὸ σῶμα Πέτρου, καὶ Παύλου, καὶ ἑκάστου ἀνὰ μέρος ἀνθρώπων; ἀπόκρισις. ὅτι τὸ κοινὸν τὸ ὁλικὸν δεχόμενον ἰδίωμα χαρακτηριστικὸν, ὑπόστασις γίνεται· τὸ δὲ σῶμα τὸ κοινόν, καὶ ἁπλῶς λεγόμενον, δεχόμενον ἰδίωμα χαρακτηριστικὸν, οὐκέτι ὁ δεῖνα λέγεται, ἀλλ᾽ ὁ τοῦ δεῖνος, ἤγουν οὐχ ὑπόστασις γίνεται, ἀλλὰ τῆς ὑποστάσεως· τὸ γὰρ σῶμα μέρος ἐστὶ τῆς φύσεως,

E INTERROGATIO. Quare sicut dicimus humanitas Christi est ipsa humanitas Petri & Pauli & vniuscuiusque hominis: non sic dicimus, corpus Christi, quod sumimus & participamus, idem est, Petri & Pauli, & cuiusuis corpus? RESPONSIO. Quoniam commune respiciens totam proprietatem characteristicam, id est, signantem; hypostasis efficitur. Corpus verò commune & simpliciter dictum, recipiens proprietatem signantem, non amplius dicitur ὁ δεῖνα, *quidam* sed τοῦ δεῖνος, *cuiusdam*, id est, non fit hypostasis siue persona, sed fit personæ: corpus enim pars naturæ est,

non totum. Quamobrem pars, non existit A seorsim & per se, sed dicitur totius.

καὶ οὐχ ὅλον. διὸ τὸ μέρος οὐκ ἰδίᾳ ὑφίσταται, ἀλλὰ τοῦ ὅλου λέγεται.

VI. ΠΑΡΑΔΕΙΓΜΑ, ΔΙ' ΟΥ ΑΠΟΔΕΙΚΝΥΤΑΙ ΠΩΣ ὁ μολυσμὸς τῆς ἁμαρτίας τοῦ Ἀδὰμ εἰς ἅπαν τὸ ἀνθρώπινον διέβη γένος.

EXEMPLVM, QVO OSTENDITVR, QVOMODO MACVLA peccati Adami vniuersum genus humanum peruaserit.

Aivnt agricolæ, si accipias palmitem, B tinctúmque oleo plantes, olei qualitatem in ipsum etiam fructum, hoc est, in vuam redundare. Sic & Adamus cùm naturam omnis maculæ expertem accepisset, eam peccato variisque affectionibus contaminauit; cuius contagio ad nos vsque manauit.

Quomodo per Incarnationem Saluatoris nostri ad omnes expiatio peruenerit.

Aiunt, si semen peponis melle tinctum feras, dulcedinem mellis in ipsum fructum transire. Ita Christus natura ab oleosa quali- C tate, nimirum à peccato, per sanctum Baptismum, expurgata, assumpsit illam absque labe & macula, qualis prius erat, & condita fuerat, eáque melle diuinitatis & dulcedine, hoc est, virtute Spiritus sancti delibuta nos etiam dulcedinis participes effecit, quemadmodum grana peponis, quasi per traducem, fructum participem efficiunt.

ΦΑΣΙΝ οἱ γεωπόνοι, ὅτι ἐὰν λαβὼν κλάδον ἀμπέλου, καὶ ἐμβάψας ἐλαίῳ φυτεύσῃς, ἡ ποιότης τοῦ ἐλαίου πᾶσα καὶ ἐν τῷ καρπῷ, ἤγουν ἐν τῇ σταφυλῇ, διαδίδοται· οὕτω καὶ ὁ Ἀδὰμ παραλαβὼν τὴν φύσιν καθαρὰν, ἔχρανεν αὐτὴν τῇ ἁμαρτίᾳ, καὶ τοῖς πάθεσι, καὶ διεδόθη εἰς ἡμᾶς ἡ ποιότης.

Πῶς δὲ διὰ τῆς ἐνσάρκου τοῦ Σωτῆρος οἰκονομίας εἰς πάντας ἡμᾶς διέβη ἡ κάθαρσις;

Φασὶ δὲ πάλιν, εἰ λαβὼν σπέρμα πέπονος, καὶ ἐμβάψας μέλιτι σπείρῃς, ἡ γλυκύτης τοῦ μέλιτος καὶ ἐν τῷ καρπῷ διαδίδοται· οὕτω καὶ ὁ Χριστὸς τὴν φύσιν ἐκ τῆς ἐλαιώδους ποιότητος, ἤγουν ἐκ τῆς ἁμαρτίας, ἀποκαθαρθεῖσαν διὰ τοῦ ἁγίου βαπτίσματος, ἀνέλαβεν αὐτὴν ἀκηλίδωτον, καὶ ἄχραντον, οἵα καὶ ἦν, καὶ ἐκτίσθη τὸ πρότερον. καὶ ἐμβάψας αὐτὴν τῷ μέλιτι τῆς θεότητος, γλυκύτητι, ἤτοι τῇ δυνάμει τοῦ παρακλήτου μετέδωκεν ἡμῖν τῆς γλυκύτητος, ὡς οἱ κόκκοι τοῦ πέπονος τῷ ἀπ' αὐτῶν καρπῷ, καὶ κατὰ διαδοχήν.

VII. ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΡΩΝ, περὶ τῆς πάλης τοῦ Χριστοῦ μετὰ διαβόλου.

THEODORI EPISCOPI CARVM, DE LVCTATIONE Christi cum diabolo.

Interprete Francisco Turriano Societatis Iesu.

Interrogatio. Christus Deus D cum diabolo luctatus, vicit eum. quid magnum fecit? dicet diabolus. ego hominem vici, & à Deo victus sum. Quam vtilitatem reportauit natura nostra ex victoria Dei? Responsio. Iacobitæ Deum verbum simpliciter, aiunt luctatum esse: Nestoriani contra, hominem simpliciter, & solum. Ecclesia verò, quæ media via & regia ingreditur, verbum in carne, cum diabolo luctatum esse docet. quod si, vt Nestoriani aiunt, homo erat, qui vicit, & qui interfectus fuit, nihil nobis profuit mors hominis. E omitto nunc dicere, quàm multis erroribus labi necesse est, priusquam ab eis doceri possit hominem solum vicisse. Sin autem est vt Iacobitæ dicunt, nihil ad nos mors Christi, si Deus simpliciter vicit.

ΕΡΩΤΗΣΙΣ. Χριστὸς Θεὸς ὢν, καὶ πρὸς τὸν διάβολον παλαίσας, ἐνίκησεν. τί δὲ μέγα πεποίηκεν; ἐρεῖ γὰρ ὁ διάβολος, ὅτι ἄνθρωπον ἐνίκησα, καὶ ὑπὸ Θεοῦ ἐνικήθην. τί δὲ καὶ ὠφελήθη ἡ φύσις ἡμῶν τοῦ Θεοῦ νενικηκότος; Ἀπόκρισις. οἱ μὲν Ἰακωβῖται τὸν Θεὸν λόγον ἁπλῶς λέγουσι πεπαλαικέναι, καὶ νενικηκέναι· οἱ δὲ Νεστοριανοὶ τοὐναντίον, τὸν ἄνθρωπον ἁπλῶς καὶ μόνον· ἡ δὲ ἐκκλησία, τὴν μέσην καὶ βασιλικὴν ὁδὸν διανύουσα, τὸν Θεὸν λόγον, σαρκὶ τὴν πάλην ποιήσασθαι μετὰ τοῦ διαβόλου διδάσκει. καὶ εἰ μὲν, ὡς οἱ Νεστοριανοὶ λέγουσιν, ἦν ἄνθρωπος ὁ νενικηκὼς, καὶ ἀναιρεθεὶς, οὐδὲν ἡμᾶς ὠφέλησεν ἀνθρώπου θάνατος. ἐῶ γὰρ λέγειν νῦν, ὅτι πολλὰ ἀτοπήματα προσκόψουσι, πρὶν ἢ ἀποδεῖξαι, δυνατὸν εἶναι, ἄνθρωπον ψιλὸν νενικηκέναι. εἰ δὲ ὡς οἱ Ἰακωβῖται φασὶν ἐστιν, οὐδὲν πρὸς ἡμᾶς τοῦ Θεοῦ ἁπλῶς νενικηκότος

ἀλλ' * ἐπεὶ ἡ ἰδιορρυθμία τὸν Ἀδὰμ νέμειν, καὶ τοὺς μετέπειτα ἀνθρώπους, ὁρῶν ὁ διάβολος ὑπ' αὐτοῦ ἡττημένην, οὐ τῇ ὑποστάσει τοῦ Ἀδὰμ, καὶ τῶν λοιπῶν ἀνθρώπων ἐλογίζετο τὴν ἧτταν, ἀλλ' αὐτῇ τῇ φύσει, λέγων, ὅτι ἔπλασεν ὁ Θεὸς πλάσμα μὴ δυνάμενον πρός με καὶ τὴν ἁμαρτίαν ἀντιστῆναι. Τούτου χάριν ὁ Θεὸς Λόγος, τὴν φύσιν τῆς ἀνθρωπότητος τελείαν ἀναλαβὼν ἐχρήσατο τῷ αὐτεξουσίῳ αὐτῆς θελήματι, ταῖς τε αἰσθήσεσι, καὶ ταῖς φυσικαῖς δυνάμεσι πάσαις κατὰ φύσιν, καὶ κατὰ τὸ δέον, καὶ κατὰ τὸ βούλημα τοῦ Θεοῦ· καὶ οὕτως ἐνίκησε τὸν διάβολον, οὐ δυνάμει θεϊκῇ, καὶ πλεονεκτούσῃ τῆς φύσεως προστεθεὶς, καὶ ἐπιχορηγήσας ἐν τῇ πάλῃ, ἀλλὰ πρὸς τὸ ἁρμόζον καὶ τῷ Θεῷ, καὶ τῷ νόμῳ ὁμοίως συνᾳδὸν χρησάμενος τοῖς φυσικοῖς, καὶ ῥυθμίσας πάντα τὰ τῆς φύσεως μέρη, καὶ δυνάμεις, καὶ ὄργανα, κατὰ τὸ προσῆκον, κατὰ τὰ μέτρα τῆς ἀνθρωπότητος, καὶ οὕτως ἐνίκησε, καὶ ἀπέδειξε τὴν φύσιν νικηφόρον, καὶ τῇ φύσει λοιπὸν ἡ νίκη, καὶ ἡ δικαίωσις λογίζεται.

Ἐρώτησις. Εἰπέ μοι, ὁ ἀνθρώπινος νοῦς, αὐτὸς ἦν ὁ παλαίων πρὸς τὸν διάβολον, ἢ ἁπλῶς εἰπεῖν, αὐτοκίνητος ἦν, ἢ ἑτεροκίνητος; Ἀπόκρισις. ὥσπερ οὐ λέγεται ὁ σὸς νοῦς, ἢ πούς, ἢ χεὶρ κινεῖσθαι. σὺ γὰρ ὁ τὸν σὸν νοῦν, καὶ τὰ μέλη, καὶ τὰς δυνάμεις κινῶν, καὶ ῥυθμίζων, ὡς βούλει. οὕτω καὶ ὁ Θεὸς Λόγος, αὐτὸς ἦν, ὁ τὸν ἴδιον ἀνθρώπινον νοῦν, καὶ τὰς αἰσθήσεις, καὶ φυσικὰς ἕξεις, καὶ δυνάμεις κινῶν, καὶ διακυβερνῶν, ὡς βούλεται. πρὸς δὲ τὸ εἰρημένον παρὰ σοῦ, ὅτι αὐτοκίνητος, ἢ ἑτεροκίνητος ὁ νοῦς τοῦ Χριστοῦ, τοῦτο φαμὲν, ὡς ἔχει ἡ φύσις, ἤτοι, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα, καὶ τὰ τούτου μέρη, καὶ αἰσθητήρια, ἕκαστον ἰδίαν τινὰ ἁπλῆν, καὶ φυσικὴν κίνησιν. Εἰ μὴ γὰρ εἶχον ταῦτα κατὰ φύσιν τινὰ κίνησιν, οὐκ ἂν ἡμεῖς δυνηθείημεν αὐτὰ κινῆσαι. τὴν οὖν φυσικὴν, καὶ ἁπλῆν κίνησιν ἡμεῖς παραλαμβάνοντες κινούμεθα, καὶ ῥυθμίζομεν αὐτὴν, ὡς ἂν βουλοίμεθα καλῶς, ἢ κακῶς. οἷον, ἔχουσι τὴν βαδιστικὴν κίνησιν φυσικῶς οἱ πόδες. ἐγὼ δὲ κέχρημαι τῇ βαδίσει, ὡς βούλομαι· ἔχουσιν οἱ ὀφθαλμοὶ τὸ ἁπλῶς ὁρᾶν. ἐγὼ δὲ, ὡς βούλομαι, κέχρημαι τῇ ὁράσει· τὸ οὖν ὁρᾶν ἐκ τῆς φύσεως ἔχω· τὸ δὲ, πῶς ὁρᾶν, ἐξ ἐμαυτοῦ ἐστιν. ὡσαύτως καὶ ἐπὶ τῆς θελήσεως, καὶ τῶν λοιπῶν τῆς φύσεως μερῶν, καὶ ἐπὶ αὐτοῦ τοῦ νοῦ. * ἔχει γὰρ καὶ αὐτὸς φυσικῶς τὸ ἁπλῶς λογίζεσθαι καὶ τοῦτο, ἢ τοῦτο. ἐγὼ δὲ τῇ τοιαύτῃ φυσικῇ δυνάμει τοῦ νοῦ κέχρημαι, ὡς βούλομαι κατὰ γνώμην, ἤτοι καλὰ, ἢ κακὰ λογιζόμενος, καὶ κατεργαζόμενος τῇ τοῦ νοῦ δυνάμει, εἰς ὅπερ ἐφίεμαι. τὸ γοῦν ἁπλῶς κινεῖσθαι κατὰ τὴν ἰδιότητα ἑκάστου μέρους τῆς φύσεώς ἐστι, τὸ δὲ πῶς κινεῖσθαι, τῆς ὑποστάσεως. οὕτω καὶ ἐπὶ Χριστοῦ νόει. ὥσπερ λέγεται ὁ τέκτων τῇ ἰδίᾳ χειρὶ πεποιηκέναι τὸ θρόνιον, καὶ λέγομεν, ὅτι ἡ χεὶρ τοῦ τέκτονος τὸν θρόνον πεποίηκεν·

A Sed quia propria vitæ compositio & ordinatio Adæ, ad Adam, & ad posteros eius pertinebat, cum videret illam diabolus à se victam esse, non personam Adæ, & reliquos homines victos esse reputauit, sed ipsam naturam: sic enim aiebat; quia Deus creauit hominem, qui neque mihi, neque peccato resistere posset, idcirco Deus verbum assumpta natura humanitatis perfecta, vsus est libera eius voluntate, & sensibus, & naturalibus potentiis omnibus conuenienter naturæ, & vt oportebat, ac secundum voluntatem Dei; atque ita vicit diabolum, non opposita & suppeditata in
B luctatione, diuina virtute, & * ampliore, quàm naturali, sed vt decebat Deum, & legem, vsus naturalibus, & omnibus naturæ partibus, & potentiis, & organis sic compositis, sicut conueniebat, vt mensura humanitatis postulabat. atque ita vicit, & ostendit naturam victricem, & naturæ deinceps victoria & iustificatio attribuitur.

B. Dic mihi, ipsa mens humana, quæ cum diabolo luctabatur, mouebatur ne à se, an ab alio? A. Sicut non dicitur mens tua, aut pes, aut manus moueri, tu enim
C es, qui mentem tuam, & membra ac potentias moues, & moderaris, sicut vis: sic Deus verbum, ipse erat, qui propriam mentem humanam, & sensus, & naturales habitus, ac potentias mouebat, & gubernabat, vt volebat. Quod autem querebas, vtrum mens Christi à se; an ab alio moueretur, respondemus, * quod mens, & anima, & corpus, & partes corporis & sensus, vnumquodque horum proprium quendam & simplicem ac naturalem motum habet. Si enim non haberent hęc secundum naturam motum aliquem,
D non possemus nos naturali & simplici motu moueri: quem nos suscipimus, & eo mouemur, & moderamur eum, vt volumus, bene vel male. verbi gratia, habent pedes facultatem insitam ad ambulandum, ego vero vtor ingressu, & ambulatione, vt volo. habent oculi facultatem videndi simpliciter; ego vero aspectu, vt libet, vtor. vt igitur videam, à natura habeo: quomodo autem videam, ex me est. Similiter fit in voluntate, & in reliquis partibus naturę, & in ipsa mente: vtor, vt
E volo, & secundum sententiam, id est, honesta, aut praua, potestate mentis cogito, & operor. Quod igitur diximus, simpliciter moueri secundum proprietatem cuiusque partis naturę est: quomodo autem quis moueatur, personę est. Sic in Christo intellige. Sicut dicitur faber lignarius fecisse propria manu sedile, & dicimus item manum fabri lignarij fecisse sedile:

* Videtur legendum: ἐπεὶ τῆς ἰδιορρυθμίας

* idest, natura humana in Christo semper fuit intra mensuram suam.

* Videtur hic legiss. Turr. ὁ νοῦς καὶ ἡ ψυχή.

* Desideratur in Cod. Turr.

** naturam humanitatis in hypostasi dicit.*

sic dicimus Deum verbum vicisse carnem, & rursus dicimus carnem vicisse, id est, * naturam humanitatis.

B. Quomodo Adam victus est? nonne dubitans, immò potiùs non credens verbo Dei, & credens diabulo? A. Blanditia ipsius voluptatis primum deliniuit eum cupiditate, deinde dubitauit. Nisi pulchrum ei visum esset quod interdictum erat, nunquam mentem suam decepisset. & aduerte quod dico, si diabolus ostendisset ei lignum, vnde sumpsit vetitum cibum, tetro odore, & spinosum, & amarum, dixissétque, si ex hoc comederis, B eris Deus, nunquam sine probatione & indagatione locum fallaciæ eius dedisset. quin potius curiosè de ea re inquisiuisset, ac respondens dixisset, vnde hoc scis? aut vnde mihi huc probas? & me certum reddis? & denique nunquam sine vera demonstratione fidem verbis eius adhibuisset. postquam vero cupiditas eũ molliuit, fefellit ipse suam cogitationem. Sic euenit iis qui pseudoprophetam Agarenorum secuti crediderunt ei, concessis & promissis voluptatibus decepti. Cum enim multa spolia, & legem remissam & C relaxatam, & eorum cupiditatibus iocundam, dedisset, facile conscientiam propriam fatuè deceperunt, crediderunt que Prophetam Dei esse, & Apostolum. etenim nisi proposuisset, quæ eis iocunda essent, sed potius molesta, & difficilia, statim austerè, & sine vllo pudore respondissent, vnde nobis suades, esse te à Deo missum? & quomodo fidem facis? exegissentque ab eo perspicuas eorum quæ dicebat, rationes. & vt vno verbo dicam, cùm ægrotat ea pars, qua cupimus, tunc mentem trahit, & ad assensionem illicit.

B. Poterat ne qui erat secundum hypostasim vnitus Deo, & caro illa trahi omnino voluptatibus illius, qui tentabat, & mundi? A. Non potuisse dicimus, non propter infirmitatem, & debilitatem, sed propter conuenientiam rationis, & decentiæ, sicut dicimus, non posse Deum iniuriam facere.

οὕτω φαμὲν, καὶ τὸν Θεὸν λόγον νενικηκέναι τὴν σάρκα, καὶ τὴν σάρκα λέγομεν πάλιν νενικηκέναι, ἤτοι τὴν φύσιν τῆς ἀνθρωπότητος.

Ἐρώτησις. Πῶς ὁ Ἀδὰμ ἡττήθη; οὐχὶ διστάσας, μᾶλλον δ᾽ ἀπιστήσας τῷ λόγῳ τοῦ Θεοῦ, καὶ πιστεύσας τῷ διαβόλῳ; Ἀπόκρισις. Τὸ λεῖον τῆς ἡδονῆς ἔθελξεν αὐτὸν πρῶτον τῆς ἐπιθυμίας, εἶτα ἐδίστασεν. εἰ γὰρ μὴ καλὸν ἦν, μηδὲ ὡραῖον ἐφάνη αὐτῷ τὸ ἀπηγορευμένον φυτὸν, οὐκ ἂν ἑαυτὸν ἐφρεναπάτησεν, καὶ τὸν λόγον τοῦ ἐχθροῦ προσεδέξατο. καὶ πρόσεχε ᾧ λέγω. εἰ ὑπέδειξεν αὐτῷ ὁ B διάβολος φυτὸν δυσῶδες, ἀκανθῶδες, καὶ πικρὸν, καὶ εἶπεν αὐτῷ· εἰ φάγῃς ἀπὸ τούτου, ἔσῃ Θεός· οὐκ ἂν ἀναποδείκτως καὶ ἀνεξετάστως προσεδέξατο τὴν ἀπάτην. ἀλλ᾽ ἐπολυπραγμόνησεν ἂν ἀποκρινόμενος, καὶ λέγων, πόθεν σοὶ τοῦτο τὸ εἰδέναι, ἢ πόθεν μοι παρέχεις τὴν τοιαύτην πληροφορίαν, καὶ ἀπόδειξιν; καὶ ἁπλῶς οὐκ ἄν ποτε πείθη αὐτῷ ἄνευ ἀναντιλογήτου ἀποδείξεως τὸν λόγον αὐτοῦ προσδέξασθαι. ἐπεὶ δὲ ἡ ἐπιθυμία ἡγεῖτο, ὥστε τὸν διαλογισμὸν παρελογίσατο. οὕτω καὶ οἱ τῷ ψευδοπροφήτῃ τῶν Ἀγαρηνῶν ἠκολουθηκότες πεπιστεύκασιν αὐτῷ, ταῖς C δεδομέναις αὐτοῖς καὶ ἐπιτετραμμέναις ἡδοναῖς φενακισθέντες· λάφυρα γὰρ πολλὰ, καὶ νόμον ἀνειμένον, καὶ ταῖς ἐπιθυμίαις αὐτῶν καταθύμιον δεδωκότος αὐτοῖς, ἐμωράνθησαν, καὶ ἐξηπάτησαν τὴν ἰδίαν συνείδησιν· καὶ ἐπίστευσαν ὅτι προφήτης ἐστὶ, καὶ Θεοῦ ἀπόστολος. ἐπεὶ εἰ μὴ προσέτεινεν ἐκ τῶν ἐφέσεων αὐτῶν, ἀλλὰ λυπηρὰ καὶ ἐργώδη αὐτοῖς προσέβαλεν, εὐθὺς ἂν αὐστηρῶς αὐτῷ καὶ ἰταμῶς ἀπεκρίναντο· καὶ πόθεν ἡμᾶς πείθεις, ὅτι σε Θεὸς ἀπέσταλκεν; καὶ ἵνα πίστωσιν εἴδους; καὶ αὐτοὶ ἂν ἐσε προσεξάξαντο ἐναργεῖς, ὧν λέγῃ, τὰς ἀποδείξεις. καὶ D ἁπλῶς εἰπεῖν, ἐπεὶ πάντως τὸ ἐπιθυμητικὸν νοσεῖ, τότε τὸν νοῦν ἐπισπᾶται, καὶ δελεάζει πρὸς συγκατάθεσιν.

Ἐρώτησις. Ἠδύνατο ὁ ἡνωμένος καθ᾽ ὑπόστασιν τῷ Θεῷ λόγῳ, καὶ ἡ σὰρξ ἐκείνη συναπαχθῆναι ὅλαις ταῖς τοῦ πειράζοντος ἡδοναῖς, καὶ τοῦ κόσμου; Ἀπόκρισις. Τὸ μὴ δύνασθαι, ὧδε οὐ κατὰ τὸ ἀσθενὲς, καὶ ἀνένδεκτον καὶ ἀνεγχώρητον, ἀλλὰ κατὰ τὸ εὔλογον, καὶ εὐπρεπὲς, ὡς καὶ ἐπὶ τοῦ Θεοῦ φαμὲν, ὅτι οὐ δύναται ἀδικῆσαι.

VIII.

ΕΡΩΤΗΣΙΣ ΑΡΑΒΩΝ ΠΡΟΣ ΧΡΙΣΤΙΑΝΟΝ.

INTERROGATIO ARABVM CONTRA CHRISTIANVM.

A. Christ. B. Arabs.

B. Dic mihi, est'ne Christus Deus E tuus? A. Maximè. B. Habes ne alium Deum præter eum? A. Nequaquam. B. Igitur Pater, & Spiritus sanctus exciderunt tibi. A. Audi etiam me. sit, existátque hîc scriptura vestra, quam dicitis è cœlo descendisse, percunctor à te, habes ne aliam præter hanc?

Ὁ ΑΡ. Εἰπέ μοι, ὁ Χριστὸς Θεός σου ἐστίν; ὁ Χ. ναί. ὁ Ἀρ. ἔχεις οὖν ἕτερον Θεὸν πλὴν αὐτοῦ; ὁ Χριστιαν. οὐχί. ὁ Ἀρ. οὐκοῦν ὁ πατὴρ καὶ τὸ πνεῦμα διαπεπτώκασίν σοι. ὁ Χριστιαν. ἄκουε σὺ ἐμοῦ. παρέστω ἐνταῦθα καθ᾽ ὑπόθεσιν ἡ ὑμετέρα γραφὴ ἡ ἐκ τοῦ οὐρανοῦ, ὡς φατὲ, κατελθοῦ. Ἐρωτήσω δέ σε ἔχεις ἄλλην γραφὴν πλὴν ταύτην

A ὁ Ἀρ. ἀποκρίνομαί σοι, λοιπὸν μὴ ἔχειν. ὁ Χρ. οὐκοῦν ἀρνῇ πᾶσαν ἑτέραν γραφήν; ὁ Ἀρ. ναί. ὁ Χρ. εἰ οὖν, εἰ παρείη ἄλλη βίβλος, τὴν αὐτὴν γραφὴν ἔχουσα, ἀρνῇ τὴν γραφὴν ἐκείνην; ὁ Ἀρ. οὐκ ἔστιν ἄλλη γραφή, ἀλλ' ἡ αὐτή, εἰ καὶ ἐν ἄλλῃ καὶ ἄλλῃ κεῖται βίβλῳ. ὁ Χρ. ἀλλὰ κἀγὼ λέγω, ὅτι οὐκ ἔστιν ὁ πατήρ, καὶ τὸ πνεῦμα ἄλλος καὶ ἄλλο παρὰ τὸν υἱόν, εἰ ἐν ἄλλῃ καὶ ἄλλῃ ὑποστάσει εὑρίσκεται.

A. B. respondeo, nullam aliam habere. A. Negas igitur omnem aliam. B. Maximè. A. Quid? Si adsit alius liber, qui eandem scripturam habeat, negas scripturam illam? B. Non est alia, & alia scriptura, sed eadem; tametsi in alio libro posita est. A. Sic ego etiam dico, non est Pater, & Spiritus sanctus aliud & aliud præter Filium, quamuis in alia, & alia hypostasi reperiatur.

ΕΡΩΤΗΣΙΣ ΑΓΑΡΗΝΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ. IX.

QVÆSTIO AB AGARENO ABVCARÆ PROPOSITA.

Francisco Turriano interprete.

Ὁ Ἀγαρηνός. Εἰπέ μοι, οἱ Ἰουδαῖοι τὸν Χριστόν, B ὃν Θεὸν σὸν εἶναι λέγεις, σταυρώσαντες, βουλομένου αὐτοῦ, ἢ μὴ βουλομένου, τοῦτο πεποιήκασιν; ὁ Χριστιανός. βουλομένου. ὁ Ἀγαρ. οὐκοῦν οὐ μόνον εἰσὶν ἀνεύθυνοι, ἀλλὰ καὶ εὐεργετηθῆναι παρ' ὑμῶν ὀφείλουσιν. ὁ Χριστιαν. ἀπόκριναί μοι, ἀντερωτῶντί σε. ἐγὼ βλασφημῶ καθ' ἑκάστην ἡμέραν, ὡς σὺ λέγεις, εἰς τὸν Θεόν σου, ἄκοντος αὐτοῦ τοῦτο πράσσω, ἢ ἑκόντος; εἰ μὲν γὰρ ἄκοντος, ἀσθενής ἐστιν. εἰ δὲ ἑκόντος, οὐ μόνον οὐκ ὀφείλειν τέλη, καὶ φόρους ἀπαιτεῖσθαι παρ' ἐμοῦ, ἀλλὰ δῶρα κομίζεσθαι, ἅτε C βούλημα τοῦ Θεοῦ σου πληρῶν. ἔτι μοι ἀπόκριναι· ἡνίκα τῆς Ῥωμαϊκῆς ἐπιβατεύσητε χώρας, εἴ τις ἐξ ὑμῶν αὐτόθι φονευθῇ, οὐκ εἰς τὸν παράδεισον πορεύεται πάντως, ὡς ὑμεῖς δογματίζετε; ὁ Ἀγαρ. ναὶ πάντως. ὁ Χριστιαν. εἰ οὖν σου ἅμα τῷ σῷ * γνησίῳ ἀδελφῷ πεπορευμένου, καὶ ἐπιστρατευσαμένου τοῖς ἐκεῖσε, εἷς τῶν Ῥωμαίων τὸν σὸν υἱὸν * ἀνεῖλεν, ἆρα τὸν αὐτὸν ἀνελόντα ὡς ἐχθρὸν ἀμύνεσθαι καὶ ἀντιτιμωρεῖσθαι ὀφείλεις; ἤ, ὡς εὐεργέτην τιμῶν, καὶ ἀσπάζεσθαι καὶ καταφιλεῖν; ὁ Ἀγαρ. πάντως ἂν ἀπέκτεινα αὐτὸν μυριάκις, καὶ μεληδὸν κατέτεμον, εἴγε δυναίμην. ὁ Χριστιαν. καὶ πῶς τὸν αἴτιον D τῆς τοιαύτης σωτηρίας, καὶ τρυφῆς τῷ σῷ γεγενημένον * ἀδελφῷ δίκαιος κρίνεις ἀνελεῖν; εἰπὲ δέ μοι καὶ ἕτερον πρᾶγμα. εἰ κατὰ τὸν σὸν ὀφθαλμὸν εἶχες μώλωπα λίαν ὀδυνηρόν, καὶ θανάσιμον· ἠθέλησε δέ τις τῶν σῶν ἐχθρῶν καιρίαν σοι δοῦναι πληγήν, καὶ θανατῶσαί σε τῆς ζωῆς ἀπαλλάξαι εὐκαιρίας δραξάμενος, ἐπήγαγε δέ σοι τὴν πληγὴν οὐκ ἐν ἄλλῳ μέρει τοῦ σώματος, ἀλλ' ἢ κατὰ τὸν τετραυματισμένον ὀφθαλμόν, ἵνα σε, καθὼς ἔφην, τάχιστα τοῦ ζῆν ἀπαλλάξῃ· ἐκ τοῦ συμβεβηκότος πληγεὶς ὀφθαλμὸς ἐρεύσε πύα, καὶ ἰχῶρας, καὶ ὑγρὰν σηπεδόνα· σὺ δὲ τῆς ἀλγηδόνος ἀπαλλαγείς, διὰ τῆς πληγῆς ἐκείνης τελείως ὑγιάνας, ὡς φίλον ἄρα, καὶ εὐεργέτην, τὸν δεδωκότα σοι τὴν πληγὴν ἑώρας ἐχθρόν,

* ᾧ σῷ
* ἀδελφόν
* ᾧ σῷ

AGARENVS. Dic mihi, Christum, quem tu dicis Deum tuum esse, cum cruci affixerunt Iudæi, fecerúntne hoc, ipso volente, an non volente? A. Volente. B. Non solùm igitur sunt nullius pœnæ rei, sed potius habendæ sunt eis gratiæ. A. Responde mihi rursus percontanti, Ego cùm quotidie Deum tuum, vt tu ais, blasphemiis afficio, facio hoc inuito eo, an non inuito? si enim inuito, infirmus, & imbecillis est; sin autem volente, non solum non debet à me pro eo tributum exigi, sed potius munera deberem ferre, quippe qui voluntatem Dei tui expleam. Responde adhuc mihi, cùm vos ad regiones Romanorum profecti estis, si quis ex vestris ibi interfectus est, nonne, vt vos docetis, & traditis, in paradisum ingreditur? B. Ita sanè est. A. Si igitur tu cum fratre tuo, & filio illuc profectus esses, & ibi militasses, ac postea aliquis Romanus fratrem tuum, aut filium occideret, an tu illum, qui occidit, tanquam inimicum vlcisci deberes, an potius tanquam beneficum honorare, amplecti, & exosculari? B. Immo verò millies sanè occidissem, & membratim discerpsissem si potuissem. A. Et quomodo æquum esse iudicas, eum occidere, qui fuit caussa filio, aut fratri tuo tantæ ac talis salutis, ac voluptatis? Responde mihi rursus, si haberes in oculo tuo cicatricem, quæ te dolore afficeret, & mortifera esset, velletque aliquis inimicus tuus plagam infligere mortiferam, & vitam adimere, & opportunitatem nactus, non in aliam partem corporis, quàm in oculum vulneratum plagam impingeret, vt te cito, vt dixi, morte afficeret; accideret autem, vt oculus plaga accepta, putrem humorem emitteret, tu vero & dolore liberatus, & oculi sanitatem integram assecutus esses, nunquid tanquam amicum, & bene de te meritum eum aspiceres, qui percussit,

& intuens non quidem in voluntatem, quam ille habuit, ſed in id quod præter voluntatem illius accidit, amares, & munerares? an verò inimicum duceres? B. Immo magno ſupplicio afficerem, ſi poſſem; & tanquam inimiciſſimum, & maximè maleuolum cruciarem. A. Sic cogita de iis beneficiis, quæ nobis inuiti Iudæi attulerunt.

* Fort. ἀπροαιρέτως

οὐ πρὸς τὴν προαίρεσιν αὐτοῦ ἀποσκοπήσας, ἀλλὰ πρὸς τὸ * ἀπροαιρέσεως αὐτοῦ μὴ θέλοντος συμβὰν ἔστεργες, καὶ εὐηργέτεις; ὁ Ἀγαρ. ἀλλὰ καὶ κατὰ μέρος αὐτὸν ἐτιμωρησάμην, εἰ δύναμιν εἶχον, καὶ ὡς ἔχθιστον, καὶ δυσμενέστατον ἤταζον. ὁ Χριστιανός. οὕτω καὶ περὶ ὧν ἡμᾶς ἄκοντες οἱ Ἰουδαῖοι εὐηργέτησαν, διανοοῦ.

V.

ΠΡΟΣ ΙΟΥΔΑΙΟΝ Ο ΑΥΤΟΣ ΔΙΕΛΕΧΘΗ.

EIVSDEM THEODORI DISSERTATIO CVM IVDÆO.

Turriano interprete.

B. EGo, inquit Iudæus, ex ſcripturis tecum diſputo, nihil enim aliud ſcio præter has. A. Nec ego has reiicio, ſed oportet vt his auditoribus prius explicem, quomodo ſcripturas intelligo. Vt ſi quis domum aliquam ingreſſus pictam, Pauli, ſi ita ponamus, imaginem ſpectaret, diceret digitum intendens, indicandi gratia, hic eſt Paulus Tarſenſis; qui ſtetit conſentiens in morte Stephani, qui literis à ſacerdotibus acceptis perrexit Damaſcum, qui cuſtodiæ tradebat Chriſtianos. Hic viſione diuina, pœnitentia ductus ad Chriſtianiſmum conuerſus eſt, & prædicator ac magiſter gentium factus, & alia eiuſmodi. qui in imaginem Pauli intentus eſt, ad Paulum, cuius eſt illa imago, hæc omnia refert, non autem in picturam, & colorem, quæ vidit. ſi verò dicat, non bene pictor depinxit Paulum; nimium enim latos humeros eius fecit: oculos eius non benè picturâ imitatus eſt: & crura gracilia, aut manca fecit; hæc, & alia eiuſmodi non ad Paulum referuntur, ſed in ſola imagine circumſcripta manent. ſic ſunt, quæ in ſcriptura de ſanctis dicta ſunt. alia quidem referuntur ad Chriſtum, qui in illis eſt figuratus, & præformatus, alia verò ad ipſos, & ſolos pertingunt. Placet tibi Iudæe huiuſmodi lectio, & explicatio ſcripturæ? B. Nequaquam. non approbo hoc, ſed literam. vt verbi gratia, quæ dicta ſunt de Dauid, de illo tantum intelligo; & quæ de Abraam, Iſaac, & Iacob, & Iuda, & de reliquis ſimiliter. A. Vide quid dicas, & ſcias, quod ad hunc modum loquendi & intelligendi, Deum facis mendacem. B. Quomodo? A. Nonne dixit Deus Abrahæ; *Totam hanc terram, quam tu vides, tibi dabo eam, & ſemini tuo?* B. Sic eſt. A. Fuit ne vnquã Abraam Dominus illius terræ? B. Quomodo Dominus, qui neque paſſum pedis in illa habuit? ſepelire enim Sarram non potuit, donec locum emit. A. Sermo igitur Dei excidit. B. Daturus, inquit, eſt eis terram.

Act. 9.

Gen. 13.

Gen. 23.

Ὁ Ἰουδαῖος· Ἐγώ σοι, φησὶν, ἐκ τῶν γραφῶν διαλέγομαι· οὐδὲν γὰρ ἕτερον οἶδα παρὰ ταύτας. ὁ Χριστιανός. οὐδὲ ἐγὼ ταύτας ἀποβάλλομαι. ἀλλὰ δεῖ με τοῖς παροῦσιν ἀκροαταῖς προδιαστεῖλαι πῶς νοῶ τὰς γραφάς. ὥσπερ εἴ τις εἰσελθὼν ἐν οἰκίᾳ ἐζωγραφημένῃ, Παύλου, εἰ τύχοι, θεάσοιτο τὴν εἰκόνα, εἴπῃ δακτυλοδεικτῶν, ὅτι οὗτός ἐστιν ὁ Ταρσεὺς Παῦλος ὃς συνευδοκῶν εἱστήκει τῇ ἀναιρέσει Στεφάνου. ὃς παρὰ τῶν ἀρχιερέων ἐπιστολὰς εἰληφὼς εἰς Δαμασκὸν ὥρμησε, πορθῶν, καὶ φυλακίζων τοὺς Χριστιανούς· οὗτός ἐστιν ὁ θείᾳ δυνάμει μεταπεισθεὶς ἐπὶ τὸν Χριστιανισμὸν ὀπτασίᾳ, καὶ κῆρυξ, καὶ διδάσκαλος τῶν ἐθνῶν γενόμενος, καὶ τὰ τούτοις ὅμοια λέγοι, ὁ τῇ εἰκόνι Παύλου ἐνατενίζων, ταῦτα δὴ πάντα ἐπὶ τὸν εἰκονιζόμενον Παῦλον, οὗ ἐστιν ἐκείνη εἰκὼν, ἀναφέρεται. οὐκ ἐπὶ τὴν ζωγραφίαν, ἢ τὰ χρώματα. εἰ δὲ εἴποι, οὐ καλῶς ἱστόρησεν ὁ ζωγράφος τὸν Παῦλον· πλατεῖς γὰρ ὑπερβολικῶς τοὺς ὤμους αὐτοῦ πεποίηκεν, καὶ τὸν ὀφθαλμὸν αὐτοῦ οὐκ εὐστόχως ἐζωγράφησεν, καὶ τὰ σκέλη λεπτὰ, ἢ κολοβὰ εἰργάσατο, καὶ ὅσα τοιαῦτα· οὐκ ἐπὶ τὸν ἐκτυπούμενον ἀναφέρονται, ἀλλ᾽ ἐν μόνῃ περιγράφονται τῇ εἰκόνι. οὕτω καὶ ἐν τῇ γραφῇ περὶ τῶν ἁγίων εἰρημένα. τὰ μὲν εἰς τὸν δι᾽ ἐκείνων εἰκονιζόμενον καὶ προτυπούμενον Χριστὸν ἀναφέρονται. τὰ δὲ εἰς αὐτοὺς καὶ μόνους περιΐστανται. ἀρέσκει σοι, ὦ Ἰουδαῖε, ἡ τοιαύτη τῆς γραφῆς ἀνάγνωσις, καὶ ἀνάπτυξις; ὁ Ἰουδαῖος. οὐχὶ, οὐ δέχομαι γὰρ τοῦτο, ἀλλὰ πάντα κατὰ τὸ γράμμα, οἷον τὰ εἰς Δαβὶδ λεγόμενα, εἰς ἐκεῖνον μόνον νοῶ. καὶ τὰ εἰς Ἀβραὰμ, καὶ εἰς Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Ἰούδαν, καὶ τοὺς λοιποὺς ὡσαύτως. ὁ Χριστ. βλέπε, τί λέγεις, καὶ γίνωσκε, ὅτι μετὰ ταύτην τὴν φράσιν, καὶ διάληψιν, ψεύστην ἐν πολλοῖς ποιεῖς τὸν Θεόν. ὁ Ἰουδ. πῶς λέγεις; ὁ Χριστ. οὐκ εἶπεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ταύτην πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου; ὁ Ἰουδαῖ. ναί. ὁ Χριστ. ἐκυρίευσε δὲ τῆς γῆς ἐκείνης Ἀβραάμ ποτε; ὁ Ἰουδ. πῶς γὰρ, ὁ μήτε βῆμα ποδὸς ἐσχηκὼς ἐκεῖσε; θάψαι γὰρ τὴν Σάῤῥαν οὐκ ἠδυνήθη, ἕως οὗ τόπον ἠγόρασεν. ὁ Χριστ. οὐκοῦν ὁ τοῦ Θεοῦ λόγος διέπεσεν; ὁ Ἰουδ. μέλλει, φησὶν, δοῦναι αὐτοῖς τὴν γῆν.

ὁ Χριστ. ἀλλ' οὐχ οὕτως εἶπεν ὁ Θεός, ὅτι μέλλω τοῖς τέκνοις σου δοῦναι αὐτήν, ἀλλὰ σοὶ καὶ τῷ σπέρματί σου. ὡσαύτως καὶ τῷ Ἰακὼβ εἶπεν, ὅτι ταύτην τὴν γῆν, ἣν ἔδωκα τοῖς πατράσι σου τῷ Ἀβραὰμ καὶ Ἰσαάκ, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου μετὰ σέ, καὶ οὐδὲ Ἰακὼβ ἔσχε βῆμα ποδός. ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ γῇ ἐν Αἰγύπτῳ τετελεύτηκεν. ὁρᾷς, ὅτι ἐὰν οὕτως νοῇς τὰς γραφὰς τὸν Θεὸν ποιεῖς ψεύστην;

Τί δὲ, ἃ καὶ πρὸς τὸν Ἰακὼβ εἶπεν; ἔθνη καὶ συναγωγὴ τῶν ἐθνῶν ἐκ σοῦ ἐξελεύσονται. ποῦ δὲ, ἢ πῶς ἐκ τοῦ Ἰακὼβ τὰ ἔθνη ἐγεννήθησαν; καὶ πάλιν εἶπεν αὐτῷ, ὅτι προσκυνήσουσί σοι υἱοὶ τοῦ πατρός σου. καὶ αὐτὸς, καὶ τὸ σπέρμα σου κυριεύσεις αὐτῶν. πῶς εἶπεν, οἱ ἀδελφοί σου, πληθυντικῶς; καί τοι γε οὐκ εἶχεν εἰ μὴ ἕνα ἀδελφὸν τὸν Ἠσαῦ; ποῦ δὲ καὶ προσεκύνησεν ὁ Ἠσαῦ τῷ Ἰακώβ; τοὐναντίον δὲ μᾶλλον ὁ Ἰακὼβ ἑπτάκις ἐπὶ τὴν γῆν προσεκύνησε τῷ Ἠσαῦ, καὶ δεσπότην ἐκάλεσε, καὶ δεδοικὼς, καὶ τρέμων αὐτὸν διετέλεσεν ὅλον τὸν βίον αὐτοῦ. ἀλλὰ, καὶ μετὰ τοσαῦτα ἔτη ἐξελθόντων αὐτῶν ἐξ Αἰγύπτου ἐδήλωσεν Μωϋσῆς τῷ προέδρῳ, καὶ ἄρχοντι τῶν υἱῶν Ἠσαῦ ὅτι ἀδελφοὶ ὑμῶν ἐσμέν. μηνύσατε ἡμῖν διαβῆναι μόνον διὰ τῆς γῆς ὑμῶν, ὁδῷ βασιλικῇ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν δεξιὰ καὶ ἀριστερά. ἀλλὰ τὸ ὕδωρ καὶ τὸν ἄρτον τιμῆς ἀγοράσομεν, ἕως ἂν διαβῶμεν εἰς τὴν γῆν, ἣν ἔδωκεν ἡμῖν ὁ Θεός. καὶ ἀντεδήλωσεν αὐτοῖς, ὅτι οὐχί, ἐὰν διαβῆτε διὰ τῆς γῆς μου, ἐξελευσόμεθα, καὶ ἀποκτενοῦμεν ὑμᾶς. καὶ οὐκ ἀνέτρεψεν τοῦτο ὁ Θεός, ἀλλὰ καὶ μᾶλλον ἐπεκύρωσεν, καὶ ἀπηγόρευσε λέγων, ὅτι τὴν γῆν ταύτην, ἣν δέδωκα τῷ Ἠσαῦ, μὴ πλησιάσητε αὐτῆς· καὶ τὰ ἑξῆς. ποῦ οὖν ἐπλήρωσεν ὁ Θεὸς τῷ Ἰακὼβ, ἃ εἶπεν; ὅτι προσκυνήσουσί σοι υἱοὶ τοῦ πατρός σου, καὶ οἱ ἀδελφοί σου καὶ σὺ, καὶ τὸ σπέρμα σου κυριεύσει αὐτῶν, καὶ τὰ τοιαῦτα; ὁρᾷς ὦ Ἰουδαῖε, ὅτι πανταχοῦ τὸν Θεὸν ψεύστην ποιεῖς διὰ τῆς κακῆς ἑρμηνείας σου, καὶ ἀσυνεσίας; οὐχὶ δὲ καὶ τῷ Ἰακὼβ φανεὶς ὁ Θεός, ἡνίκα ἐπάλαισε μετ' αὐτοῦ, εἶπεν αὐτῷ· ὅτι ἀπὸ τοῦ νῦν, οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλὰ Ἰσραήλ· καὶ μυριάκις μετὰ ταῦτα καὶ ὁ Θεός, καὶ ἡ γραφή, καὶ αὐτὸς ἑαυτὸν Ἰακὼβ ἐκάλεσεν. τί οὖν οὐ διαπεπτώκασι, καὶ οὕτως εἰσὶν ἀβέβαιοι οἱ λόγοι τοῦ Θεοῦ; ὁ Ἰουδ. ἀλλ' ἐγώ, φησίν, εἰμὶ ὁ υἱὸς τοῦ Ἰσραήλ, καὶ ἐμοὶ αἱ ἐπαγγελίαι. ὁ Χριστιανός. οὐχί. ἀλλ' ἐγώ εἰμι ὁ τοῦ Ἰσραὴλ υἱός. ἐν τίνι γὰρ ἐπὶ τῷ Ἰσραὴλ ἐγκαυχᾶσαι; ὅτι τὴν τρίχα εἶχεν οὐλήν, ἢ τὸ σῶμα μέγιστος παρὰ τοὺς ἄλλους ἦν, ἢ κράτιστος, ἢ τὴν ἐνηλλαγμένην εἶχε μορφήν; ὁ Ἰουδ. οὐχί, ἀλλ' ὅτι θεοσεβὴς ἦν. ὁ Χριστ. πᾶς οὖν θεοσεβὴς, καὶ θεοφιλὴς * τοῖς τρόποις Ἰσραὴλ σέβων, καὶ ἀγαπῶν λέγω, ὅτι υἱός εἰμι τοῦ Ἰσραὴλ ἐξομοιούμενος αὐτῷ τοῖς τρόποις, καὶ τῇ πίστει. ὥσπερ γὰρ αἱ εὐλογίαι ἦσαν μὲν τοῦ Ἠσαῦ τοῦ πρωτοτόκου. ἐλθὼν δὲ Ἰακὼβ, καὶ εἰπὼν τῷ πατρὶ αὐτοῦ· ἐγώ εἰμι Ἠσαῦ, μὴ ὢν Ἠσαῦ, τὰς εὐλο-

A. At non sic dixit Deus; daturus sum eam filiis tuis, sed *tibi, & semini tuo.* Similiter dixit Iacob, *hanc terram, quam dedi patribus tuis Abraham, & Isaac, tibi dabo eam, & semini tuo post te.* & nec Iacob habuit passum pedis; sed potius in aliena terra, in Ægypto mortuus est. Vides quemadmodum, cùm sic intelligis Scripturas, Deum mendacem facis? Gen. 28.

Et quid ad illud, quod de Iacob dixit Scriptura, *Gentes, & congregationes gentium ex te exibunt.* vbi autem, aut quomodo, ex Iacob generatæ sunt gentes? & rursus dixit, *Et adorabunt te filij patris tui, & ipse, & semen tuum, dominaberis eis.* Quomodo dixit, *fratres tui*, numero plurium, cum non habuerit, nisi vnum fratrem Esau? vbi autem adorauit ipse Esau Iacob? immo contrà potius septies ipse Iacob humi stratus adorauit Esau, & Dominum eum vocauit, & vniuerso vitæ suæ tempore eum timuit. & non solùm hæc, sed post tot annos post exitum Hebræorum ex Ægypto, apertè dixit Moyses principi filiorum Esau, *Fratres vestri sumus, significate nobis vt transeamus per terram vestram, via regia gradiemur, non declinabimus, nec à dextram, nec ad sinistram, sed panem & aquam pretio ememus, donec perueniamus in terram quam dedit nobis Deus:* & contra significauit eis clarè, inquiens, *minimè, sin autem transieritis, ex terra mea egrediemur, & occidemus vos.* & non inuertit hoc Deus, sed potius confirmauit, & roborauit Deus, inquiens, *Terram hanc dedi Esau, ne appropinquetis ei:* & quæ sequuntur. vbi igitur impleuit Deus, quæ dixerat ipsi Iacob, *Filij patris tui adorabunt te? & tu, & semen tuum dominaberis eis:* & alia eiusmodi? vides Iudæe, quod vbique Deum propter prauam interpretationem, & intelligentiam scripturæ, mendacem facis? nonne cum Deus apparuit Iacob, & cùm eo luctabatur, dixit, *Iam deinceps non amplius vocabitur nomen tuum Iacob, sed Israel*, & tamen millies & Deus, & Scriptura, & ipsemet seipsum nominauit Iacob. Quid igitur? an non deciderunt, atque ita infirmi, & instabiles facti sunt sermones Dei? B. At ego, inquit, sum filius Israel, & mihi promissiones factæ sunt. A. Minimè, immo ego sum filius Israël. qua enim re de Israël tu gloriaris? quod fuit capillo crispo, vel maximo corpore præ aliis, vel robustissimus, vel dissimili forma? B. Minimè, sed quia erat pius in Deum. A. Omnis igitur cultor Dei, & Deo charus est Israel, & filius Israël, & filius Abrahæ. Quid igitur miraris, si qui Deum Israël colo, & diligo, dico me esse filium Israël, si moribus & fide similitudinem eius exprimo; sicut benedictiones Esau quidem, primogeniti erant, sed cum venisset Iacob, & dixisset patri suo, *ego sum Esau*, cùm non esset, bene-

μαίων ἐκκλησίας, ὅτι ἐὰν θελήσωμεν διορθώσασθαι τὰ περὶ τὴν ὀρθόδοξον πίστιν σφάλματα ἡμῶν, ἑτοίμως ἔχει ὅ,τε ἅγιος βασιλεύς, καὶ ἡ ἁγία καθολικὴ ἐκκλησία, καὶ ἀποστολική, παραδέξασθαι ἡμᾶς, ὡς ἀδελφούς. βουλόμεθα οὖν ἀναδιδαχθῆναι, τίνα εἰσίν, ἃ ἡμεῖς εἰς τὴν πίστιν παρασφαλλόμεθα· καὶ εἰ ἐλεγχθῶμεν κανονικῶς μετὰ γραφικῶν ἀποδείξεων, καὶ εὐλόγως, προθύμως δεξόμεθα τὴν διόρθωσιν. Ο ΘΕΩΡΙΑΝΟΣ. παρακαλῶ τὴν μεγάλην ἁγιωσύνην σου, δέχεσθαι τὸν ἡμέτερον λόγον μετὰ τῆς ἐμφύτου αὐτῇ πραότητος, καὶ μὴ φορτικὰς ἡγεῖσθαι τὰς ἐρωτήσεις ἡμῶν. ἔστω δὲ ἡμῖν ὡς ἐξ ἐπερωτήσεως καὶ ὁμολογίας ἀμφοτέρων, ὅταν ἀκούσωμέν τι ἐκ ὀρθῆς ἐννοίας εἶναι δοκοῦν, μὴ εὐθὺς ἀποφαίνεσθαι, ὅτι τοῦτο αἱρετικόν ἐστι, ἀλλ' ἐρωτᾶν ἐπιμελῶς, καὶ διδάσκεσθαι τὴν σημασίαν τῆς λέξεως, καὶ τὸν νοῦν τοῦ χρωμένου αὐτῇ. παραφυλάττεσθαι δὲ δεῖ ἡμᾶς καὶ τὴν ἀγροικίαν τοῦ ἑρμηνέως, ὃς οὐ μόνον ὅτι γραμματικὴν οὐκ οἶδεν, ἀλλ' οὐδὲ τὴν Ἑλληνίδα πεζὴν διάλεκτον καλῶς ἐξεπίσταται· μή πως τὸ ἐκείνου ἀγνόημα, ἢ ὀλίσθημα, ἡμέτερον λογισθῇ. Ο ΚΑΘΟΛΙΚΟΣ. εὖ λέγεις οὕτω γενέσθω. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀπέστειλεν ἡ μεγάλη ἁγιωσύνη σου πρὸς τὸν κράτιστον καὶ ἅγιον ἡμῶν βασιλέα ἐπιστολήν, ἣ διαλαμβάνει περὶ τινων κεφαλαίων τῆς πίστεως, καὶ ἠθῶν ἐκκλησιαστικῶν. ἐρωτῶ οὖν τὴν μεγάλην ἁγιωσύνην σου, εἰ οὕτω φρονεῖς, ὡς ἐν αὐτῇ γέγραπται, ἤ τι τῶν ἐν αὐτῇ γεγραμμένων ἀπτεῖ. Ο ΚΑΘΟΛΙΚΟΣ. οὕτως ἐφρόνουν, καὶ οὕτω φρονῶ, ὡς ἐν αὐτῇ ἔγραψα. Ο ΘΕΩΡΙΑΝΟΣ. ποίας συνόδους δέχῃ; Ο ΚΑΘΟΛΙΚΟΣ. τὴν ἐν Νικαίᾳ τῶν τ. ι. η. ἁγίων πατέρων, καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρ. ν. ἁγίων θεοφόρων πατέρων; καὶ τὴν ἐν Ἐφέσῳ σ. ἁγίων πατέρων, ἐν ᾗ Νεστόριος καθῃρέθη. Ο ΘΕΩΡΙΑΝΟΣ. ποίων διδασκάλων στέργεις τὰς γραφάς, καὶ τὰς διδασκαλίας; Ο ΚΑΘΟΛΙΚΟΣ. τοῦ μεγάλου Ἀθανασίου, τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ ἁγίου Γρηγορίου Νύσσης, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἁγίου Ἐφραίμ, τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας, καὶ ἄλλων πολλῶν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀρξώμεθα λοιπὸν τῆς ἀναγνώσεως τῆς σῆς ἐπιστολῆς, καὶ σκεψώμεθα ἀδελφικῶς τῶν ἐν αὐτῇ κεφαλαίων τὸν νοῦν, εἰ τοῖς προρρηθεῖσι θείοις πατράσι, καὶ ταῖς ἁγίαις συνόδοις ἕπεται. Ο ΚΑΘΟΛΙΚΟΣ. εὖ λέγεις οὕτω γινέσθω.

Καὶ ἀναγνόντες, ἤλθομεν εἰς τὸν τόπον, οὗ ἦν γεγραμμένον.

Λέγομεν μίαν φύσιν εἰς τὸν Χριστόν, οὐ κατὰ τὸν Εὐτυχέα συγχέοντες, οὔτε κατὰ τὸν Ἀπολινάριον ἐλαττοῦντες; ἀλλὰ κατὰ Κύριλλον τὸν Ἀλεξανδρείας ἐν Ὀρθοδοξίᾳ,

ἅπινα ἔγραψεν ἐν τῇ βίβλῳ αὐτοῦ κατὰ Νεστορίου, ὅτι μία ἐστὶν ἡ φύσις τοῦ λόγου σεσαρκωμένη. Ο ΘΕΩΡΙΑΝΟΣ. ὁ ἅγιος Κύριλλος οὐκ εἶπε μίαν φύσιν εἰς τὸν Χριστόν, οὔτε μίαν φύσιν τοῦ Χριστοῦ, ἀλλὰ μίαν φύσιν τοῦ λόγου, καὶ τότε ἐπήγαγε τὸ, σεσαρκωμένην. ἡ δὲ ἁγιωσύνη σου οὐκ οἶδ' ὅπως ἀπεριμερίμνως καὶ ἀδεῶς εἶπε μίαν φύσιν εἰς τὸν Χριστόν. καὶ θαυμάζω, πῶς ἐτόλμησεν ἐναλλαγὴν ποιῆσαι τῆς παρὰ τῷ ἁγίῳ τεθείσης λέξεως. Ο ΚΑΘΟΛΙΚΟΣ. οὐκ ἤλλαξα. ταυτὸν γὰρ σημαίνει φύσις Χριστοῦ καὶ φύσις τοῦ λόγου σεσαρκωμένη. Ο ΘΕΩΡ. οὐ σημαίνει ταυτόν. μὴ γένοιτο. τὸ γὰρ Χριστὸς ὄνομα, κυρίως τὸ συναμφότερον δηλοῖ, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον. διὸ, ὁ λόγος σὰρξ ἐγένετο, λέγομεν· ὁ Χριστὸς δὲ σὰρξ ἐγένετο, οὐ λέγομεν. δῆλον δὲ καὶ ἐκ τοῦ μηδένα τῶν ἁγίων εἰπεῖν μίαν φύσιν τοῦ Χριστοῦ. μίαν δὲ φύσιν τοῦ λόγου ὅ, τε ἅγιος Κύριλλος καὶ πρὸ αὐτοῦ ὁ ἅγιος Ἀθανάσιος εἶπεν. ὅταν γὰρ λέγωμεν, μίαν φύσιν τοῦ λόγου, τὴν θείαν φύσιν σημαίνει τοῦ υἱοῦ. ὅταν δὲ προσθῶμεν τὸ, σεσαρκωμένην, καθὼς ὁ ἅγιος Κύριλλος πρὸς Σούκενσον ἐν τῇ δευτέρᾳ ἐπιστολῇ, σύμπας ὁ λόγος τῆς μετὰ σαρκὸς οἰκονομίας εἰσφέρεται. Ο ΚΑΘΟΛΙΚΟΣ. καὶ τίς τῶν ἁγίων μετὰ τὴν ἕνωσιν τοῦτο διαρρήδην εἶπεν; Ο ΘΕΩΡΙΑΝΟΣ. πάντες, ὧν ἄνω τὰ ὀνόματα ἀπηρίθμησας. Ο ΚΑΘΟΛΙΚΟΣ. δεῖξον ἡμῖν ἕνα τούτων, καὶ ἀρκεῖ ἡμῖν. ὃ γὰρ εἷς τῶν ἁγίων λέγει, πάντες λέγουσιν, ὡς ἐξ ἑνὸς τοῦ θείου πνεύματος ἐμπνεόμενοι. Ο ΘΕΩΡΙΑΝΟΣ. οὐχ ἕνα μόνον, ἀλλὰ σὺν Θεῷ πάντας, οὓς ἄνω ὀνομαστὶ εἴρηκας. μόνον μὴ ἐκκακήσῃς ἀκούων, καὶ πάντων παραγάγω τὰς μαρτυρίας. Ο ΚΑΘΟΛΙΚΟΣ. διὰ τοῦτο συνηθροίσθημεν, ἵνα τὸ ἀληθὲς εὕρωμεν· καὶ οὐ δεῖ ἡμᾶς ἐκκακεῖν ἐν τοῖς τοιούτοις. Ο ΘΕΩΡΙΑΝΟΣ. πρὸ δὲ τῆς τῶν χρήσεων προσφορᾶς, ἀναγκαῖον οἶμαι εἰπεῖν, τί ἐστιν οὐσία, καὶ τί ἐστι φύσις, τί τε ὑπόστασις, καὶ τί πρόσωπον· διά τοι τοῦτο ἐρωτῶ, πῶς ταῦτα ἐκδέχῃ; ὡς οἱ ἔξω, ἢ ὡς οἱ τῆς ἐκκλησίας διδάσκαλοι διωρίσαντο; Ο ΚΑΘΟΛ. ἡμεῖς καὶ τῶν ἀμφοτέρων τοὺς ὁρισμοὺς τοὺς περὶ τῶν προκειμένων γινώσκομεν, καὶ πρὸς τὸ εὐθὺ τῶν τῆς εὐσεβείας δογμάτων ἐπιστημονικῶς ἀπευθύνομεν. Ο ΘΕΟΡΙΑΝΟΣ. ἐγὼ πλείστην ἐν τούτοις διαφορὰν τῶν ἔξω πρὸς τοὺς διδασκάλους τῆς ἐκκλησίας ὁρῶ. οἱ γὰρ ἔξω σοφοὶ τὸ ἄτομον, ἤτοι τὴν ὑπόστασιν, καὶ τὸ ἓν τῷ ἀριθμῷ, οὐσίαν ὁρίζονται· ὅπερ οἱ θεῖοι πατέρες οὐ παραδέχονται. οὐσίαν γὰρ οἱ θεοφόροι πατέρες καὶ φύσιν τὰ καθόλου λέγουσιν, ἅτινα οἱ ἔξω εἶδος ὠνόμασαν. διὸ ἐπὶ τῆς ἁγίας τριάδος μίαν φύσιν καὶ μίαν οὐσίαν ἐδογμάτισαν, ὑποστάσεις δὲ τρεῖς· ὡς τῆς φύσεως καὶ τῆς οὐσίας πολλὰς ὑποστάσεις περιεχούσης· ἀμέλει καὶ ἡ τῶν ἀνθρώπων φύσις

A quæ in libro contra Nestorium scripsit, vnam esse naturam SERMONIS incarnatam. THEORIANVS. Sanctus Cyrillus non dixit vnam in Christo naturam nec vnam Christi naturam; sed vnam naturam SERMONIS; ac deinde subiicit, INCARNATAM. Tua verò sanctitas nescio quo pacto incogitanter & libere naturam vnam in Christo dixit. ac miror equidem, cur vocem à sancto viro positam mutare sit ausa. GENERALIS. Non mutaui. nam idem significat natura Christi, & natura Sermonis incarnata. THEORIANVS. Non idem significat, B absit: nam Christi nomen, vtrumque coniunctum significat, Deum simul & hominem: propterea dicimus, SERMO caro factus est. at verò, CHRISTVS caro factus, non dicimus. Idem & inde patet, quod nemo sanctorum vnam Christi naturam dicat. Vnam vero naturam SERMONIS, tum sanctus Cyrillus, tum sanctus Athanasius ante ipsum dixit. quippe quum dicimus vnam naturam SERMONIS, diuinam hoc filij naturam significat: quum verò adiicimus INCARNATAM, sicuti S. Cyrillus in secunda ad Suc- C cessum epistola fecit; tota ratio administrationis cum carne compræhenditur. GENERALIS. Et quis sanctorum hominum post vnionem hoc expresse dixit? THEORIANVS. Omnes, quorum nomina suprà recensuisti. GENERALIS. Ostende nobis vnum ex eis, & satis erit: nam quod ab vno sanctorum dicitur, ab omnibus dicitur: quod omnes ab vno diuino spiritu afflati fuerint. THEORIANVS. Non vnum dumtaxat ostendam, sed vniuersos, adiuuante Deo, quos nominatim suprà commemorasti. saltem auscultan- D do ne defatigeris, & omnium tibi testimonia proferam. GENERALIS. Propterea conuenimus, vt veritatem inueniamus: nec in huiusmodi negotiis defatigari debemus. THEOR. Antequam ipsa dicta proferamus, necessarium arbitror, vt quid essentia vel substantia sit, quid natura, quid hypostasis, quid persona, dicatur. Proprerea te interrogo, quomodo hæc accipias: num vt exteri scriptores, an vti doctores Ecclesiæ definierunt? GENER. Nos amborum de vocibus hisce propositis finitiones nouimus, & eas ad rectitudinem dogmatũ pietatis sciẽter dirigimus. THEOR. E Ego plurimum in his extraneos ab Ecclesiæ doctoribus diffidere video. Nam illi eruditi homines exteri indiuiduum, siue hypostasin, & vnum numero, substantiam definiunt; quod sanè diuini patres non admittunt. quippe patres illi gubernati diuinitus, substãtiam & naturam esse vniuersalia dicunt, quæ scriptores exteri speciem vocarunt. quapropter in sacrosancta Trinitate naturam vnam & vnam substantiam, hypostases verò tres, tradiderunt: natura nimirum & substantia plures hypostases continent. & hominũ quidem

Cyrilli malè intellecto, natus, loci interpretatione corrigitur. Aliud Christus, aliud Sermo sine Verbum.

Armeno, patris vnius orthodoxi authoritas, loco est omnium.

Quid substantia quid hypostasis, & quodnam inter vtrumque discrimen?

Nomine substantiæ & naturæ, vniuersalia intelliguntur, ut nomine hypostaseos, singularia. Arist. in Categ. ca. de substantia.

A certè natura quum vna sit, infinitas habet hypostases, puta Petrum & Paulum, & homines sigillatim vniuersos. Aristoteles autem indiuiduum, & vnum numero, siue hypostasin, propriè substantiam definiit, his verbis vsus: Substantia, quæ propriissimè, primúmque ac maximè sic dicitur, est; quæ neque de subiecto quodam dicitur, nec in aliquo subiecto est, velut hic homo, vel hic equus. Quo igitur pacto fieri potest vt alieni ab ouili nostro cum doctoribus nostris hac io parte concilientur, quum hi substantiam & naturam vniuersale quiddam, illi singulare definiant? GENERALIS. Nos quoque B substaotiam & naturam de vniuersalibus accipimus, personam verò & hypostasio de singularibus. THEORIANVS. Macte animo, beatissime pater, ob hanc satisfactionem: qui & hac in parte cum sanctis patribus consentis. Quid igitur? horúmoe finitiones ac declarationem exponemus, an solum hoc nobis sufficiet, quod substantia & natura quiddam vniuersale sint; hypostasis & persona, singulare? GENERALIS. Si tibi molestum non erit exponere, lubens equidem audiam. THEORIANVS. Nihil ego meum proferam, sed quidquid ipsa nos C Ecclesiæ lumina docuerunt. GENERALIS Idem & ipse cognoscere gestio, quid nimirum ecclesiæ doctores tradiderunt. THEORIANVS. Sancti patres ita substantiam definierunt. Substantia primum & propriè est, quidquid per se subsistit, nec esse suum habet in alio. Quid autem id quod per se subsistit? quod per se est, ac non propter aliud, vel io alio suum esse habet: h. e. quod non eget alterius alicuius extra se ad hoc vt existat, quale quiddam est color, puta niger, aut albus: quæ per se oequeuot existere sine corpore quod ea recipiat. ac propterea colorem D non dicimus esse substantiam. Ipsum vero corpus, cui color inest, ad hoc coloris haud indiget, vt corpus sit. immò mutatis coloribus, ipsum nõ mutatur. nam ex albo nigrum fit, ex nigro flauum, aliumve colorem induit: ipsum verò semper id, quod est, manet. Itaq; proprer corpus color est, vt id colore tingat, non autem corpus propter colorem, sed ex seipso color itidem in corpore suum esse habet, corpus autem non in colore, sed in seipso existit. eam ob rẽ corpus substantiã vocamus, E quũ per seipsum subsistat, & in seipso, noo io alio suum esse habeat. Quidquid ergo per se subsistit, & in seipso, non in alio existit, est substãtia. Sunt autem hæc vel ex materie, vel expertia materiei. Materialia suot, terra, aqua, aër, ignis: & res ex his compositæ, lapis, arbor, corpus animatum. Expertia materiei, anima ratione prædita, aogelus. Hæc igitur, vti modo aiebam, substantia dicuntur. quippe Deus vltra substantialis est, supra omnem positus essentiam, & si quid his etiã vlterius.

Definitio substantiæ.

Quid sit per se subsistere.

A μία οὖσα, ἀπείρους ἔχει τὰς ὑποστάσεις. οἷον Πέτρον, καὶ Παῦλον, καὶ πάντας τοὺς κατὰ μέρος ἀνθρώπους. ὁ δὲ Ἀριστοτέλης τὸ ἄτομον καὶ τὸ ἓν τῷ ἀριθμῷ, ἤτοι τὴν ὑπόστασιν, κυρίως οὐσίαν ὡρίσατο, οὕτω φάσκων· οὐσία δέ ἐστιν ἡ κυριωτάτη, καὶ πρώτως, καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ᾽ ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος, ἢ ὁ τὶς ἵππος. πῶς οὖν τοὺς θύραθεν τῆς ἡμετέρας αὐλῆς, καὶ τοὺς διδασκάλους ἡμῶν εἰς ἓν κατὰ τοῦτο συναγαγεῖν δυνατόν ἐστι, τοὺς μὲν τὸ καθόλου, τοὺς δὲ τὸ καθέκαστον, οὐσίαν καὶ φύσιν ὁρισαμένους; Ο ΚΑΘΟΛ. καὶ ἡμεῖς τὴν οὐσίαν B καὶ τὴν φύσιν ἐπὶ τῶν καθόλου λαμβανόμεθα, τὸ δὲ πρόσωπον καὶ τὴν ὑπόστασιν, ἐπὶ τῶν κατὰ μέρος. Ο ΘΕΩΡΙΑΝ. εὖγέ σοι τῆς ἀπολογίας, μακαριώτατε πάτερ· σύμφρων κἀν τούτῳ τοῖς ἁγίοις πατράσι τυγχάνεις. τί οὖν; τούτων εἴπωμεν τοὺς ὅρους καὶ τὴν ἑρμηνείαν; ἢ τούτῳ μόνῳ ἀρκούμεθα, ὅτι ἡ οὐσία καὶ ἡ φύσις καθόλου ἐστίν· ἡ δὲ ὑπόστασις καὶ τὸ πρόσωπον, καθέκαστον; Ο ΚΑΘΟΛ. εἴ σοι φορτικὸν οὐκ ἔστι λέγειν, ἐγὼ ἡδέως ἀκούσομαι. Ο ΘΕΩΡ. ἐγὼ ἐμὸν μὲν οὐδὲν ἐρῶ, ἀλλ᾽ ὅσαπερ οἱ τῆς ἐκκλησίας φωστῆρες ἡμᾶς ἐξεπαίδευσαν. Ο ΚΑΘΟΛ. κἀγὼ τοῦτο C ἐπιθυμῶ μαθεῖν, τί ἐστιν, ὅπερ οἱ τῆς ἐκκλησίας εἶπον διδάσκαλοι. Ο ΘΕΩΡ. οἱ ἅγιοι πατέρες τὴν οὐσίαν οὕτως ὡρίσαντο. Οὐσία ἐστὶ πρώτως τε καὶ κυρίως, πᾶν ὅπερ αὐθυπόστατον ὑπάρχει, καὶ μὴ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. τί δέ ἐστιν αὐθυπόστατον; ὃ καθ᾽ ἑαυτό ἐστι, καὶ οὐ δι᾽ ἄλλο, οὔτε ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. τουτέστιν, ὃ μὴ χρήζει τινὸς ἄλλου ἔξωθεν αὐτοῦ εἰς τὸ ὑπάρχειν. οἷον τί λέγω τὸ χρῶμα, τουτέστι τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τοιαῦτα οὐ δύνανται καθ᾽ ἑαυτὰ εἶναι, χωρὶς σώματος, τοῦ δεχομένου αὐτά. καὶ διὰ τοῦτο οὐδὲ οὐσίαν λέ- D γομεν εἶναι τὸ χρῶμα. τὸ δὲ σῶμα αὐτό, ἐν ᾧ ἐστι τὸ χρῶμα, οὐ δέεται τοῦ χρώματος εἰς τὸ εἶναι σῶμα. ἀμέλει καὶ τῶν χρωμάτων ἀλλασσομένων, αὐτὸ οὐκ ἀλλάσσεται. καὶ γὰρ ἐκ λευκοῦ γίνεται μέλαν, καὶ ἐκ μέλανος ξανθόν, ἢ ἕτερον χρῶμα μεταμφιάζεται. αὐτὸ δὲ μένει, ὅπερ ἐστίν, ἀεί. ἔστιν οὖν τὸ μὲν χρῶμα διὰ τὸ σῶμα ἵνα χρώζῃ αὐτό· τὸ δὲ σῶμα οὐ διὰ τὸ χρῶμα, ἀλλὰ δι᾽ ἑαυτό. καὶ τὸ μὲν χρῶμα ἐν τῷ σώματι ἔχει τὸ εἶναι, τὸ δὲ σῶμα οὐκ ἐν τῷ χρώματι, ἀλλ᾽ ἐν ἑαυτῷ ἔχει E τὸ εἶναι. διὰ τοῦτο οὖν τὸ σῶμα οὐσίαν καλοῦμεν, ἐπεὶ αὐθυπόστατόν ἐστι, καὶ ἐν ἑαυτῷ, οὐκ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. οὐκοῦν πᾶν ὅπερ αὐθυπόστατόν τε ὑπάρχει, καὶ ἐν ἑαυτῷ, καὶ μὴ ἐν ἑτέρῳ ὑπάρχει, οὐσία ἐστί. ταῦτα δὲ ἢ ὑλικά, ἢ ἄυλα· ὑλικὰ μέν, γῆ, ὕδωρ, ἀήρ, πῦρ, καὶ τὰ ἐκ τούτων σύνθετα. λίθος, φυτόν, ἔμψυχον σῶμα· ἄυλα δέ, ψυχὴ λογική, ἄγγελος. ταῦτα μὲν οὖν, ὡς ἔφην, οὐσία καλοῦνται. ὁ γὰρ Θεὸς ὑπερούσιος, ὑπερέκεινα πάσης οὐσίας, καὶ εἴ τι τούτων πορρωτέρω ὑπάρχει.

ὃ μὲν οὖν ἐστιν οὐσία, ἔχομεν ἐγνωσμένον. φύσις δέ ἐστιν ἀρχὴ τῆς ἑκάστου τῶν ἀπηριθμημένων τούτων κινήσεώς τε καὶ ἠρεμίας, ἐν οἷς πρώτοις αὐτοῖς ὑπάρχει, καὶ οὐ κατὰ συμβεβηκός. οἷον τί λέγω· ἡ γῆ κινεῖται μὲν, κατὰ τὸ βλαστάνειν, καὶ ζωογονεῖν, καὶ τὸ ὅλον ἀλλοιοῦσθαι, κατὰ ταῦτα αὐτὰ εἰς αὐτὸ μεταβαλλομένη· ἠρεμεῖ δὲ, κατὰ τὴν ἀπὸ τόπου εἰς τόπον μετάβασιν, ἀκίνητος οὖσα παντελῶς, καὶ ἀπόρευτος. τὴν οὖν ἀρχὴν τῆς τοιαύτης ἠρεμίας τε καὶ κινήσεως, οὐσιωδῶς τῇ γῇ ἐνυπάρχουσαν, οὐκ ἔκ τινος δὲ αἰτίας αὐτῇ γινομένην, φύσιν καλοῦμεν. παρῆκται δὲ αὐτὸ τὸ ὄνομα τῆς φύσεως παρὰ τὸ πεφυκέναι, τουτέστιν, ὑπάρχειν. ὥστε τὸ αὐτὸ σημαίνει τὸ ὄνομα τῆς οὐσίας καὶ τῆς φύσεως· τὸ μὲν παρὰ τὸ εἶναι, τὸ δὲ παρὰ τὸ πεφυκέναι. ἀμφότερα δὲ δηλοῦσι τὴν ὕπαρξιν. οὐ μόνον δὲ ὀνόματι, ἀλλὰ καὶ πράγματι ταὐτόν ἐστιν ἡ οὐσία καὶ φύσις, ἢ ὅ, τι ἐγγύς. οὐ γὰρ τὴν κίνησιν αὐτὴν, καὶ τὴν ἠρεμίαν τῶν πραγμάτων, φύσιν εἰρήκαμεν, ἀλλὰ τὴν ἀρχὴν, τουτέστι τὴν αἰτίαν, καθ᾽ ἣν οὐ κατὰ συμβεβηκὸς, ἀλλ᾽ οὐσιωδῶς αἱ οὐσίαι κινοῦνταί τε καὶ ἠρεμοῦσιν. ὑπόστασις δέ ἐστι πρᾶγμα ὑφεστώς τε καὶ οὐσιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα, ὡς ἐν ἑνὶ ὑποκειμένῳ, πράγματι καὶ ἐνεργείᾳ ὑφέστηκεν. ἔστιν οὖν ἡ οὐσία αὐτὸ τὸ ὂν πρᾶγμα. ἡ δὲ ὑπόστασις καὶ αὐτὸ τὸ ὂν, καὶ τὰ ἐν τούτῳ, ὡς κατὰ συμβεβηκὸς ἐπιθεωρούμενα. πρόσωπον δέ ἐστιν, ὃ διὰ τῶν οἰκείων ἐνεργημάτων τε καὶ ἰδιωμάτων, ἀρίδηλον, καὶ ἀφωρισμένην τῶν ὁμοφυῶν αὐτῷ παρέχεται τὴν ἐμφάνειαν. οἷον Μιχαὴλ ὁ ἀρχάγγελος ὅτε τῷ διαβόλῳ διελέγετο περὶ τοῦ Μωσέως σώματος, καὶ ὅτε τὰς θείας ἐκείνας προρρήσεις * ἐνέπνει τῷ Δανιὴλ, ἓν πρόσωπον ἀποκεκριμένον τῶν λοιπῶν ἀγγέλων ὄντα ἡμῖν ἐδείκνυ. ἡ οὖν διὰ τῆς ἐνεργείας ἐξ ἧς γινομένη τινὸς ἡμῖν γνῶσις, πρόσωπον τοῦτο αὐτὸ τὸ ἐνεργοῦν καλεῖν ἡμᾶς ἐκδιδάσκει. καὶ τοῦτο ἐκ τῆς κατ᾽ αἴσθησιν γνώσεως, ἐπὶ τὴν κατ᾽ ἔννοιαν μετήχθη τὸ ὄνομα. ἐπειδὴ γὰρ τοὺς καθ᾽ ἕκαστον ἀνθρώπους ἐκ τῆς ἐπιφαινομένης ἑκάστῳ ἰδέας τῶν προσώπων, τῶν λοιπῶν ἀνθρώπων διακρίνομεν, κατὰ τὴν ἐπιβολὴν τῆς ὁράσεως· τούτου χάριν καὶ τὸ δι᾽ οἰκείων ἐνεργειῶν τε καὶ ἰδιοτήτων, τῶν ὁμοουσίων διακρινόμενον, πρόσωπον ἐκαλέσαμεν. καὶ αὕτη μὲν ἡ τοῦ προσώπου ὑπογραφή. δοκεῖ δέ πως ταὐτὸν σημαίνειν τῇ ὑποστάσει, ἢ μικρὸν, ἢ οὐδὲν διαλλάττειν. τούτου προεγνωσμένου ἡμῖν, ὅτι ταὐτόν ἐστιν οὐσία τῇ φύσει, καὶ ἡ ὑπόστασις τῷ προσώπῳ· ὅσα περὶ τῆς οὐσίας λεχθήσεσθαι μέλλει, ταῦτα καὶ τῇ φύσει προσαρμοστέον· καὶ ὅσα περὶ ὑποστάσεως, ταῦτα καὶ τῷ προσώπῳ. Ο ΚΑΘΟΛ. ἐπιστημόνως οἱ πατέρες ὡρίσαντο ταῦτα, καὶ διηυκρινημένην τὴν τούτων ἐποιήσαντο ἑρμηνείαν. πλὴν ἤθελον καὶ χρήσεις αὐτῶν,

A atque hoc modo iam cognitum habemus, quid substantia sit. Natura verò, est horum cuiusque, iam recensitorum, motus & quietis principium, quatenus in ipsis primis existit, non secundum accidens. verbi gratia, terra quidem mouetur, quatenus germina producit, & fœtus, omninóque alteratur; quatenus secundum hæc ipsa in id mutatur: sed eadem quiescit, quod ad transitionem de loco ad locum attinet, omnino immobilis & itineris expers. Itaque motus & quietis huiusmodi principium, quod terræ substantialiter inest, nec ex causa quadam accessit, B naturam vocamus. Ipsum vero naturæ nomen ab nascendo factum est, id est ab existendo. quo fit, vt substantiæ naturæque nomen idem significet: vtrúmque deductum à verbis paria denotantibus, & existendi significationem habentibus. neque tantum nomine tenus idem est substantia & natura, sed etiam re; aut saltem proximum quiddam. non enim motum ipsum, & quietem rerum, naturam esse diximus: sed principium, hoc est causam secundùm quam non accidentariè, sed substantialiter mouentur & quiescunt substantiæ. Hypostasis C autem, est res existens & substantialis, in qua congeries accidentium, tamquam in vno subiecto, re & effectu existit. itaque substantia est ipsa res, quæ existit. hypostasis verò, tum id, quod existit; tum quæ in eo, veluti per accidens, considerantur. At persona est, id quod per actiones & proprietates suas, manifestum & distinctum ab alijs, eiusdem naturæ consortibus; indicium sui præbet, veluti Michaelus archangelus, quum de corpore Mosis aduersus diabolum disceptabat, & quum diuina Da- D nieli oracula pandebat, vnam se nobis personam, à ceteris secretam angelis, monstrabat. Itaque cognitio alicuius, quam ex effectu consequimur, vt eius effecti auctorem personam vocemus, docet. atque hoc nomen à cognitione, quæ sensu fit, ad eam, quæ fit mente, translatum est. quum enim singulos homines, per adspectibilem vultuum cuiusque formam, ex oculorum intuitu reliquis ab hominibus secernamus: idcirco & id, quod per actiones ac proprietates suas ab eiusdem substantiæ consortibus seiungitur, personam adpellauimus. atque E hæc personæ descriptio est. videtur autem quodam modo idem significare, quod hypostasis: aut parum, aut nihil differre. Hisce præcognitis, idem nimirum esse substantiam, quod naturam, idem hypostasin, quod personam: quæcumque de substantia dicentur, aptanda naturæ: & quæcumque de hypostasi, personæ. GENERALIS. Sanè quàm eruditè patres hæc definierunt, & perspicuè declararunt. Sed equidem & auctoritates ipsorum dictáque requiro,

Quid natura.

Substantia & natura idem.

Quid hypostasis.

* ἐνέπνευσ.

Quid persona.

vt quo pacto hæc de Deo pertractantes accipiant, intelligam: & nos quoque iuxta scopum eorum, colloquium hoc instituamus. THEORIANVS. Ecclesiæ doctores hæc ita, vti sanctitas tua suprà dixit, accipiunt: substantiam scilicet, ac naturam de vniuersalibus; hypostasin & personam, de singularibus. GENERALIS. Hoc ipsum mihi de patrum dictis monstrari cupio, ac deinde Deo propitio colloqui de iis incipiemus, quorum causa conuenimus. THEORIANVS. Fiat id quoque quando sic tibi videtur: adeoque prodeat in medium doctissimus reapse diuus ille Basilius. nam eius, ad Terentium scribentis, hæc verba sunt: Nō idem esse, de Deo quum loquimur, substantiam & hypostasin: etiam ipsi, mea quidem opinione, fratres occidentales indicarunt. nam linguæ suæ angustiam reueriti, ipsum Vsiæ nomen lingua Græca reposuerunt: vt si quod in sensu discrimen esset, id ei perspicua minimèque confusa vocum diuersitate saluum esset. Si tamen & nobis indicanda paucis nostra est opinio, dicemus eam substantiæ rationem esse ad hypostasin; quæ rei communis est ad peculiarem. nam quisque nostrum & communi ratione substantiæ, particeps est essentiæ; & ob peculiares sibi proprietates, hic vel ille est. Sic & ibi, substantiæ quidem ratio communis intelligatur; vt bonitas, diuinitas, aut si quid aliud: hypostasis vero, in proprietate paternitatis, aut facultatis sanctificantis, cernitur. Consimilia verba sunt eiusdem diuini hominis, ad Amphilochium, sanctissimæ Iconiensis ecclesiæ lumen, scribentis. Substantia & hypostasis, inquit, ita differunt; vti commune ac singulare. puta, quæ animalis est ad vnum aliquem hominem ratio. propterea substantiam diuinitatis vnam confitemur, vt essentiæ ratio minimè diuersa reddatur: hypostasin verò singulare quid dicimus, vt inconfusa nobis & explicata de patre, filio, sanctóque spiritu sit notio. quippe si separatas cuiusque notas non consideremus, vt paternitatem, vt filietatem, vt sanctificationem; sed de communi notione essentiæ, Deum confiteamur: fieri nullo modo potest vt rectè fidei ratio reddatur. Itaque necesse est, ad commune adiecto peculiari, hanc fidei normam confitendo sequi. Commune est diuinitas, peculiare paternitas. hæc coniungentes dicamus, Credo in Deum patrem. Rursus in confessione filij consimile fiat, & communi peculiare iungentes, dicamus; Credo in Deum filium. Similiter & de Spiritu sancto, verbis consentaneo modo cōceptis dicamus; Credo in diuinū spiritum illū sanctū: ita quidē vt vbiq; seruemus in cōfessione diuinitatis vnitatē, ac nihilominus personarū peculiare discrimen in separatione proprietatū, quas in singulis mēte intelligimus, confiteamur. Qui vero substātiam & hypostasin idē esse dicunt,

Basilius.

Eiusdem Basilii authoritate idem confirmat.

A ἵνα γνῶ, πῶς ταῦτα ἐκδέχονται θεολογοῦντες, ὡς ἂν κατὰ τὸν σκοπὸν αὐτῶν καὶ ἡμεῖς ποιησώμεθα τὴν διάλεξιν. Ο ΘΕΩΡΙΑΝ. οἱ διδάσκαλοι τῆς ἐκκλησίας οὕτως αὐτὰ ἐκλαμβάνουσιν, ὡς εἶπεν ἡ ἁγιωσύνη σου ἀνωτέρω· τὴν μὲν οὐσίαν καὶ τὴν φύσιν ἐπὶ τῶν καθόλου, τὴν ὑπόστασιν δὲ καὶ τὸ πρόσωπον, ἐπὶ τῶν καθ' ἕκαστον. Ο ΚΑΘΟΛ. αὐτὸ τοῦτο ζητῶ δειχθῆναί μοι ἐκ τῶν χρήσεων, καὶ μετὰ ταῦτα σὺν Θεῷ ἀρξόμεθα συζητεῖν περὶ ὧν συνεληλύθαμεν. Ο ΘΕΩΡ. γενέσθω καὶ τοῦτο, ἐπεί σοι δοκεῖ· καὶ παρίτω εἰς μέσον ὁ τῷ ὄντι φιλοσοφώτατος θεῖος Βασίλειος. B ἔστι γὰρ πρὸς Τερέντιον γράφων, τάδε φησί· περὶ δὲ τοῦ Θεοῦ ὅτι οὐσία καὶ ὑπόστασις οὐ ταὐτόν ἐστι, καὶ αὐτοί, ὡς νομίζω, ἐπεσημήναντο οἱ ἀπὸ τῆς δύσεως ἀδελφοί. τὸ στενὸν γὰρ τῆς αὐτῶν γλώττης ὑφορώμενοι, τὸ τῆς οὐσίας ὄνομα τῇ Ἑλλάδι φωνῇ παραδεδώκασιν, ἵνα εἴ τις εἴη διαφορὰ τῆς ἐννοίας, σώζοιτο αὐτὴ ἐν τῇ οἰκείᾳ καὶ ἀσυγχύτῳ διαστολῇ τῶν ὀνομάτων. εἰ δὲ δεῖ καὶ ἡμᾶς ἐν βραχεῖ τὸ ἡμῖν δοκοῦν εἰπεῖν, ἐκεῖνο ἐροῦμεν, ὅτι ὃν ἔχει λόγον τὸ κοινὸν C πρὸς τὸ ἴδιον, τοῦτον ἔχει ἡ οὐσία πρὸς τὴν ὑπόστασιν. ἕκαστος γὰρ ἡμῶν καὶ τῷ κοινῷ τῆς οὐσίας λόγῳ τοῦ εἶναι μετέχει, καὶ τοῖς αὐτοῦ ἰδιώμασιν ὁ δεῖνά ἐστι καὶ ὁ δεῖνα· οὕτω κἀκεῖ ὁ μὲν τῆς οὐσίας λόγος κοινός, οἷον ἡ ἀγαθότης, ἡ θεότης, ἢ εἴ τι ἄλλο, νοείτω· ἡ δὲ ὑπόστασις ἐν τῷ ἰδιώματι τῆς πατρότητος, ἢ τῆς ἁγιαστικῆς δυνάμεως θεωρεῖται. τὰ ὅμοια δὲ ὁ αὐτὸς θεῖος ἀνὴρ πρὸς Ἀμφιλόχιον τὸν τῆς ἁγιωτάτης ἐκκλησίας τοῦ Ἰκονίου φωστῆρα ἐπιστέλλων φησίν. οὐσία δὲ καὶ ὑπόστασις ταύτην ἔχει τὴν διαφοράν, ἣν τὸ κοινὸν πρὸς τὸ καθ' ἕκαστον. οἷον, ὡς ἔχει τὸ ζῷον πρὸς τὸν δεῖνα ἄνθρωπον. D διὰ τοῦτο οὐσίαν μὲν μίαν θεότητος ὁμολογοῦμεν, ὥστε τὸν τοῦ εἶναι λόγον μὴ διαφόρως ἀποδιδόναι· ὑπόστασιν δὲ ἰδιάζουσαν, ἵνα ἀσύγχυτος ἡμῖν, καὶ τετρανωμένη ἡ περὶ πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος ἔννοια ὑπάρχῃ. μὴ γὰρ νοούντων τοὺς ἀφωρισμένους περὶ ἕκαστον χαρακτῆρας, οἷον πατρότητα, καὶ υἱότητα, καὶ ἁγιασμόν, ἀλλ' ἐκ τῆς κοινῆς τοῦ εἶναι ἐννοίας ὁμολογούντων Θεόν, ἀμήχανον ὑγιῶς τὸν λόγον τῆς πίστεως ἀποδίδοσθαι. χρὴ οὖν τῷ κοινῷ τὸ ἰδιάζον προστιθέντας, οὕτω τὴν πίστιν ὁμολογεῖν· κοινὸν ἡ θεότης, ἴδιον ἡ πατρότης· εἶτα συνάπτον- E τας λέγειν· πιστεύω εἰς Θεὸν πατέρα· καὶ πάλιν ἐν τῇ τοῦ υἱοῦ ὁμολογίᾳ παραπλήσιον ποιεῖν, καὶ τῷ κοινῷ συνάπτειν τὸ ἴδιον, καὶ λέγειν· εἰς Θεὸν υἱόν. ὁμοίως καὶ περὶ τοῦ ἁγίου πνεύματος κατὰ τὸ ἀκόλουθον τῆς ἐκφωνήσεως τὴν προφορὰν σχηματίζοντας λέγειν· πιστεύω εἰς τὸ θεῖον πνεῦμα τὸ ἅγιον. ὥστε διόλου τὴν ἑνότητα σώζεσθαι ἐν τῇ τῆς θεότητος ὁμολογίᾳ, καὶ τὸ τῶν προσώπων ἰδιάζον ὁμολογεῖσθαι ἐν τῷ ἀφορισμῷ τῶν περὶ ἕκαστον νοουμένων ἰδιωμάτων. οἱ δὲ ταὐτὸν λέγοντες οὐσίαν καὶ ὑπόστασιν,

personas

ἀναγκάζονται πρόσωπα μόνον ὁμολογεῖν διάφορα, καὶ ἐν τῷ παραιτεῖσθαι λέγειν τρεῖς ὑποστάσεις, διελέγχονται μὴ φεύγοντες τὸ Σαβελλίου κακόν, *ὃς καὶ αὐτὸς πολλαχοῦ συγχέων τὴν ἔννοιαν, ἐπεχείρει διαιρεῖν τὰ πρόσωπα, τὴν αὐτὴν ὑπόστασιν λέγων πρὸς τὴν ἑκάστοτε παρατυγχάνουσαν χρείαν μετασχηματίζεσθαι. εἰ δέ τις τυχὸν μὴ νομίζοι ἀξιοχρέους εἶναι τὰς ἐκ τῶν ἐπιστολῶν τοῦ ἁγίου τοῦδε πατρὸς μαρτυρίας, παραθησόμεθα καὶ ἐξ ἰδικῆς ἐκθέσεως, ἣν περὶ πίστεως ἐποιήσατο, παρασκευάσας τὸν Ἀρμένιον Εὐστάθιον ὑπογράψαι, ὑπονοηθέντα τισὶ παρεφθαρμένον δόξης ἐναντίας, ἐν ᾗ ἐκθέσει λέγει ταῦτα. προσήκει τοίνυν ἐναργῶς ὁμολογεῖν, ὅτι πιστεύουσι κατὰ τὰ ῥήματα, τὰ ὑπὸ τῶν ἡμετέρων πατέρων ἐκτεθέντα ἐν τῇ Νικαίᾳ, κατὰ τὴν ὑγιῶς ἀπὸ τῶν ῥημάτων *ἐμφερομένην διάνοιαν. Εἰσὶ γάρ τινες, οἳ καὶ ἐν *αὐτῇ τῇ πίστει δολοῦντες τὸν λόγον τῆς ἀληθείας, πρὸς τὸ ἑαυτῶν βούλημα τὸν νοῦν τῶν ἐν αὐτῇ ῥημάτων ἕλκοντες· ὅπου γε καὶ Μάρκελλος ἐτόλμησεν *ἀσεβῶς τὴν ὑπόστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ψιλὸν αὐτὸν ἐξηγούμενος λόγον, ἐκεῖθεν προφασίζεσθαι τὰς ἀρχὰς εἰληφέναι, τοῦ ὁμοουσίου τὴν διάνοιαν κακῶς ἐξηγούμενος. καί τινες τῶν ἀπὸ *τῆς δύσεως, τὸ τοῦ Λίβυος Σαβελλίου, ὑπόστασιν καὶ οὐσίαν ταὐτὸν εἶναι ὑπολαμβάνοντες, ἐκεῖθεν ἕλκουσι τὰς ἀφορμὰς πρὸς τὴν κατασκευὴν τῆς ἑαυτῶν βλασφημίας, ἐκ τοῦ ἐγγεγράφθαι τῇ πίστει, ὅτι ἐάν τις λέγῃ ἐξ ἑτέρας οὐσίας ἢ ὑποστάσεως τὸν υἱὸν τοῦ Θεοῦ, τοῦτον ἀναθεματίζει ἡ ἁγία καθολικὴ ἐκκλησία. οὐ γὰρ ταὐτὸν εἶπον ἐκεῖ οὐσίαν καὶ ὑπόστασιν. Εἰ γὰρ μίαν καὶ τὴν αὐτὴν ἐδήλουν ἔννοιαν αἱ φωναί, τίς χρεία ἦν ἑκατέρων; ἀλλὰ δῆλον, ὡς τῶν μὲν ἀρνουμένων τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ πατρὸς, ἄλλων δὲ λεγόντων ἐξ ἄλλης τινὸς ὑποστάσεως. ὥστε ἐκεῖνο μὲν κεῖται ἐπ' ἀναιρέσει τοῦ πονηροῦ φρονήματος, τοῦτο δὲ φανέρωσιν ἔχει τοῦ σωτηρίου δόγματος. εἰ δὲ δεῖ καὶ ἀπὸ τῶν ἄλλων ἁγίων μαρτυρίας παραφέρεσθαι, ἐλθέτω ὁ πολὺς τὰ θεῖα Γρηγόριος, *ὃς ἐν τῷ πρώτῳ περὶ θεολογίας συντάγματι ἐπὶ λέξεως τάδε φησί· Μεσότητα ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχει μόνον καὶ τὴν φαύλην συναίρεσιν παραιτουμένους, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν. ὥστε μὴ εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθεΐας, ψιλὰ ἡμῖν καταλιπεῖν τὰ ὀνόματα, τὸν αὐτὸν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα ὑπολαμβάνουσι. καὶ μετ' ὀλίγον· ἐπειδὴ χρὴ καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, ἤγουν τρία πρόσωπα, ἑκάστην μετὰ τῆς ἰδιότητος. τηρεῖται δή, ὡς ὁ ἐμὸς λόγος, Εἷς μὲν Θεός, εἰς ἓν αἴτιον καὶ υἱοῦ καὶ πνεύματος ἀναφερομένων, οὐδὲ συντιθεμένων, οὐδὲ συναλειφομένων·

A personas saltem diuersas fateri coguntur, ac dum tres hypostases dicere recusant, Sabellij scelus non euitare deprehenduntur: qui & ipse notionem hanc plerumque confundens, personas diuidere conabatur; eamdem hypostasin dicens, prout vsus exigeret, transformari. Ceterum si quis fortasse testimonia sancti Patris huius, ex epistolis depromta, non satis idonea putet: adiungemus alia de ipsius expositione peculiari, quam de fide composuit, & vt ei subscriberet, Eustathium illum Armenium impulit, qui opinionis contrariæ suspicionem de se nonnullis iniecerat. Ea in expositione Basilij verba hæc sunt.

B Itaque par est eos apertè fateri, quod secundum ea verba credant, quæ à patribus nostris Nicææ sunt exposita, & quidem in ea sententia, quæ integre de verbis elucet. Sunt enim, qui & in hac ipsa fide veritatis sermoni fraudem faciunt, & pro lubitu suo mentem verborum in ea positorum trahunt: quando Marcellus etiam, impiè conuellens hypostasin domini nostri Iesu Christi, eúmque nudum sermonem docens, præ se ferre ausus est, hinc eius opinionis sibi subministrata principia; male scilicet sententiam vocabuli consubstantialis exponens. Itidem illius Afri Sabellij quidam

C impietati adhærentes, dum idem hypostasin & substantiam opinantur esse, hinc adstruendę blasphemiæ suæ occasiones rapiunt, quod in fide perscriptum sit: Si quis dicit ex alia esse substantia vel hypostasi filium Dei, hunc anathematizat sancta vniuersalis Ecclesia. Non enim ibi dixerunt, idem esse substantiam & hypostasin. quippe si vnum & idem voces hæ denotarent, quid opus erat vtramque poni? Manifestum scilicet est, id eam ob causam factum, quod alij filium de substantia patris esse negarent, alij de alia hypostasi esse perhiberent. itaque positum illud est, ad euersionem prauæ sententiæ; hoc sa-

D lubris doctrinæ declarationem continet. Quod si de aliis quoque sanctis hominibus testimonia suppeditanda sunt, magnus ille diuinis in rebus Gregorius prodeat, cuius in libro de Theologia I. hæc ipsa verba sunt: Medium quum dico, veritatem intelligo: ad quam solam si respiciamus, & prauam illam contractionem, absurdiorémque hac etiam diuisionem vitabimus, recte faciemus: vt non ad vnam hypostasin oratio nostra cogatur, idque hoc solo metu, ne deos plures con-

E stituamus; ex quo fieret, vt nuda nobis nomina relinquerentur, existimātibus, patrem, filium & spiritum sanctum eundem esse. Itē paulo pòst: Omnino Deum vnū retineamus necesse est, tres hypostases siue tres personas esse profiteamur, seruata etiā vniuscuiusque proprietate. Retinebimus autem Deū vnum, de mei quidem iudicij sententia, si & filius & spiritus ad vnam causam referantur, neque tamen vel compingantur, vel commisceāt[ur]

Marginal notes: * ὃς κ᾽ — *Basilius ad Eustathium Cæsariensem.* — * ἐμφερομένην — * ταύτῃ — * εἰς τὴν — * τῆς δυσσεβείας τοῦ — *Nazianzeni loca.* — Ναζιανζηνός

tum ratione vnius & eiusdem in diuinitate (vt sic loquar) motionis voluntatisque, tum ipsius substantiæ identitatis: tres vero hypostases retinebimus, si nullam animi nostri commistionem, vel resolutionem, vel confusionem cogitabunt: ne dum vnitatem amplius veneramur, quàm rectum fuerit, totam in nihilum redigamus. Idem magnus ac diuinus vir, in oratione, qua pacem composuit:

Alius Nazianzeni locus idem confirmat.

Credimus, inquit, in patrem, & filium, & spiritum sanctum, eiusdem substantiæ ac maiestatis, in quibus & baptismo sua perfectio constat, tam in nominibus quàm in rebus, (nosti hæc, quisquis ea initiatus es) quippe quòd abiuratio est Deũ negantis impietatis, diuinitatisque confessio. atque ita perfectionem adipiscimur, vnum quidem, quod ad essentiam & indiuiduam adorationem, adgnoscentes; tria vero, quantum ad hypostases, vel personas, vt quidam loqui malũt. nec enim indecorè se gerant, de his quæ rixantur: perinde ac si pietas nobis in nominibus, non in rebus consisteret. Quid enim dicitis, qui tres hypostases adfertis? an hoc eo dicitis, quod tres essentias existimetis? scio vos aduersus eos, qui sic existimant, ingentem clamorem excitaturos. vnam enim & eamdem horum trium essentiam statuitis. quid vos, qui personas dicitis? num vnum veluti quiddam compositum fingitis, quod tres vultus aut humanam omnino formam habeat? vos quoque reclamabitis, absit: nec Dei faciem, quæcũque tamdem illa est, vmquam videat, qui ita sentit. quid ergo (nam & hoc interrogare lubet) aut vobis hypostases denotãt aut vobis personæ? nimirum esse tria, quæ diuidantur; non naturis sed proprietatibus. optime. quo pacto magis aliqui consentiant, & idem dicãt, quàm quum ita sentiunt, alioqui syllabis discrepantes. Similiter & in oratione, qua laudat Athanasium, Alexandrinæ lumen ecclesiæ: Quum enim ait, vna substantia, & tres hypostases à nobis piè dicerentur, quod alterum diuinitatis naturam, alterum personarum trium proprietates declaret, ac simili quidem modo ab Italis intelligerentur, verum ob linguæ illius angustiam, verborúmque inopiam, hypostasin ab essentia distinguere non possent, eáque de causa in illius locum personarum induxissent nomen, ne tres substãtiæ admitterẽtur. & cætera. Itidem in oratione de luminibus, inquit: Deũ quum dico, vno pariter & triplici lumine perstringor: triplici quidẽ, quantum ad proprietates, siue hypostases, vti quidam appellare malũt, siue personas: (nec enim de nominibus contẽdimus, quamdiu syllabæ ad eamdem sententiã tendunt) vno autem, quantum ad substãtiæ, hoc est, diuinitatis rationẽ. Satis, opinor, hi celeberrimi doctores de rebus modò propositis, nimirum de substantia & natura, de hypostasi & persona, nobis præscripserũt,

Alius locus eiusdem Nazianzeni.

A καὶ κατὰ τὸ ἓν καὶ ταὐτὸ τῆς θεότητος, ἵν' οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα, καὶ τὴν τῆς οὐσίας ταυτότητα· αἱ δὲ τρεῖς ὑποστάσεις, μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς, ἢ ἀναλύσεως, ἢ συγχύσεως. ἵνα μὴ τὸ πολὺ καταλυθῇ δι' ὧν τὸ ἓν τιμᾶσθαι πλέον ἢ καλῶς ἔχει. ἀλλὰ καὶ ἐν τῷ συντακτικῷ λόγῳ ὁ μέγας οὗτος καὶ θεῖος ἀνήρ· πιστευόμενα, φησὶν, εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, ὁμοούσιά τε καὶ ὁμόδοξα, ἐν οἷς καὶ τὸ βάπτισμα τελείωσιν ἔχει, ἔν τε ὀνόμασι καὶ πράγμασιν (οἶδας ὁ μυηθεὶς) B ἄρνησις οὖν ἀθεΐας, καὶ ὁμολογία θεότητος· καὶ οὕτω καταρτιζόμεθα, τὸ μὲν ἓν τῇ οὐσίᾳ γινώσκοντες, καὶ τῷ ἀμερίστῳ τῆς προσκυνήσεως· τὰ δὲ τρία, ταῖς ὑποστάσεσιν, ἤτ' οὖν προσώποις, ὅ τισι φίλον. μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀγανακτείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασι. τί γὰρ φατὲ, οἱ τὰς τρεῖς ὑποστάσεις εἰσφέροντες; μὴ τρεῖς οὐσίας ὑπολαμβάνοντες, τοῦτο λέγετε; μέγα οἶδα ὅτι βοήσετε κατὰ τῶν οὕτως ὑπειληφότων· μίαν γὰρ καὶ τὴν αὐτὴν τῶν τριῶν δογ- C ματίζετε. τί δὲ οἱ τὰ πρόσωπα; μὴ ἕν τι σύνθετον ἀναπλάσσετε, καὶ τριπρόσωπον, ἢ ἀνθρωπόμορφον ὅλως; ἄπαγε. καὶ ὑμεῖς ἀντιβοήσετε. μηδὲ πρόσωπον, ὅ, τι ποτέ ἐστιν, ἴδοι Θεοῦ, ὃς οὕτως ἔχει. τί οὖν αἱ ὑποστάσεις ἡμῖν βούλονται, ἢ ὑμῖν τὰ πρόσωπα; προσερήσομαι δὲ, τρία εἶναι τὰ διαιρούμενα, οὐ φύσεσιν, ἀλλ' ἰδιότησιν. ὑπέρευγε. πῶς ἂν τινὲς συμφρονοῖεν μᾶλλον, καὶ τὸ αὐτὸ λέγοιεν, ἢ οὕτως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσι; ὁμοίως καὶ ἐν οἷς ἐγκωμιάζει τὸν τῆς D Ἀλεξανδρέων φωστῆρα γενόμενον Ἀθανάσιον, πάλιν φησί· τῆς γὰρ μιᾶς οὐσίας, καὶ τῶν τριῶν ὑποστάσεων λεγομένων ὑφ' ἡμῶν εὐσεβῶς, (τὸ μὲν γὰρ τὴν φύσιν δηλοῖ τῆς θεότητος, τὸ δὲ τὰς τῶν τριῶν ἰδιότητας) νοουμένων καὶ παρὰ τοῖς Ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένων διὰ τὴν στενότητα τῆς παρ' αὐτοῖς γλώττης, καὶ τὴν τῶν ὀνομάτων πενίαν, διελεῖν ἀπὸ τῆς οὐσίας τὴν ὑπόστασιν, καὶ διὰ τοῦτ' ἀντεισαγούσης τὰ πρόσωπα, ἵνα μὴ τρεῖς οὐσίαι παραδεχθῶσιν. ἀμέλει κἀν τῷ εἰς τὰ φῶτα λόγῳ οὕτω φησί· Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περια- E στράφθητε καὶ τρισί. τρισὶ μὲν κατὰ τὰς ἰδιότητας, ἤγουν * ὑποστάσεις, ὅ τισι φίλον καλεῖν, εἴτ' οὖν προσώποις (οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχοῦμεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν) ἑνὶ δὲ, κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτ' οὖν θεότητος. ἱκανῶς, οἶμαι, οἱ παρόντες εὐκλεέστατοι διδάσκαλοι περὶ τῶν προκειμένων ἡμῖν ἐνομοθέτησαν, οὐσίας τέ φημι, καὶ φύσεως, ὑποστάσεώς τε καὶ προσώπου.

* ὑποστάσεων

σαφῶς τε παραδεδώκασιν, ὅτι αἱ μὲν τὸ καθόλου σημαίνουσιν· αἱ δὲ, τὸ καθέκαστον. Ο ΚΑΘΟΛΙΚΟΣ. καιρὸς ἤδη, τὰς χρήσεις εἰς μέσον προθεῖναι, ἵνα ἐκ τούτων τὸν νοῦν καταθρήσωμεν τῶν ἁγίων. περὶ γὰρ οὐσίας καὶ φύσεως, ὑποστάσεώς τε καὶ προσώπου, σύμφωνοί ἐσμεν, κατ' οὐδὲν οὐδ' ὅλως διαφερόμενοι. ταῦτα γὰρ καὶ πρὸ τοῦ σε εἰπεῖν, ἐγινώσκομεν· ἀλλ' ἠθελήσαμεν ἀκοῦσαι ἐκ τοῦ στόματός σου, πῶς ποτε περὶ τούτων φρονεῖτε ὑμεῖς. νῦν οὖν εἰπὲ, τίς τῶν ἁγίων δύο φύσεις μετὰ τὴν ἕνωσιν ἐδογμάτισεν; Ο ΘΕΟΡΙΑΝΟΣ. Πρῶτον, ὡς πρῶτον τῷ χρόνῳ, τὸν μέγαν Ἀθανάσιον παραγαγεῖν ἄξιον, ὡς ἐν τῇ πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου ἐπιστολῇ τάδε γράφοντα κατὰ λέξιν· καὶ γὰρ ἐκ τούτου τὸ ἄτοπον θεωρεῖν ἡμᾶς ἔξεστιν. Εἰ ὁμοούσιος ὁ λόγος τῷ σώματι, ἐκ γῆς ἔχοντι τὴν φύσιν· ὁμοούσιος δὲ ὁ λόγος τῷ πατρὶ, κατὰ τὴν τῶν πατέρων ὁμολογίαν· ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ πατὴρ τῷ σώματι, τῷ ἐκ γῆς γεγενημένῳ. καὶ τί ἔτι μέμφεσθε τοῖς Ἀρειανοῖς, λέγουσι τὸν υἱὸν κτίσμα, λέγοντες αὐτοὶ καὶ τὸν πατέρα ὁμοούσιον τοῖς κτίσμασι; Ο ΚΑΘΟΛΙΚΟΣ. καὶ τί πρὸς ἡμᾶς ἡ χρῆσις αὕτη, φιλόσοφε; Ο ΘΕΩΡΙΑΝΟΣ. σφόδρα καθάπτεται τῶν λεγόντων μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκός. καὶ ὅρα, πῶς θαυμασίως πλέκει τὸν συλλογισμὸν ἐν τρίτῳ σχήματι ὁ ἐν ἁγίοις Ἀθανάσιος. προωμολογεῖται γὰρ, ὅτι ὅσα περὶ τῆς οὐσίας λεχθήσεσθαι μέλλει, ταῦτα καὶ τῇ φύσει προσαρμόσιον. ὡμολόγηται, ἢ οὔ; Ο ΚΑΘΟΛΙΚΟΣ. πάνυ μὲν οὖν. Ο ΘΕΩΡΙΑΝΟΣ. * μεταλάβωμεν οὖν τὸ τῆς οὐσίας ὄνομα εἰς τὸ τῆς φύσεως, καὶ εἴπωμεν· Εἰ ὁμοφυὴς ὁ λόγος τῷ σώματι, ἐκ γῆς ἔχοντι τὴν φύσιν· ὁμοφυὴς δὲ ὁ λόγος τῷ πατρὶ, κατὰ τὴν τῶν πατέρων ὁμολογίαν, ὁμοφυὴς ἔσται καὶ αὐτὸς ὁ πατὴρ τῷ σώματι, τῷ ἐκ τῆς γῆς γεγενημένῳ. ὥστε τοῖς λέγουσιν ὁμοούσιον (ταὐτὸν δὲ εἰπεῖν ὁμοφυῆ) τὸν λόγον τῷ σώματι, ἕπεται τὸ, καὶ τὸν πατέρα ὁμοούσιον καὶ ὁμοφυῆ εἶναι τῷ σώματι. οὗ τί ἀτοπώτερον; τί οὖν ἐκ τούτου τοῦ ἀδυνάτου μανθάνομεν; ὁ λόγος τῷ σώματι οὐκ ἔστιν ὁμοούσιος, οὐδὲ ὁμοφυής. Εἰ δὲ οὔτε ὁμοούσιος, οὔτε ὁμοφυὴς τῷ σώματι ὁ λόγος, δῆλον, ὅτι ἑτεροούσιος καὶ ἑτεροφυής, καὶ εἰ ἑτεροφυὴς, ἑτέρα πάντως φύσις τοῦ λόγου, καὶ ἑτέρα τοῦ σώματος. οὐκ ἄρα μία φύσις ὁ Χριστός. εἰ δὲ καὶ τὴν πρώτην πρότασιν τοῦ θείου Ἀθανασίου, ὅσης ἀκριβείας, κατανοήσωμεν λέγουσαν, εἰ ὁμοούσιος ὁ λόγος τῷ σώματι ἐκ γῆς ἔχοντι τὴν φύσιν, μέγιστον εὑρήσομεν θησαυρόν. οὐ μάτην γὰρ κεῖται τὸ, ἐκ γῆς ἔχοντι τὴν φύσιν. Ο ΚΑΘΟΛ. ὀρθότατα λέγεις· ἀλλ' ἔχου καὶ τῶν ἑξῆς. Ο ΘΕΩΡΙΑΝ.

A apertéque tradiderunt, illas vniuersalis rei significationem habere, has singularis. GENERALIS. Iam tempus fuerit, vt auctoritates in medium proferas, de quibus sanctorum hominum mentem perspiciamus. quippe de substantia & natura, de hypostasi & persona, consentimus; nulla penitus in rè dissidentes. nam illa prius etiam quàm abs te dicerentur, intelligebamus: sed ex ore tuo lubebat audire, quænam de his vestra esset sententia. Nunc ergo dicito, quisnam sanctorum patrum naturas duas post vni-
B tionem statuerit. THEORIANVS. Primum, ceu tempore primum, magnum illum Athanasium proferre par est, cuius hæc ipsa verba sunt in epistola ad Epictetum Corinthi episcopum. Ex hoc absurditatem perspicere potestis. Si sermo vnius est substantiæ cum corpore, de terra naturam suam habente: sicque consubstantialis est patri sermo, iuxta confessionem Patrum: etiam ipse pater vnius erit substantiæ cum corpore de terra facto. Et cur Arianis indignamini, filium dicentibus esse creaturam; quum ipsi dicatis, patrem vnius cum creaturis esse substantiæ?

Athanasius ad Epictetum.

C GENERALIS. Quid ad nos dictum istud philosophe? THEORIANVS. Grauiter eos tangit, qui dicunt, vnam esse naturam Sermonis & carnis. Ac vide obsecro, quàm admirabili ratione sanctus vir Athanasius in tertia figura syllogismum nectat. Quippe iam antea pro confesso habetur, quæcumque de substantia dicenda veniant, eadem & naturæ accommodanda. Hoccine in confesso est, an non? GENERALIS. Omnino id quidem. THEORIANVS. Commutemus ergo substantiæ nomen cum naturæ
D vocabulo, & dicamus: Si eiusdem est naturæ sermo cum corpore, de terra naturam suam habente; sique sermo est vnius est cum patre naturæ, iuxta confessionem patrum: etiam ipse pater erit eiusdem cum corpore terreno naturæ. quo fit, vt si qui dicant, sermonem vnius esse cum corpore substantiæ; (valet autem hoc tantumdem, ac si dicas, eiusdem naturæ) sequatur, & patrem esse vnius cum corpore substantiæ ac naturæ: quo quid absurdius? Quid ergo de hoc impossibili discimus? Sermo non est eiusdem cum corpore substantiæ, nec eiusdem naturæ. quod si ser-
E mo nec eiusdem est cum corpore substantiæ, nec eiusdem naturæ: planum est, esse illum substantiæ naturæque diuersæ. Si naturæ diuersæ, omnino alia natura sermonis est, alia corporis. non ergo Christus vna natura est. Quod si primam hanc diui Athanasij propositionē, Si sermo vnius est substãtię cum corpore de terra naturā suam habente: quam accuratè facta sit, perspexerimus, maximū thesaurū reperiemus. quippe non frustra positū est, De terra naturam suam habente. GENER. Rectissimè dicis. sed pergito. THEORIANVS.

Subtilissima ratio aduersus hæreticos naturam vnicā in Christo agnoscentes.

* μεταλάβωμεν

Cyrillus.

Accedat & sanctissimus Cyrillus, cui vos magis innitimini, testimonium orationi nostræ perhibiturus; qui in priore ad Successum epistola inquit: Par est, quod absurditatem adtinet, dicere; quod corpus in diuinitatis naturam mutatum sit, & vicissim, quod sermo mutatus sit in naturam carnis. nam sicut hoc fieri nequit, quum ipse sermo sit incommutabilis & alterationis expers; ita nec illud alterum. non enim creatorum quidquam ad naturam diuinitatis transire potest: & caro quoque creatura est. Idem perspicuè in epistola ad Eulogium tam per se naturas duas profitens, quàm sanctissimos orientis episcopos, idem tradentes, propugnans: Repræhendunt, ait, nonnulli factam ab orientalibus episcopis expositionem. & cur, inquiunt, eos naturas duas dicentes Alexandrinus episcopus ferre potuit, aut probauit? & paulo post subiicit: Sic & in causa Nestorij: quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat: (nam alia natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum dominum confitemur: vnam denique naturam sermonis incarnatam. ac paulo post: Itaque nosse naturarum duarum discrimen, non est vnum Christum in duo secare. Rursum post alia: Nec illud ignorent: Vbicumque fit vnionis omnino mentio, non vnius rei coitio significatur; sed vel duarum, vel plurium, & inter se natura discrepãtium. Qui ergo dicit vnionem, videlicet carnis animatæ ac mente præditæ, cum sermone; quique duas naturas dicunt: eorum hæc mens est, atque sententia. verum posteaquam vnionem confessi sumus, non amplius à se inuicem vnita discrepant: sed vnus deinceps filius est, vna sermonis incarnati natura. Ecce in his diuæ memoriæ Cyrillus apertè dicit, duarum naturarum discrimen nosse, non esse Christum vnum in duo secare. Hoc enim vos vereri soletis. at beatus ille Cyrillus vanam hanc vestram formidinem reiicit. Quin & idem in altera ad Successum epistola eadem se sentire, his verbis ostendit. Itaque modum adsumtionis humanæ naturæ animo considerantes, naturas duas coiuisse per vnionem videmus, citra diuisionem, confusionem & mutationem. Caro enim, caro est, non diuinitas, licèt Dei caro facta sit: similiter & sermo Deus est, non caro; licèt dispensatione quadam carnem proprie suam fecerit. Quum igitur hoc animo consideramus, minime delinquimus, dicentes hunc in vnionem concursum ex duabus naturis factum. Sed tamen post vnionem naturas à se inuicem non diuidimus, nec vnum & impartibilem in duos filios secamus: sed vnum dicimus filium, & vti patres loquuti sunt, vnam naturam sermonis incarnatam.

Ex impossibili naturarum transmutatione distinctas naturas in Christo astruit.

* σημαίνων

* ταύτας

Duarum naturarum distinctio Christi vnitatem non impedit.

* σάρκα

A ἐλθέτω καὶ ὁ ἁγιώτατος Κύριλλος, ᾧ μᾶλλον ὑμεῖς ἐπερείδεσθε, μαρτυρήσων τῷ λόγῳ· ὃς ἐν μὲν τῇ προτέρᾳ πρὸς Σούκεισον ἐπιστολῇ λέγει· ἴσον γάρ ἐστιν εἰς ἀτοπίας λόγον, τὸ εἰπεῖν, ὅτι μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν, καὶ μὴν κἀκεῖνο, ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν. ὥσπερ γὰρ τοῦτο ἀμήχανον, (ἄτρεπτος γὰρ, καὶ ἀναλλοίωτός ἐστιν) οὕτω καὶ τὸ ἕτερον. οὐ γάρ ἐστιν εἰς θεότητος φύσιν μεταχωρῆσαί τι δυνάσθαι τῶν κτισμάτων. κτίσμα δὲ καὶ ἡ σάρξ. σαφῶς δὲ καὶ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, αὐτός τε
B ὁμολογῶν τὰς δύο φύσεις, καὶ τῶν τῆς ἀνατολῆς ἁγιωτάτων ἐπισκόπων ὑπερμαχῶν, τὰ αὐτὰ λεγόντων, φησίν· ἐπελαμβάνοντό τινες τῆς ἐκθέσεως, ἣς πεποίηνται οἱ ἀνατολικοί, καὶ φασί· διατί δύο φύσεις ὀνομαζόντων ἠνέσχετο ἢ ἐπῄνεσεν ὁ Ἀλεξανδρείας; καὶ μετ' ὀλίγα φησίν· οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις, τὴν διαφορὰν * σημαίνων τῆς σαρκὸς καὶ τοῦ λόγου· (ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκὸς) ἀλλ' οὐκ ἔτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν, ἡμεῖς γὰρ ἑνώσαντες * ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα
C κύριον ὁμολογοῦμεν· καὶ λοιπὸν, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ μετ' ὀλίγον· οὐκοῦν οὐ τὸ εἰδέναι τῶν δύο φύσεων τὴν διαφορὰν, τέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. καὶ μεθ' ἕτερα· κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν. ὅπου γὰρ ὅλως ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο, ἢ καὶ πλειόνων καὶ διαφόρων ἀλλήλοις κατὰ φύσιν. ὁ τοίνυν λέγων ἕνωσιν, δηλονότι σαρκὸς, ἐμψυχωμένης νοερῶς, καὶ λόγου, καὶ οἱ δύο λέγοντες φύσεις, οὕτω νοοῦσι. πλὴν τῆς ἑνώσεως ὁμολογουμένης, οὐκέτι διΐστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς λοι-
D πὸν υἱὸς, μία φύσις αὐτοῦ τοῦ σαρκωθέντος λόγου. ἰδοὺ σαφῶς ἐν τούτοις ὁ τῆς θείας μνήμης πατὴρ ἡμῶν Κύριλλος, οὐ τὸ εἰδέναι, φησὶ, τῶν δύο φύσεων τὴν διαφορὰν, τέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. τοῦτο γὰρ ὑμεῖς δεδοίκατε· ἀλλ' ὁ μακάριος Κύριλλος ἐκβάλλει τὸν τοιοῦτον μάταιον φόβον ὑμῶν. ἀλλὰ καὶ τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ φαίνεται ὁ αὐτὸς τὰ αὐτὰ φρονῶν, δι' ὧν φησίν· ἐννοοῦντες τοίνυν τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιασπάστως, ἀσυγχύτως, ἀτρέ-
E πτως. ἡ γὰρ σάρξ, σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ. ὁμοίως δὲ καὶ ὁ λόγος Θεός ἐστι, καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν * σάρκωσιν οἰκονομικῶς. ὅταν οὖν ἐννοῶμεν τοῦτο, οὐδὲν ἀδικοῦμεν, τὴν εἰς ἑνότητα συνδρομὴν ἐκ δύο φύσεων γεγενῆσθαι λέγοντες. μετὰ μέντοι τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων, οὐδὲ εἰς δύο τέμνομεν υἱοὺς, τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν υἱὸν, καὶ ὡς οἱ πατέρες εἰρήκασι, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην.

ἐννοοῦ ὅσον ἥκει εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι, τίνα τρόπον ἐνηνθρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναι φαμέν· ἕνα δὲ Χριστόν, καὶ κύριον, καὶ υἱόν, τὸν Θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. τί τούτου * ἐστὶ σαφέστερον ἐπιζητοῦμεν; δύο γὰρ φύσεις, τὰς φύσεις εἶναι φαμέν. πάλιν ὁ αὐτὸς θεῖος Κύριλλος ἐν τῇ εἰς τὸ Λευιτικὸν βιβλίον ἐξηγήσει περὶ τοῦ καθαρισμοῦ τῆς λέπρας φησίν· ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει τὸ τοῦ σωτῆρος ἡμῶν μυστήριον, καὶ τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρισμόν. δύο μὲν ὀρνίθια κελεύει ληφθῆναι ζῶντα καὶ καθαρά, ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπον, ἄνθρωπόν τε ὁμοῦ καὶ Θεόν, εἰς δύο μὲν φύσεις (ὅσον ἥκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον) διαιρούμενον (λόγος γὰρ ἦν, ὁ ἐκ Θεοῦ ἀναλάμψας ἐν σαρκὶ τῆς γυναικός) πλὴν οὐ μεριζόμενον. εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός. διὰ τοῦτο καὶ ὡς δύο λαμβάνονται τὰ ὀρνίθια, καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα. ὁρᾷς πῶς δι᾽ ὅλου ὁ μακάριος Κύριλλος δύο φύσεις ὁμολογεῖ; ἀλλὰ καὶ ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ φησίν· ὁ γὰρ λέγων σαρκὶ παθεῖν γυμνῇ τὸν Κύριον, ἄλογον καὶ ἀκούσιον ποιεῖται τὸ πάθος. ἐὰν δέ τις εἴπῃ, μετὰ ψυχῆς νοερᾶς παθεῖν αὐτόν, ἵνα ᾖ τὸ πάθος ἑκούσιον, οὐδὲν κωλύει λέγειν, τῇ φύσει τῆς ἀνθρωπότητος αὐτὸν παθεῖν. εἰ δὲ τοῦτο ἀληθές, πῶς οὐ τὰς δύο φύσεις ὑφεστάναι δώσομεν μετὰ τὴν ἕνωσιν, ἀδιαιρέτως; ὥστε εἴ τις λέγει, Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί, οὐδὲν ἕτερον λέγει, πλὴν ὅτι, Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν τῇ ἡμετέρᾳ φύσει. ὁρᾷς πῶς σαφέστατα δύο φύσεις μετὰ τὴν ἕνωσιν ὁμολογεῖ ὁ μακάριος Κύριλλος; ἴδωμεν, εἰ δοκεῖ, καὶ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον. φησὶ γὰρ ἐν τῷ περὶ υἱοῦ λόγῳ· Θεὸς δὲ λέγοιτο ἄν, οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δέ. πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καὶ πατήρ, οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ· καὶ γὰρ ἦν διπλοῦς. ὥστε τὸ μὲν κυρίως ἐπ᾽ ἀμφοῖν, τὸ δὲ οὐ κυρίως, ἐναντίως ἢ ἐφ᾽ ἡμῶν ἔχει. ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεός, οὐ κυρίως δὲ πατήρ. καὶ τοῦτό ἐστιν, ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐναλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δέ· ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. ὁρᾷς ὅτι διπλοῦν αὐτὸν καλεῖ τὸν Χριστόν; καὶ πάλιν φησίν· ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐννοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. ἀλλ᾽ ἴδωμεν καὶ τὰ ἑξῆς. Παύλου λέγοντος ἄκουσον· ἵνα ὁ Θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης· Χριστοῦ μὲν Θεός, τῆς δὲ δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. ἄκουε ὡς φησίν· εἰ γὰρ τὸ συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει.

A Quantum ergo mente atque oculis animi duntaxat videre possumus, quo pacto vnigenitus ille factus sit homo, duas naturas esse dicimus, at vnum Christum, & dominum, & filium, Dei sermonem, qui homo factus & incarnatus est. Quid clarius hoc quærimus? * naturas enim duas esse dicimus. Rursus idem ille diuus Cyrillus in enarratione libri Leuitici, de purgatione lepræ differens, ait: Totum heic mihi rursus Seruatoris nostri mysterium, & purgationem, quæ per sacrosanctum baptismum fit, respice. Duas aues accipi viuas & mundas iubet, B vt per has volucres hominem illum cœlestem intelligas, hominem pariter & Deum, in duas quidem naturas (quantum ad id quod de vtraque dici conuenit) distinctum: (quippe sermo erat, exortus è Deo, in carne mulieris) non tamen diuisum: vnus enim ex ambobus Christus. Propterea duæ sumuntur aues, & ambæ rursus vnius instar intelliguntur. Vides, vt vbique beatus ille Cyrillus naturas duas confiteatur? quin & in altera ad Successum ait epistola: Qui Dominũ nuda carne passum dicit, alienum à ratione voluntate C téque cruciatum facit. At si quis dicat, eum participe mentis anima passum, vt spontaneus sit cruciatus, nihil dicere prohibet, eum in hominis natura passum. quod si verum est, cur non duas naturas exstitisse dabimus post vnionem, citra vllam diuisionem? Quare si quis ait, Christo pro nobis carne passo, nihil aliud dicit, quàm Christo pro nobis natura nostra passo. Vides, vti clarissimè naturas duas beatus Cyrillus post vnionem confiteatur? Etiam magnum illum in rebus diuinis Gregorium videamus. Ait enim in oratione de filio: Deum adpellari putemus, D non Sermonis; sed eius qui oculis cernebatur. Quî enim propriè Dei Deus esse possit? quemadmodum & pater dicitur, non eius, qui cernebatur, sed sermonis. erat enim duplex. itaque partim hæc de vtrisque propriè, partim non propriè dicũtur; diuerso scilicet modo, quàm in nobis res habet. nã Deus propriè quidem noster est Deus, nõ autẽ propriè pater. & hoc illud est, quod hæreticos in errorẽ trahit: vocũ scil. harũ coniunctio, permutatis inter se vocabulis, propter naturarũ coalitionẽ. Eius hoc argumẽtum est. quũ naturæ cogitãdo distingũtur, etiã ipsa simul vo- E cabula distinguntur. Vides eũ Christũ adpellare duplicẽ? Rursus ait, Quũ naturæ cogitãdo distinguuntur, etiã ipsa simul vocabula distingũtur verũ videamus & sequentia. Paulũ dicentem audi: Vt Deus domini nostri Iesu Christi, pater gloriæ: Christi quidẽ ille Deus est, pater autẽ gloriæ. nam licet vtraq; natura copulata, sit quiddã vnum; non tamen hoc à natura est, sed propter coitionem. Audi quid dicat; Licet vtraque natura copulata, sit quiddam vnum, non tamen hoc à natura est.

* in

Duabus auibus quæ ad purgationem lepræ sumebantur duplicem Christi naturam intellexit D. Cyrillus.

Ex passione Dominica in Christo humanam naturam colligit B. Cyrillus.

Nazianzenus.

Si vero non vnum à natura est, relinquitur omnino, duo esse à natura. Idem in 1. ad Cledonium epistola, disertis verbis ait: Naturæ duæ, Deus & homo, quemadmodum & anima, & corpus; non tamen duo filij, nec dij: sicut nec hic quidem duo homines, tametsi Paulus ad hunc modum internam externamque partem hominis adpellauerit. atque vt paucis rem complectar, aliud quidem atque aliud sunt ea de quibus Seruator constat; (nisi adspectabile sit idem cum inadspectabili, & temporis expers idem cum eo quod tempori subest) non tamen alius atque alius. absit hoc. ambo enim hęc copulatione vnum sunt, Deo nimirum humanam naturam, & homine diuinitatem suscipiente, vel quocumque tandem alio verbo quis hanc rem exprimendam duxerit. Dico autem aliud atque aliud vice versa atque in Trinitate res habet. illic enim alius atque alius, ne hypostases cōfundamus: non autem aliud atque aliud, quod tria sint vnum & idem, quoad diuinitatem. Vides quàm accuratè de rebus diuinis loquatur! Aliud, ait, atque aliud sunt ea de quibus Seruator constat: hoc est alia atque alia natura. Nam aliud, neutro genere positū, de natura dicitur: alius vero, de hypostasi. atque hoc progrediēs vlterius manifesto declarat. Illic, ait, nimirum in diuinitate, alius atque alius, ne personas confundamus: non autem aliud atque aliud, quod tria sint vnum & idem, quoad diuinitatem. Quin & vlterius inquit: Sicut & illud, per Christum omnia facta esse, & Christum in cordibus nostris habitare, non secundū eam Christi partem dicitur, quę in oculos cadit: sed eam, quæ intellectu percipitur, permistis videlicet, vt naturis, sic etiā nominibus, seque ratione cōnaturalitatis inuicem complectentibus. Hæc de magno illo Gregorio Theol. protulisse satis est. Eiusdem verò sententiæ sanctum quoque Gregorium Nyssensem episcopum fuisse demonstrabo, in lib. ad Simplicium his verbis vtētem: Quoniam duo de Christo agnoscimus, hoc diuinum, illud humanum, vnum natura diuinum, & vnum dispensatione humanum: iccirco æternitatem diuinitati equidē adtribuo, creatum vero humanam ad naturam referimus. Audistine quo pacto & hic diuinus vir dicat, duo nos de Christo adgnoscere, hoc diuinum, illud humanū. deinde, vnum natura diuinū, inquit. & progressus vlterius: Creatum, ait, humanā ad naturam referimus. Ecce diuinā in Christo naturam, & naturam humanam manifestè confitetur. Quin & Basilij liber aduersus Eunomium scriptus, eadem docēs, hæc verba continet: Mediatorem illum Dei & hominum, sicut à magno illo apostolo adpellatur, nihil ita demonstrat, vt filij nomen vtrique naturæ, diuinæ ac humanæ, ex æquo accōmodatum. Idem enim & Dei filius est, & filius hominis per dispensationem factus est.

* πρώτῃ

Est in Christo aliud & aliud, sed non alius, quia aliud dicit naturam: sunt autem naturæ in Christo distinctæ: alius verò, dicit personā, vnica autem in Christo persona est & hypostasis.

Contra fit in Trinitate.

Greg. Nyssen.

* καὶ τὸ Βασιλείου βιβλίον τὸ *Basilius.*

Christus ex duplici natura mediator Dei & hominum dignoscitur.

A Εἰ δὲ οὐ τῇ φύσει ἕν, λείπεται πάντως, δύο εἶναι τῇ φύσει. ἐν δὲ τῇ πρὸς Κληδόνιον * δευτέρᾳ ἐπιστολῇ ὁ αὐτὸς διαῤῥήδην φησί· φύσεις δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα. υἱοὶ δὲ οὐ δύο, οὐδὲ θεοί· οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσε. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ· εἴπερ μὴ ταὐτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος· μὴ γένοιτο. τὰ γὰρ B συναμφότερα, ἓν τῇ συγκράσει· Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. ὁρᾷς ἀκρίβειαν θεολογίας; ἄλλο μὲν καὶ ἄλλο φησί, τὰ ἐξ ὧν ὁ σωτήρ. τουτέστιν, ἄλλη καὶ ἄλλη φύσις. τὸ γὰρ ἄλλο οὐδετέρως λεγόμενον, ἐπὶ τῆς φύσεως τάττεται· ὁ δὲ ἄλλος, ἐπὶ τῆς ὑποστάσεως. καὶ τοῦτο δῆλον αὐτὸς C ποιεῖ προϊών· ἐκεῖ μὲν γὰρ, ἐπὶ τῆς θεότητος δηλονότι, ἄλλος καὶ ἄλλος· ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. ἀλλὰ καὶ προϊών φησίν· ὥσπερ καὶ τὸ διὰ Χριστοῦ γεγενῆσθαι τὰ πάντα, καὶ κατοικεῖν Χριστὸν ἐν ταῖς καρδίαις ἡμῶν, οὐ κατὰ τὸ φαινόμενον τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον, κιρναμένων ὥσπερ τῶν φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας. ἀπόχρη ταῦτα παρὰ τοῦ μεγάλου Γρηγορίου τοῦ D θεολόγου. τῆς δ' αὐτῆς ἐννοίας καὶ Γρηγόριον τὸν ἐν ἁγίοις ἐπισκοπήσαντα ἐν τῇ Νυσσαέων ἐπιδείξομαι, ἐν οἷς φησιν ἐν τῷ πρὸς Σιμπλίκιον λόγῳ κατὰ λέξιν οὕτως· ὥστε ἐπειδὴ δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον, ἓν μὲν τῇ φύσει τὸ θεῖον, ἓν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον, ἀκολούθως τὸ μὲν ἀΐδιον τῇ θεότητι προσμαρτυρούμενοι, τὸ δὲ κτιστὸν, τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ἤκουσας ὅπως καὶ οὗτος ὁ θεῖος ἀνὴρ φησιν, ἐπεὶ δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀν- E θρώπινον. εἶτα, ἓν μὲν τῇ φύσει τὸ θεῖον, φησί. καὶ προϊών· τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ἰδοὺ φύσιν θείαν ἐπὶ Χριστοῦ, καὶ φύσιν ἀνθρωπίνην ὁμολογεῖ περιδήλως. ἀλλὰ * κἀν τῷ Βασιλείου βιβλίῳ, τῷ πρὸς τὸν Εὐνόμιον τὰ αὐτὰ διδάσκει, φησί. τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων καθὼς ὠνόμασεν ὁ μέγας ἀπόστολος, οὐδὲν οὕτως ὡς τὸ τοῦ υἱοῦ δείκνυσιν ὄνομα, ἑκατέρᾳ τῇ φύσει, τῇ θείᾳ τε καὶ ἀνθρωπίνῃ, κατὰ τὸ ἴσον ἐφαρμοζόμενον. ὁ γὰρ αὐτὸς καὶ Θεοῦ υἱός ἐστι· καὶ υἱὸς ἀνθρώπου κατ' οἰκονομίαν ἐγένετο.

ὁρᾷς πῶς δύο φύσεις, θείαν τε καὶ ἀνθρωπίνην ὁμολογεῖ; τὰ δ' αὐτὰ πράττοντα κἀν τῷ τετάρτῳ λόγῳ τῆς αὐτῆς πραγματείας ἔξεστιν αὐτὸν θεωρῆσαι. πανταχοῦ γὰρ, φησὶ, τὴν τοῦ ἀνθρωπίνου πρὸς τὸ θεῖον ἀνάκρασιν ὁ ἀπόστολος κηρύττων, οὐδὲν ἧττον ἐν ἑκατέρῳ τὸ ἴδιον καθορᾷ. ἐνταῦθα καὶ περὶ τῶν ἰδίων ἑκατέρας φύσεως ἡμῖν διετάξατο, ὡς ὑπαρχόντων τε, καὶ τῇ θεωρίᾳ λαμβανομένων. εἶτα προϊὼν, μετ' ὀλίγον φησί· καὶ ὡς ἄν μή τις τῇ ἀκράτῳ φύσει τὸ κατὰ τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων σαφέστερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπων, καὶ Θεὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι, τὸ πρόσφορον νοῆται περὶ ἑκάτερον. σαφέστατα ἐνταῦθα δύο περὶ τὸ ἓν λέγεσθαι φησί, δηλονότι φύσεις. ὁμοίως δὲ κἀν τῷ δευτέρῳ λόγῳ περὶ υἱοῦ ὁ αὐτὸς σαφέστερον ἡμῖν τῶν δύο φύσεων τὰ ἰδιώματα σώζεσθαι παραδίδωσι καὶ μετὰ τὴν ἄφραστον κένωσιν. πιστεύομεν γὰρ εἰς ἕνα Θεὸν, φησί, πατέρα ἀγέννητον, καὶ εἰς ἕνα γεννητὸν υἱὸν Ἰησοῦν τὸν Χριστὸν, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν δὲ κατὰ τὴν σάρκα· οὐ δύο, ἀλλ' ἕνα υἱὸν, σωζομένων τῶν ἰδιωμάτων τῶν φύσεων. ἀλλὰ καὶ ὁ μέγας Ἀμβρόσιος, ὁ Μεδιολάνων τὴν ἀρχιερωσύνην λαχὼν, πρὸς Ἀπολινάριον γράφων, οὕτω φησί· φυλάξωμεν τὴν διαφορὰν σαρκὸς καὶ θεότητος· εἷς ἐν ἑκατέρῳ λαλεῖ ὁ υἱὸς, ἐπειδήπερ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ· ἀλλ' εἰ καὶ ὁ αὐτὸς λαλεῖ, οὐκ ἐν ἑνὶ μέντοιγε τρόπῳ λαλεῖ. ὁρᾷς γὰρ ἐν αὐτῷ νῦν μὲν δόξαν Θεοῦ, νῦν δὲ πάθη ἀνθρώπου. ἀκόλουθα δὲ τοῖς εἰρημένοις κἀν τῷ δευτέρῳ τῷ πρὸς Γρατιανὸν τὸν βασιλέα συντάγματος λέγει. ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται, ἑκατέρας ὑπάρχων φύσεως κοινωνὸς, τοῦτ' ἔστιν ἀνθρωπίνης καὶ θείας· ἀμέλει κἀν τῷ πρὸς Σαβῖνον τὸν ἐπίσκοπον λόγῳ αὐτοῦ ὁ αὐτὸς ἁγιώτατος ἀνὴρ φησίν. ἐν τῷ* ἰδίῳ τῆς θεότητος ὢν ἐκένωσεν ἑαυτὸν, καὶ ἔλαβε τὸ τέλειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλόκληρον· ὡς οὐδὲν ἔλειπε τῷ Θεῷ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. Ο ΚΑΘΟΛΙΚΟΣ. ἐμοὶ δοκεῖ, ὅτι πρὸ πολλῶν χρόνων ἔδει ἐπιμελῆσαι τοῦ συναγαγεῖν βιβλία, καὶ τὰς ἐκλαβεῖν χρήσεις ἁγίων περὶ τῶν δύο φύσεων. Ο ΘΕΩΡΙΑΝΟΣ. ἐκεῖνα δέονται πολλῆς φροντίδος καὶ χρόνου, ὅσα σπάνιά εἰσι, καὶ δυσεύρετα. περὶ δὲ τῶν δύο φύσεων, οὐ σπάνις, ἀλλὰ πλοῦτος ὑπερβολικὸς καὶ δαψίλεια ἐν πάσῃ τῇ θεοπνεύστῳ γραφῇ, ὅση ἀέρος χύσις. εἰ οὖν καὶ πλειόνων δέῃ, ἑτοίμως ἔχω καὶ ἄλλας παραγαγεῖν. αὐτίκα γοῦν, ἔξεστιν ἀκοῦσαι καὶ τοῦ μεγάλου φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου, περὶ τῶν αὐτῶν λέγοντος ἐν τῷ περὶ τριάδος συντάγματι, κατὰ τὸ ι. ζ. κεφάλαιον οὕτως.

A Vides, vti duas naturas, diuinam & humanam, confitetur? Eadem facientem videre licet in quarto eiusdem argumenti libro, vbi hæc verba sunt: Vbique temperamentum eius, quod humanum est, cum illo quod diuinum, prædicans apostolus nihilominus in vtroque, quod cuique proprium est, perspicit. Heic & de iis quæ vtrique naturæ propria sunt, tradit; veluti quæ reapse sint, & animi consideratione percipiantur. Hinc paulo pòst subiicit: Ac ne quis naturæ temperamenti experti passionem in cruce adtribuat, per alia clarius errorem huiusmodi B corrigit, Mediatorem eum Dei & hominum, & Deum adpellans: vt, quoniam duo de vno dicantur, de vtroque quod vtrique competit, intelligatur. Heic apertissime duo de vno dici prædicat, nimirum naturas duas. Similiter & in oratione de filio secunda, clarius idem duarum naturarum proprietates, etiam post ineffabilem illam euacuationem, saluas & integras esse tradit. Credimus, inquit, in vnum Deum patrem ingenitum, & in vnum filium genitum Iesum Christum, eiusdem substantiæ cum patre, secundum C diuinitatem; & nobiscum, secundum carnem: non duos, sed vnum filium, saluis naturarum proprietatibus. Quin & magnus Ambrosius, Mediolanensium pontifex, ad Apollinarium scribens, sic ait: Discrimen carnis & diuinitatis seruemus. Vnus in vtroque loquitur filius, quoniam vtraque natura in ipso est: verum licet idem loquatur, non vno tamen modo loquitur. Nam vides in eo nunc quidem Dei maiestatem, nunc autem passiones hominis. Consentanea vero iam dictis & in secundo ad Gratianum Augustum libro tradit. Homo Iesus Christus, D Dominus maiestatis, dicitur crucifixus, quia consors vtriusque naturæ, id est, humanæ atque diuinæ. Sed & in libro ad Sabinum episcopum idem vir sanctissimus ait: Quum esset in proprietate diuinitatis, exinaniuit se, & accepit plenitudinem naturæ & * perfectionem humanæ: sicut Deo nihil deerat, ita nec hominis consummationi; vt esset perfectus in vtraque * natura. GENERALIS. Equidem arbitror ante multos annos curæ tibi fuisse, libros vti colligeres, sanctorúmque virorum auctoritates de naturis duabus E excerperes. THEORIANVS. Ea vero multæ curæ, multique temporis egent, quæ rara sunt, & inuentu difficilia. De duabus autem naturis non penuria, sed supra modum ingens abundãtia copiáque reperitur in omni à spiritu Dei profecta scriptura, quanta scilicet est aëris latè diffusi amplitudo. Quare si etiam pluribus opus sit, paratus sum & alias proferre. Et quidem mox licet audiamus magnum illum philosophum atque martyrem Iustinum, de iisdem loquentem in libro de Trinitate, capite decimo septimo.

Confessio fidei D. Basilii de Christi duabus naturis.

Ambrosii loci. Primus non exstat in editis.

Epistolarum lib. 7 ep. 47.

** legit. in proprietate, quum Libri Latini habeant, in plenitudine.*

** Nostri legũt, perfectionis.*

** nostri, forma.*

Iustinus.

Quum audieris, inquit, de vno filio voces contrarias, conuenienter partire naturis ea quæ dicentur: si magnum ac diuinum aliquid, diuinæ naturæ adtribuens; sin exiguum & humanum, ad humanam naturam referens. Sic enim & ipsarum vocum discrepantiam vitabis, natura qualibet sibi cognata recipiente: & vnum filium tam ante omnia sæcula, quàm recens ortum iuxta litteras sacras confiteberis. Hæc diuinus ille Iustinus. Ioannes autem Chrysostomus in epistolæ ad Timotheum scriptæ interpretatione sic ait: Mediator amborum consors est, quorum scilicet est mediator. quippe mediatoris est, vt coniunctus eorum vtrique, quorum mediator est, participet. Ac paulo post: Si ergo non coniunctus est cum natura patris, non est mediator, sed est ab eo separatus. Quemadmodum enim cum hominum natura coniunctus est, quoniam ad homines venit: ita & cum Dei natura, quoniam à Deo venit. Cum hisce sanctis patribus consentiens sancta illa, magnáque & vniuersalis synodus, Chalcedone, nutu Dei pióque decreto Augustorum congregata, statuit vnum & eumdem esse Christum, filium, dominum, vnigenam, in naturis duabus citra confusionem, mutationem, diuisionem, separationem adagnitum: nequaquam naturarum discrimine sublato propter vnitionem, sed salua potius proprietate vtriusque naturæ, ac in vnam personam & vnam hypostasin coëunte: non in duas personas partitum vel diuisum, sed vnum & eumdem filium vnigenam, Deum sermonem, Dominum Iesum Christum. GENERALIS. Omnino duas dicere naturas, speciem quamdam diuisionis introducit: ac vereor equidem, ne deuitato Eutychis barathro, quod est vnam naturam dicere, in Nestorij barathrum incidamus, per duas naturas, duas personas introducentes. THEORIANVS. Nestorius vero duas naturas separatas aiebat, non vnitas in vnam personam. atque hoc sanè denotans sanctus ille Cyrillus, in epistola, quam ad Eulogium scripsit, ait: Sic & in causa Nestorij. quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat. (alia namque natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum Dominum confitemur; vnam denique naturam sermonis incarnatam. Tu igitur, iuxta sapientis illius Salomonis admonitionem, nec ad dextram, nec ad sinistram incesseris; sed media regiáque via. Sunt enim quatuor hæreses, ex diametro inter se pugnantes: duæ de diuinitate, ac duæ de humana natura. In diuinitate Sabellius quidem aiebat esse naturam vnam, & vnam hypostasin: Arius verò tres hypostases, ac tres naturas diuersas & alienas à se inuicem.

Margin: * κατάλληλως — * δεχομένης — *Chrysost.* — *Concilium Chalcedonense.* — *Error Nestorii. Contra Nestorium probat posita duplici natura in Christo, duas hypostases & personas non esse concludendum.* — *Sabellius.* — *Arius.* — *Quatuor hæreses, duas de diuinitate, duas de humana natura pugnantes, improuida de Deo hominũ cogitatio peperit.*

A ὅταν ἀκούσῃς περὶ τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνάς, *κατ' ἀλλήλων μέριζε ταῖς φύσεσι τὰ λεγόμενα. ἂν μὲν τι μέγα καὶ θεῖον, τῇ θείᾳ φύσει προσνέμων· ἂν δέ τι μικρὸν καὶ ἀνθρώπινον, τῇ ἀνθρωπείᾳ λογιζόμενος φύσει. οὕτω γὰρ καὶ τὸ τῶν φωνῶν ἀσύμφωνον διαφεύξῃ, ἑκάστης ἃ πέφυκε *δεχομένης φύσεως· καὶ τὸν υἱὸν ἕνα καὶ πρὸ πάντων αἰώνων, καὶ πρόσφατον, κατὰ τὰς θείας γραφὰς ὁμολογήσεις. καὶ ταῦτα μὲν ὁ θεῖος Ἰουστῖνος. ὁ δὲ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς, οὕτω φησίν· ὁ μεσίτης ἀμφοτέροις κοινωνεῖ, ὧν ἐστι μεσίτης. B μεσίτου γὰρ τοῦτό ἐστι, τὸ ἑκατέρου ἐχόμενον, οὗ ἐστι μεσίτης, κοινωνεῖν. καὶ μετ' ὀλίγον· εἰ τοίνυν μὴ ἔχεται τῆς τοῦ πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης, ἀλλὰ ἀπεσχοίνισται. ὥσπερ γὰρ τῆς ἀνθρώπων ἔχεται φύσεως, ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο· οὕτω καὶ τῆς τοῦ Θεοῦ, ἐπειδὴ παρὰ Θεοῦ ἤρχετο. τούτοις τοῖς ἁγίοις πατράσι συμφωνοῦσα ἡ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Χαλκηδόνι συναθροισθεῖσα Θεοῦ νεύματι, καὶ εὐσεβοῦς βασιλέων θεσπίσματι, ἕνα καὶ τὸν αὐτὸν Χριστόν, υἱόν, κύριον μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωρι- C ζόμενον ἐδογμάτισεν, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀναιρουμένης διὰ τὴν ἕνωσιν· σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλὰ ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστόν. Ο ΚΑΘΟΛΙΚΟΣ. ὅλως τὸ λέγειν δύο φύσεις, ἔμφασιν εἰσάγει διαιρέσεως· καὶ δέδοικα, μήπως φεύγοντες τὸ τοῦ Εὐτυχοῦς τὸ μίαν φύσιν λέγειν, εἰς τὸ τοῦ Νεστορίου ἐμπέσωμεν βάραθρον, διὰ τὰς δύο φύ- D σεις δύο πρόσωπα προσάγοντες. Ο ΘΕΩΡΙΑΝ. ἀλλ' ὁ Νεστόριος δύο φύσεις ἔλεγε κεχωρισμένας, οὐχ ἑνωμένας εἰς πρόσωπον ἕν. καὶ τοῦτο δηλῶν ὁ ἐν ἁγίοις Κύριλλος, ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ φησίν· οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις, σημαίνων τὴν διαφορὰν τῆς σαρκός, καὶ τοῦ Θεοῦ λόγου. (ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκός) ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταύτας, ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁ- E μολογοῦμεν, καὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. βάδιζε οὖν σύ, κατὰ τὴν τοῦ σοφοῦ Σολομῶντος παραίνεσιν, μήτε εἰς τὰ δεξιά, μήτε εἰς τὰ ἀριστερά· ἀλλὰ τὴν μέσην καὶ βασιλικὴν ὁδόν. τέσσαρες γὰρ εἰσὶν αἱρέσεις ἐκ διαμέτρου ἀλλήλαις μαχόμεναι· δύο ἐπὶ τῆς θεότητος, καὶ δύο ἐπὶ τῆς ἀνθρωπότητος. ἐπὶ μὲν τῆς θεότητος, ὁ μὲν Σαβέλλιος ἔλεγε μίαν φύσιν, καὶ μίαν ὑπόστασιν· ὁ δὲ Ἄρειος, τρεῖς ὑποστάσεις, καὶ τρεῖς φύσεις ἐκφύλους.

ἡμεῖς δὲ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν τοῦ Σαβελλίου νόσον νοσήσωμεν, οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ Ἀρείου μαινώμεθα· ἀλλὰ μίαν φύσιν ἐν τρισὶ κηρύττομεν ὑποστάσεσι. πάλιν ἐπὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου ὥσπερ ἐκ διαμέτρου ἐμάχοντο πρὸς ἀλλήλους ὅ τε Νεστόριος καὶ ὁ Εὐτυχής. ὁ μὲν γὰρ Νεστόριος ἔλεγε δύο φύσεις κεχωρισμένας, καὶ δύο πρόσωπα, καὶ δύο Χριστοὺς, καὶ δύο υἱούς. ὁ δὲ Εὐτυχής, μίαν φύσιν, καὶ μίαν ὑπόστασιν. ἡμεῖς δὲ μίαν ὑπόστασιν, ἕνα Χριστὸν, ἕνα υἱὸν ἐν δύο φύσεσι τελείαις, θεότητι λέγω, καὶ ἀνθρωπότητι, ἀχωρίστως καὶ ἀσυγχύτως ἡνωμέναις. βάδιζε οὖν τὴν μέσην καὶ βασιλικὴν, ὡς εἴπομεν, τρίβον. (ὥς φησιν ὁ Θεολόγος Γρηγόριος. μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην,) μὴ φοβηθεὶς τὸν ἀριθμὸν τῶν δύο. ὥσπερ γὰρ ἐπὶ τῆς θεότητος τρεῖς ὑποστάσεις λέγοντες, οὐ ποιοῦμεν διαίρεσιν φύσεως· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας δύο φύσεις λέγοντες, οὐ ποιοῦμεν διαίρεσιν ὑποστάσεως. καὶ τοῦτό ἐστιν, ὅπερ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ πρὸς Κληδόνιον δευτέρῳ λόγῳ φησί· λέγω δὲ ἄλλο, ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. καὶ σκόπει καλῶς ἑκάστου τάξιν τοῦ ἱεροῦ θεολόγου. λέγω δὲ, φησὶν, ἐπὶ τοῦ Χριστοῦ ἄλλο καὶ ἄλλο. τὸ γὰρ ἄλλο οὐδετέρως τεθεικὼς, τὴν φύσιν δηλοῖ, ἤτοι ἑτέραν καὶ ἑτέραν φύσιν ἐπὶ τοῦ Χριστοῦ λέγει· τὸ δὲ ἄλλος, σημαίνει τὴν ὑπόστασιν. διὸ ἐπήγαγεν· οὐκ ἄλλος καὶ ἄλλος. ὅρα δὲ καὶ τὸ, ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐπὶ μὲν γὰρ τῆς τριάδος μία φύσις ἐστὶν, ἀλλ' οὐχὶ καὶ μία ὑπόστασις· ἐπὶ δὲ τοῦ Χριστοῦ, μία ὑπόστασις, ἀλλ' οὐχὶ καὶ μία φύσις. καὶ τοῦτό ἐστι τὸ ἔμπαλιν. ἐκεῖ μὲν γὰρ μία φύσις, καὶ τρεῖς ὑποστάσεις. ἐνταῦθα δὲ μία ὑπόστασις καὶ δύο φύσεις.

Τούτων ῥηθέντων, ὁ εὐλαβέστατος ἐπίσκοπος Γρηγόριος, ὁ τοῦ ἁγιωτάτου καθολικοῦ ἀνεψιός, ἐβόησε φωνῇ μεγάλῃ· ἐγὼ Ῥωμαῖος εἰμί· ἀνάθεμα τῷ μὴ λέγοντι δύο φύσεις ἐν τῷ Χριστῷ.

Τῇ ἐπαύριον ἦλθεν ὁ εὐλαβέστατος ἐπίσκοπος Σαπειρίου. ἀνεκοινώσατο οὖν αὐτῷ ὁ καθολικὸς χωρὶς ἡμῶν τὰ λαληθέντα περὶ τοῦ προκειμένου ζητήματος. ἔδειξε δὲ αὐτῷ καὶ ὅσας εἶχε χρήσεις ἁγίων, δύο λεγούσας φύσεις ἐν τῷ Χριστῷ. ὁ δὲ διέστρεφεν αὐτὰς, λόγιος ὢν, εἰς τὸ ἑαυτοῦ θέλημα. ὡς οὖν εὗρεν αὐτὸν ὁ καθολικὸς σφοδρῶς ἐνιστάμενον καὶ ἀντιπαλαίοντα, μετεκαλέσατο ἡμᾶς, καί φησι πρὸς ἡμᾶς· Ὁ παρὼν ἐπίσκοπος Πέτρος θέλει μετὰ σοῦ διαλεχθῆναι περὶ μέσον ἡμῶν καὶ ὑμῶν ὑποθέσεως.

A Nos vero nec in vnum tria commiſcemus, ne Sabellij morbo laboremus, nec in tria peregrina & aliena inter ſe diuidimus, ne in Arij furorem incidamus: ſed naturam vnam in tribus hypoſtaſibus prædicamus. Rurſum de incarnatione Dei ſermonis velut ex diametro inter ſe pugnahaot Neſtorius & Eutyches. quippe Neſtorius aiebat duas naturas ſeparatas & duas perſonas, & duos Chriſtos, & duos filios: Eutyches vero naturam vnam, & vnam hypoſtaſin. Nos autem dicimus vnam hypoſtaſin, vnum Chriſtum, vnum filium, io duabus perfectis naturis, diuinitate inquam, & humanitate, inſeparabi-B liter & citra confuſionem vnitis. Itaque ſemita media regiáque, ſicuti diximus, incedito:(quemadmodum Gregorius ille Theologus ait: Medium quum dico, veritatem intelligo: ad quam ſolam ſi reſpiciemus, rectè faciemus) nec eſt quod numerum duûm reformides. Quemadmodum enim, quum io diuinitate tres hypoſtaſes dicimus, nullam naturæ diuiſionem facimus: ſic & in hac diſpenſatione, quum duas oaturas dicimus, nullam ipſius hypoſtaſis diuiſionem facimus. atque hoc illud eſt, quod Gregorius Theologus in 2 ad Cledonium libro dicit: Dico C autem aliud atque aliud, verſa vice atque in Trinitate res habet. illic enim alius atque alius, ne hypoſtaſes confundamus: noo autem aliud atque aliud; quia tria ſuot vnum & idem quo ad diuinitatem. Rectè verò quamlibet ſeriem verborum religioſi huius theologi conſidera. Dico, inquit, in Chriſto, aliud atque aliud. nam aliud oeutro genere poſitum, naturam ſigoificat; adeoque aliam atq; aliam naturã in Chriſto dicit. Alius vero ſignificat hypoſtaſin. ideo ſubiecit: Non alius atque alius. Etiam illud inſpice: Verſa vice atque in D Trinitate res habet. Nã in Trinitate vna natura eſt, ſed non itidẽ vna hypoſtaſis. In Chriſto autem vna hypoſtaſis eſt, at oon itidẽ vna natura. hoc ſcilicet denotat illud, Vice verſa. Nam ibi natura vna eſt, ac tres hypoſtaſes: heic autem vna hypoſtaſis, & duæ naturæ.

De Neſtorio & Eutyche.

Vt ſatisfaciat generali Armeniorum, docet etiam ſi duplex natura, duplicem perſonam non eſſe conſtituendam.

De hypoſtaſi & natura.

Hæc repetuntur ex ſuperioribus.

His dictis, religioſiſſimus Epiſcopus Gregorius, ſanctiſſimi Generalis conſobrinus, voce magna exclamauit: Ego Romanus ſum: Anathema noo diceoti duas in Chriſto naturas.

E Poſtridie religioſiſſimus Sappirij epiſcopus aduenit: itaq; cum illo Generalis ſeorſum ea communicabat, quæ de propoſita quæſtione dicta fuiſſent. Etiam oſtendit ei quaſcumque ſanctorũ hominũ auctoritates habebat, duas in Chriſto naturas dicentium. At is, quòd diſertus eſſet, ad lubitũ ſuum eas peruertebat. itaque quum Generalis eum valde reſiſtentem, ac repugnantem deprænderet; nos arceſſebat, & his verbis vtebatur: Petrus hic epiſcopus, qui præſens eſt, colloqui tecum de argumento, quod inter nos tractamus, cupit.

Rationibus ſuperius allatis conuictus epiſcopus Armenus in ſententiam Eccleſiæ Romanæ de Chriſti duabus naturis deſcendit.

Nona conseruatio cum Episcopo Saporij, qui disputationi superiori non interfuerat.

A Ait enim, sanctum virum Cyrillum vnam dicere naturam post vnitionem. THEORIANVS. Vbinam hoc, domine episcope, sanctus Cyrillus dicit? EPISCOPVS. In secunda ad Successum epistola, aduersus eos, qui dicunt: Si vna natura facta est post vnitionem, necesse est eum in natura sua passum: sic ad verbum ait, Qualia verò passum ipsum in natura propria necesse est, si post vnitionem, vna filij natura dicatur incarnata? Vidésne, quòd post vnitionem, vnam naturam dicat? THEORIANVS. Et quænam est illa propria filij natura, in qua necesse non est, eum esse passum?

Aduersus naturarum in Christo diuersitatem proponitur Cyrilli contextus.

Theorianus arguit & cū vehementia vrget aduersarium.

B EPISCOPVS. Diuinitas filij. THEORIANVS. Ergo filius in natura propria non est passus? EPISCOPVS. Absit hoc. quippe natura diuina sic comparata non est, vt pati possit. THEORIANVS. Tamen reapse Christus passus est. EPISCOPVS. Verè, sed in natura nostra, quæ sic comparata est, vt patiatur. THEORIANVS. Ergo Christus naturas duas habebat, vnam sic comparatam, vt pateretur: alteram, vt non pateretur.

C His quum obthuratum esset os religiosissimo Petro, supradictus religiosissimus episcopus Gregorius surgens: Ego Romanus sum, inquit, & cum Romanis sentio.

Iterum Gregorius alta voce se Romanum profitetur nouissima argumentatione confirmatus.

Post biduum rursus arcessiti, ascendimus in cœnaculum, ad sanctissimum Generalem. quumque consedissemus, omnes sic adloquutus est: Nihil ambigui est, duas in Christo naturas dicere, si confiteamur eas vnitas inseparabiliter in vnam hypostasin. quemadmodum sanctus ille Cyrillus in prima ad Successum epistola loquitur: Quantum, inquiens, mente atque oculis animi D duntaxat videre possumus, quo pacto vnigenitus ille factus sit homo: duas esse naturas dicimus vnitas, at vnum Christum, & filium, & Dominum, Dei Sermonem, qui homo factus & incarnatus est. Quinetiam omnia illa lumina ecclesiæ, quorum auctoritates antea philosophus adduxit, hoc ipsum expressè clamant. itaque manifestis, & apertis, & veris aduersari, non est hominis Christiani. ac de his quidem posthac minimè laborandum. Quid autem prohi- E bet, quominus & duas naturas in vno Christo, & vnam naturam, propter expertem diuisionis & separationis naturarum vnionem, confiteamur? quippe sanctum illum Cyrillum in altera ad Successum epistola, sic disertè dicentem, reperimus: Non de iis duntaxat, quæ natura simplicia sunt, vnum verè dicitur: sed etiam de illis quæ compositione copulata sunt. quale quiddam est homo, ex animo & corpore constans. nam ea diuersæ sunt formæ, nec eiusdem inter se substantiæ: verùm vnita, naturam hominis vnam absoluunt.

Postquam probatum est duplicem in Christo esse naturam, dubitat generalis an liceat dicere ex duabus naturis distinctis vnam conflari: Dubitationis causam ex hominis compositione ponit. Theorianus satisfacit quæstioni propositæ, probās post vnionem fatendū semper esse duas in Christo naturas.

A ἔλεγε γάρ, ὅτι ὁ ἐν ἁγίοις Κύριλλος μίαν φύσιν λέγει μετὰ τὴν ἕνωσιν. Ο ΘΕΩΡΙΑΝΟΣ. ποῦ λέγει τοῦτο, δέσποτα ἐπίσκοπε, ὁ ἅγιος Κύριλλος; Ο ΕΠΙΣΚΟΠΟΣ. ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ, κατὰ τῶν λεγόντων· εἰ μία φύσις γέγονε μετὰ τὴν ἕνωσιν, ἀνάγκη παθεῖν αὐτὸν εἰς τὴν ἰδίαν φύσιν· οὕτω κατὰ ῥῆμα φησί. ποίαν τοίνυν παθεῖν αὐτὸν ἀνάγκη εἰς ἰδίαν φύσιν, εἰ λέγοιτο μετὰ τὴν ἕνωσιν μία φύσις υἱοῦ σεσαρκωμένη; ὁρᾷς, ὅτι μετὰ τὴν ἕνωσιν μίαν φύσιν λέγει. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ ποία ἐστὶν ἡ ἰδία φύσις τοῦ υἱοῦ, εἰς ἣν οὐκ ἔστιν ἀνάγκη παθεῖν αὐτόν; B Ο ΕΠΙΣΚ. ἡ θεότης τοῦ υἱοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. οὐκ ἔπαθεν οὖν ὁ υἱὸς εἰς ἰδίαν φύσιν; Ο ΕΠΙΣΚΟΠΟΣ. μὴ γένοιτο. ἡ γὰρ θεία φύσις οὐ πέφυκε πάσχειν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἔπαθε δὲ ὅμως κατὰ ἀλήθειαν ὁ Χριστός; Ο ΕΠΙΣΚΟΠ. ναί, ἀλλ' εἰς τὴν ἡμετέραν φύσιν. αὕτη γὰρ πέφυκε πάσχειν. Ο ΘΕΩΡΙΑΝΟΣ. δύο οὖν εἶχεν ὁ Χριστὸς φύσεις, μίαν πεφυκυῖαν πάσχειν, καὶ μίαν μὴ πεφυκυῖαν πάσχειν.

C Ἐν τούτοις τοῦ εὐλαβεστάτου Πέτρου φιμωθέντος, ἀναστὰς ὁ ἄνωθεν ῥηθεὶς εὐλαβέστατος ἐπίσκοπος Γρηγόριος, ἔφη, ἐγὼ Ῥωμαῖός εἰμι, καὶ ὡς οἱ Ῥωμαῖοι φρονῶ.

Καὶ μετὰ ἡμέρας δύο πάλιν μετακληθέντες ἀνήλθομεν εἰς τὸ ὑπερῷον πρὸς τὸν ἁγιώτατον Καθολικόν, καὶ καθεσθέντων ἡμῶν, εἶπε πρὸς πάντας· Οὐκ ἔστιν οὐδεμία ἀμφιβολία, δύο φύσεις λέγειν ἐν τῷ Χριστῷ, ἐὰν ἑνωμένας ταύτας ὁμολογῶμεν ἀδιασπάστως εἰς μίαν ὑπόστασιν, καθά φησιν ὁ ἅγιος Κύριλλος ἐν τῇ πρώτῃ πρὸς Σούκενσον ἐπιστολῇ. ὅσον οὖν ἐστι D μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα τρόπον ἐνηνθρώπησεν ὁ μονογενής, τὰς δύο φύσεις εἶναί φαμεν ἑνωθείσας· ἕνα δὲ Χριστόν, καὶ υἱόν, καὶ κύριον, τὸν τοῦ Θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. ἀλλὰ δὴ καὶ πάντες οἱ τῆς ἐκκλησίας φωστῆρες, ὧν ἄνω ὁ φιλόσοφος τὰς χρήσεις ἤγαγε, τοῦτο διαρρήδην βοῶσι. καὶ λοιπὸν τοῖς προφανέσι καὶ φανεροῖς διαμάχεσθαι, καὶ ἀληθέσιν, οὐκ ἔστι Χριστιανοῦ. καὶ περὶ μὲν τούτων ἀπὸ τοῦ νῦν κοπιᾶν E οὐ θέμις. ἀλλὰ τί κωλύει καὶ δύο φύσεις ὁμολογεῖν, ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, καὶ μίαν φύσιν, διὰ τὸ ἀδιαίρετον καὶ ἀχώριστον τῆς τῶν φύσεων ἑνώσεως; εὑρίσκομεν γὰρ τὸν ἅγιον Κύριλλον ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ οὕτω σαφῶς λέγοντα. οὐ γὰρ ἐπὶ μόνων τῶν ἁπλῶν κατὰ φύσιν τὸ ἓν ἀληθῶς λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ σύνθεσιν* συνηγμένων. ὁποῖόν τι χρῆμά ἐστιν ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος. ἑτεροειδῆ μὲν γὰρ τὰ τοιαῦτα, καὶ ἀλλήλοις οὐχ ὁμοούσια. ἑνωθέντα γε μήν, μίαν ἀνθρώπου φύσιν ἀπετέλεσεν.

* συνημμένων.

ἐπεὶ οὖν ἐκ ψυχῆς καὶ σώματος, ἑτεροφυῶν ὄντων, μία φύσις ἀνθρώπου ἀποτελεῖται καὶ λέγεται, οὐκ ἄτοπον οἶμαι, ἔκ τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, μίαν ἀποτελεῖσθαι καὶ λέγεσθαι φύσιν. λῦσον τοῦτο, καὶ ἀρκέσει ἡμῖν. Ο ΘΕΩΡ. ἤρκει τῇ μεγάλῃ σου ἁγιωσύνῃ εἰς τὸ συνιδεῖν, ὅτι οὐ δεῖ μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν λέγειν, ἡ εἰσκομισθεῖσα αὐτῇ παρ' ἡμῶν χρῆσις τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἡ ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ κειμένη, οὕτω κατὰ λέξιν ἔχουσα· Εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. ἐπεὶ οὖν φησιν, ἀλλ' οὐ τῇ φύσει ἕν, κωλύει δηλονότι σαφῶς,* ἐν τῇ φύσει τὰ συναμφότερα λέγειν. τί τούτου ζητεῖς σαφέστερον; Ο ΚΑΘΟΛΙΚΟΣ. οὐ κεῖται ἐν τῇ Ἀρμενικῇ γραφῇ οὕτως. Ο ΘΕΩΡ. ἔσφαλται λοιπὸν τὸ βιβλίον σου. Τότε ἔχων ὁ Θεωριανὸς τὸ ἐκβολαῖον τοῦ ῥητοῦ τούτου Συριστί, δέδωκε τῷ καθολικῷ, λέγων· ἀνάγνωθι δέσποτα. ὁ δὲ Καθολικὸς προσκαλεσάμενός τινα τῶν ἀναγινωσκόντων Συριστί, ἀνέγνω, καὶ εὗρεν ὡς εἶπεν ὁ Θεωριανός. τότε λέγει αὐτῷ ὁ Θεωριανός. ἀρκεῖ τοῦτο δέσποτα; ἢ θέλεις καὶ ἄλλην χρῆσιν; ἐγὼ γὰρ Συριστὶ οὐ γινώσκω, ἀλλ' εὗρον οὕτως ἐν τοῖς βιβλίοις τῶν Σύρων ἐν Κεσσουνίῳ, καὶ πλεῖστον ἐχάρην τοῦτο εὑρών. Ο ΚΑΘΟΛΙΚΟΣ. ἐπεὶ ἐν τῇ τῶν Ἀρμενίων γραφῇ οὐ κεῖται οὕτως, βούλομαι καὶ ἀλλαχόθεν ποθὲν πληροφορηθῆναι, ὅτι δύο μὲν ὀφείλομεν ὁμολογεῖν ἐπὶ τοῦ Χριστοῦ φύσεις μετὰ τὴν ἕνωσιν, μίαν δὲ οὔ. Ο ΘΕΩΡΙΑΝΟΣ. ῥᾷστον τοῦτο συνιδεῖν, τῷ μὴ κακουργεῖν ἐθέλοντι. Ο ΚΑΘΟΛΙΚΟΣ. μή μοι γένοιτο κακουργῆσαί ποτε, καὶ μάλιστα ἐν τοῖς θείοις, μήτε μὴν ἄλλῳ τινὶ τῶν κατὰ Χριστὸν ζῆν ἑλομένων· ἀλλὰ βεβαιωθῆναι ἐπιθυμῶ, ἵνα μὴ ἀπροσέκτως καὶ κατὰ συναρπαγὴν ποιήσωμαι τὴν ἀπόφασιν. Ο ΘΕΩΡ. ὁμολογεῖς ἑνωθῆναι τὰς φύσεις ἀτρέπτως καὶ ἀναλλοιώτως; Ο ΚΑΘΟΛ. πάνυ μὲν οὖν. καὶ γὰρ ὁ ἅγιος Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ οὕτω φησίν. ἴσον γάρ ἐστιν εἰς ἀτοπίας λόγον, τὸ εἰπεῖν, ὅτι μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν· καὶ μὴν κἀκεῖνο, ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν. ὥσπερ γὰρ τοῦτο ἀμήχανον (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτός ἐστιν) οὕτω καὶ τὸ ἕτερον. οὐ γάρ ἐστι τῶν ἐφικτῶν, εἰς θεότητος οὐσίαν ἤτοι φύσιν μεταχωρῆσαι δύνασθαί τι τῶν κτισμάτων. κτίσμα δὲ καὶ ἡ σάρξ. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀπήλλαξας ἡμᾶς πραγμάτων, τὸν ἐν ἁγίοις Κύριλλον μάρτυρα παραγαγὼν τοῦ ἡμετέρου λόγου. εἰ γὰρ οὐκ ἔστιν ἐφικτὸν εἰς θεότητος οὐσίαν ἤτοι φύσιν μεταχωρῆσαί τι δύνασθαι τῶν κτισμάτων, κτίσμα δὲ καὶ ἡ σάρξ, εἰπὲ σὺ αὐτός, τί ἐκ τούτου συνάγεται.

A quoniam igitur ex animo & corpore, quæ diuersæ naturæ sunt, vna natura hominis absoluitur, atque dicitur: non absurdum arbitror, ex diuinitate humanitatéque Christi, vnam absolui dicique naturam. Hoc soluito, ac satisfactum nobis erit. THEORIANVS. Satis erat magnæ sanctitati tuæ ad hoc, vt perspiceres, non vnam esse dicendam naturam in Christo post vnionem, prolata sancti viri, Gregorij Theologi, à nobis auctoritas; quæ exstat in altera de filio oratione, ac huiusmodi verba continet: Licet vtraque natura copulata, sit quiddam vnum; non tamen hoc à natura est, sed propter B coitionem. Quum ergo dicit, Non hoc à natura est, dare scilicet prohibet, ne vtraque copulata, vnum natura dicantur. quid dilucidius hoc requiris? GENERALIS. Sic textus in Armenica scriptura non habet. THEORIANVS. Mendosus est ergo liber tuus. Mox Theorianus, qui eius dicti Syriacam interpretationem excerptam haberet, eam Generali porrigens, ait: Lege domine. Generalis autem arcessito quodam ex iis qui Syriacè legere nossent, legi iussit, & ita scriptum reperit, vti Theorianus dixerat. Itaque Theorianus: Hoccine sufficit, inquit, domine? an etiam & aliam requiris C auctoritatem? nam equidem Syriacè non noui, sed ita perscriptum in Syrorum libris Cessuuij reperi; atque hoc reperto, maximopere gauisus sum. GENERALIS. Quando in Armeniorum scriptura textus ita non habet, aliunde certior fieri volo, debere nos duas in Christo naturas post vnionem fateri, non vnam. THEORIANVS. Facillimum id quidem ei perspectu qui agere malitiose nolit. GENERALIS. Mihi vero ne contingat vnquam agere malitiose, præsertim diuinis in rebus; nec vlli alij, qui ex Christi præscripto viuere velit: sed D confirmari desidero, ne inconsideratè, pérque subreptionem pronuntiem. THEORIANVS. Fateris vnitas esse naturas citra mutationem & alterationem? GENERALIS. Omnino. quippe sanctus ille Cyrillus in epistola ad Successum sic ait: Par est, quod absurditatem attinet, dicere; corpus esse mutatum in naturam diuinitatis: &, Sermonem esse mutatum in naturam carnis. nam sicut hoc fieri nequit, quum ipse sermo sit incommutabilis & alterationis expers; ita nec illud alterum. non enim E creatorum quidquam ad naturam diuinitatis transire potest. & caro quoque creatura est. THEORIANVS. Ipse nos subleuasti à negotiis, qui sanctum Cyrillum testem doctrinæ nostræ produxeris. Nam si fieri nequit, vt in substantiam vel naturam diuinitatis creatum aliquod transeat; & ipsa quoque caro, creatum est: quidnam de hoc colligatur, ipse dicito.

* ἐν τῇ

Naturæ vniuntur citra mutationem.

A GENERALIS. Quid hoc sit ignoro. quid nam est quod colligis? THEORIANVS. Carnem & sermonem non vnam esse naturam. GENERALIS. Equidem non oblitus sum eorum quæ à sancto Cyrillo prolata sunt antea, quum diceret: Quale quiddam est homo, ex animo & corpore constans. nam ea diuersæ sunt formæ, nec eiusdem inter se substantiæ: verum vnita, naturam hominis vnam absoluunt. En heic quoque naturæ duæ, anima, & corpus. neque tamen vel anima corporis in naturam conuersa est, nec corpus in animæ naturam transiit: sed ambobus intra fines suos manentibus, vna de his absoluta natura est. itaque non est ex eorum numero, quæ fieri nequeunt, ex duabus naturis vnam fieri naturam. nam ecce hoc in hominis est compositione. THEORIANVS. Exemplum illud nostræ compositionis ad hoc duntaxat à sancto Cyrillo est vsurpatum, vt ostenderet, posse de duabus ac diuersis naturis vnam hypostasin fieri: sicut ex animo & corpore, Petrus verbi gratia, vel Paulus. Pugnans enim contra Nestorium, qui fieri posse negaret vnam ex diuersis naturis hypostasin, ideoque in duos Christos, & duos filios, vnum & impartibilem Christum stultè diuideret; hominis exemplum adduxit, vt ostenderet, quemadmodum ex anima & corpore constet vnus homo: sic ex diuina humanáque natura Christum vnum existere. Exponamus & causam, si placet, ob quam in homine composito ex anima & corpore, natura dicatur vna. Quippe dicimus, Naturam humanam à Christo instauratam: non autem, naturas instauratas: Itidem quoties diui patres duas naturas in Christo dicunt, animam & corpus, vnam naturam accipiunt, At in Christo naturam vnam dicere probibitum est. GENERALIS. Cognoscere primum cupio, à quibus sit prohibitum, naturam vnam in Christo dicere: deinde causam, ob quam sit prohibitum, si placet, audiemus. nam mihi quidem ab aliquo sanctorum Patrum hoc esse prohibitum, non videtur. THEORIANVS. Exeo, quod duas illi naturas dicunt, vnam non esse dicendam, intelligitur. Nam si duæ, non vna: sin vna, non duæ. GENERALIS. Ex eo dumtaxat prohibitum ais, quod duas ipsi dicant: an & auctoritates habes, quæ hoc disertè prohibeant? THEORIANVS. Satis hoc esse tibi debebat, verum & sanctorum magnorúmque hominum auctoritates habeo, disertè hoc prohibentes. Ac Gregorij quidem Theologi dictū illud, licet vtraque natura copulata, sit vnum quiddam, non tamen hoc à natura est: illud igitur omittere lubet, quando tu sic in Armenici libri textu scriptū negas: producam vero sanctum illū Ambrosiū, Mediol. episcopū sic expresse loquentem in libro aduersus Apollinarium:

Locus Cyrilli de anima & corporis vnione explicatur.

Cur natura vna in homine composito ex animo & corpore.

Ambrosius de incarnationis sacramēto, cap. 6.

A Ο ΚΑΘΟΛ. τί τοῦτο οὐκ οἶδα. τί ἐστιν ὃ συνάγεις; Ο ΘΕΩΡ. ὅτι οὐκ ἔστιν ἡ σὰρξ καὶ ὁ λόγος μία φύσις. Ο ΚΑΘΟΛ. ἐγὼ οὐκ ἐπιλαθόμενος τῶν ἄνω ῥηθέντων παρὰ τοῦ ἁγίου Κυρίλλου, ὁπηνίκα ἔλεγεν· ὁποῖόν τι χρῆμά ἐστιν ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος. ἑτεροειδῆ μὲν γὰρ τὰ τοιαῦτα, καὶ ἀλλήλοις οὐχ ὁμοούσια, ἑνωθέντα γε μὴν, μίαν ἀνθρώπου φύσιν ἀπετέλεσεν. ἰδοὺ δύο φύσεις καὶ ἐνταῦθα, ψυχὴ καὶ σῶμα. καὶ οὔτε ἡ ψυχὴ εἰς σώματος μετετράπη φύσιν, οὔτε τὸ σῶμα εἰς φύσιν B ψυχῆς μετεχώρησεν· ἀλλ' ἑκατέρων ἐν τοῖς ἰδίοις μενόντων ὅροις, μία ἐκ τούτων φύσις ἀπετελέσθη. οὐκ ἔστιν οὖν τῶν ἀνεφίκτων, ἐκ δύο φύσεων μίαν φύσιν γενέσθαι. ἰδοὺ γὰρ, ἐπὶ τῆς συνθέσεως τοῦ ἀνθρώπου τοῦτό ἐστιν. Ο ΘΕΩΡ. τὸ παράδειγμα τῆς καθ' ἡμᾶς συνθέσεως εἰς τοῦτο μόνον ἐλήφθη τῷ ἁγίῳ Κυρίλλῳ, εἰς τὸ δεῖξαι, ὅτι δυνατόν ἐστιν ἐκ δύο καὶ διαφόρων φύσεων μίαν γενέσθαι ὑπόστασιν, ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ὁ Πέτρος, τυχὸν, ἢ ὁ Παῦλος. τῷ γὰρ Νεστορίῳ * μαχόμενος, ἀδύνατον λέγοντι ἐκ C διαφόρων φύσεων μίαν γενέσθαι ὑπόστασιν, καὶ διὰ τοῦτο εἰς δύο Χριστοὺς, καὶ δύο υἱοὺς, τὸν ἕνα Χριστὸν καὶ ἀμέριστον ἀφρόνως καταμερίζοντι, ἤγαγε τὸ παράδειγμα τοῦ ἀνθρώπου, εἰς τὸ δεῖξαι, ὅτι ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπος εἷς, οὕτως ἐκ θεότητος καὶ ἀνθρωπότητος εἷς Χριστός. Εἰ δὲ βούλει, εἴπωμεν καὶ τὴν αἰτίαν, δι' ἣν ἐπὶ μὲν τοῦ ἀνθρώπου τοῦ ἐκ ψυχῆς συγκειμένου καὶ σώματος, φύσις μία λέγεται. λέγομεν γὰρ, τὴν φύσιν τῶν ἀνθρώπων ἀνεκαίνισεν ὁ Χριστὸς, οὐ λέγομεν, τὰς φύσεις. ἀλλὰ καὶ D ὅταν οἱ θεῖοι πατέρες δύο φύσεις λέγωσιν ἐπὶ τοῦ Χριστοῦ, τὴν ψυχὴν καὶ τὸ σῶμα ὡς μίαν φύσιν λαμβάνουσιν. ἐπὶ δὲ τοῦ Χριστοῦ μίαν φύσιν λέγειν κεκώλυται. Ο ΚΑΘΟΛ. βούλομαι μαθεῖν πρότερον παρὰ τίνων κεκώλυται μίαν φύσιν λέγειν ἐπὶ τοῦ Χριστοῦ, καὶ τότε καὶ τὴν αἰτίαν, δι' ἣν τοῦτο κεκώλυται, ἀκουσόμεθα, εἰ δοκεῖ. ἐμοὶ γὰρ οὐ δοκεῖ ὅτι κεκώλυται παρά τινος τῶν ἁγίων πατέρων. Ο ΘΕΩΡ. ἀπὸ τοῦ λέγειν δύο φύσεις, νοεῖται, ὅτι οὐ μία. Εἰ γὰρ δύο, οὐ μία. Εἰ δὲ μία, οὐ δύο. Ο E ΚΑΘΟΛ. ἀπὸ τούτου μόνου λέγεις ὅτι κεκώλυται, ἐκ τοῦ λέγειν, δύο· ἢ καὶ χρήσεις ἔχεις, ῥητῶς τοῦτο κωλυούσας; Ο ΘΕΩΡ. ἐξήρκει μὲν ἀπὸ τούτου. πλὴν καὶ χρήσεις ἁγίων μεγάλων ἔχω, τοῦτο κωλυούσας ῥητῶς. καὶ τὴν μὲν χρῆσιν τοῦ Θεολόγου, τὴν λέγουσαν· εἰ γὰρ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, παρεῖναί μοι δοκῶ, διὰ τὸ λέγειν σε, μὴ κεῖσθαι οὕτως ἐν τῷ Ἀρμενικῷ βιβλίῳ· παράγω δὲ τὸν ἅγιον Ἀμβρόσιον τὸν Μεδιολάνων, οὕτω διαρρήδην ἐν τῷ λόγῳ τῷ κατ' Ἀπολιναρίου λέγοντα·

Emergunt

ἀνεφάνησάν τινες ἕτεροι, τὴν σάρκα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς εἶναι φύσεως λέγοντες. ποίας ἄδης τὴν τοιαύτην βλασφημίαν ἐξήμεσεν; τὰ αὐτὰ καὶ ὁ θεῖος Γρηγόριος ὁ Νύσσης βοᾷ, ἐν τῷ λόγῳ καὶ αὐτὸς τῷ κατὰ Ἀπολιναρίου λέγων· Εἰ οὖν ἐν τοῖς ὑπεναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω, καὶ τῆς θεότητος· πῶς μία αἱ δύο εἰσίν; ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μοναχὸν ἐπιστολῇ φησίν· ἕνα υἱόν, ἓν πρόσωπον τὰ συναμφότερα, γνωριζόμενον μέν τοι ἀσυγχύτως, ἀδιαιρέτως, λέγω· οὐκ ἐν μιᾷ μόνῃ φύσει, ἀλλ' ἐν δυσὶ τελείαις. τί πρὸς ταῦτα φῄς; Ο ΚΑΘΟΛΙΚΟΣ. οὐκ ἔστι καιρὸς νῦν ἀποφαίνεσθαί με, ἀλλὰ μόνον γυμνάζειν. ὅταν δὲ εἴη καιρὸς, μετὰ τῆς προσηκούσης ἀσφαλείας καὶ ἀκριβείας τὸ δοκοῦν μοι ἀποφανοῦμαι. ἀλλ' εἰ κελεύεις, πλήρωσον τὴν ὑπόσχεσιν. Ο ΘΕΩΡΙΑΝΟΣ. ποίαν. Ο ΚΑΘΟΛΙΚΟΣ. Εἰπὲ τὴν αἰτίαν, δι' ἣν κεκώλυται λέγειν μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. ὧν μία φύσις, κοινὸς ὁ λόγος. ὧν δὲ κοινὸς ὁ λόγος, καὶ ἡ ὕπαρξις ὁμοούσιος. οὐδέποτε δὲ ἐστὶν ὁμοούσιος ἡ θεότης τοῦ Χριστοῦ τῇ ἀνθρωπότητι αὐτοῦ. οὐκ ἄρα εἷς ποτὲ τούτων ὁ λόγος. ὧν δὲ μηδέποτε εἷς ὁ λόγος, ὅτι τούτων ἀεὶ αἱ φύσεις διαφέρουσι, παντί που δῆλον. ὥσπερ γὰρ καταφάσει ἀπόφασις ἀντίκειται, οὕτω καὶ τὸ λέγειν, δύο φύσεις ἐστὶν ὁ Χριστὸς, τῷ λέγειν, μία. οὐδέποτε δὲ κατάφασις καὶ ἀπόφασις κατὰ τοῦ αὐτοῦ συναληθεύουσιν. οὐδέποτε ἄρα αἱ δύο, μία, καὶ εἰ δοκεῖ, λογικώτερον βασανίσωμεν τὸ παρὸν θεώρημα. Ο ΚΑΘΟΛΙΚΟΣ. πάνυ μὲν οὖν. Ο ΘΕΩΡΙΑΝΟΣ. πᾶν ὄν, εἰ ἔστιν ἓν καὶ πολλὰ, οὐκ ἔστι κατ' αὐτὸ ἓν καθ' ὃ καὶ πολλά· ἀλλ' εἰ ἔστιν ἓν καὶ πολλὰ, κατ' ἄλλο ἐστὶν ἕν, καὶ κατ' ἄλλο πολλά. πολλὰ δὲ λέγω, τὰ πλέον τοῦ ἑνός. οἷς φέρε εἰπεῖν ἐπὶ τῆς ἁγίας τριάδος. αὐτὴ γὰρ ἓν ἐστὶ καὶ πολλά, ἓν μὲν τῇ φύσει, πολλὰ δὲ ταῖς ὑποστάσεσι. κατ' ἄλλο τοιγαροῦν ἐστὶν ἕν, καὶ κατ' ἄλλο πολλά. ἀδύνατον λοιπὸν κατ' ἐκεῖνο εἶναι πολλὰ, καθ' ὃ ἐστὶν ἕν, ἢ κατ' ἐκεῖνο εἶναι ἕν, καθ' ὃ πολλά. εἰ γὰρ δυνατὸν, ἔστω ἡ θεότης κατὰ τὰς ὑποστάσεις ἓν (ἀλλ' ἀμήχανον) ἢ πάλιν, ἔστω κατὰ τὴν οὐσίαν πολλά· ἀλλὰ καὶ τοῦτο ἀμήχανον. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ὁμολογεῖται ἓν εἶναι, κατὰ τὴν ὑπόστασιν. πάλιν ὁμολογεῖται κατὰ τὰς χρήσεις τῶν ἁγίων πατέρων, δύο εἶναι τὸν Χριστὸν, κατὰ τὰς φύσεις. ἀδύνατον λοιπὸν, ἓν εἶναι κατὰ τὰς φύσεις. πᾶν ἄρα ὄν, εἰ ἔστιν ἓν καὶ πολλὰ, κατ' ἄλλο ἐστὶν ἕν, καὶ κατ' ἄλλο πολλὰ, ὅπερ ἔδει δεῖξαι, ἵνα καὶ γεωμετρικῶς εἴπωμεν. καὶ γὰρ γεωμετρικαῖς ἀνάγκαις τὸ δὴ λεγόμενον, ἀποδέδεικται τὸ θεώρημα.

A Emergunt alij, qui carnem domini dicant, & diuinitatem, vnius esse naturæ. Quæ tantum sacrilegium inferna vomuerũt? Eadem diuus ille Gregorius Nyssenus, in libro & ipse aduersus Apollinarim scripto, clamat: Si ergo in aduersantibus sibi proprietatibus, horom vtriusque natura cernitur, carnis inquam, & diuinitatis: quomodo duæ sunt voa? D. quoque Chrysost. in epist. ad Acacium monachũ ait: voum filium, vnam dico personã, vtraque copulata; quæ tamen citra confusionem, ac diuisionem, adgnoscatur: non in vna sola natura, sed io perfectis naturis duabus. B Quid ad hæc ais? GENERALIS. Non iam hoc pronuntiandæ sentẽtiæ, sed exercitationi modò destinatum tempus est. Suo vero tempore quid mihi videatur, adhibita cautione cõuenienti & accurato iudicio, pronuntiabo. Ceterom si placet, promisso fac satis. THEORIANVS. Cui? GENERALIS. Causam dicito, propter quam prohibitũ sit, vnam in Christo naturã dicere. THEORIANVS. Quorum vna natura est, eorum & cõmunis est ratio: qoorum vero ratio est communis, eorum & eiusdem substaotiæ est existentia. Nunquam vero Christi C diuinitas eiusdem est substantiæ cum eius humaoa natura: itaque non potest horũ vna esse ratio. quorum vero numquam vna ratio est, eorum naturas semper à se inoicem differre, cuiuis est perspicuum. quippe sicut neganti opponitur aiens, sic dicere, Christum naturas esse duas, oppooitur illi, Christum esse naturam vnam. Numquam vero negans & aiens de eodem pariter vera fuot. ergo numquam duæ sunt vna. Quòd si placet, etiã modo logicæ disciplinæ magis accõmodato theorema propositum examinemus. GENERALIS. D Placet omnino. THEOR. Quidquid existit, si vnum est, & plura: oon secundum id vnum est, secondom quod plura: sed si est vnum & plura, secundum aliud est voum, & secundum aliud plura. Plura vero dico, quæ plus vno sunt. sicut exẽpli gratia videmus in sacrosancta Trinitate, quæ vnum est, & plura, vnum natura, plura persoois. Igitur alterius respectu, est voum; & alterius, plura. Neqoit ergo fieri, vt eatenus plura sit, quatenus est vnum: vel eatenus vnum, quatenus plura. nam si fieri potest, esto diuinitas secundum hypostases vnum quiddam: (nequit autem E hoc esse) vel vicissim secundum substantiam multa sit, qood ipsum quoq; non potest esse. Sic & de Christo, pro cõfesso est, vnum quid esse, secũdum hypostasin. Rursus in confesso est, ioxta sanctorũ patrum auctoritates Christum esse duo, respectu naturarum. oequit ergo fieri, vt vnum sit, quo ad naturas. Quidquid igitur existit, si vnũ est, & plura respectu alterius vnum est, & alterius respectu, plura: quod demonstrandũ erat, vt Geometrarum more loquamur. Per Geometricas. n. necessitates, quas vocãt, theorema demõstratũ est.

Rationem reddit cur nõ liceat dicere naturam vnã in Christo.

Demonstratio Geometrica: qua docet vnum & plura de eodem dici non posse res ectu eiusdem.

Generalis. Ego naturam vnam dico respectu indiremptæ vnionis, ne Christus in duos Christos diuidatur. Theorianvs. Vtram ergo naturam dicis? diuinam, an humanam? an præter has aliam? nec diuinam scilicet nec humanam? Generalis. Vnam naturam compositam dico ex diuinitate ac humanitate. Theorianvs. Si vnam naturam compositam dicis, mutationem & confusionem naturarum introducis, ex quibus vna fuerit composita natura. Iam, si placet, in vna quadam composita natura propositam quæstionem exploremus: Hoc lignum vnius est omnino compositæ naturæ. Nam ex terra, & aqua, & igne, & aëre constat, & est iam vna natura de his composita. verùm mutatio & alteratio præcessit earum naturarum, de quibus factum est: & iam nec est, nec dicitur aliquid earum naturarum, de quibus est compositum. quippe nec ignis est, nec esse dicitur, nec aliud quid eorum, quæ ad ipsius compositionem concurrerunt. At ea non est in Seruatore ratio, sed naturæ manserunt incommutabiles, vnione indissolubili ad perfectionem vnius hypostasis coëuntes: at nunc quælibet in vnum coëuntium naturarum & est & dicitur mutationis expers. propterea idem perfectus Deus, & homo perfectus est atque dicitur. quippe non antegressa est eorum aliqua mistio, vel mutatio, vel confusio, quæ ad constituendum Emmanuelem coiuerunt. neque igitur vlla natura composita esse Christus. nam hoc in ligno, aliisque talibus locum habet. Generalis. Cur sancti patres exemplum illud hominis vbique sursum (quod aiunt) ac deorsum ac dispensationem seruatoris accommodant, siquidem eius similitudinem non retinet, cuius exemplum est? Theorianvs. Proferunt illi sancti viri hoc de nobis ipsis exemplum, ad declarandum istud circa Emmanuelem mysterium, vt demonstrent; vnum esse Christum, non duos, vti Nestorius aiebat, vt superius est indicatum: licet exemplum ipsum in altero non procedat. Generalis. Quantum ergo prodesse videtur ad institutum tuum, tantum de hoc exemplo admittis: quantum vero repugnat, reiicis. Theorianvs. Merito id quidem. Hoc enim scriptura sacra in exemplis facere consueuit. Nimirum alicubi seruator noster ad discipulos suos inquit: Sequimini me, ac faciam vos piscatores hominum. Ergo si exemplum per omnia seruabimus, dicendum erit, apostolos è vita traxisse homines ad mortem. hoc enim piscator facit. trahit pisces ad eorum interitum. sed absit, vt ita de rebus Christianis sentiamus. Rursus alio loco scriptura de Christo dicit: Procumbens sopitus est instar leonis, & catuli leonini: quis excitabit eum?

Probat in Christo esse non posse naturam compositam ex diuina & humana.

Exemplorum in sacris ratio hæc est, non vt in omnibus conueniant, sed in his solis quæ ad rem videntur facere.

Genes. 49.

A Ο ΚΑΘΟΛΙΚΟΣ. ἐγὼ μίαν φύσιν κατὰ τὴν ἀδιάσπαστον λέγω ἕνωσιν, ἵνα μὴ εἰς δύο μερισθῇ Χριστοὺς ὁ Χριστός. Ο ΘΕΩΡΙΑΝΟΣ. ποταπὴν φύσιν πῶς λέγεις; θείαν, ἢ ἀνθρωπίνην; ἢ ἑτέραν παρὰ ταύτας; μήτε θείαν, μήτε ἀνθρωπίνην; Ο ΚΑΘΟΛΙΚΟΣ. μίαν φύσιν σύνθετον λέγω ἐκ θεότητος καὶ ἀνθρωπότητος. Ο ΘΕΩΡΙΑΝΟΣ. εἰ μίαν φύσιν σύνθετον λέγεις, τροπὴν καὶ σύγχυσιν εἰσάγεις τῶν φύσεων, ἐξ ὧν ἡ μία σύνθετος ἐγένετο φύσις. καὶ γυμνάσωμεν, εἰ δοκεῖ, ἐπὶ μιᾶς τῶν συνθέτων φύσεων B τὸ προκείμενον ζήτημα· τόδε τὸ ξύλον μιᾶς συνθέτου φύσεως πάντως ἐστί. σύγκειται γὰρ ἐκ γῆς καὶ ὕδατος, καὶ πυρὸς, καὶ ἀέρος, καὶ νῦν ἐστι μία φύσις ἐκ τούτων σύνθετος. ἀλλὰ προηγήσατο τροπὴ καὶ ἀλλοίωσις τῶν ἐξ ὧν ἐγένετο, φύσεων. καὶ νῦν οὔτε ἐστὶν, οὔτε λέγεταί τι τῶν, ἐξ ὧν συντέθηται, φύσεων. οὔτε γὰρ πῦρ ἐστιν, οὔτε λέγεται, οὔτε ἄλλο τι τῶν εἰς τὴν σύνθεσιν αὐτοῦ συνελθόντων. ἐπὶ δὲ τοῦ σωτῆρος οὐχ οὕτως, ἀλλὰ μεμενήκασιν αἱ φύσεις ἄτρεπτοι καὶ ἀναλλοίωτοι, C συνελθοῦσαι καθ' ἕνωσιν ἀδιάσπαστον εἰς μιᾶς συμπλήρωσιν ὑποστάσεως. καὶ νῦν καὶ ἔστι καὶ λέγεται ἑκάστη τῶν συνελθουσῶν φύσεων ἀμετάβλητος. διὸ τέλειος Θεὸς, καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς καὶ ἔστι καὶ λέγεται. οὐ γὰρ προηγήσατο φυρμὸς, ἢ τροπὴ, ἢ σύγχυσις τῶν εἰς τὴν σύνθεσιν τοῦ Ἐμμανουὴλ συνελθόντων. διὸ οὐδὲ μία φύσις σύνθετος δύναται εἶναι ὁ Χριστός. τοῦτο γὰρ ἐπὶ τοῦ ξύλου καὶ τῶν ἄλλων τῶν τοιούτων συμβαίνειν πέφυκεν. Ο ΚΑΘΟΛ. τὸ παράδειγμα τοῦ ἀνθρώπου διατί πανταχοῦ ἄνω καὶ κάτω οἱ ἅγιοι ἐπὶ τῆς οἰκονομίας τοῦ σωτῆρος παραλαμβάνου- D σιν, ἐὰν τὴν ὁμοίωσιν οὐ φυλάττει τοῦ, οὗ ἐστι παράδειγμα; Ο ΘΕΩΡ. παραφέρουσιν οἱ ἅγιοι τὸ καθ' ἡμᾶς αὐτοὺς παράδειγμα εἰς τὸ κατὰ τὸν Ἐμμανουὴλ μυστήριον, ὅσον πρὸς τὸ δεῖξαι, ὅτι εἷς Χριστὸς, καὶ οὐ δύο, ὡς ὁ Νεστόριος ἔλεγεν, ὡς ἀνωτέρω εἴρηται. κατὰ τὸ ἕτερον τὸ παράδειγμα οὐ προβαίνει. Ο ΚΑΘΟΛΙΚΟΣ. ὅσον δοκεῖ συμβάλλεσθαι τῷ σκοπῷ σου, ἐκ τοῦ παραδείγματος δέχῃ· ὅσον δ' ἀντίκειται, ἀποδοκιμάζεις. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ μάλα εἰκότως. τοῦτο γὰρ ἔθος τῇ θείᾳ γραφῇ ἐπὶ τῶν E παραδειγμάτων ποιεῖν. ἔφη γάρ που ὁ σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. εἰ οὖν διόλου τηρήσομεν τὸ παράδειγμα, εἴπωμεν τοὺς ἀποστόλους ἀνελκύσαι τοὺς ἀνθρώπους ἐκ ζωῆς εἰς θάνατον. τοῦτο γὰρ ποιεῖ ὁ ἁλιεύς· ἕλκει τοὺς ἰχθῦς εἰς ἀπώλειαν αὐτῶν. ἀλλὰ μὴ γένοιτο οὕτω φρονῆσαι περὶ τῶν Χριστιανῶν. καὶ ἀλλαχοῦ περὶ τοῦ Χριστοῦ φησιν ἡ γραφή· ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;

A Εἰ οὖν μὴ πρὸς τὸ εὐσεβὲς τὰ τοιαῦτα ἐκλαμβανώμεθα, καὶ πρὸς τὸν σκοπὸν τῆς θείας γραφῆς αὐτὰ ἀπευθύνωμεν, καὶ μόνον πρὸς ὅπερ ἐλήφθησαν, ἑρμηνεύσωμεν, οὐ μόνον εἰς ἀτοπίας ἀλλὰ καὶ ὕβρεις ἀπείρους καταλισθήσομεν. Ο ΚΑΘΟΛΙΚΟΣ. Σοφώτατα λέγεις. ἀλλ' ὥσπερ σὺ λέγεις, ὅτι εἴληπται τοῖς ἁγίοις τὸ τοῦ ἀνθρώπου παράδειγμα πρὸς μόνον τὸ δεῖξαι, ὅτι ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπος εἷς, οὕτως ἐκ θεότητος καὶ ἀνθρωπότητος εἷς Χριστός· οὕτω δύναμαι κἀγὼ εἰπεῖν, ὅτι εἰς τοῦτο παραλαμβάνουσι τὸ παράδειγμα τοῦ ἀνθρώ- B που, εἰς τὸ δεῖξαι, ὅτι ὥσπερ ψυχὴ καὶ σῶμα μίαν ἀνθρώπου φύσιν ἀποτελέσωμεν, ὡς φησιν ὁ ἅγιος Κύριλλος, οὕτω καὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος μία φύσις ἀπετελέσθη, καὶ οὔτε ἐν τῷ ἀνθρώπῳ τροπὴ τῶν ἑξῆς συντεθεισῶν φύσεων παρηκολούθησεν, οὔτε ἐν τῷ Χριστῷ. Ο ΘΕΩΡΙΑΝΟΣ. Εἰ μὴ ἐκεκώλυτο παρὰ τῶν ἁγίων πατέρων, τὸ λέγειν μίαν ἐπὶ τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν φύσιν, ἴσως ἂν ἐτόλμησέ τις καὶ οὕτως, ὡς σὺ φῄς, ἐκλαβεῖν τὸ παράδειγμα· κἂν ἡ τῶν πραγμάτων φύσις οὕτως αὐτὸ ἐκλαμβάνεσθαι οὐκ ἐᾷ, ὡς δειχθήσεται. νυνὶ δὲ τοσούτων C καὶ τηλικούτων ἁγίων, ὡς βλάσφημον, αὐτὸ κωλυσάντων (ποῖος ᾅδης, φησὶν ὁ θεῖος Ἀμβρόσιος, τοιαύτην βλασφημίαν ἐξήμεσεν;) ὡς εὐσεβὲς παραδέχεσθαι, ἀνθρώπου νοῦν οὐκ ἔχοντος, οὐδὲ φρένας, ἐστίν. Ο ΚΑΘΟΛΙΚΟΣ. Εἶπας ἄνω, ὅτι οὔτε ἡ φύσις τῶν πραγμάτων οὕτως ἐᾷ ἐκλαμβάνεσθαι. τί οὖν ἐστι τὸ κωλῦον; καὶ πῶς ἡ φύσις τῶν πραγμάτων ἐν τούτοις ἀντίκειται; Ο ΘΕΩΡΙΑΝΟΣ. ἡ φύσις ἐπὶ τῶν καθόλου καὶ κοινῶν λέγεται, οὐκ ἐπὶ τῶν μερικῶν καὶ ἀτόμων. ὁ οὖν ἄνθρωπος καθόλου ἐστί. κατὰ γὰρ Πέτρου, καὶ Παύλου, καὶ D πάντων τῶν κατὰ μέρος ἀνθρώπων κατηγορεῖται. διὸ καὶ μία φύσις λέγεται. πάντες γὰρ οἱ ἄνθρωποι ἐκ ψυχῆς λογικῆς εἰσι, καὶ σώματος, καὶ τὸν ὅρον τοῦ ἀνθρώπου ἐπιδέχονται, ὅς ἐστι, ζῶον λογικὸν, θνητόν. ὁ δὲ ὅρος τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος δηλοῖ. διὰ τοῦτο τὰ ἄτομα ἴδιον ὅρον οὐκ ἔχουσιν. ὁ δὲ Χριστὸς οὐκ ἔστι καθόλου, οὐδὲ κοινόν. μία γὰρ ὑπόστασίς ἐστι, καὶ ἓν πρόσωπον, καὶ οἷον ἄτομον. οὐ γάρ εἰσιν ἄλλοι Χριστοὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος, ἵνα E κατ' ἐκείνων κατηγορηθῇ. διὸ οὐδὲ μία φύσις δύναται εἶναι. μερικὴν γὰρ φύσιν, καὶ ἄτομον, ἀμήχανον εὑρεῖν· ἀλλὰ πᾶσα φύσις καθόλου ἐστὶ, καὶ κατὰ πλειόνων λέγεται. εὐθὺς γὰρ ἡ θεία φύσις κατηγορεῖται κατὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· καὶ ἡ τῶν ἀγγέλων φύσις, κατὰ Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ τῶν λοιπῶν· καὶ ἡ τῶν ἀνθρώπων, κατὰ Σωκράτους, καὶ Πλάτωνος, καὶ τῶν κατὰ μέρος ἀνθρώπων.

A Itaque nisi piè huiusmodi accipiamus, & ad sacræ scripturæ scopum ea dirigamus, atque interpretando dumtaxat eò referamus quò pertinent: non tantum in absurditates sed etiam contumelias infinitas prolabemur. GENERALIS. Sapientissimè loqueris. verùm vti tu dicis, exemplum hoc hominis eò tantum à sanctis patribus vsurpatum, vt ostendatur, quemadmodum ex anima & corpore vnus homo constet; ita & Christum vnum ex diuinitate humanitatéque constare: sic & ipse dicere possum, eos ad hoc sumere istud hominis exemplum, vt osten- B dant, perinde atque anima & corpus vnam hominis naturam absoluant, vti sanctus Cyrillus loquitur: ita etiam ex diuinitate atque humanitate naturam vnam esse absolutam, nec in homine mutationem naturarum deinceps compositarum comitatam, nec in Christo. THEORIANVS. Nisi prohibitum esset à sanctis patribus, nec vnam in Christo naturam, post factam vnionem, dicamus: fortassis ausus fuisset aliquis itidem, vt tu dicis, hoc exemplum interpretari; licet ipsa rerum natura sic illud accipi non permittat, vti demonstrabitur. Nunc quum tales ac tot C sancti viri hoc prohibuerint, tamquam sacrilegum: (Quæ, inquit diuus ille Ambrosius, tantum sacrilegium inferna vomuerunt?) ceu pium recipere, hominis nulla mente præditi fuerit. GENERALIS. Dixisti supra, ne ipsam quidem rerum naturam pati, vt sic accipiatur. quidnam igitur est impedimento? quove pacto natura rerum in his aduersatur? THEORIANVS. Natura de vniuersalibus & communibus dicitur, non de particularibus & indiuiduis. Homo quiddam est vniuersale. nam de Petro, & Paulo, & omnibus singilla- D tim hominibus prædicatur. quapropter & vna natura dicitur. Omnes enim homines ex anima ratione prædita & corpore constant, hominisque definitionem recipiunt, nimirum hanc: Animal ratione præditum, mortale. Definitio vero naturam rei subiectæ demonstrat. quam ob causam indiuidua propriam definitionem non habent. Christus autem nec vniuersale, nec commune quiddam est. vna nimirum est hypostasis, vna persona, quasique indiuiduum. non enim alij Christi sunt, ex di- E uinitate atque humanitate constantes, de iis vt prædicetur. Eapropter vna nequit esse natura. nam particularis & indiuidua natura reperiri nequit: sed omnis natura vniuersalis est, deque pluribus dicitur. Non longè abeamus. natura diuina prædicatur de patre, de filio, & spiritu sancto: itidémque angelorum natura de Michaelo, Gabrielo, & cæteris: hominum denique, de Socrate, Platone, & de reliquis particulatim hominibus.

Retorquet Generalis exemplum ab anima & corporis vnione ad confirmandam vnam naturã in Christo.

Similiter & bos, & equus aliàque talia, de omnibus sub se indiuiduis. Quoniam ergo natura quiddam est vniuersale, Christus autem quiddam vniuersale non est: manifesto patet, homines recte sentientes nunquam dicturos vnam naturam. Itaque quum & ab ipsa natura rerũ, & à sanctis viris interdictum sit: non modo superuacaneum, sed nimis audax quoque mea fuerit opinione, vnam in Christo naturã dicere. GENERALIS. Meum vero animum Cyrilli verberat auctoritas, quum ait; Vna natura Sermonis incarnati. Nam sæpenumero mecum ipse considerans, perspicere non potui quam ob causam dixerit vnam naturam Sermonis incarnati; quapropter agitata mens mea, ceu dixi, sursumque deorsúmque pedibus suis, vt ita loquar, requietem quærens: tandem in eam sententiam venit, vt diceret: Nisi voluisset indicare, naturam vnam sermonis & carnis esse post vnionem; numquam hoc protulisset. quippe nullus hæreticorum naturas duas Sermonis dixit, vt aduersus illius opinionem diuinus hic vir diceret naturam Sermonis vnam. THEORIANVS. Fortassis illius magni Athanasij librum aduersus Arianos quartum non legisti. quippe si legisses, nullã mens tua succussionem experiretur. Nam ex eo cognoscere licet, Arium tradidisse duas naturas Sermonis: vnam crearam, & alteram increatam. Dicit enim in eo libro magnum illud lumen orbis Athanasius: Beatus ille Alexander Arium expulit ecclesia, proferentem hæc sacrilega: Non semper Deus pater, non semper erat filius. Item, de nihilo filius est, & creatura est, & existendi principium habet. nã quum Deus nos creare vellet, tunc eum propter nos fecit: & ex quo factus fuit, adpellauit eum sermonem, & sapientiam, & filium. Sermonem vel rationem, propter creata sermone rationéq; prædita, quæ condidit: sapientiam, propter eos, quos erudiit: filium, propter eos, quos adoptauit. Addebat etiam, alium esse in patre à natura, & propriũ substantiæ ipsius Sermonem ac sapientiam, in quo illum fecerit: quodq; natura sua mutationi sit obnoxius, & per communicationem, vt homines iusti, Deus adpelletur; alienus interim à Dei natura. Item vt erucam & bruchum, sic & ipsum potestatem Dei dici. Patrem quoque filio inadspectabilẽ esse. nam filium, qui principiũ habeat, expertem principij nõ posse perfecte cognoscere. Nec tantum illum accurate patris naturam non nosse, sed ne suam quidem. Huiusmodi alia quoque nugabatur. & hæc quidem ex illo magno Athanasio. Dicamus & nos, quæ diuersis ex patribus excerpsimus, vnde suũ ille delirium confirmauerit: Probãs enim, alium esse insitum patri Sermonem, & ipsius substantiæ propriũ, dixisse Christum ad Iudæos aiebat: Noui patrem, & Sermonẽ eius seruo:

De Cyrilli loco.

Obiectionis solutio.

Athanasius de Ario, cuius errores sigillatim enumerat.

Arij rationes.

A ὁμοίως καὶ βοῦς, καὶ ἵππος, καὶ τὰ τοιαῦτα, κατὰ πάντων τῶν ὑπ' αὐτὰ ἀτόμων. ἐπεὶ οὖν ἡ φύσις καθόλου ἐστίν, ὁ δὲ Χριστὸς οὐκ ἔστι καθόλου· πρόδηλον, ὅτι μία φύσις κατὰ τῶν εὖ φρονούντων οὐκ ἄν ποτε ῥηθήσεται. ἐπεὶ τοίνυν καὶ παρὰ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων, καὶ παρὰ τῶν ἁγίων κεκώλυται, οὐ περιττὸν μόνον, ἀλλὰ καὶ τολμηρὸν ἔμοιγε τέως δοκεῖ, μίαν φύσιν λέγειν ἐπὶ τοῦ Χριστοῦ. Ο ΚΑΘΟΛ. κλονεῖ μου τὸν νοῦν ἡ χρῆσις τοῦ μακαρίου Κυρίλλου, ἡ λέγουσα, μία φύσις τοῦ σαρκωθέντος λόγου. πολλάκις
B γὰρ κατ' ἐμαυτὸν σκοπῶν, οὐκ ἠδυνήθην νοῆσαι διὰ ποίαν αἰτίαν εἶπε μίαν φύσιν τοῦ σαρκωθέντος λόγου. κλονούμενος οὖν ὁ νοῦς μου, ὡς εἶπον, ἄνω καὶ κάτω ζητῶν τὴν ἀνάπαυσιν, ἵν' οὕτως εἴπω, τοῖς ποσὶν αὐτοῦ, τελευταῖον συγκατατίθεται, λέγων· ὅτι εἰ μὴ ἐβούλετο δηλῶσαι, ὅτι τοῦ λόγου καὶ τῆς σαρκὸς μία φύσις ἐστί, μετὰ τὴν ἕνωσιν, οὐκ ἂν τοῦτο εἶπεν. οὐδεὶς γὰρ τῶν αἱρετικῶν εἶπε δύο φύσεις τοῦ λόγου, ἵνα κατὰ τῆς ἐκείνου δόξης ὁ θεῖος οὗτος ἀνὴρ εἴποι μίαν φύσιν τοῦ λόγου. Ο ΘΕΩΡΙΑΝ. ἴσως οὐκ ἀνέγνως τὸν κατὰ Ἀρειανῶν
C τέταρτον λόγον τοῦ μεγάλου Ἀθανασίου· εἰ γὰρ ἀνέγνως, οὐδένα κλόνον ὁ νοῦς σου ἐνέπιπτε. ἔξεστι γὰρ ἐν ἐκείνῳ μαθεῖν, ὅτι ὁ Ἄρειος δύο φύσεις ἔλεγε τοῦ λόγου, μίαν κτιστήν, καὶ μίαν ἄκτιστον. λέγει γὰρ ἐν τούτῳ τῷ λόγῳ ὁ μέγας οὗτος τῆς οἰκουμένης φωστήρ, Ἀθανάσιος· ὁ μακάριος Ἀλέξανδρος ἐξέβαλε τῆς ἐκκλησίας τὸν Ἄρειον, βλασφημοῦντα ταῦτα. οὐκ ἀεὶ ὁ Θεὸς πατήρ, οὐκ ἀεὶ ἦν ὁ υἱός, καὶ ἐξ οὐκ ὄντων ἐστὶ καὶ αὐτὸς καὶ κτίσμα, καὶ ἀρχὴν ἔχει τοῦ εἶναι. ὅτε γὰρ ὁ Θεὸς ἠθέλησεν ἡμᾶς δημιουργῆσαι, τότε πεποίηκεν αὐτὸν δι' ἡμᾶς· καὶ ἀφ' οὗ γέγονεν, ὠνόμασεν αὐτὸν λόγον, καὶ
D σοφίαν, καὶ υἱόν· λόγον μέν, διὰ τὰ λογικά, ἃ ἔκτισε· σοφίαν δέ, δι' οὓς ἐσόφισεν· υἱὸν δέ, δι' οὓς υἱοθέτησε. προσετίθει δέ, ὅτι ἕτερος ὁ ἐν τῷ πατρὶ φύσει καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ λόγος καὶ σοφία, ἐν ᾧ τοῦτον πεποίηκε, καὶ ὅτι τῇ ἰδίᾳ φύσει τρεπτός ἐστι, καὶ ὅτι κατὰ μετοχὴν καὶ αὐτός, ὡς οἱ δίκαιοι, λέγεται Θεός, ἀλλότριος ὢν τῆς φύσεως τοῦ Θεοῦ. καὶ ὥσπερ ἡ κάμπη καὶ ὁ βροῦχος λέγονται δυνάμεις τοῦ Θεοῦ, οὕτω καὶ αὐτός. καὶ ὅτι ὁ πατὴρ ἀόρατός ἐστι τῷ υἱῷ.
E ἀρχὴν γὰρ ἔχων ὁ υἱός, οὐ δύναται γινώσκειν τελείως τὸν ἄναρχον. καὶ οὐ μόνον οὐκ οἶδε μὲν ἀκριβῶς τὴν τοῦ πατρὸς φύσιν, ἀλλ' οὐδὲ τὴν ἑαυτοῦ. ἐλήρει δὲ καὶ ἄλλα τοιαῦτα. ἀλλὰ ταῦτα μὲν ἐκ τοῦ μεγάλου Ἀθανασίου. λέγωμεν δὲ καὶ ἡμεῖς, ἀπὸ διαφόρων ἁγίων ἀναλεξάμενοι, πόθεν ἐκεῖνος τὸ ἑαυτοῦ φλυάρημα ἐβεβαίου. κατασκευάζων γὰρ τοῦτο, τὸ, ὅτι ἕτερός ἐστιν ὁ ἐν τῷ πατρὶ λόγος ἔμφυτος ὢν καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ, φησὶν· ὅτι ὁ Χριστὸς εἴρηκε πρὸς τοὺς Ἰουδαίους· οἶδα τὸν πατέρα, καὶ τὸν λόγον αὐτοῦ τηρῶ·

λόγον ἐκφωνοῦσι, ὃν αὐτὸς ἔλεγεν ἔμφυτον· μὴ συνιών, ὅτι λόγον ὁ Χριστὸς ἐνταῦθα τὸ θέλημα τοῦ πατρὸς προσηγόρευσεν. ἔτι ἔλεγεν, εἰπεῖν τὸν πατέρα πρὸς τὸν υἱόν· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. καὶ ἀλλαχοῦ πρὸς τὸν ἐν Ἰορδάνῃ λαόν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. καὶ ἐν τῇ μεταμορφώσει ὁμοίως. εἶτα φησίν· εἰ ὁ πατὴρ διὰ λόγου ἐλάλει πρὸς τὸν υἱόν, ἕτερος ὁ λόγος ἂν εἴη παρὰ τὸν υἱόν. πρὸς τὴν δόξαν οὖν ταύτην διαμαχόμενος ὁ μέγας Ἀθανάσιος, ἔλεγε μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ οὐχὶ μίαν ἄκτιστον καὶ ἰδίαν τῆς οὐσίας τοῦ Θεοῦ, καὶ ἄλλην κτιστὴν καὶ ἀλλοτρίαν. ἐκεῖθεν τοιγαροῦν τὴν χρῆσιν λαβὼν ὁ μακάριος Κύριλλος, εἴρηκε μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ τοῦτό ἐστιν ὃ λέγει, ὡς εἶπον οἱ πατέρες· πατέρας καλῶν τὸν μέγαν Ἀθανάσιον καὶ τοὺς λοιπούς, τοὺς κατὰ τοῦ δυσσεβοῦς ἀντιπαραταξαμένους Ἀρείου. Ο ΚΑΘΟΛ. πάνυ με ὠφέλησας, ἀδελφέ. ἠγνόουν γάρ, ὅτι τις τῶν αἱρετικῶν εἶπε τοῦτο. καὶ νῦν ἠρέμησεν ὁ νοῦς μου, τὰ ῥήματα ἀκούσας τοῦ μεγάλου Ἀθανασίου. Ο ΘΕΩΡΙΑΝΟΣ. ἔχεις, ἁγιώτατε δέσποτα, περὶ τοῦ, ὅτι δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ὀφείλομεν καὶ πιστεύειν καὶ ὁμολογεῖν, μαρτυρίας ἁγίων πολλάς. καὶ περὶ τοῦ, ὅτι μίαν φύσιν οὐ δεῖ λέγειν. ἀλλὰ δὴ καὶ αἰτίας ἀκήκοας, δι' ἃς μίαν φύσιν εἶπον οἱ πατέρες σεσαρκωμένην. μηκέτι οὖν κόπους ἡμῖν παρέξεις, ἀλλ' οἰχέσθω ἐς κόρακας τὸ, μίαν φύσιν ὁμολογεῖν ἐπὶ τοῦ Χριστοῦ. σκάνδαλον γὰρ ἐκ τούτου οὐ μικρὸν ἐκφύεται. οὐκ ἀγνοεῖ δὲ ἡ μεγάλη ἁγιωσύνη σου, ὅτι ἐνίοτε λέξιν οὐ πάνυ φαύλην, φαύλως δ' ὅμως παρά τινων νοουμένην καὶ ἑρμηνευομένην, ἀποβολῆς ἀξίαν ἔκριναν οἱ θεῖοι πατέρες. οἷα ἐστὶ καὶ τὸ, χριστοτόκος, ἐπὶ τῆς θεοτόκου λεγόμενον. ἠδυνάμεθα γὰρ καὶ χριστοτόκον τὴν θεοτόκον καλεῖν. Χριστὸν γὰρ ἐγέννησε Θεὸν καὶ ἄνθρωπον. τοῦτο γὰρ δηλοῖ κυρίως τὸ ὄνομα. ἀλλὰ διὰ τὸ κακῶς ἐκλαμβάνεσθαι παρὰ τοῦ Νεστορίου τὸ σημαινόμενον τοῦ ὀνόματος, ὡς βλάσφημον ἀποδεδοκίμασται παρὰ τῶν ἁγίων τὸ ὄνομα. δεῖ οὖν σε, ἁγιώτατε δέσποτα, τὴν παρὰ τῶν ἁγίων βλάσφημον κριθεῖσαν λέξιν (ποῖος ᾅδης τοιαύτην βλασφημίαν ἐξήμεσε; φησὶν ὁ θεῖος Ἀμβρόσιος) ὡς βλάσφημον ἀποπέμπειν, καὶ μὴ τῆς ἐκείνων κρίσεως βεβαιοτέραν ἡγεῖσθαι τὴν σήν, καὶ σκανδάλου πρόφασιν πολλοῖς γίνεσθαι τὴν κρίσιν σου. Ο ΚΑΘΟΛΙΚΟΣ. εὖ λέγεις. ἀλλὰ δότε μοι τὸν περὶ τῆς πίστεως ὅρον τῆς τετάρτης συνόδου. καὶ δόντες ἡμεῖς τὸν ὅρον αὐτῷ, ἀπήλθομεν ἀναπαυσόμενοι.

Τῇ ἐπαύριον κατέλαβεν ὁ ἐπίσκοπος Κεσσουνίου Ἰωάννης ὁ Σύρος· καὶ ἀναμαθὼν, ὅτι ὁ Καθολικὸς τῶν Ἀρμενίων διαλεχθεὶς πολλάκις μετὰ τῶν Ῥωμαίων,

A quibus in verbis eum sermonem intelligebat, quem insitum ipse dicebat: ignorans Christum heic sermonem vocare voluntatem patris. Præterea dicebat, patrem ad filium hæc verba protulisse: De vtero ante luciferum te genui. Et alibi ad populum, propter Iordanem: Hic est filius meus dilectus. Et in transformatione similiter. Hinc aiebat: Si pater per sermonem ad filium loquebatur, alius scilicet erit sermo, quàm filius. Igitur aduersus hanc opinionem magnus Athanasius ille dimicans, vnam naturam Sermonis incarnatam dicebat, non B vnam increatam & Dei substantiæ propriam, aliam creatam & ab eadem alienam. Atque hinc beatus ille Cyrillus id verbum mutuatus, vnam dixit naturam sermonis incarnatam. Et hoc est, quod ait; vti patres loquuti sunt: patres adpellans, magnum illum Athanasium, & reliquos, qui se impio illi Ario opposuerunt: GENERALIS. Plurimum mihi profuisti, mi frater: ignorabam enim, ex hæreticis aliquem hoc dixisse. nunc mens mea, perceptis magni Athanasij verbis, quietem adepta est. THEORIANVS. Habes sanctissime domine, testimonia sanctorum hominum plura de eo, quod naturas duas in C Christo & credere debeamus, & confiteri; minimeque naturam vnam in eo dicere. quin & caussam audiuisti, propter quam patres dixerint vnam naturam incarnatam, itaque nihil posthac negotij nobis de hoc facesses, sed malam in rem eat vnius in Christo naturæ confessio. nam ex ea non exiguum nascitur offendiculum. nec ignorat magna sanctitas tua, vocem aliquando non malam, quæ male tamen ab aliquibus intelligeretur & exponeretur, reiectione di- D gnam à patribus esse iudicatam. qualis & Christiparæ vox est, Deiparæ virgini tributa. Nam & Christiparam dicere poteramus. Christum enim peperit, Deum & hominem; quod ipsum nomen proprie denotat. Sed quod eius nominis significatum à Nestorio nequiter acciperetur, veluti sacrilegum à sanctis hominibus repudiatum est. Debes ergo, sanctissime domine, illam quoque vocem, iudicatam à sanctis sacrilegam, (quæ tantum, ait Ambrosius, sacrilegium inferna vomuerunt?) vti sacrilegam, missam facere: ne iudicium tuum illorum iudi- E cio firmius ducere, nec pati, tuum vti iudicium pluribus occasionem offendiculi præbeat. GENERALIS. Rectè dicis. sed date mihi quartæ synodi de fide definitionem. quam quum ei obtulissemus, ad quietem nos composituri discessimus.

Breuis repetitio eorum quæ hactenus disputata sunt.

Cur Mariam dici Deiparā voluerint Patres.

Postridie eius diei, Episcopus Cessunij Ioannes Syrus adpulit; & intellecto Generalem Armeniorum, multoties habito cum Romanis colloquio,

Cyrillus.

Ex impossibili naturarum transmutatione distinctas naturas in Christo asserit.

Accedat & sanctissimus Cyrillus, cui vos magis innitimini, testimonium orationi nostræ perhibiturus; qui in priore ad Successum epistola inquit: Par est, quod absurditatem adtinet, dicere, quod corpus in diuinitatis naturam mutatum sit, & vicissim, quod sermo mutatus sit in naturam carnis. nam sicut hoc fieri nequit, quum ipse sermo sit incommutabilis & alterationis expers; ita nec illud alterum. non enim creatorum quidquam ad naturam diuinitatis transire potest: & caro quoque creatura est. Idem perspicuè in epistola ad Eulogium tam per se naturas duas profitens, quàm sanctissimos orientis episcopos, idem tradentes, propugnans: Reprehendunt, ait, nonnulli factam ab orientalibus episcopis expositionem. & cur, inquiunt, eos naturas duas dicentes Alexandrinus episcopus ferre potuit, aut probauit? & paulo post subiicit: Sic & in causa Nestorij: quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat: (nam alia natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum dominum confitemur: vnam denique naturam sermonis incarnatam. ac paulo post: Itaque nosse naturarum duarum discrimen, non est vnum Christum in duo secare. Rursum post alia: Nec illud ignorent: Vbicumque fit vnionis omnino mentio, non vnius rei coitio significatur; sed vel duarum, vel plurium, & inter se natura discrepātium. Qui ergo dicit vnionem, videlicet carnis animatæ ac mente præditæ, cum sermone; quique duas naturas dicunt: eorum hæc mens est, atque sententia. verum posteaquam vnionem confessi sumus, non amplius à se inuicem vnita discrepant: sed vnus deinceps filius est, vna sermonis incarnati natura. Ecce in his diuæ memoriæ Cyrillus apertè dicit, duarum naturarum discrimen nosse, non esse Christum vnum in duo secare. Hoc enim vos vereri soletis. at beatus ille Cyrillus vanam hanc vestram formidinem reiicit. Quin & idem in altera ad Successum epistola eadem se sentire, his verbis ostendit. Itaque modum adsumtionis humanæ naturæ animo considerantes, naturas duas coiuisse per vnionem videmus, citra diuisionem, confusionem & mutationem. Caro enim, caro est, non diuinitas, licèt Dei caro facta sit: similiter & sermo Deus est, non caro; licèt dispensatione quadam carnem proprie suam fecerit. Quum igitur hoc animo consideramus, minime delinquimus, dicentes hunc in vnionem concursum ex duabus naturis factum. Sed tamen post vnionem naturas à se inuicem non diuidimus, nec vnum & impartibilem in duos filios secamus: sed vnum dicimus filium, & vti patres loquuti sunt, vnam naturam sermonis incarnatam.

Duarum naturarum distinctio Christi vnitatem non impedit.

A ἐλθέτω καὶ ὁ ἁγιώτατος Κύριλλος, ᾧ μᾶλλον ὑμεῖς ὑπερείδεσθε, μαρτυρήσων τῷ λόγῳ· ὃς ἐν μὲν τῇ προτέρᾳ τῇ πρὸς Σούκενσον ἐπιστολῇ λέγει· ἴσον γάρ ἐστιν εἰς ἀτοπίας λόγον, τὸ εἰπεῖν, ὅτι μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν, καὶ μὴν κἀκεῖνο, ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν. ὥσπερ γὰρ τοῦτο ἀμήχανον, (ἄτρεπτος γάρ, καὶ ἀναλλοίωτός ἐστιν) οὕτω καὶ τὸ ἕτερον. οὐ γάρ ἐστιν εἰς θεότητος φύσιν μεταχωρῆσαί τι δυνάμενον τῶν κτισμάτων. κτίσμα δὲ καὶ ἡ σάρξ. σαφῶς δὲ καὶ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, αὐτός τε ὁμολογῶν τὰς δύο φύσεις, καὶ τὴν τῶν ἀνατολικῶν ἁγιωτάτων B ἐπισκόπων ὑπερμαχῶν, τὰ αὐτὰ λεγόντων, φησίν· ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως, ἧς πεποίηνται οἱ ἀνατολικοί, καὶ φασί· διατί δύο φύσεις ὀνομαζόντων ἠνέσχετο ἢ ἐπῄνεσεν ὁ Ἀλεξανδρείας; καὶ μετ' ὀλίγα ἐπιφέρει· οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις, τὴν διαφορὰν * σημαίνων τῆς σαρκὸς καὶ τοῦ λόγου· (ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκός) ἀλλ' οὐκ ἔτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες * ταῦτα, ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα C κύριον ὁμολογοῦμεν· καὶ λοιπὸν, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ μετ' ὀλίγον· οὐκοῦν οὐ τὸ εἰδέναι τὴν τῶν δύο φύσεων τὴν διαφορὰν, τέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. καὶ μεθ' ἕτερον· κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν. ὅπου γὰρ ὅλως ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο, ἢ καὶ πλειόνων καὶ διαφόρων ἀλλήλοις κατὰ φύσιν. ὁ τοίνυν λέγων ἕνωσιν, δηλονότι σαρκὸς, ἐμψυχωμένης νοερῶς, καὶ λόγου, καὶ οἱ δύο λέγοντες φύσεις, οὕτω νοοῦσι. πλὴν τῆς ἑνώσεως ὁμολογουμένης, οὐκέτι διΐστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς λοι- D πὸν υἱός, μία φύσις αὐτοῦ τοῦ σαρκωθέντος λόγου. ἰδοὺ σαφῶς ἐν τούτοις ὁ τῆς θείας μνήμης πατὴρ ἡμῶν Κύριλλος, οὐ τὸ εἰδέναι, φησί, τὴν τῶν δύο φύσεων τὴν διαφορὰν, τέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. τοῦτο γὰρ ὑμεῖς δεδοίκατε· ἀλλ' ὁ μακάριος Κύριλλος ἐκβάλλει τὸν τοιοῦτον μάταιον φόβον ὑμῶν. ἀλλὰ καὶ τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ φαίνεται ὁ αὐτὸς τὰ αὐτὰ φρονῶν, δι' ὧν φησίν· ἐννοοῦντες τοίνυν τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιασπάστως, ἀσυγχύτως, ἀτρέ- E πτως. ἡ γὰρ σάρξ, σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ. ὁμοίως δὲ καὶ ὁ λόγος Θεός ἐστι, καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν * σάρκα οἰκονομικῶς. ὅταν οὖν ἐννοῶμεν τοῦτο, οὐδὲν ἀδικοῦμεν, τὴν εἰς ἑνότητα συνδρομὴν ἐκ δύο φύσεων γεγενῆσθαι λέγοντες. μετὰ μέντοι τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων, οὐδὲ εἰς δύο τέμνομεν υἱοὺς, τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν υἱόν, καὶ ὡς οἱ πατέρες εἰρήκασι, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην.

* σημαίνει

* πάντας

* σάρκα

Οὐκοῦν ὅσον ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι, τίνα τρόπον ἐνανθρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναι φαμέν· ἕνα δὲ Χριστόν, καὶ κύριον, καὶ υἱόν, τὸν Θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. τί τούτου * ἐστὶ σαφέστερον ἐπιζητοῦμεν; δύο γὰρ φύσεις, τὰς φύσεις εἶναι φαμέν. πάλιν ὁ αὐτὸς θεῖος Κύριλλος ἐν τῇ εἰς τὸ Λευιτικὸν βιβλίον ἐξηγήσει περὶ τοῦ καθαρισμοῦ τῆς λέπρας φησίν· ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει τὸ τοῦ σωτῆρος ἡμῶν μυστήριον, καὶ τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρισμόν. δύο μὲν ὀρνίθια κελεύει ληφθῆναι ζῶντα καὶ καθαρά, ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπον, ἄνθρωπόν τε ὁμοῦ καὶ Θεόν, εἰς δύο μὲν φύσεις (ὅσον ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον) διῃρημένον (λόγος γὰρ ἦν, ὁ ἐκ Θεοῦ ἀναλάμψας ἐν σαρκὶ τῆς γυναικός) πλὴν οὐ μεριζόμενον. εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός. διὰ τοῦτο καὶ ὡς δύο λαμβάνονται τὰ ὀρνίθια, καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα. ὁρᾷς πῶς δι' ὅλου ὁ μακάριος Κύριλλος δύο φύσεις ὁμολογεῖ; ἀλλὰ καὶ ἐν τῇ δευτέρᾳ πρὸς Σούκεισον ἐπιστολῇ φησίν· ὁ γὰρ λέγων σαρκὶ παθεῖν γυμνῇ τὸν Κύριον, ἄλογον καὶ ἀκούσιον ποιεῖται τὸ πάθος. ἐὰν δέ τις εἴπῃ, μετὰ ψυχῆς νοερᾶς παθεῖν αὐτόν, ἵνα ᾖ τὸ πάθος ἑκούσιον, οὐδὲν κωλύει λέγειν, τῇ φύσει τῆς ἀνθρωπότητος αὐτὸν παθεῖν. εἰ δὲ τοῦτο ἀληθές, πῶς οὐ τὰς δύο φύσεις ὑφεστάναι δώσομεν μετὰ τὴν ἕνωσιν, ἀδιαιρέτως; ὥστε εἴ τις λέγει, Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί, οὐδὲν ἕτερον λέγει, πλὴν ὅτι, Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν τῇ ἡμετέρᾳ φύσει. ὁρᾷς πῶς σαφέστατον δύο φύσεις μετὰ τὴν ἕνωσιν ὁμολογεῖ ὁ μακάριος Κύριλλος; ἴδωμεν, εἰ δοκεῖ, καὶ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον. φησὶ γὰρ ἐν τῷ περὶ υἱοῦ λόγῳ· Θεὸς δὲ λέγοιτο ἄν, οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δέ. πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καὶ πατήρ, οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ· καὶ γὰρ ἦν διπλοῦς. ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως, ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει. ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεός, οὐ κυρίως δὲ πατήρ. καὶ τοῦτό ἐστιν, ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐναλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δέ· ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιροῦνται καὶ τὰ ὀνόματα. ὁρᾷς ὅτι διπλοῦν αὐτὸν καλεῖ τὸν Χριστόν; καὶ πάλιν φησίν· ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐννοίαις, συνδιαιροῦνται καὶ τὰ ὀνόματα. ἀλλ' ἴδωμεν καὶ τὰ ἑξῆς. Παύλου λέγοντος ἄκουσον· ἵνα ὁ Θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης· Χριστοῦ μὲν Θεός, τῆς δὲ δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. ἄκουε δὲ φησίν· εἰ γὰρ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει.

A Quantum ergo mente atque oculis animi duntaxat videre possumus, quo pacto vnigenitus ille factus sit homo, duas naturas esse dicimus, at vnum Christum, & dominum, & filium, Dei sermonem, qui homo factus & incarnatus est. Quid clarius hoc quærimus? naturas enim duas esse dicimus. Rursus idem ille diuus Cyrillus in enarratione libri Leuitici, de purgatione lepræ differens, ait: Totum heic mihi rursus Seruatoris nostri mysterium, & purgationem, quæ per sacrosanctum baptismum fit, respice. Duas aues accipi viuas & mundas iubet, B vt per has volucres hominem illum cœlestem intelligas, hominem pariter & Deum, in duas quidem naturas (quaotum ad id quod de vtraque dici conuenit) distinctum: (quippe sermo erat, exortus è Deo, in carne mulieris) non tamen diuisum: vnus enim ex ambobus Christus. Propterea duæ sumuntur aues, & ambæ rursus vnius instar intelliguntur. Vides, vt vbique beatus ille Cyrillus naturas duas coofiteatur? quin & in altera ad Successum ait epistola: Qui Dominũ nuda carne passum dicit, alieoum à ratione volunta- C téque cruciatum facit. At si quis dicat, eum participe mentis aoima passum, vt spontaneus sit cruciatus; nihil dicere prohibet, eum in hominis natura passum. quod si verum est, cur non duas naturas exstitisse dabimus post vnionem, citra vllam diuisionem? Quare si quis ait, Christo pro nobis carne passo, nihil aliud dicit, quàm Christo pro nobis natura nostra passo. Vides, vti clarissimè naturas duas beatus Cyrillus post vnionem confiteatur? Etiam magoum illum in rebus diuinis Gregorium videamus. Ait enim in oratione de filio: Deum adpellari potemus, D non Sermonis; sed eius qui oculis cernebatur. Quî enim propriè Dei Deus esse possit? quemadmodum & pater dicitur, non eius, qui ceroebatur, sed sermonis. erat enim duplex. itaque partim hæc de vtrisque propriè, partim non propriè dicũtur; diuerso scilicet modo, quàm in nobis res habet. nã Deus propriè quidem noster est Deus, nõ autẽ propriè pater. & hoc illud est, quod hæreticos in errorẽ trahit; vocũ scil. harũ coniunctio, permutatis inter se vocabulis, propter oaturarũ coalitionẽ. Eius hoc argumẽtum est. quũ naturæ cogitãdo distingũtur, etiã ipsa simul vo- E cabula distinguntur. Vides eũ Christũ adpellare duplicẽ? Rursus ait, Quũ naturæ cogitãdo distioguuntur, etiã ipsa simul vocabula distiogũtur verũ videamus & sequeotia. Paulũ diccotem audi: Vt Deus domini nostri Iesu Christi, pater gloriæ: Christi quidẽ ille Deus est, pater autẽ gloriæ. nam licet vtraq; natura copulata, sit quiddã voum; non tamen hoc à natura est, sed propter coitionem. Audi quid dicat. Licet vtraque natura copulata, sit quiddam vnum, non tamen hoc à natura est.

*in

Duabus auibus quæ ad purgationem lepræ sumebantur duplicem Christi naturam intellexit D. Cyrillus.

Ex passione Dominica in Christo humanam naturam colligit B. Cyrillus.

Nazianzenus.

** πρώτῃ*

Si vero non vnum à natura est, relinquitur omnino, duo esse à natura. Idem in 1. ad Cledonium epistola, disertis verbis ait: Naturæ duæ, Deus & homo, quemadmodum & anima, & corpus; non tamen duo filij, nec dij: sicut nec hic quidem duo homines, tametsi Paulus ad hunc modum internam externamque partem hominis adpellauerit. atque vt paucis rem complectar, aliud quidem atque aliud sunt ea de quibus Seruator constat; (nisi adspectabile sit idem cum inadspectabili, & temporis expers idem cum eo quod tempori subest) non tamen alius atque alius. absit hoc. ambo enim hęc copulatione vnum sunt, Deo nimirum humanam naturam, & homine diuinitatem suscipiente, vel quocumque tandem alio verbo quis hanc rem exprimendam duxerit. Dico autem aliud atque aliud vice versa atque in Trinitate res habet. illic enim alius atque alius, ne hypostases cōfundamus: non autem aliud atque aliud, quod tria sint vnum & idem, quoad diuinitatem. Vides quàm accuratè de rebus diuinis loquatur? Aliud, ait, atque aliud sunt ea de quibus Seruator constat: hoc est alia atque alia natura. Nam aliud, neutro genere positū, de natura dicitur: alius vero, de hypostasi. atque hoc progrediēs vlterius manifesto declarat. Illic, ait, nimirum in diuinitate, alius atque alius, ne personas confundamus: non autem aliud atque aliud, quod tria sint vnum & idem, quoad diuinitatem. Quin & vlterius inquit: Sicut & illud, per Christum omnia facta esse, & Christum in cordibus nostris habitare, non secundū eam Christi partem dicitur, quę in oculos cadit: sed eam, quæ intellectu percipitur, permistis videlicet, vt naturis, sic etiā nominibus, seque ratione cōnaturalitatis inuicem complectentibus. Hæc de magno illo Gregorio Theol. protulisse satis est. Eiusdem verò sententiæ sanctum quoque Gregorium Nyssensem episcopum fuisse demonstrabo, in lib. ad Simplicium his verbis vtētem: Quoniam duo de Christo agnoscimus, hoc diuinum, illud humanum, vnum natura diuinum, & vnum dispensatione humanum: iccirco æternitatem diuinitati equidē adtribuo, creatum vero humanam ad naturam referimus. Audistine quo pacto & hic diuinus vir dicat, duo nos de Christo adgnoscere, hoc diuinum, illud humanū. deinde, vnum natura diuinū, inquit. & progressus vlterius: Creatum, ait, humanā ad naturam referimus. Ecce diuinā in Christo naturam, & naturam humanam manifestè confitetur. Quin & Basilij liber aduersus Eunomium scriptus, eadem docēs, hæc verba continet: Mediatorem illum Dei & hominum, sicut à magno illo apostolo adpellatur, nihil ita demonstrat, vt filij nomen vtrique naturæ, diuinæ ac humanæ, ex æquo accōmodatum. Idem enim & Dei filius est, & filius hominis per dispensationem factus est.

Est in Christo aliud & aliud, sed non alius, quia aliud dicit naturam: sunt autem natura in Christo distincta: alius verò, dicit personā, vnica autem in Christo persona est & hypostasis.

Contra fit in Trinitate.

Greg. Nyssen.

** καὶ τὸ Βασιλείου βιβλίον τὸ*

Basilius.

Christus ex duplici natura mediator Dei & hominum dignoscitur.

A Εἰ δὲ οὐ τῇ φύσει ἕν, λείπεται πάντως, δύο εἶναι τῇ φύσει. ἐν δὲ τῇ πρὸς Κληδόνιον * δευτέρᾳ ἐπιστολῇ ὁ αὐτὸς διαῤῥήδην φησί· φύσεις δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα. υἱοὶ δὲ οὐ δύο, οὐδὲ θεοί· οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσε. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ· εἴπερ μὴ ταὐτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος· μὴ γένοιτο. τὰ γὰρ
B συναμφότερα, ἓν τῇ συγκράσει· Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. ὁρᾷς ἀκρίβειαν θεολογίας; ἄλλο μὲν καὶ ἄλλο φησί, τὰ ἐξ ὧν ὁ σωτήρ. τοῦτ' ἔστιν, ἄλλη καὶ ἄλλη φύσις. τὸ γὰρ ἄλλο οὐδετέρως λεγόμενον, ἐπὶ τῆς φύσεως τάττεται· τὸ δὲ ἄλλος, ἐπὶ τῆς ὑποστάσεως. καὶ τοῦτο δῆλον αὐ-
C τὸς ποιεῖ προκατιών· ἐκεῖ μὲν γάρ, ἐπὶ τῆς θεότητος δηλονότι, ἄλλος καὶ ἄλλος· ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. ἀλλὰ καὶ προϊών φησιν· ὥσπερ καὶ τὸ διὰ Χριστοῦ γεγονέναι τὰ πάντα, καὶ κατοικεῖν Χριστὸν ἐν ταῖς καρδίαις ἡμῶν, οὐ κατὰ τὸ φαινόμενον τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον, κιρναμένων ὥσπερ τῶν φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας. ἀπόχρη ταῦτα παρὰ τοῦ μεγάλου Γρηγορίου τοῦ
D θεολόγου. τῆς δ' αὐτῆς ἐννοίας καὶ Γρηγόριον τὸν ἐν ἁγίοις ἐπισκοπήσαντα ἐν τῇ Νυσσαέων ἐπιδείξομαι, ἐν οἷς φησιν ἐν τῷ πρὸς Σιμπλίκιον λόγῳ κατὰ λέξιν οὕτως· ὥστε ἐπειδὴ δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον, ἓν μὲν τῇ φύσει τὸ θεῖον, ἓν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον, ἀκολούθως τὸ μὲν ἀΐδιον τῇ θεότητι προσμαρτυροῦμεν, τὸ δὲ κτιστόν, τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ἤκουσας ὅπως καὶ οὗτος ὁ θεῖος ἀνήρ φησιν, ὅτι δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀν-
E θρώπινον. εἶτα, ἓν μὲν τῇ φύσει τὸ θεῖον, φησί. καὶ προκατιών· τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ἰδοὺ φύσιν θείαν ἐπὶ Χριστοῦ, καὶ φύσιν ἀνθρωπίνην ὁμολογεῖ περιδήλως. ἀλλὰ * καὶ τὸ Βασιλείου βιβλίον, τὸ πρὸς τὸν Εὐνόμιον τὰ αὐτὰ διδάσκον, φησί. τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων καθὼς ὠνόμασεν ὁ μέγας ἀπόστολος, οὐδὲν οὕτως ὡς τὸ τοῦ υἱοῦ δείκνυσιν ὄνομα, ἑκατέρᾳ τῇ φύσει, τῇ θείᾳ τε καὶ ἀνθρωπίνῃ, κατὰ τὸ ἴσον ἐφαρμοζόμενον. ὁ γὰρ αὐτὸς καὶ Θεοῦ υἱός ἐστι· καὶ υἱὸς ἀνθρώπου κατ' οἰκονομίαν ἐγένετο.

ὁρᾷς πῶς δύο φύσεις, θείαν τε καὶ ἀνθρωπίνην ὁμολογεῖ; τὰ δ' αὐτὰ πράττοντα κἀν τῷ τετάρτῳ λόγῳ τῆς αὐτῆς πραγματείας ἔξεστιν αὐτὸν θεωρῆσαι. πανταχοῦ γὰρ, φησὶ, τὴν τοῦ ἀνθρωπίνου πρὸς τὸ θεῖον ἀνάκρασιν ὁ ἀπόστολος κηρύσσων, οὐδὲν ἧττον ἐν ἑκατέρῳ τὸ ἴδιον καθορᾷ. ἐνταῦθα καὶ περὶ τῶν ἰδίων ἑκατέρας φύσεως ἡμῖν διετάξατο, ὡς ὑπαρχόντων τε, καὶ τῇ θεωρίᾳ λαμβανομένων. εἶτα προϊών, μετ' ὀλίγον φησί· καὶ ὡς ἂν μή τις τῇ ἀκράτῳ φύσει τὸ κατὰ τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων φανερώτερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπων, καὶ Θεὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι, τὸ πρόσφορον νοῆται περὶ ἑκάτερον. σαφέστατα ἐνταῦθα δύο περὶ τὸ ἓν λέγεσθαι φησὶ, δηλονότι φύσεις. ὁμοίως δὲ κἀν τῷ δευτέρῳ λόγῳ περὶ υἱοῦ ὁ αὐτὸς σαφέστερον ἡμῖν τῶν δύο φύσεων τὰ ἰδιώματα σώζεσθαι παραδίδωσι καὶ μετὰ τὴν ἄφραστον κένωσιν. πιστεύομεν γὰρ εἰς ἕνα Θεὸν, φησὶ, πατέρα ἀγέννητον, καὶ εἰς ἕνα γεννητὸν υἱὸν Ἰησοῦν τὸν Χριστὸν, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν δὲ κατὰ τὴν σάρκα· οὐ δύο, ἀλλ' ἕνα υἱὸν, σωζομένων τῶν ἰδιωμάτων τῶν φύσεων. ἀλλὰ καὶ ὁ μέγας Ἀμβρόσιος, ὁ Μεδιολάνων τὴν ἀρχιερωσύνην λαβὼν, πρὸς Ἀπολινάριον γράφων, οὕτω φησί· φυλάξωμεν τὴν διαφορὰν σαρκὸς καὶ θεότητος· εἷς ἐν ἑκατέρῳ λαλεῖ ὁ υἱὸς, ἐπειδήπερ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ· ἀλλ' εἰ καὶ ὁ αὐτὸς λαλεῖ, οὐκ ἐνὶ μέντοιγε τρόπῳ λαλεῖ. ὁρᾷς γὰρ ἐν αὐτῷ νῦν μὲν δόξαν Θεοῦ, νῦν δὲ πάθη ἀνθρώπου. ἀκόλουθα δὲ τοῖς εἰρημένοις κἀν τῷ δευτέρῳ τοῦ πρὸς Γρατιανὸν τὸν βασιλέα συντάγματος λέγει. ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται, ἑκατέρας ὑπάρχων φύσεως κοινωνὸς, τοῦτ' ἔστιν ἀνθρωπίνης καὶ θείας. ἀμέλει κἀν τῷ πρὸς Σαβῖνον τὸν ἐπίσκοπον λόγῳ αὐτοῦ ὁ αὐτὸς ἁγιώτατος ἀνὴρ φησίν. ἐν τῷ* ἰδίῳ τῆς θεότητος ὢν ἐκένωσεν ἑαυτὸν, καὶ ἔλαβε τὸ τέλειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλόκληρον· ὡς οὐδὲν ἔλειπε τῷ Θεῷ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ. Ο ΚΑΘΟΛΙΚΟΣ. ἐμοὶ δοκεῖ, ὅτι πρὸ πολλῶν χρόνων ἔδει σε ἐπιμελῆσαι τοῦ συναγαγεῖν βιβλία, καὶ τὰς ἐκλαβεῖν χρήσεις ἁγίων περὶ τῶν δύο φύσεων. Ο ΘΕΩΡΙΑΝΟΣ. ἐκεῖνα δέονται πολλῆς φροντίδος καὶ χρόνου, ὅσα σπάνιά εἰσι, καὶ δυσεύρετα. περὶ δὲ τῶν δύο φύσεων, οὐ σπάνις, ἀλλὰ πλοῦτος ὑπερβολικὸς καὶ δαψιλὴς ἐν πάσῃ τῇ θεοπνεύστῳ γραφῇ, ὅση ἀέρος χύσις. εἰ οὖν καὶ πλειόνων δεῖ, ἑτοίμως ἔχω καὶ ἄλλας παραγαγεῖν. αὐτίκα γοῦν, ἔξεστι ἀκοῦσαι καὶ τοῦ μεγάλου φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου, περὶ τῶν αὐτῶν λέγοντος ἐν τῷ περὶ τριάδος συντάγματι, κατὰ τὸ ι. ζ. κεφάλαιον οὕτως.

A Vides, vti duas naturas, diuinam & humanam, confitetur? Eadem facientem videre licet in quarto eiusdem argumenti libro, vbi hæc verba sunt: Vbique temperamentum eius, quod humanum est, cum illo quod diuinum, prædicans apostolus, nihilominus in vtroque, quod cuique proprium est, perspicit. Heic & de iis quæ vtrique naturæ propria sunt, tradit, veluti quæ reapse sint, & animi consideratione percipiantur. Hinc paulo pôst subiicit: Ac ne quis naturæ temperamenti experti passionem in cruce adtribuat, per alia clarius errorem huiusmodi
B corrigit, Mediatorem eum Dei & hominum, & Deum adpellans: vt, quoniam duo de vno dicantur, de vtroque quod vtrique competit, intelligatur. Heic apertissime duo de vno dici prædicat, nimirum naturas duas. Similiter & in oratione de filio secunda, clarius idem duarum naturarum proprietates, etiam post ineffabilem illam euacuationem, saluas & integras esse tradit. Credimus, inquit, in vnum Deum patrem ingenitum, & in vnum filium genitum Iesum Christum, eiusdem substantiæ cum patre, secundum
C diuinitatem; & nobiscum, secundum carnem: non duos, sed vnum filium, saluis naturarum proprietatibus. Quin & magnus Ambrosius, Mediolanensium pontifex, ad Apollinarium scribens, sic ait: Discrimen carnis & diuinitatis seruemus. Vnus in vtroque loquitur filius, quoniam vtraque natura in ipso est: verum licet idem loquatur, non vno tamen modo loquitur. Nam vides in eo nunc quidem Dei maiestatem, nunc autem passiones hominis. Consentanea vero iam dictis & in secundo ad Gratianum Augustum libro tradit. Homo Iesus Christus,
D Dominus maiestatis, dicitur crucifixus, quia consors vtriusque naturæ, id est, humanæ atque diuinæ. Sed & in libro ad Sabinum episcopum idem vir sanctissimus ait: Quum esset in proprietate diuinitatis, exinaniuit se, & accepit plenitudinem naturæ & * perfectionem humanæ: sicut Deo nihil deerat, ita nec hominis consummationi; vt esset perfectus in vtraque * natura. GENERALIS. Equidem arbitror ante multos annos curæ tibi fuisse, libros vti colligeres, sanctorumque virorum auctoritates de naturis duabus
E excerperes. THEORIANVS. Ea vero multæ curæ, multique temporis egent, quæ rara sunt, & inuentu difficilia. De duabus autem naturis non penuria, sed supra modum ingens abundantia copiaque reperitur in omni à spiritu Dei profecta scriptura, quanta scilicet est aëris late diffusi amplitudo. Quare si etiam pluribus opus sit, paratus sum & alias proferre. Et quidem mox licet audiamus magnum illum philosophum atque martyrem Iustinum, de iisdem loquentem in libro de Trinitate, capite decimo septimo.

Confessio fidei D. Basilii de Christi duabus naturis.

Ambrosii loci. Primus non exstat in editis.

Epistolarum lib. 7. ep. 47.

** legit, in proprietate, quum Libri Latini habeant, in plenitudine.*

** Nostri legunt, perfectionis.*

** nostri, forma.*

Iustinus.

Quum audieris, inquit, de vno filio voces contrarias, conuenienter partire naturis ea quæ dicentur: si magnum ac diuinum aliquid, diuinæ naturæ adtribuens; sin exiguum & humanum, ad humanam naturam referens. Sic enim & ipsarum vocum discrepantiam vitabis, natura qualibet sibi cognata recipiente: & vnum filium tam ante omnia sæcula, quàm recens ortum iuxta litteras sacras confiteberis. Hæc diuinus ille Iustinus. Ioannes autem Chrysostomus in epistolæ ad Timotheum scriptæ interpretatione sic ait: Mediator amborum consors est, quorum scilicet est mediator. quippe mediatoris est, vt coniunctus eorum vtrique, quorum mediator est, participet. Ac paulo post: Si ergo non coniunctus est cum natura patris, non est mediator, sed est ab eo separatus. Quemadmodum enim cum hominum natura coniunctus est, quoniam ad homines venit: ita & cum Dei natura, quoniam à Deo venit. Cum hisce sanctis patribus consentiens sancta illa, magnáque & vniuersalis synodus, Chalcedone, nutu Dei pióque decreto Augustorum congregata, statuit vnum & eumdem esse Christum, filium, dominum, vnigenam, in naturis duabus citra confusionem, mutationem, diuisionem, separationem adagnitum: nequaquam naturarum discrimine sublato propter vnitionem, sed salua potius proprietate vtriusque naturæ, ac in vnam personam & vnam hypostasin coëunte: non in duas personas partitum vel diuisum, sed vnum & eumdem filium vnigenam, Deum sermonem, Dominum Iesum Christum. GENERALIS. Omnino duas dicere naturas, speciem quamdam diuisionis introducit: ac vereor equidem, ne deuitato Eutychis barathro, quod est vnam naturam dicere, in Nestorij barathrum incidamus, per duas naturas, duas personas introducentes. THEORIANVS. Nestorius vero duas naturas separatas aiebat, non vnitas in vnam personam. atque hoc sanè denotans sanctus ille Cyrillus, in epistola, quam ad Eulogium scripsit, ait: Sic & in caussa Nestorij. quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat. (alia namque natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum Dominum confitemur; vnam denique naturam sermonis incarnatam. Tu igitur, iuxta sapientis illius Salomonis admonitionem, nec ad dextram, nec ad sinistram incesseris; sed media regiáque via. Sunt enim quatuor hæreses, ex diametro inter se pugnantes: duæ de diuinitate, ac duæ de humana natura. In diuinitate Sabellius quidem aiebat esse naturam vnam, & vnam hypostasin: Arius verò tres hypostases, ac tres naturas diuersas & alienas à se inuicem.

** κατ' ἀλλήλας*

** δεχομένης*

Chrysost.

Concilium Chalcedonense.

Error Nestorii. Contra Nestorium probat posita duplici natura in Christo, duas hypostases & personas non esse concludendum.

Sabellius.

Arius.

Quatuor hæreses, duas de diuinitate, duas de humana natura pugnantes, improuida de Deo hominũ cogitatio peperit.

A ὅταν ἀκούσῃς περὶ τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνάς, *κατ' ἀλλήλων μέριζε ταῖς φύσεσι τὰ λεγόμενα. ἂν μέν τι μέγα καὶ θεῖον, τῇ θείᾳ φύσει προσνέμων· ἂν δέ τι μικρὸν καὶ ἀνθρώπινον, τῇ ἀνθρωπίνῃ λογιζόμενος φύσει. οὕτω γὰρ καὶ τὸ τῶν φωνῶν ἀσύμφωνον διαφεύξῃ, ἑκάστης ἃ πέφυκε *δεχομένης φύσεως· καὶ τὸν υἱὸν ἕνα καὶ πρὸ πάντων αἰώνων, καὶ πρόσφατον, κατὰ τὰς θείας γραφὰς ὁμολογήσεις. καὶ ταῦτα μὲν ὁ θεῖος Ἰουστῖνος. ὁ δὲ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς, οὕτω φησίν· ὁ μεσίτης ἀμφοτέροις κοινωνεῖ, ὧν ἐστι μεσίτης.
B μεσίτου γάρ τοῦτό ἐστι, τὸ ἑκατέρου ἐχόμενον, ὧν ἐστι μεσίτης, κοινωνεῖν. καὶ μετ' ὀλίγον· εἰ τοίνυν μὴ ἔχεται τῆς τοῦ πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης, ἀλλὰ ἀπεσχοίνισται. ὥσπερ γὰρ τῆς ἀνθρώπων ἔχεται φύσεως, ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο· οὕτω καὶ τῆς τοῦ Θεοῦ, ἐπειδὴ παρὰ Θεοῦ ἤρχετο. τούτοις τοῖς ἁγίοις πατράσι συμφωνοῦσα ἡ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Χαλκηδόνι σύναθροισθεῖσα Θεοῦ νεύματι, καὶ εὐσεβεῖ βασιλέων θεσπίσματι, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, υἱὸν, κύριον μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωρι-
C ζόμενον ἐδογμάτισεν, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀναιρουμένης διὰ τὴν ἕνωσιν· σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλὰ ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστόν. Ο ΚΑΘΟΛΙΚΟΣ. ὅλως τὸ λέγειν δύο φύσεις, ἔμφασιν εἰσάγει διαιρέσεως· καὶ δέδοικα, μήπως φεύγοντες τὸ τοῦ Εὐτυχοῦς τὸ μίαν φύσιν λέγειν, εἰς τὸ τοῦ Νεστορίου ἐμπέσωμεν βάραθρον, διὰ τὰς δύο φύ-
D σεις δύο πρόσωπα παρεισάγοντες. Ο ΘΕΩΡΙΑΝ. ἀλλ' ὁ Νεστόριος δύο φύσεις ἔλεγε κεχωρισμένας, οὐχ ἑνωμένας εἰς πρόσωπον ἕν. καὶ τοῦτο δηλῶν ὁ ἐν ἁγίοις Κύριλλος, ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ φησίν· οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις, σημαίνων τὴν διαφορὰν τῆς σαρκὸς, καὶ τοῦ Θεοῦ λόγου. (ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκός) ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁ-
E μολογοῦμεν, καὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. βάδιζε οὖν σὺ, κατὰ τὴν τοῦ σοφοῦ Σολομῶντος παραγγελίαν, μήτε εἰς τὰ δεξιὰ, μήτε εἰς τὰ ἀριστερά· ἀλλὰ τὴν μέσην καὶ βασιλικὴν ὁδόν. τέσσαρες γὰρ εἰσὶν αἱρέσεις ἐκ διαμέτρου ἀλλήλαις μαχόμεναι· δύο ἐπὶ τῆς θεότητος, καὶ δύο ἐπὶ τῆς ἀνθρωπότητος. ἐπὶ μὲν τῆς θεότητος, ὁ μὲν Σαβέλλιος ἔλεγε μίαν φύσιν, καὶ μίαν ὑπόστασιν· ὁ δὲ Ἄρειος, τρεῖς ὑποστάσεις, καὶ τρεῖς φύσεις ἐκφύλους

ἡμεῖς δὲ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν τοῦ Σαβελλίου νόσον νοσήσωμεν, οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ Ἀρείου μανῶμεν· ἀλλὰ μίαν φύσιν ἐν τρισὶ κηρύττομεν ὑποστάσεσι. πάλιν ἐπὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου ὥσπερ ἐκ διαμέτρου ἐμάχοντο πρὸς ἀλλήλους ὅ, τε Νεστόριος καὶ ὁ Εὐτυχής. ὁ μὲν γὰρ Νεστόριος ἔλεγε δύο φύσεις κεχωρισμένας, καὶ δύο πρόσωπα, καὶ δύο Χριστούς, καὶ δύο υἱούς. ὁ δὲ Εὐτυχής, μίαν φύσιν, καὶ μίαν ὑπόστασιν. ἡμεῖς δὲ μίαν ὑπόστασιν, ἕνα Χριστόν, ἕνα υἱὸν ἐν δύο φύσεσι τελείαις, θεότητι λέγω, καὶ ἀνθρωπότητι, ἀχωρίστως καὶ ἀσυγχύτως ἑνωμέναις. βαδίζομεν οὖν τὴν μέσην καὶ βασιλικήν, ὡς εἴπομεν, τρίβον. (ὥς φησιν ὁ Θεολόγος Γρηγόριος. μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην,) μὴ φοβηθεὶς τὸν ἀριθμὸν τῶν δύο. ὥσπερ γὰρ ἐπὶ τῆς θεότητος τρεῖς ὑποστάσεις λέγοντες, οὐ ποιοῦμεν διαίρεσιν φύσεως· οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας δύο φύσεις λέγοντες, οὐ ποιοῦμεν διαίρεσιν ὑποστάσεως. καὶ τοῦτό ἐστιν, ὅπερ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ πρὸς Κληδόνιον δευτέρῳ λόγῳ φησί. λέγω δὲ ἄλλο, ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο. ἓν γὰρ τὰ τρία, καὶ ταὐτὸν τῇ θεότητι. καὶ σκόπει καλῶς ἑκάστην τάξιν τοῦ ἱεροῦ θεολόγου. λέγω δέ, φησίν, ἐπὶ τοῦ Χριστοῦ ἄλλο καὶ ἄλλο. τὸ γὰρ ἄλλο οὐδετέρως τεθειμένον, τὴν φύσιν δηλοῖ, ἤτοι ἑτέραν καὶ ἑτέραν φύσιν ἐπὶ τοῦ Χριστοῦ λέγει· τὸ δὲ ἄλλος, σημαίνει τὴν ὑπόστασιν. διὸ ἐπήγαγεν· οὐκ ἄλλος καὶ ἄλλος. ὅρα δὲ καὶ τό, ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐπὶ μὲν γὰρ τῆς τριάδος μία φύσις ἐστίν, ἀλλ' οὐχὶ καὶ μία ὑπόστασις· ἐπὶ δὲ τοῦ Χριστοῦ, μία ὑπόστασις, ἀλλ' οὐχὶ καὶ μία φύσις. καὶ τοῦτό ἐστι τὸ ἔμπαλιν. ἐκεῖ μὲν γὰρ μία φύσις, καὶ τρεῖς ὑποστάσεις. ἐνταῦθα δὲ μία ὑπόστασις καὶ δύο φύσεις.

Τούτων ῥηθέντων, ὁ εὐλαβέστατος ἐπίσκοπος Γρηγόριος, ὁ τοῦ ἁγιωτάτου καθολικοῦ ἀνεψιός, ἐβόησε φωνῇ μεγάλῃ· ἐγὼ Ῥωμαῖος εἰμί· ἀνάθεμα τῷ μὴ λέγοντι δύο φύσεις ἐν τῷ Χριστῷ.

Τῇ ἐπαύριον ἦλθεν ὁ εὐλαβέστατος ἐπίσκοπος Σαππιρείου. ἀνεκοινώσατο οὖν αὐτῷ ὁ καθολικὸς χωρὶς ἡμῶν τὰ λαληθέντα περὶ τοῦ προκειμένου ζητήματος. ἔδειξε δὲ αὐτῷ καὶ ὅσας εἶχε χρήσεις ἁγίων, δύο λεγούσας φύσεις ἐν τῷ Χριστῷ. ὁ δὲ διέστρεφεν αὐτάς, λόγιος ὤν, εἰς τὸ ἑαυτοῦ θέλημα. ὡς οὖν εὗρεν αὐτὸν ὁ καθολικὸς σφοδρῶς ἐνιστάμενον καὶ ἀντιπαλαίοντα, μετεκαλέσατο ἡμᾶς, καί φησι πρὸς ἡμᾶς· Ὁ παρὼν ἐπίσκοπος Πέτρος θέλει μετὰ σοῦ διαλεχθῆναι περὶ μέσον ἡμῶν καὶ ὑμῶν ὑποθέσεως.

A Nos vero nec in vnum tria commiscemus, ne Sabellij morbo laboremus, nec in tria peregrina & aliena inter se diuidimus, ne in Arij furorem incidamus: sed naturam vnam in tribus hypostasibus prædicamus. Rursum de incarnatione Dei sermonis velut ex diametro inter se pugnabant Nestorius & Eutyches. quippe Nestorius aiebat duas naturas separatas & duas personas, & duos Christos, & duos filios: Eutyches vero naturam vnam, & vnam hypostasin. Nos autem dicimus vnam hypostasin, vnum Christum, vnum filium, in duabus perfectis naturis, diuinitate inquam, & humanitate, inseparabi- B liter & citra confusionem vnitis. Itaque semita media regiáque, sicuti diximus, incedito: (quemadmodum Gregorius ille Theologus ait: Medium quum dico, veritatem intelligo: ad quam solam si respiciemus, rectè faciemus) nec est quod numerum duûm reformides. Quemadmodum enim, quum in diuinitate tres hypostases dicimus, nullam naturæ diuisionem facimus: sic & in hac dispensatione, quum duas naturas dicimus, nullam ipsius hypostasis diuisionem facimus. atque hoc illud est, quod Gregorius Theologus in 2 ad Cledonium libro dicit: Dico C autem aliud atque aliud, versa vice atque in Trinitate res habet. illic enim alius atque alius, ne hypostases confundamus: non autem aliud atque aliud; quia tria sunt vnum & idem quoad diuinitatem. Rectè verò quamlibet seriem verborum religiosi huius theologi considera. Dico, inquit, in Christo, aliud atque aliud. nam aliud neutro genere positum, naturam significat; adeoque aliam atq; aliam naturã in Christo dicit. Alius vero significat hypostasin. ideo subiecit: Non alius atque alius. Etiam illud inspice: Versa vice atque in D Trinitate res habet. Nã in Trinitate vna natura est, sed non itidẽ vna hypostasis. In Christo autem vna hypostasis est, at non itidẽ vna natura. hoc scilicet denotat illud, Vice versa. Nam ibi natura vna est, ac tres hypostases: heic autem vna hypostasis, & duæ naturæ.

De Nestorio & Eutyche.

Vt satisfaciat generali Armeniorum, docet etiam si duplex natura, duplicem personam non esse constituendam.

De hypostasi & natura.

Hæc repetuntur ex superioribus.

His dictis, religiosissimus Episcopus Gregorius, sanctissimi Generalis consobrinus, voce magna exclamauit: Ego Romanus sum: Anathema non dicenti duas in Christo naturas.

Rationibus superius allatis conuictus episcopus Armenius in sententiam Ecclesiæ Romanæ de Christi duabus naturis descendit.

E Postridie religiosissimus Sappirij episcopus aduenit: itaq; cum illo Generalis seorsum ea communicabat, quæ de proposita quæstione dicta fuissent. Etiam ostendit ei quascumque sanctorũ hominũ auctoritates habebat, duas in Christo naturas dicentium. At is, quòd disertus esset, ad lubitũ suum eas peruertebat. itaque quum Generalis eum valde resistentem, ac repugnantem deprehenderet, nos accessebat, & his verbis vtebatur: Petrus hic episcopus, qui præsens est, colloqui tecum de argumento, quod inter nos tractamus, cupit.

Noua conser-tio cum Episcopo Saporis, qui disputationi superiori non interfuerat.

Aduersus naturarum in Christo diuersitatem proponitur Cyrilli contextus.

Theorianus argutè & cum vehementia vrget aduersarium.

A Ait enim, sanctum virum Cyrillum vnam dicere naturam post vnitionem. THEORIANVS. Vbinam hoc, domine episcope, sanctus Cyrillus dicit? EPISCOPVS. In secunda ad Successum epistola, aduersus eos, qui dicunt: Si vna natura facta est post vnitionem, necesse est eum in natura sua passum: sic ad verbum ait, Qualia verò passum ipsum in natura propria necesse est, si post vnitionem, vna filij natura dicatur incarnata? Vidésne, quòd post vnitionem, vnam naturam dicat? THEORIANVS. Et quænam est illa propria filij natura, in qua necesse non est, eum esse passum? B EPISCOPVS. Diuinitas filij. THEORIANVS. Ergo filius in natura propria non est passus? EPISCOPVS. Absit hoc. quippe natura diuina sic comparata non est, vt pati possit. THEORIANVS. Tamen reapse Christus passus est. EPISCOPVS. Verè, sed in natura nostra, quæ sic comparata est, vt patiatur. THEORIANVS. Ergo Christus naturas duas habebat, vnam sic comparatam, vt pateretur: alteram, vt non pateretur.

Iterum Gregorius alta voce se Romanum profitetur nouissima argumentatione confirmatus.

C His quum obthuratum esset os religiosissimo Petro, supradictus religiosissimus episcopus Gregorius surgens: Ego Romanus sum, inquit, & cum Romanis sentio.

Postquam probatum est duplicem in Christo esse naturam, dubitat generalis an liceat dicere ex duabus naturis distinctis vnam conflari: Dubitationis causam ex hominis compositione ponit. Theorianus satisfacit quæstioni propositæ, probãs post vnionem fatendũ semper esse duas in Christo naturas.

Post biduum rursus arcessiti, ascendimus in cœnaculum, ad sanctissimum Generalem. quumque consedissemus, omnes sic adloquutus est: Nihil ambigui est, duas in Christo naturas dicere, si confiteamur eas vnitas inseparabiliter in vnam hypostasin. quemadmodum sanctus ille Cyrillus in prima ad Successum epistola loquitur: Quantum, inquiens, mente atque oculis animi D duntaxat videre possumus, quo pacto vnigenitus ille factus sit homo: duas esse naturas dicimus vnitas, at vnum Christum, & filium, & Dominum, Dei Sermonem, qui homo factus & incarnatus est. Quinetiam omnia illa lumina ecclesiæ, quorum auctoritates antea philosophus adduxit, hoc ipsum expresse clamant. itaque manifestis, & apertis, & veris aduersari, non est hominis Christiani. ac de his quidem posthac E minimè laborandum. Quid autem prohibet, quominus & duas naturas in vno Christo, & vnam naturam, propter expertem diuisionis & separationis naturarum vnionem, confiteamur? quippe sanctum illum Cyrillum in altera ad Successum epistola, sic disertè dicentem, reperimus: Non de iis duntaxat, quæ natura simplicia sunt, vnum verè dicitur: sed etiam de illis quæ compositione copulata sunt. quale quiddam est homo, ex animo & corpore constans. nam ea diuersæ sunt formæ, nec eiusdem inter se substantiæ: verùm vnita, naturam hominis vnam absoluunt.

* συνημμένων.

A ἔλεγε γάρ, ὅτι ὁ ἐν ἁγίοις Κύριλλος μίαν φύσιν λέγει μετὰ τὴν ἕνωσιν. Ο ΘΕΩΡΙΑΝΟΣ. ποῦ λέγει τοῦτο, δέσποτα ἐπίσκοπε, ὁ ἅγιος Κύριλλος; Ο ΕΠΙΣΚΟΠΟΣ. ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ, κατὰ τῶν λεγόντων· εἰ μία φύσις γέγονε μετὰ τὴν ἕνωσιν, ἀνάγκη παθεῖν αὐτὸν εἰς τὴν ἰδίαν φύσιν· οὕτω κατὰ ῥῆμα φησί. ποίαν τοίνυν παθεῖν αὐτὸν ἀνάγκη εἰς ἰδίαν φύσιν, εἰ λέγοιτο μετὰ τὴν ἕνωσιν μία φύσις υἱοῦ σεσαρκωμένη; ὁρᾷς, ὅτι μετὰ τὴν ἕνωσιν μίαν φύσιν λέγει. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ ποία ἐστὶν ἡ ἰδία φύσις τοῦ υἱοῦ, εἰς ἣν οὐκ ἔστιν ἀνάγκη παθεῖν αὐτόν; B Ο ΕΠΙΣΚ. ἡ θεότης τοῦ υἱοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. οὐκ ἔπαθεν οὖν ὁ υἱὸς εἰς ἰδίαν φύσιν; Ο ΕΠΙΣΚΟΠΟΣ. μὴ γένοιτο. ἡ γὰρ θεία φύσις οὐ πέφυκε πάσχειν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἔπαθε δὲ ὅμως κατὰ ἀλήθειαν ὁ Χριστός; Ο ΕΠΙΣΚΟΠ. ναί, ἀλλ' εἰς τὴν ἡμετέραν φύσιν. αὕτη γὰρ πέφυκε πάσχειν. Ο ΘΕΩΡΙΑΝΟΣ. δύο οὖν εἶχεν ὁ Χριστὸς φύσεις, μίαν πεφυκυῖαν πάσχειν, καὶ μίαν μὴ πεφυκυῖαν πάσχειν.

C Ἐν τούτοις τοῦ εὐλαβεστάτου Πέτρου φιμωθέντος, ἀναστὰς ὁ ἄνωθεν ῥηθεὶς εὐλαβέστατος ἐπίσκοπος Γρηγόριος, ἔφη, ἐγὼ Ῥωμαῖός εἰμι, καὶ ὡς οἱ Ῥωμαῖοι φρονῶ.

Καὶ μεθ' ἡμέρας δύο πάλιν μετακληθέντες ἀνήλθομεν εἰς τὸ ὑπερῷον πρὸς τὸν ἁγιώτατον Καθολικόν, καὶ καθεσθέντων ἡμῶν, εἶπε πρὸς πάντας· Οὐκ ἔστιν οὐδεμία ἀμφιβολία, δύο φύσεις λέγειν ἐν τῷ Χριστῷ, ἐὰν ἡνωμένας ταύτας ὁμολογῶμεν ἀδιασπάστως εἰς μίαν ὑπόστασιν, καθά φησιν ὁ ἅγιος Κύριλλος ἐν τῇ πρώτῃ πρὸς Σούκενσον ἐπιστολῇ. D Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα τρόπον ἐνηνθρώπησεν ὁ μονογενής, δύο φύσεις εἶναί φαμεν ἑνωθείσας· ἕνα δὲ Χριστόν, καὶ υἱόν, καὶ κύριον, τὸν τοῦ Θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. ἀλλὰ δὴ καὶ πάντες οἱ τῆς ἐκκλησίας φωστῆρες, ὧν ἄνω ὁ φιλόσοφος τὰς χρήσεις ἤγαγε, τοῦτο διαρρήδην βοῶσι. καὶ λοιπὸν τοῖς προφανέσι καὶ φανεροῖς ἀντιμάχεσθαι, καὶ ἀληθέσιν, οὐκ ἔστι Χριστιανοῦ. καὶ περὶ μὲν τούτων ἀπὸ τοῦ νῦν κοπιᾶν E οὐ θέμις. ἀλλὰ τί κωλύει καὶ δύο φύσεις ὁμολογεῖν, ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, καὶ μίαν φύσιν, διὰ τὸ ἀδιαίρετον καὶ ἀχώριστον τῆς τῶν φύσεων ἑνώσεως; εὑρίσκομεν γὰρ τὸν ἅγιον Κύριλλον ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ οὕτω σαφῶς λέγοντα. οὐ γὰρ ἐπὶ μόνων τῶν ἁπλῶν κατὰ φύσιν τὸ ἓν ἀληθῶς λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ σύνθεσιν * συνηγμένων. ὁποῖόν τι χρῆμά ἐστιν ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος. ἑτεροειδῆ μὲν γὰρ τὰ τοιαῦτα, καὶ ἀλλήλοις οὐχ ὁμοούσια. ἑνωθέντα γε μήν, μίαν ἀνθρώπου φύσιν ἀπετέλεσεν.

ἐπεὶ οὖν ἐκ ψυχῆς καὶ σώματος, ἑτεροφυῶν ὄντων,
μία φύσις ἀνθρώπου ἀποτελεῖται καὶ λέγεται, οὐκ
ἄτοπον οἶμαι, ἔκ τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότη-
τος τοῦ Χριστοῦ, μίαν ἀποτελεῖσθαι καὶ λέγεσθαι φύ-
σιν. λῦσον τοῦτο, καὶ ἀρκέσει ἡμῖν. Ο ΘΕΩΡ.
ἤρκει τῇ μεγάλῃ σου ἁγιωσύνῃ εἰς τὸ συνιδεῖν, ὅτι οὐ
δεῖ μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν λέ-
γειν, ἡ εἰσκομισθεῖσα αὐτῇ παρ' ἡμῶν χρῆσις τοῦ ἁ-
γίου Γρηγορίου τοῦ θεολόγου, ἡ ἐν τῷ περὶ υἱοῦ δευ-
τέρῳ λόγῳ κειμένη, οὕτω κατὰ λέξιν ἔχουσα· Εἰ γὰρ καὶ
τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνό-
δῳ. ἐπεὶ οὖν φησιν, ἀλλ' οὐ τῇ φύσει ἕν, κωλύει δη-
λονότι σαφῶς, * ἐν τῇ φύσει τὰ συναμφότερα λέ-
γειν. τί τούτου ζητεῖς σαφέστερον; Ο ΚΑΘΟ-
ΛΙΚΟΣ. οὐ κεῖται ἐν τῇ Ἀρμενικῇ γραφῇ οὕ-
τως. Ο ΘΕΩΡ. ἔσφαλται λοιπὸν τὸ βιβλίον
σου. Τότε ἔχων ὁ Θεωριανὸς περὶ ἐκβολὴν τοῦ ῥητοῦ
τούτου Συριστὶ, δέδωκε τῷ καθολικῷ, λέγων· ἀνά-
γνωθι δέσποτα. ὁ δὲ Καθολικὸς προσκαλεσάμενος ἕνα
τῶν ἀναγινωσκόντων Συριστὶ, ἀνέγνω, καὶ εὗρεν ὡς εἶ-
πεν ὁ Θεωριανός. τότε λέγει αὐτῷ ὁ Θεωριανός. ἀρ-
κεῖ τοῦτο δέσποτα; ἢ θέλεις καὶ ἄλλην χρῆσιν; ἐγὼ γὰρ
Συριστὶ οὐ γινώσκω, ἀλλ' εὗρον οὕτως ἐν τοῖς βιβλίοις
τῶν Σύρων ἐν Κενσουνίῳ, καὶ πλεῖστον ἐχάρην τοῦτο
εὑρών. Ο ΚΑΘΟΛΙΚΟΣ. ἐπεὶ ἐν τῇ
τῶν Ἀρμενίων γραφῇ οὐ κεῖται οὕτως, βούλομαι καὶ
ἀλλαχόθεν ποθὲν πληροφορηθῆναι, ὅτι δύο μὲν ὀφεί-
λομεν ὁμολογεῖν ἐπὶ τοῦ Χριστοῦ φύσεις μετὰ τὴν
ἕνωσιν, μίαν δὲ οὔ. Ο ΘΕΩΡΙΑΝΟΣ.
ῥᾷστον τοῦτο συνιδεῖν, τῷ μὴ κακουργεῖν ἐθέλοντι. Ο
ΚΑΘΟΛΙΚΟΣ. μὴ μοι γένοιτο κακουργῆ-
σαί ποτε, καὶ μάλιστα ἐν τοῖς θείοις, μήτε μὴν ἄλλῳ
τινὶ τῶν κατὰ Χριστὸν ζῆν ἑλομένων· ἀλλὰ βεβαιωθῆ-
ναι ἐπιζητῶ, ἵνα μὴ ἀπροσέκτως καὶ κατὰ συναρ-
παγὴν ποιήσωμαι τὴν ἀπόφασιν. Ο ΘΕΩΡ.
ὁμολογεῖς ἑνωθῆναι τὰς φύσεις ἀτρέπτως καὶ ἀναλλοιώ-
τως; Ο ΚΑΘΟΛ. πάνυ μὲν οὖν. καὶ γὰρ
ὁ ἅγιος Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ οὕ-
τω φησίν. ἴσον γάρ ἐστιν εἰς ἀτοπίας λόγον, τὸ εἰπεῖν, ὅτι
μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν· καὶ μὴν κἀ-
κεῖνο, ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν.
ὥσπερ γὰρ τοῦτο ἀμήχανον, (ἄτρεπτος γὰρ καὶ ἀναλλοίω-
τός ἐστιν) οὕτω καὶ τὸ ἕτερον. οὐ γάρ ἐστι τῶν ἐφικτῶν,
εἰς θεότητος οὐσίαν ἤτοι φύσιν μεταχωρῆσαι δύνα-
σθαί τι τῶν κτισμάτων. κτίσμα δὲ καὶ ἡ σάρξ. Ο
ΘΕΩΡΙΑΝΟΣ. ἀπήλλαξας ἡμᾶς πραγμά-
των, τὸν ἐν ἁγίοις Κύριλλον μάρτυρα παραγαγὼν τοῦ
ἡμετέρου λόγου. εἰ γὰρ οὐκ ἔστιν ἐφικτὸν εἰς θεότητος οὐσίαν
ἤτοι φύσιν μεταχωρῆσαί τι δύνασθαι τῶν κτισμάτων, κτί-
σμα δὲ καὶ ἡ σάρξ, εἰπὲ σὺ αὐτὸς, τί ἐκ τούτου συνάγεται.

A quoniam igitur ex animo & corpore, quæ
diuersæ naturæ sunt, vna natura hominis
absoluitur, atque dicitur: non absurdum
arbitror, ex diuinitate humanitatéque
Christi, vnam absolui dicique naturam. Hoc
soluito, ac satisfactum nobis erit. THEO-
RIANVS. Satis erat magnæ sanctitati tuæ
ad hoc, vt perspiceres, non vnam esse dicen-
dam naturam in Christo post vnionem, pro-
lata sancti viri, Gregorij Theologi, à nobis
auctoritas; quæ exstat in altera de filio ora-
tione, ac huiusmodi verba continet: Licet
vtraque natura copulata, sit quiddam vnum;
non tamen hoc à natura est, sed propter
B coitionem. Quum ergo dicit, Non hoc à
natura est, dare scilicet prohibet, ne vtraque
copulata, vnum natura dicantur. quid dilu-
cidius hoc requiris? GENERALIS. Sic
textus in Armenica scriptura non habet.
THEORIANVS. Mendosus est ergo liber
tuus. Mox Theorianus, qui eius dicti Syria-
cam interpretationem excerptam haberet,
eam Generali porrigens, ait: Lege domine.
Generalis autem arcessito quodam ex iis
qui Syriacè legere nossent, legi iussit, & ita
scriptum reperit, vti Theorianus dixerat.
Itaque Theorianus: Hoccine sufficit, in-
quit, domine? an etiam & aliam requiris
C auctoritatem? nam equidem Syriacè non
noui, sed ita perscriptum in Syrorum libris
Cessuuij reperi; atque hoc reperto, maximo-
pere gauisus sum. GENERALIS. Quan-
do in Armeniorum scriptura textus ita non
habet; aliunde certior fieri volo, debere nos
duas in Christo naturas post vnionem fateri,
non vnam. THEORIANVS. Facillimum
id quidem ei perspectu qui agere malitio-
se nolit. GENERALIS. Mihi vero ne
contingat vnquam agere malitiose, præ-
sertim diuinis in rebus; nec vlli alij, qui
ex Christi præscripto viuere velit: sed
D confirmari desidero, ne inconsideratè,
pérque subreptionem pronuntiem. THEO-
RIANVS. Fateris vnitas esse naturas ci-
tra mutationem & alterationem? GE-
NERALIS. Omnino. quippe sanctus ille
Cyrillus in epistola ad Successum sic ait: Par
est, quod absurditatem adtinet, dicere; cor-
pus esse mutatum in naturam diuinitatis: &,
Sermonem esse mutatum in naturam car-
nis. nam sicut hoc fieri nequit, quum
ipse sermo sit incommutabilis & alteratio-
nis expers; ita nec illud alterum. non enim
E creatorum quidquam ad naturam diuini-
tatis transire potest. & caro quoque crea-
tura est. THEORIANVS. Ipse nos sub-
leuasti à negotiis, qui sanctum Cyrillum
testem doctrinæ nostræ produxeris. Nam
si fieri nequit, vt in substantiam vel na-
turam diuinitatis creatum aliquod trans-
eat; & ipsa quoque caro, creatum est:
quidnam de hoc colligatur, ipse dicito.

* ἐν τῇ

Naturæ vniuntur citra mutationem.

GENERALIS. Quid hoc sit ignoro. quid nam est quod colligis? THEORIANVS. Carnem & sermonem non vnam esse naturam. GENERALIS. Equidem non oblitus sum eorum quæ à sancto Cyrillo prolata sunt antea, quum diceret: Quale quiddam est homo, ex animo & corpore constans. nam ea diuersæ sunt formæ, nec eiusdem inter se substantiæ: verum vnita, naturam hominis vnam absoluunt. En heic quoque naturæ duæ, anima, & corpus. neque tamen vel anima corporis in naturam conuersa est, nec corpus in animæ naturam transit: sed ambobus intra fines suos manentibus, vna de his absoluta natura est. itaque non est ex eorum numero, quæ fieri nequeunt, ex duabus naturis vnam fieri naturam. nam ecce hoc in hominis est compositione. THEORIANVS. Exemplum illud nostræ compositionis ad hoc duntaxat à sancto Cyrillo est vsurpatum, vt ostenderet, posse de duabus ac diuersis naturis vnam hypostasin fieri: sicut ex animo & corpore, Petrus verbi gratia, vel Paulus. Pugnans enim contra Nestorium, qui fieri posse negaret vnam ex diuersis naturis hypostasin, ideoque in duos Christos, & duos filios, vnum & impartibilem Christum stultè diuideret; hominis exemplum adduxit, vt ostenderet, quemadmodum ex anima & corpore constet vnus homo: sic ex diuina humanáque natura Christum vnum existere. Exponamus & causam, si placet, ob quam in homine composito ex anima & corpore, natura dicatur vna. Quippe dicimus, Naturam humanam à Christo instauratam: non autem, naturas instauratas: Itidem quoties diui patres duas naturas in Christo dicunt, animam & corpus, vnam naturam accipiunt. At in Christo naturam vnam dicere prohibitum est. GENERALIS. Cognoscere primum cupio, à quibus sit prohibitum, naturam vnam in Christo dicere: deinde causam, ob quam sit prohibitum, si placet, audiemus. nam mihi quidem ab aliquo sanctorum Patrum hoc esse prohibitum, non videtur. THEORIANVS. Ex eo, quod duas illi naturas dicunt, vnam non esse dicendam, intelligitur. Nam si duæ, non vna: sin vna, non duæ. GENERALIS. Ex eo dumtaxat prohibitum ais, quod duas ipsi dicant: an & auctoritates habes, quæ hoc disertè prohibeant? THEORIANVS. Satis hoc esse tibi debebat, verum & sanctorum magnorúmque hominum auctoritates habeo, disertè hoc prohibentes. Ac Gregorij quidem Theologi dictũ illud, licet vtraque natura copulata, sit vnum quiddam, non tamen hoc à natura est: illud igitur omittere lubet, quando tu sic in Armenici libri textu scriptũ negas: producam vero sanctum illũ Ambrosiũ, Mediol. episcopũ sic expresse loquentem in libro aduersus Apollinarium:

Locus Cyrilli de anima & corporis vnione explicatur.

Cur natura vna in homine composito ex animo & corpore.

Ambrosius de incarnationis sacramẽto, cap. 6.

A Ὁ ΚΑΘΟΛ. Τί τοῦτο οὐκ οἶδα. τί ἐστιν ὃ συνάγεις; Ὁ ΘΕΩΡ. ὅτι οὐκ ἔστιν ἡ σὰρξ καὶ ὁ λόγος μία φύσις. Ὁ ΚΑΘΟΛ. ἐγὼ οὐκ ἐπιλαθόμενος τῶν ἄνω ῥηθέντων παρὰ τοῦ ἁγίου Κυρίλλου, ὁπηνίκα ἔλεγεν· ὁποῖόν τι χρῆμά ἐστιν ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος. ἑτεροειδῆ μὲν γὰρ τὰ τοιαῦτα, καὶ ἀλλήλοις οὐχ ὁμοούσια, ἑνωθέντα γε μὴν, μίαν ἀνθρώπου φύσιν ἀπετέλεσαν. ἰδοὺ δύο φύσεις καὶ ἐνταῦθα, ψυχὴ καὶ σῶμα. καὶ οὔτε ἡ ψυχὴ εἰς σώματος μετετράπη φύσιν, οὔτε τὸ σῶμα εἰς φύσιν B ψυχῆς μετεχώρησεν· ἀλλ᾽ ἑκατέρων ἐν τοῖς ἰδίοις μενόντων ὅροις, μία ἐκ τούτων φύσις ἀπετελέσθη. οὐκ ἔστιν οὖν τῶν ἀνεφίκτων, ἐκ δύο φύσεων μίαν φύσιν γενέσθαι. ἰδοὺ γὰρ, ἐπὶ τῆς συνθέσεως τοῦ ἀνθρώπου τοῦτό ἐστιν. Ὁ ΘΕΩΡ. τὸ παράδειγμα τῆς καθ᾽ ἡμᾶς συνθέσεως εἰς τοῦτο μόνον ἐλήφθη τῷ ἁγίῳ Κυρίλλῳ, εἰς τὸ δεῖξαι, ὅτι δυνατόν ἐστιν ἐκ δύο καὶ διαφόρων φύσεων μίαν γενέσθαι ὑπόστασιν, ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ὁ Πέτρος, τυχὸν, ἢ ὁ Παῦλος. τῷ γὰρ Νεστορίῳ * μαχόμενος, ἀδύνατον λέγοντι ἐκ C διαφόρων φύσεων μίαν γενέσθαι ὑπόστασιν, καὶ διὰ τοῦτο εἰς δύο Χριστοὺς, καὶ δύο υἱοὺς, τὸν ἕνα Χριστὸν καὶ ἀμέριστον ἀφρόνως καταμερίζοντι, ἤγαγε τὸ παράδειγμα τοῦ ἀνθρώπου, εἰς τὸ δεῖξαι, ὅτι ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπος εἷς, οὕτως ἐκ θεότητος καὶ ἀνθρωπότητος εἷς Χριστός. Εἰ δὲ βούλει, εἴπωμεν καὶ τὴν αἰτίαν, δι᾽ ἣν ἐπὶ μὲν τοῦ ἀνθρώπου τοῦ ἐκ ψυχῆς συγκειμένου καὶ σώματος, φύσις μία λέγεται. λέγομεν γὰρ, τὴν φύσιν τῶν ἀνθρώπων ἀνεκαίνισεν ὁ Χριστὸς, οὐ λέγομεν, τὰς φύσεις. ἀλλὰ καὶ D ὅταν οἱ θεῖοι πατέρες δύο φύσεις λέγουσιν ἐπὶ τοῦ Χριστοῦ, τὴν ψυχὴν καὶ τὸ σῶμα ὡς μίαν φύσιν λαμβάνουσιν. ἐπὶ δὲ τοῦ Χριστοῦ μίαν φύσιν λέγειν κεκώλυται. Ὁ ΚΑΘΟΛ. βούλομαι μαθεῖν πρῶτον παρὰ τίνων κεκώλυται μίαν φύσιν λέγειν ἐπὶ τοῦ Χριστοῦ, καὶ τότε καὶ τὴν αἰτίαν, δι᾽ ἣν τοῦτο κεκώλυται, ἀκουσόμεθα, εἰ δοκεῖ. ἐμοὶ γὰρ οὐ δοκεῖ ὅτι κεκώλυται παρά τινος τῶν ἁγίων πατέρων. Ὁ ΘΕΩΡ. ἀπὸ τοῦ λέγειν δύο φύσεις, νοεῖται, ὅτι οὐ μία. Εἰ γὰρ δύο, οὐ μία. Εἰ δὲ μία, οὐ δύο. Ὁ E ΚΑΘΟΛ. ἀπὸ τούτου μόνον λέγεις ὅτι κεκώλυται, ἐκ τοῦ λέγειν, δύο· ἢ καὶ χρήσεις ἔχεις, ῥητῶς τοῦτο κωλυούσας; Ὁ ΘΕΩΡ. ἔδει ἀρκεσθῆναι ἀπὸ τούτου. πλὴν καὶ χρήσεις ἁγίων μεγάλων ἔχω, τοῦτο κωλυούσας ῥητῶς. καὶ τὴν μὲν χρῆσιν τοῦ Θεολόγου, τὴν λέγουσαν· εἰ γὰρ τὸ συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ φύσει, παρήσειν μοι δοκῶ, διὰ τὸ λέγειν σε, μὴ κεῖσθαι οὕτως ἐν τῷ Ἀρμενικῷ βιβλίῳ· παράγω δὲ τὸν ἅγιον Ἀμβρόσιον τὸν Μεδιολάνων, οὕτω διαρρήδην ἐν τῷ λόγῳ τῷ κατὰ Ἀπολιναρείου λέγοντα·

Emergunt

ἀνεφάνησαν ἕτεροι, τὴν σάρκα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς εἶναι φύσεως λέγοντες. ποῖος ᾅδης τὴν τοιαύτην βλασφημίαν ἐξήμεσεν; τὰ αὐτὰ καὶ ὁ θεῖος Γρηγόριος ὁ Νύσσης βοᾷ, ἐν τῷ λόγῳ καὶ αὐτὸς τῷ κατὰ Ἀπολιναρίου λέγων· εἰ οὖν ἐν τοῖς ὑπεναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω, καὶ τῆς θεότητος· πῶς μία αἱ δύο εἰσίν; ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μοναχὸν ἐπιστολῇ φησίν· ἕνα υἱὸν, ἓν πρόσωπον τὰ συναμφότερα, γνωριζόμενον μέν τοι ἀσυγχύτως, ἀδιαιρέτως, λέγω· οὐκ ἐν μιᾷ μόνῃ φύσει, ἀλλ᾽ ἐν δυσὶ τελείαις. τί πρὸς ταῦτα φῄς; Ο ΚΑΘΟΛΙΚΟΣ. οὐκ ἔστι καιρὸς νῦν ἀποφαίνεσθαί με, ἀλλὰ μόνον γυμνάζειν. ὅταν δὲ εἴη καιρὸς, μετὰ τῆς πρεπούσης ἀσφαλείας καὶ ἀκριβείας τὸ δοκοῦν μοι ἀποφανοῦμαι. ἀλλ᾽ εἰ κελεύεις, πλήρωσον τὴν ὑπόσχεσιν. Ο ΘΕΩΡΙΑΝΟΣ. ποίαν; Ο ΚΑΘΟΛΙΚΟΣ. εἰπὲ τὴν αἰτίαν, δι᾽ ἣν κεκώλυται λέγειν μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. ὧν μία φύσις, κοινὸς ὁ λόγος. ὧν δὲ κοινὸς ὁ λόγος, καὶ ἡ ὕπαρξις ὁμοούσιος. οὐδέποτε δὲ ἐστὶν ὁμοούσιος ἡ θεότης τοῦ Χριστοῦ τῇ ἀνθρωπότητι αὐτοῦ. οὐκ ἄρα εἷς ποτὲ τούτων ὁ λόγος. ὧν δὲ μηδέποτε εἷς ὁ λόγος, ὅτι τούτων ἀεὶ αἱ φύσεις διάφοροι, παντί που δῆλον. ὥσπερ γὰρ καταφάσει ἀπόφασις ἀντίκειται, οὕτω καὶ τὸ λέγειν, δύο φύσεις ἐστὶν ὁ Χριστὸς, τῷ λέγειν, μία. οὐδέποτε δὲ κατάφασις καὶ ἀπόφασις κατὰ τοῦ αὐτοῦ συναληθεύουσιν. οὐδέποτε ἄρα αἱ δύο, μία, καὶ εἰ δοκεῖ, λογικώτερον βασανίσωμεν τὸ παρὸν θεώρημα. Ο ΚΑΘΟΛΙΚΟΣ. πάνυ μὲν οὖν. Ο ΘΕΩΡΙΑΝΟΣ. πᾶν ὄν, εἰ ἔστιν ἓν καὶ πολλὰ, οὐκ ἔστι κατ᾽ αὐτὸ ἓν καθ᾽ ὃ καὶ πολλά· ἀλλ᾽ εἰ ἔστιν ἓν καὶ πολλὰ, κατ᾽ ἄλλο ἐστὶν ἓν, καὶ κατ᾽ ἄλλο πολλά. πολλὰ δὲ λέγω, τὰ πλέον τοῦ ἑνός. οἷον φέρε εἰπεῖν ἐπὶ τῆς ἁγίας τριάδος. αὐτὴ γὰρ ἕν ἐστι καὶ πολλὰ, ἓν μὲν τῇ φύσει, πολλὰ δὲ ταῖς ὑποστάσεσι. κατ᾽ ἄλλο τοιγαροῦν ἐστὶν ἓν, καὶ κατ᾽ ἄλλο πολλά. ἀδύνατον λοιπὸν κατ᾽ ἐκεῖνο εἶναι πολλὰ, καθ᾽ ὃ ἐστὶν ἓν, ἢ κατ᾽ ἐκεῖνο εἶναι ἓν, καθ᾽ ὃ πολλά. εἰ γὰρ δυνατὸν, ἔστω ἡ θεότης κατὰ τὰς ὑποστάσεις ἓν (ἀλλ᾽ ἀμήχανον) ἢ πάλιν, ἔστω κατὰ τὴν οὐσίαν πολλά· ἀλλὰ καὶ τοῦτο ἀμήχανον. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ὁμολογεῖται ἓν εἶναι, κατὰ τὴν ὑπόστασιν. πάλιν ὁμολογεῖται κατὰ τὰς χρήσεις τῶν ἁγίων πατέρων, δύο εἶναι τὸν Χριστὸν, κατὰ τὰς φύσεις. ἀδύνατον λοιπὸν, ἓν εἶναι κατὰ τὰς φύσεις. πᾶν ἄρα ὄν, εἰ ἔστιν ἓν καὶ πολλὰ, κατ᾽ ἄλλο ἐστὶν ἓν, καὶ κατ᾽ ἄλλο πολλὰ, ὅπερ ἔδει δεῖξαι, ἵνα καὶ γεωμετρικῶς εἴπωμεν. καὶ γὰρ γεωμετρικῆς ἀνάγκης, τὸ δὴ λεγόμενον, ἀποδέδεικται τὸ θεώρημα.

A Emergunt alij, qui carnem domini dicant, & diuinitatem, vnius esse naturæ. Quæ tantum sacrilegium inferna vomuerũt? Eadem diuus ille Gregorius Nyssenus, in libro & ipse aduersus Apollinarim scripto, clamat: Si ergo in aduersantibus sibi proprietatibus, horum vtriusque natura cernitur, carnis inquam, & diuinitatis: quomodo duæ sunt vna? D. quoque Chrysost. in epist. ad Acacium monachũ ait: vnum filium, vnam dico personã, vtraque copulata; quæ tamen citra confusionem, ac diuisionem, adgnoscatur: non in vna sola natura, sed in perfectis naturis duabus. Quid ad B hæc ais? GENERALIS. Non iam hoc pronuntiandæ sententiæ, sed exercitationi modò destinatum tempus est. Suo vero tempore quid mihi videatur, adhibita cautione cõuenienti & accurato iudicio, pronuntiabo. Ceterum si placet, promisso fac satis. THEORIANVS. Cui? GENERALIS. Causam dicito, propter quam prohibitũ sit, vnam in Christo naturã dicere. THEORIANVS. Quorum vna natura est, eorum & cõmunis est ratio: quorum vero ratio est communis, eorum & eiusdem substantiæ est existentia. Nunquam vero Christi C diuinitas eiusdem est substantiæ cum eius humana natura: itaque non potest horũ vna esse ratio. quorum vero numquam vna ratio est, eorum naturas semper à se inuicem differre, cuiuis est perspicuum. quippe sicut neganti opponitur aiens, sic dicere, Christum naturas esse duas, opponitur illi, Christum esse naturam vnam. Numquam vero negans & aiens de eodem pariter vera sunt. ergo numquam duæ sunt vna. Quòd si placet, etiã modo logicæ disciplinæ magis accõmodato theorema propositum examinemus. GENERALIS. Placet omnino. THEOR. Quidquid D existit, si vnum est, & plura: non secundum id vnum est, secundum quod plura: sed si est vnum & plura, secundum aliud est vnum, & secundum aliud plura. Plura vero dico, quæ plus vno sunt. sicut exẽpli gratia videmus in sacrosancta Trinitate, quæ vnum est, & plura. vnum natura, plura personis. Igitur alterius respectu, est vnum; & alterius, plura. Nequit ergo fieri, vt eatenus plura sit, quatenus est vnum: vel eatenus vnum, quatenus plura. nam si fieri potest, esto diuinitas secundum hypostases vnum quiddam: (nequit autem E hoc esse) vel vicissim secundum substantiam multa sit, quod ipsum quoq; non potest esse. Sic & de Christo, pro cõfesso est, vnum quid esse, secũdum hypostasin. Rursus in confesso est, iuxta sanctorũ patrum auctoritates Christum esse duo, respectu naturarum. nequit ergo fieri, vt vnum sit, quoad naturas. Quidquid igitur existit, si vnũ est, & plura: respectu alterius vnum est, & alterius respectu, plura: quod demonstrandũ erat, vt Geometrarum more loquamur. Per Geometricas. n. necessitates, quas vocãt, theorema demõstratũ est.

Rationem reddit cur nõ liceat dicere naturam vnã in Christo.

Demonstratio Geometrica: quæ docet vnum & plura de eodem dici non posse res ectu eiusdem.

GENERALIS. Ego naturam vnam dico respectu indireptæ vnionis, ne Christus in duos Christos diuidatur. THEORIANVS. Vtram ergo naturam dicis? diuinam, an humanam? an præter has aliam? nec diuinam scilicet nec humanam? GENERALIS. Vnam naturam compositam dico ex diuinitate ac humanitate. THEORIANVS. Si vnam naturam compositam dicis, mutationem & confusionem naturarum introducis, ex quibus vna fuerit composita natura. Iam, si placet, in vna quadam composita natura propositam quæstionem exploremus: Hoc lignum vnius est omnino compositæ naturæ. Nam ex terra, & aqua, & igne, & aëre constat, & est iam vna natura de his composita. verùm mutatio & alteratio præcessit earum naturarum, de quibus factum est: & iam nec est, nec dicitur aliquid earum naturarum, de quibus est compositum. quippe nec ignis est, nec esse dicitur, nec aliud quid eorum, quæ ad ipsius compositionem concurrerunt. At ea non est in Seruatore ratio, sed naturæ manserunt incommutabiles, vnione indissolubili ad perfectionem vnius hypostasis coëuntes: at nunc quælibet in vnum coëuntium naturarum & est & dicitur mutationis expers. propterea idem perfectus Deus, & homo perfectus est atque dicitur. quippe non antegressa est eorum aliqua mistio, vel mutatio, vel confusio, quæ ad constituendum Emmanuelem coiuerunt. neque igitur vlla natura composita esse Christus. nam hoc in ligno, aliisque talibus locum habet. GENERALIS. Cur sancti patres exemplum illud hominis vbique sursum (quod aiunt) ac deorsum ac dispensationem seruatoris accommodant, siquidem eius similitudinem non retinet, cuius exemplum est? THEORIANVS. Proferunt illi sancti viri hoc de nobis ipsis exemplum, ad declarandum istud circa Emmanuelem mysterium, vt demonstrent; vnum esse Christum, non duos, vti Nestorius aiebat, vt superius est indicatum: licet exemplum ipsum in altero non procedat. GENERALIS. Quantum ergo prodesse videtur ad institutum tuum, tantum de hoc exemplo admittis: quantum vero repugnat, reiicis. THEORIANVS. Merito id quidem. Hoc enim scriptura sacra in exemplis facere consueuit. Nimirum alicubi seruator noster ad discipulos suos inquit: Sequimini me, ac faciam vos piscatores hominum. Ergo si exemplum per omnia seruabimus, dicendum erit, apostolos è vita traxisse homines ad mortem. hoc enim piscator facit. trahit pisces ad eorum interitum. sed absit, vt ita de rebus Christianis sentiamus. Rursus alio loco scriptura de Christo dicit: Procumbens sopitus est instar leonis, & catuli leonini: quis excitabit eum?

Probat in Christo esse non posse naturam compositam ex diuina & humana.

Exemplorum in sacris ratio hæc est, non vt in omnibus conueniant, sed in his solis quæ ad rem videntur facere.

Genes. 49.

A Ο ΚΑΘΟΛΙΚΟΣ. ἐγὼ μίαν φύσιν κατὰ τὴν ἀδιάσπαστον λέγω ἕνωσιν, ἵνα μὴ εἰς δύο μερισθῇ Χριστοὺς ὁ Χριστός. Ο ΘΕΩΡΙΑΝΟΣ. ποταπὴν φύσιν τέως λέγεις; θείαν, ἢ ἀνθρωπίνην; ἢ ἑτέραν παρὰ ταύτας; μήτε θείαν, μήτε ἀνθρωπίνην; Ο ΚΑΘΟΛΙΚΟΣ. μίαν φύσιν σύνθετον λέγω ἐκ θεότητος καὶ ἀνθρωπότητος. Ο ΘΕΩΡΙΑΝΟΣ. εἰ μίαν φύσιν σύνθετον λέγεις, τροπὴν καὶ σύγχυσιν εἰσάγεις τῶν φύσεων, ἐξ ὧν ἡ μία σύνθετος ἐγένετο φύσις. καὶ γυμνάσωμεν, εἰ δοκεῖ, ἐπὶ μιᾶς τῶν συνθέτων φύσεων

B τὸ προκείμενον ζήτημα· τόδε τὸ ξύλον μιᾶς συνθέτου φύσεως πάντως ἐστί. σύγκειται γὰρ ἐκ γῆς καὶ ὕδατος, καὶ πυρός, καὶ ἀέρος, καὶ νῦν ἐστι μία φύσις ἐκ τούτων σύνθετος. ἀλλὰ προηγήσατο τροπὴ καὶ ἀλλοίωσις τῶν ἐξ ὧν ἐγένετο, φύσεων. καὶ νῦν οὔτε ἐστίν, οὔτε λέγεταί τι τῶν, ἐξ ὧν συντέθειται, φύσεων. οὔτε γὰρ πῦρ ἐστιν, οὔτε λέγεται, οὔτε ἄλλο τι τῶν εἰς τὴν σύνθεσιν αὐτοῦ συνελθόντων. ἐπὶ δὲ τοῦ σωτῆρος οὐχ οὕτως, ἀλλὰ μεμενήκασιν αἱ φύσεις ἄτρεπτοι καὶ ἀναλλοίωτοι,

C συνελθοῦσαι καθ' ἕνωσιν ἀδιάσπαστον εἰς μιᾶς συμπλήρωσιν ὑποστάσεως. καὶ νῦν καὶ ἔστι καὶ λέγεται ἑκάστη τῶν συνελθουσῶν φύσεων ἀμετάβλητος. διὸ τέλειος Θεός, καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς καὶ ἔστι καὶ λέγεται. οὐ γὰρ προηγήσατο φυρμός, ἢ τροπή, ἢ σύγχυσις τῶν εἰς τὴν σύνθεσιν τοῦ Εμμανουὴλ συνελθόντων. διὸ οὐδὲ μία φύσις σύνθετος δύναται εἶναι ὁ Χριστός. τοῦτο γὰρ ἐπὶ τοῦ ξύλου καὶ τῶν ἄλλων τῶν τοιούτων συμβαίνειν πέφυκεν. Ο ΚΑΘΟΛ. τὸ παράδειγμα τοῦ ἀνθρώπου διατί πανταχοῦ ἄνω καὶ κάτω οἱ ἅγιοι ἐπὶ τῆς οἰκονομίας τοῦ σωτῆρος παραλαμβάνουσιν, ἐὰν τὴν ὁμοίωσιν οὐ φυλάττει τοῦ, οὗ ἐστι παρά-

D δειγμα; Ο ΘΕΩΡ. παραφέρουσιν οἱ ἅγιοι τὸ καθ' ἡμᾶς αὐτοὺς παράδειγμα εἰς τὸ κατὰ τὸν Εμμανουὴλ μυστήριον, ὅσον πρὸς τὸ δεῖξαι, ὅτι εἷς Χριστός, καὶ οὐ δύο, ὡς ὁ Νεστόριος ἔλεγεν, ὡς ἀνωτέρω εἴρηται. κατὰ τὸ ἕτερον τὸ παράδειγμα οὐ προβαίνει. Ο ΚΑΘΟΛΙΚΟΣ. ὅσον δοκεῖ συμβάλλεσθαι τῷ σκοπῷ σου, ἐκ τοῦ παραδείγματος δέχῃ· ὅσον δὲ ἀντίκειται, ἀποδοκιμάζεις. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ μάλα εἰκότως. τοῦτο γὰρ ἔθος τῇ θείᾳ γραφῇ ἐπὶ τῶν

E παραδειγμάτων ποιεῖν. ἔφη γάρ που ὁ σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. εἰ οὖν δι' ὅλου τηρήσομεν τὸ παράδειγμα, εἴπωμεν τοὺς ἀποστόλους ἀνελκύσαι τοὺς ἀνθρώπους ἐκ ζωῆς εἰς θάνατον. τοῦτο γὰρ ποιεῖ ὁ ἁλιεύς· ἕλκει τοὺς ἰχθῦς εἰς ἀπώλειαν αὐτῶν. ἀλλὰ μὴ γένοιτο οὕτω φρονῆσαι τὰ τῶν Χριστιανῶν. καὶ ἀλλαχοῦ περὶ τοῦ Χριστοῦ φησιν ἡ γραφή· ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;

Εἰ οὖν μὴ πρὸς τὸ εὐσεβὲς τὰ τοιαῦτα ἐκλαμβανοίμεθα, καὶ πρὸς τὸν σκοπὸν τῆς θείας γραφῆς αὐτὰ ἀποφέρωμεν, καὶ μόνον πρὸς ὅπερ ἐλήφθησαν, ἑρμηνεύσωμεν, οὐ μόνον εἰς ἀτοπίας ἀλλὰ καὶ ὕβρεις ἀπείρους καταλισθήσομεν. Ο ΚΑΘΟΛΙΚΟΣ. Σοφώτατα λέγεις. ἀλλ' ὥσπερ σὺ λέγεις, ὅτι εἴληπται τοῖς ἁγίοις τὸ τοῦ ἀνθρώπου παράδειγμα πρὸς μόνον τὸ δεῖξαι, ὅτι ὥσπερ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπος εἷς, οὕτως ἐκ θεότητος καὶ ἀνθρωπότητος εἷς Χριστός· οὕτω δύναμαι κἀγὼ εἰπεῖν, ὅτι εἰς τοῦτο παραλαμβάνουσι τὸ παράδειγμα τοῦ ἀνθρώπου, εἰς τὸ δεῖξαι, ὅτι ὥσπερ ψυχὴ καὶ σῶμα μίαν ἀνθρώπου φύσιν ἀποτελέσουσιν, ὥς φησιν ὁ ἅγιος Κύριλλος, οὕτω καὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος μία φύσις ἀπετελέσθη, καὶ οὔτε ἐν τῷ ἀνθρώπῳ τροπὴ τὴν ἑξῆς συντεθεισῶν φύσεων παρηκολούθησεν, οὔτε ἐν τῷ Χριστῷ. Ο ΘΕΩΡΙΑΝΟΣ. Εἰ μὴ ἐκεκώλυτο παρὰ τῶν ἁγίων πατέρων, τὸ λέγειν μίαν ἐπὶ τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν φύσιν, ἴσως ἂν ἐτόλμησέ τις καὶ οὕτως, ὡς σὺ φῄς, ἐκλαβεῖν τὸ παράδειγμα· κἂν ἡ τῶν πραγμάτων φύσις οὕτως αὐτὸ ἐκλαμβάνεσθαι οὐκ ἐᾷ, ὡς δειχθήσεται· νυνὶ δὲ τοσούτων καὶ τηλικούτων ἁγίων, ὡς βλάσφημον, αὐτὸ κωλυσάντων (ποῖος ᾅδης, φησὶν ὁ θεῖος Ἀμβρόσιος, τοιαύτην βλασφημίαν ἐξήμεσεν;) ὡς εὐσεβὲς παραδέχεσθαι, ἀνθρώπου νοῦν οὐκ ἔχοντος, οὐδὲ φρένας, ἐστίν. Ο ΚΑΘΟΛΙΚΟΣ. Εἶπας ἄνω, ὅτι οὔτε ἡ φύσις τῶν πραγμάτων οὕτως ἐᾷ ἐκλαμβάνεσθαι. τί οὖν ἐστι τὸ κωλῦον; καὶ πῶς ἡ φύσις τῶν πραγμάτων ἐν τούτοις ἀντίκειται; Ο ΘΕΩΡΙΑΝΟΣ. ἡ φύσις ἐπὶ τῶν καθόλου καὶ κοινῶν λέγεται, οὐκ ἐπὶ τῶν μερικῶν καὶ ἀτόμων. ὁ οὖν ἄνθρωπος καθόλου ἐστί. κατὰ γὰρ Πέτρου, καὶ Παύλου, καὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων κατηγορεῖται. διὸ καὶ μία φύσις λέγεται. πάντες γὰρ οἱ ἄνθρωποι ἐκ ψυχῆς λογικῆς εἰσι, καὶ σώματος, καὶ τὸν ὅρον τοῦ ἀνθρώπου ἐπιδέχονται, ὅς ἐστι, ζῶον λογικὸν, θνητόν. ὁ δὲ ὅρος τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος δηλοῖ. διὰ τοῦτο τὰ ἄτομα ἴδιον ὅρον οὐκ ἔχουσιν. ὁ δὲ Χριστὸς οὐκ ἔστι καθόλου, οὐδὲ κοινόν. μία γὰρ ὑπόστασίς ἐστι, καὶ ἓν πρόσωπον, καὶ οἷον ἄτομον. οὐ γάρ εἰσιν ἄλλοι Χριστοὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος, ἵνα κατ' ἐκείνων κατηγορηθῇ. διὸ οὐδὲ μία φύσις δύναται εἶναι. μερικὴν γὰρ φύσιν, καὶ ἄτομον, ἀμήχανον εὑρεῖν· ἀλλὰ πᾶσα φύσις καθόλου ἐστὶ, καὶ κατὰ πλειόνων λέγεται. αὐτίκα γὰρ ἡ θεία φύσις κατηγορεῖται κατὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· καὶ ἡ τῶν ἀγγέλων φύσις, κατὰ Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ τῶν λοιπῶν· καὶ ἡ τῶν ἀνθρώπων, κατὰ Σωκράτους, καὶ Πλάτωνος, καὶ τῶν κατὰ μέρος ἀνθρώπων.

A Itaque nisi piè huiusmodi accipiamus, & ad sacræ scripturæ scopum ea dirigamus, atque interpretando dumtaxat eò referamus quò pertinent: non tantum in absurditates sed etiam contumelias infinitas prolabemur. GENERALIS. Sapientissimè loqueris. verùm vti tu dicis, exemplum hoc hominis eò tantum à sanctis patribus vsurpatum, vt ostendatur, quemadmodum ex anima & corpore vnus homo constet; ita & Christum vnum ex diuinitate humanitatéque constare: sic & ipse dicere possum, eos ad hoc sumere istud hominis exemplum, vt ostendant, B perinde atque anima & corpus vnam hominis naturam absoluant, vti sanctus Cyrillus loquitur: ita etiam ex diuinitate atque humanitate naturam vnam esse absolutam, nec in homine mutationem naturarum deinceps compositarum comitatam, nec in Christo. THEORIANVS. Nisi prohibitum esset à sanctis patribus, nec vnam in Christo naturam, post factam vnionem, dicamus: fortassis ausus fuisset aliquis itidem, vt tu dicis, hoc exemplum interpretari; licet ipsa rerum natura sic illud accipi non permittat, vti demonstrabitur. Nunc quum tales ac tot C sancti viri hoc prohibuerint, tamquam sacrilegum: (Quæ, inquit diuus ille Ambrosius, tantum sacrilegium inferna vomuerunt?) ceu pium recipere, hominis nulla mente prædiri fuerit. GENERALIS. Dixisti supra, ne ipsam quidem rerum naturam pati, vt sic accipiatur. quidnam igitur est impedimento? quove pacto natura rerum in his aduersatur? THEORIANVS. Natura de vniuersalibus & communibus dicitur, non de particularibus & indiuiduis. Homo quiddam est vniuersale. nam de Petro, & Paulo, & omnibus singillatim hominibus prædicatur. quapropter & D vna natura dicitur. Omnes enim homines ex anima ratione prædita & corpore constant, hominísque definitionem recipiunt, nimirum hanc: Animal ratione præditum, mortale. Definitio vero naturam rei subiectæ demonstrat. quam ob causam indiuidua propriam definitionem non habent. Christus autem nec vniuersale, nec commune quiddam est. vna nimirum est hypostasis, vna persona, quasique indiuiduum. non enim alij Christi sunt, ex diuinitate E atque humanitate constantes, de iis vt prædicetur. Eapropter vna nequit esse natura. nam particularis & indiuidua natura reperiri nequit: sed omnis natura vniuersalis est, deque pluribus dicitur. Non longè abeamus. natura diuina prædicatur de patre, de filio, & spiritu sancto: itidémque angelorum natura de Michaelo, Gabrielo, & cæteris: hominum denique, de Socrate, Platone, & de reliquis particularim hominibus.

Retorquet Generalis exemplum ab anima & corpore vnione ad confirmandum vnam naturã in Christo.

Similiter & bos, & equus aliaque talia, de omnibus sub se indiuiduis. Quoniam ergo natura quiddam est vniuersale, Christus autem quiddam vniuersale non est: manifesto patet, homines recte sentientes nunquam dicturos vnam naturam. Itaque quum & ab ipsa natura rerũ, & à sanctis viris interdictum sit: non modo superuacaneum, sed nimis audax quoque mea fuerit opinione, vnam in Christo naturã dicere. GENERALIS. Meum vero animum Cyrilli verberat auctoritas, quum ait; Vna natura Sermonis incarnati.

De Cyrilli loco.

Nam sæpenumero mecum ipse considerans, perspicere non potui quam ob causam dixerit vnam naturam Sermonis incarnati: quapropter agitata mens mea, ceu dixi, sursumque deorsúmque pedibus suis, vt ita loquar, requietem quærens: tandem in eam sententiam venit, vt diceret: Nisi voluisset indicare, naturam vnam sermonis & carnis esse post vnionem; numquam hoc protulisset. quippe nullus hæreticorum naturas duas Sermonis dixit, vt aduersus illius opinionem diuinus hic vir diceret naturam Sermonis vnam. THEORIANVS. Fortassis illius magni Athanasij librum aduersus Arianos quartum non legisti. quippe si legisses, nullã mens tua succussionem experiretur. Nam ex eo cognoscere licet, Arium tradidisse duas naturas Sermonis: vnam crearam, & alteram increatam. Dicit enim in eo libro magnum illud lumen orbis Athanasius: Beatus ille Alexander Arium expulit ecclesia, proferentem hæc sacrilega: Non semper Deus pater, non semper erat filius. Item, de nihilo filius est, & creatura est, & existendi principium habet. nã quum Deus nos creare vellet, tunc eum propter nos fecit: & ex quo factus fuit, adpellauit eum sermonem, & sapientiam, & filium. Sermonem vel rationem, propter creata sermone rationéq; prædita, quæ condidit: sapientiam, propter eos, quos erudiit: filium, propter eos, quos adoptauit. Addebat etiam, alium esse in patre ã natura, & propriũ substantiæ ipsius Sermonem ac sapientiam, in quo illum fecerit: quodq; natura sua mutationi sit obnoxius, & per communicationem, vt homines iusti, Deus adpelletur; alienus interim à Dei natura. Item vt erucam & bruchum, sic & ipsum potestatem Dei dici. Patrem quoque filio inadspectabilẽ esse. nam filium, qui principiũ habeat, expertem principij nõ posse perfecte cognoscere. Nec tantum illum accurate patris naturam non nosse, sed ne suam quidem. Huiusmodi alia quoque nugabatur. & hæc quidem ex illo magno Athanasio. Dicamus & nos, quæ diuersis ex patribus excerpsimus, vnde suũ ille delirium confirmauerit: Probãs enim, alium esse insitum patri Sermonem, & ipsius substantiæ propriũ, dixisse Christum ad Iudæos aiebat: Noui patrem, & Sermonẽ eius seruo:

Obiectionis solutio.

Athanasius de Ario, cuius errores sigillatim enumerat.

Arij rationes.

ὁμοίως καὶ βόες, καὶ ἵπποι, καὶ τὰ τοιαῦτα, κατὰ πάντων τῶν ὑπ᾽ αὐτὰ ἀτόμων. ἐπεὶ οὖν ἡ φύσις καθόλου ἐστίν, ὁ δὲ Χριστὸς οὐκ ἔστι καθόλου· πρόδηλον, ὅτι μία φύσις κατὰ τῶν εὖ φρονούντων οὐκ ἄν ποτε ῥηθήσεται. ἐπεὶ τοίνυν καὶ παρὰ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων, καὶ παρὰ τῶν ἁγίων κεκώλυται, οὐχ ὑπερεῖπον μόνον, ἀλλὰ καὶ τολμηρὸν ἔμοιγε πῶς δοκεῖ, μίαν φύσιν λέγειν ἐπὶ τοῦ Χριστοῦ. Ο ΚΑΘΟΛ. κλονεῖ μου τὸν νοῦν ἡ χρῆσις τοῦ μακαρίου Κυρίλλου, ἡ λέγουσα, μία φύσις τοῦ σαρκωθέντος λόγου. πολλάκις γὰρ κατ᾽ ἐμαυτὸν σκοπῶν, οὐκ ἠδυνήθην νοῆσαι διὰ ποίαν αἰτίαν εἶπε μίαν φύσιν τοῦ σαρκωθέντος λόγου. κλονούμενος οὖν ὁ νοῦς μου, ὡς εἶπον, ἄνω τε καὶ κάτω ζητῶν τὴν ἀνάπαυσιν, ἵν᾽ οὕτως εἴπω, τοῖς ποσὶν αὐτοῦ, τελευταῖον συγκατατίθεται, λέγων· ὅτι εἰ μὴ ἐβούλετο δηλῶσαι, ὅτι τοῦ λόγου καὶ τῆς σαρκὸς μία φύσις ἐστὶ, μετὰ τὴν ἕνωσιν, οὐκ ἂν τοῦτο εἶπεν. οὐδεὶς γὰρ τῶν αἱρετικῶν εἶπε δύο φύσεις τοῦ λόγου, ἵνα κατὰ τῆς ἐκείνου δόξης ὁ θεῖος οὗτος ἀνὴρ εἴποι μίαν φύσιν τοῦ λόγου. Ο ΘΕΩΡΙΑΝ. ἴσως οὐκ ἀνέγνως τὸν κατὰ Ἀρειανῶν τέταρτον λόγον τοῦ μεγάλου Ἀθανασίου. εἰ γὰρ ἀνέγνως, οὐδένα κλόνον ὁ νοῦς σου ἐκέκτητο. ἔξεστι γὰρ ἐν ἐκείνῳ μαθεῖν, ὅτι ὁ Ἄρειος δύο φύσεις ἔλεγε τοῦ λόγου, μίαν μὲν κτιστὴν, καὶ μίαν ἄκτιστον. λέγει γὰρ ἐν τούτῳ τῷ λόγῳ ὁ μέγας οὗτος τῆς οἰκουμένης φωστὴρ, Ἀθανάσιος· ὁ μακάριος Ἀλέξανδρος ἐξέβαλε τῆς ἐκκλησίας τὸν Ἄρειον, βλασφημοῦντα ταῦτα. οὐκ ἀεὶ ὁ Θεὸς πατὴρ, οὐκ ἀεὶ ἦν ὁ υἱὸς, καὶ ἐξ οὐκ ὄντων ἐστὶ καὶ αὐτὸς, καὶ κτίσμα, καὶ ἀρχὴν ἔχει τοῦ εἶναι. ὅτε γὰρ ὁ Θεὸς ἠθέλησεν ἡμᾶς δημιουργῆσαι, τότε πεποίηκεν αὐτὸν δι᾽ ἡμᾶς· καὶ ἀφ᾽ οὗ γέγονεν, ὠνόμασεν αὐτὸν λόγον, καὶ σοφίαν, καὶ υἱόν· λόγον μὲν, διὰ τὰ λογικὰ, ἃ ἔκτισε· σοφίαν δὲ, δι᾽ οὓς ἐσόφισεν· υἱὸν δὲ, δι᾽ οὓς υἱοθέτησε. προσετίθει δὲ, ὅτι ἕτερος ὁ ἐν τῷ πατρὶ φύσει καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ λόγος καὶ σοφία, ἐν ᾧ τοῦτον πεποίηκε, καὶ ὅτι τῇ ἰδίᾳ φύσει τρεπτός ἐστι, καὶ ὅτι κατὰ μετοχὴν καὶ αὐτὸς, ὡς οἱ δίκαιοι, λέγεται Θεὸς, ἀλλότριος ὢν τῆς φύσεως τοῦ Θεοῦ. καὶ ὥσπερ ἡ κάμπη καὶ ὁ βροῦχος λέγονται δυνάμεις τοῦ Θεοῦ, οὕτω καὶ αὐτός. καὶ ὅτι ὁ πατὴρ ἀόρατός ἐστι τῷ υἱῷ. ἀρχὴν γὰρ ἔχων ὁ υἱὸς, οὐ δύναται γινώσκειν τελείως τὸν ἄναρχον. καὶ οὐ μόνον οὐκ οἶδε μὲν ἀκριβῶς τὴν τοῦ πατρὸς φύσιν, ἀλλ᾽ οὐδὲ τὴν ἑαυτοῦ. ἐλήρει δὲ καὶ ἄλλα τοιαῦτα. ἀλλὰ ταῦτα μὲν ἐκ τοῦ μεγάλου Ἀθανασίου. λέγομεν δὲ καὶ ἡμεῖς, ἀπὸ διαφόρων ἁγίων ἀναλεξάμενοι, πόθεν ἐκεῖνος τὸ ἑαυτοῦ φλυάρημα ἐβεβαίου. κατασκευάζων γὰρ τοῦτο, τὸ, ὅτι ἕτερος ἐστὶν ὁ ἐν τῷ πατρὶ λόγος ἔμφυτος ὢν καὶ ἴδιος τῆς οὐσίας αὐτοῦ, φησὶν ὅτι ὁ Χριστὸς εἴρηκε πρὸς τοὺς Ἰουδαίους· οἶδα τὸν πατέρα, καὶ τὸν λόγον αὐτοῦ τηρῶ·

λόγον ἐκεῖνον ἐνόει, ὃν αὐτὸς ἔλεγεν ἔμφυτον· μὴ συνιῶν, ὅτι λόγον ὁ Χριστὸς ἐνταῦθα τὸ θέλημα τοῦ πατρὸς προσηγόρευσεν, ἔτι ἔλεγεν, εἰπεῖν τὸν πατέρα πρὸς τὸν υἱόν· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. καὶ ἀλλαχοῦ πρὸς τὸν ἐν Ἰορδάνῃ λαόν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. καὶ ἐν τῇ μεταμορφώσει ὁμοίως. εἶτα φησίν· εἰ ὁ πατὴρ διὰ λόγου ἐλάλει πρὸς τὸν υἱόν, ἕτερος ὁ λόγος ἂν εἴη παρὰ τὸν υἱόν. πρὸς τὴν δόξαν οὖν ταύτην διαμαχόμενος ὁ μέγας Ἀθανάσιος, ἔλεγε μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ οὐχὶ μίαν ἄκτιστον καὶ ἰδίαν τῆς οὐσίας τοῦ Θεοῦ, καὶ ἄλλην κτιστὴν καὶ ἀλλοτρίαν. ἐκεῖθεν τοιγαροῦν τὴν χρῆσιν λαβὼν ὁ μακάριος Κύριλλος, εἴρηκε μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ τοῦτό ἐστιν ὃ λέγει, Ὡς εἶπον οἱ πατέρες· πατέρας καλῶν τὸν μέγαν Ἀθανάσιον καὶ τοὺς λοιπούς· τοὺς κατὰ τοῦ δυσσεβοῦς ἀντιταξαμένους Ἀρείου. Ο ΚΑΘΟΛ. πάνυ με ὠφέλησας, ἀδελφέ. ἠγνόουν γὰρ, ὅτι τις τῶν αἱρετικῶν εἶπε τοῦτο. καὶ νῦν ἠρέμησεν ὁ νοῦς μου, τὰ ῥήματα ἀκούσας τοῦ μεγάλου Ἀθανασίου. Ο ΘΕΩΡΙΑΝΟΣ. ἔχεις, ἁγιώτατε δέσποτα, περὶ τοῦ, ὅτι δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ὀφείλομεν καὶ πιστεύειν καὶ ὁμολογεῖν, μαρτυρίας ἁγίων πολλάς. καὶ περὶ τοῦ, ὅτι μίαν φύσιν οὐ δεῖ λέγειν. ἀλλὰ δὴ καὶ αἰτίαν ἀκήκοας, δι' ἣν μίαν φύσιν εἶπον οἱ πατέρες σεσαρκωμένην. μηκέτι οὖν κόπους ἡμῖν παρέξεις, ἀλλ' οἰχέσθω ἐς κόρακας τὸ, μίαν φύσιν ὁμολογεῖν ἐπὶ τοῦ Χριστοῦ. σκάνδαλον γὰρ ἐκ τούτου οὐ μικρὸν ἐκφύεται. οὐκ ἀγνοεῖ δὲ ἡ μεγάλη ἁγιωσύνη σου, ὅτι ἐνίοτε λέξιν οὐ πάνυ φαύλην, φαύλως δὲ ὅμως παρά τινων νοουμένην καὶ ἑρμηνευομένην, ἀποβολῆς ἀξίαν ἔκριναν οἱ θεῖοι πατέρες. οἷόν ἐστι καὶ τὸ, χριστοτόκος, ἐπὶ τῆς θεοτόκου λεγόμενον. ἠδυνάμεθα γὰρ καὶ χριστοτόκον τὴν θεοτόκον καλεῖν. Χριστὸν γὰρ ἐγέννησε Θεὸν καὶ ἄνθρωπον. τοῦτο γὰρ δηλοῖ κυρίως τὸ ὄνομα. ἀλλὰ διὰ τὸ κακῶς ἐκλαμβάνεσθαι παρὰ τοῦ Νεστορίου τὸ σημαινόμενον τοῦ ὀνόματος, ὡς βλάσφημον ἀποδεδοκίμασται παρὰ τῶν ἁγίων τὸ ὄνομα. δεῖ οὖν σε, ἁγιώτατε δέσποτα, τὴν παρὰ τῶν ἁγίων βλάσφημον κριθεῖσαν λέξιν (ποῖος ᾅδης τοιαύτην βλασφημίαν ἐξήμεσε; φησὶν ὁ θεῖος Ἀμβρόσιος) ὡς βλάσφημον ἀποπέμπειν, καὶ μὴ τῆς ἐκείνων κρίσεως βεβαιοτέραν ἡγεῖσθαι τὴν σὴν, καὶ σκανδάλου πρόφασιν πολλοῖς γίνεσθαι τὴν κρίσιν σου. Ο ΚΑΘΟΛΙΚΟΣ. εὖ λέγεις. ἀλλὰ δότε μοι τὸν περὶ τῆς πίστεως ὅρον τῆς τετάρτης συνόδου. καὶ δόντες ἡμεῖς τὸν ὅρον αὐτῷ, ἀπήλθομεν ἀναπαυσόμενοι.

Τῇ ἐπαύριον κατέλαβεν ὁ ἐπίσκοπος Κεσουνίου Ἰωάννης ὁ Σύρος· καὶ ἀναμαθὼν, ὅτι ὁ Καθολικὸς τῶν Ἀρμενίων διαλεχθεὶς πολλάκις μετὰ τῶν Ῥωμαίων,

A quibus in verbis eum sermonem intelligebat, quem insitum ipse dicebat: ignorans Christum heic sermonem vocare voluntatem patris. Præterea dicebat, patrem ad filium hæc verba protulisse: De vtero ante luciferum te genui. Et alibi ad populum, propter Iordanem: Hic est filius meus dilectus. Et in transformatione similiter. Hinc aiebat: Si pater per sermonem ad filium loquebatur, alius scilicet erit sermo, quàm filius. Igitur aduersus hanc opinionem magnus Athanasius ille dimicans, vnam naturam Sermonis incarnatam dicebat, non v- B nam increatam & Dei substantiæ propriam, aliam creatam & ab eadem alienam. Atque hinc beatus ille Cyrillus id verbum mutuatus, vnam dixit naturam sermonis incarnatam. Et hoc est, quod ait; vti patres loquuti sunt: patres adpellans, magnum illum Athanasium, & reliquos, qui se impio illi Ario opposuerunt. GENERALIS. Plurimum mihi profuisti, mi frater: ignorabam enim, ex hæreticis aliquem hoc dixisse. nunc mens mea, perceptis magni Athanasij verbis, quietem adepta est. THEORIANVS. Habes sanctissime domine, testimonia sanctorum ho- C minum plura de eo, quod naturas duas in Christo & credere debeamus, & confiteri; minimeque naturam vnam in eo dicere. quin & caussam audiuisti, propter quam patres dixerint vnam naturam incarnatam. itaque nihil posthac negotij nobis de hoc facesses, sed malam in rem eat vnius in Christo naturæ confessio. nam ex ea non exiguum nascitur offendiculum. nec ignorat magna sanctitas tua, vocem aliquando non malam, quæ male tamen ab aliquibus intelligeretur & exponeretur, reiectione di- D gnam à patribus esse iudicatam, qualis & Christiparæ vox est, Deiparæ virgini tributa. Nam & Christiparam dicere poteramus. Christum enim peperit, Deum & hominem; quod ipsum nomen proprie denotat. Sed quod eius nominis significatum à Nestorio nequiter acciperetur, veluti sacrilegum à sanctis hominibus repudiatum est. Debes ergo, sanctissime domine, illam quoque vocem, iudicatam à sanctis sacrilegam, (quæ tantum, ait Ambrosius, sacrilegium inferna vomuerunt?) vti sacrilegam, missam facere: nec iudicium tuum illorum iudi- E cio firmius ducere, nec pati, tuum vti iudicium pluribus occasionem offendiculi præbeat. GENERALIS. Rectè dicis. sed date mihi quartæ synodi de fide definitionem. quam quum ei obtulissemus, ad quietem nos composituri discessimus.

Breuis repetitio eorum quæ hactenus disputata sunt.

Cur Mariam dici Deiparã voluerint Patres.

Postridie eius diei, Episcopus Cessunij Ioannes Syrus adpulit; & intellecto Generalem Armeniorum, multoties habito cum Romanis colloquio,

verbis eorum adsentiri, iámque per omnia cum eis conuenire: (probat enim, aiebant alij, quæ ab ipsis dicuntur, nihil adfirmans extra sacras scripturas à Romanis proferri: sed ex sanctis patribus, quos ipsi quoque veneramur, suam eos doctrinam adserere) ad Generalem adscendit, &: Quid hoc rei est, inquit, Domine, quod de tua insigni sanctitate audio? Túne Romanis, errores Nestorij probantibus, adsentiris? GENERALIS. Ego Romanis non adsentior. immo nec patriarchæ Constantinopolitano, nec ipsi excelsissimo supra omnes imperatori, vel propter dignitatem patriarchicam, vel maiestatem imperatoriam paruissem, nisi veritatem ipse adgnouissem. Eam vero negare nequeo, nec sanctis patribus aduersari possum. Respondit Generali. SYRVS. Audiui te quoque naturas duas in Christo confessum esse. Nosti vero, Nestorij nos opinionem sequi, si duas naturas confiteamur: & pro Trinitate quaternionem propter naturæ alterius accessionem, habituros. GENERALIS. Heri, ac nudiustertius, propéque totam hanc septimanam, plurimum laborauimus, cottidie colloquentes. Hodie vero, & cras, quiescere volumus, animúmque remittere. Post triduum vero, si placet, nobiscum aderis in colloquio; quodque tibi ad animum acciderit, dices, nos quidem id lubenter audiemus.

Ceterum vbi aduesperasset, accessit ad Theorianum doctor Bartan, nesciente Generali, & ait: Episcopus ille Syrus, & noster Generalis, totam hodie diem inter se colloquuti sunt de vna, duabúsque naturis. Tum Theorianus; Vellem, ait ad Bertanem magistrum, quænam illa sint, quæ ille Syrus ad dogmatis sui probationem dicat, cognoscere. Bartan vero: Nihil, inquit, vltro citróque nostrum ad Generalem protulit, nisi hoc: Si duas in Christo naturas dixerimus, non Nestoriani dumtaxat erimus: sed & quaternionem loco Trinitatis in diuinitate confitebimur, propter naturæ alterius accessionem. Tum Bartani Theorianus: Et quibus, ait, probationibus hoc demonstrabat? Nec auctoritatibus, inquit Bartan, nec syllogismis orationem suam probabat; sed tantum ita contentiose ac inconsiderate voces confusas effundebat, vt sacerdotibus suis aliquid dicere videretur. Theorianus vero Bertanem interrogans: Quid, ait, Generalis ad ista dixit? Dixit, inquit Bartan, tota ista septimana plurimum laboratum esse, cottidianis colloquutionibus habitis: nunc aliquot diebus labores remittendos. Vbi vero colloquium denuo inchoabimus, inquit, ipse nobis adesto, si placet, ac quicquid ad animum tibi acciderit, dicito: nos quidem id libenter audiemus.

πείθεται τοῖς λόγοις αὐτῶν, καὶ ἤδη συνέρχεται εἰς πάντα αὐτοῖς. (ἐπαινεῖ γὰρ τὰ παρ' ἐκείνων λεγόμενα, λέγων· οὐδὲν ἔξω τῶν θείων γραφῶν ἡμῖν λέγουσιν, ἀλλὰ ἀπὸ τῶν ἁγίων, οὓς καὶ ἡμεῖς σεβόμεθα, τὸν οἰκεῖον λόγον κατασκευάζουσιν) ἀνῆλθεν εἰς τὸν Καθολικὸν, καὶ λέγει αὐτῷ· τί τοῦτο δέσποτα, ὃ περὶ τῆς μεγάλης ἁγιωσύνης σου ἀκούω; Ρωμαίοις τὰ τοῦ Νεστορίου φρονοῦσι πείθῃ; Ο ΚΑΘΟΛΙΚΟΣ. ἐγὼ Ρωμαίοις οὐ πείθομαι, ἀλλ' οὐδὲ τῷ πατριάρχῃ τῆς Κωνσταντινουπόλεως, ἢ αὐτῷ τῷ ὑψηλοτάτῳ βασιλεῖ παρὰ πάντας, διὰ τὸ πατριαρχικὸν, ἢ διὰ τὴν βασιλείαν αὐτῶν, εἰ μὴ αὐτὸς ἐγνώκειν τὸ ἀληθές. τὴν ἀλήθειαν δὲ οὐκ ἰσχύω ἀρνήσασθαι, οὐδὲ τοῖς ἁγίοις πατράσι δύναμαι ἀντιφέρεσθαι. Ο ΣΥΡΟΣ. εἶπε πρὸς τὸν Καθολικόν. ἀκήκοα, ὅτι δύο φύσεις καὶ αὐτὸς ὡμολόγησας ἐπὶ τοῦ Χριστοῦ. οἶδας γὰρ, ὅτι ἐὰν δύο φύσεις ὁμολογήσωμεν, Νεστοριανίσομεν· καὶ ἔσται ἡμῖν ἀντὶ τριάδος τετρὰς ἡ τριὰς, διὰ τὴν προσθήκην τῆς ἑτέρας φύσεως. Ο ΚΑΘΟΛΙΚΟΣ. χθὲς, καὶ πρὸ ταύτης, καὶ σχεδὸν τὴν ὅλην ἑβδομάδα ταύτην, πλεῖστον κεκοπιάκαμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι. σήμερον δὲ καὶ αὔριον βουλόμεθα σχολάσαι, καὶ ἐν ἀνέσει εἶναι. μετὰ γοῦν τὴν τρίτην ἡμέραν, εἰ κελεύεις, ἔσο μεθ' ἡμῶν εἰς τὴν διάλεξιν, καὶ ὃ ἂν ᾖ παριστάμενόν σοι, εἰπέ· καὶ ἡμεῖς ἡδέως ἀκουσόμεθα.

Ἑσπέρας δὲ καταλαβούσης, ἦλθεν ὁ διδάσκαλος Βαρτὰν πρὸς τὸν Θεωριανὸν, λάθρα τοῦ Καθολικοῦ, καὶ λέγει αὐτῷ· ὁ Σύρος ἐπίσκοπος, καὶ ὁ Καθολικὸς ἡμῶν, διελέχθησαν ὅλην τὴν ἡμέραν σήμερον περὶ τῆς μιᾶς φύσεως, καὶ τῶν δύο. ὁ δὲ Θεωριανὸς εἶπε πρὸς Βαρτὰν τὸν διδάσκαλον· ἤθελον μαθεῖν, τίνα εἰσὶν, ἃ λέγει ὁ Σύρος εἰς κατασκευὴν τοῦ οἰκείου δόγματος. ὁ δὲ Βαρτὰν εἶπεν· οὐδὲν ἄλλο πρὸς τὸν Καθολικὸν ἄνω καὶ κάτω ἔλεγεν, εἰ μὴ ὅτι ἐὰν εἴπωμεν δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ, οὐ μόνον Νεστοριανοὶ ἐσόμεθα, ἀλλὰ καὶ τετράδα ἀντὶ τῆς τριάδος ἐπὶ τῆς θεότητος ὁμολογήσομεν, διὰ τὴν προσθήκην τῆς ἑτέρας φύσεως. εἶπε δὲ πρὸς τὸν Βαρτὰν ὁ Θεωριανὸς, τίσι κατασκευαῖς ἀπεδείκνυε τοῦτο; ὁ δὲ Βαρτὰν εἶπεν· οὔτε ἀπὸ χρήσεων, οὔτε ἀπὸ συλλογισμῶν κατεσκεύαζε τὸν οἰκεῖον λόγον, ἀλλὰ μόνον οὕτω φιλονείκως καὶ ἀπροσέκτως ἐρρίπτει φωνὰς ἀτάκτους, ὥστε δόξαι τοῖς ἱερεῦσιν αὐτοῦ λέγειν τι. ἠρώτησε δὲ τὸν Βαρτὰν ὁ Θεωριανός· τί πρὸς ταῦτα εἶπεν ὁ Καθολικός; ὁ δὲ ἔφη, εἶπεν αὐτῷ, τὴν ὅλην ἑβδομάδα ταύτην πλεῖστον κεκοπιάκαμεν διαλεγόμενοι καθ' ἑκάστην ἡμέραν· καὶ νῦν βουλόμεθα τινὰς ἡμέρας ἐν ἀνέσει εἶναι. ὅταν δὲ πάλιν ἀρξόμεθα τῆς διαλέξεως, ἔσο μεθ' ἡμῶν, εἰ κελεύεις, καὶ εἰπὲ, ὃ ἂν ᾖ σοι παριστάμενον, καὶ ἡμεῖς ἡδέως ἀκουσόμεθα.

A Καὶ μεθ' ἡμέρας τινὰς, μετακληθέντες, ἀνέβημεν εἰς τὸ ὑπερῷον, οὗ καὶ πρώην διελεγόμεθα. εὕρομεν δὲ τὸν Σύρον ἐπίσκοπον ἐν τῷ δεξιῷ μέρει καθήμενον τοῦ Καθολικοῦ, καὶ τοὺς Ἀρμενίους ἐπισκόπους ἕκαστον ἐν τῷ τόπῳ αὐτοῦ. καθεσθέντων οὖν ἡμῶν ἐν τοῖς ἀριστεροῖς μέρεσι τοῦ Καθολικοῦ, κατὰ τὸ σύνηθες, εἶτα τῶν ἐπισκόπων καθεσθέντων, (προετίμων γὰρ ἡμᾶς εἰς τὸ κάθισμα) οὐδεὶς οὐδὲν περὶ οὐδενὸς ἐλάλει μέχρι πολλοῦ, ἀλλὰ κοινὴ ἐλύετο σιωπή. ὡς οὖν ὥρα παρῆλθε πλείστη, εἶπεν ὁ Θεωριανὸς πρὸς τὸν Καθολικόν.

B Ἤκουσα, ὅτι εἰσί τινες, οἱ λέγουσιν, ὅτι ἐὰν ὁμολογήσωμεν δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ, οὐ μόνον ὅτι Νεστοριανίσομεν, ἀλλὰ καὶ ἀντὶ τριάδος τετράδα κηρύξομεν. καὶ θαυμάζω, πῶς οὐκ ἠδυνήθησαν οἱ ταῦτα λέγοντες συνιδεῖν, ὅτι Νεστόριος οὐ διὰ τὸ λέγειν δύο φύσεις, καθῃρέθη· (τοῦτο γὰρ λαμπρᾷ καὶ διαπρυσίῳ φωνῇ πάντες οἱ θεοφόροι πατέρες κηρύττουσιν. ὁ μὲν ἅγιος Κύριλλος· δύο τὰς φύσεις εἶναι φαμέν. ὁ δὲ Θεολόγος Γρηγόριος· φύσεις δύο, Θεὸς καὶ ἄνθρωπος. καὶ οἱ λοιποὶ πάντες, οὓς σοι παρήγαγον μάρτυρας ἀμφοτέρω) C ἀλλὰ διὰ τὸ λέγειν δύο φύσεις ἀλλήλων κεχωρισμένας, ἰδίᾳ καὶ ἀνὰ μέρος τὴν θείαν, καὶ ἰδίᾳ καὶ ἀνὰ μέρος τὴν ἀνθρωπίνην. διὸ καὶ δύο υἱοὺς, καὶ δύο Χριστοὺς ὁ ἐμβρόντητος ἐδογμάτιζεν· ἄλλον υἱὸν, τὸν ἐκ Θεοῦ καὶ πατρός· καὶ ἄλλον τὸν ἐκ τῆς παρθένου παραληρῶν. διὰ τοῦτο καὶ θεοτόκον τὴν ἁγίαν παρθένον καλεῖν οὐκ ἠβούλετο. ὅτι δὲ τὴν ἕνωσιν οὐχ ὡμολόγει Νεστόριος, δηλοῖ ὁ ἅγιος Κύριλλος ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ γράφων ἐπὶ λέξεως οὕτως· οὕτως ὅτι Νεστορίου κἂν λέγῃ D δύο φύσεις, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ Θεοῦ λόγου (ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκὸς) ἀλλ' οὐκ ἔτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. περὶ δὲ τοῦ λέγειν, ὅτι τετρὰς ἡ τριὰς ἔσται, εἰ δύο φύσεις ὁμολογήσομεν ἐπὶ τοῦ Χριστοῦ, ἀρκέσει ἡμῖν εἰς ἀπολογίαν ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῇ πρὸς * Ἐπίκτητον τὸν ἐπίσκοπον Κορίνθου ἐπιστολῇ, τάδε κατὰ ῥῆμα διεξιών. Ἐρυθριάσουσι δὲ μεγάλως, οἱ κἂν ὅλως ἐνθυμηθέντες E δύνασθαι ἀντὶ τριάδος γενέσθαι τετράδα, εἰ λέγοιτο ἐκ Μαρίας εἶναι τὸ σῶμα. ὁμοούσιον μὲν γάρ (φασὶν) ἐὰν εἴπωμεν τὸ σῶμα τῷ λόγῳ, μένει ἡ τριὰς, οὐδὲν ξένον εἰς αὐτὴν εἰσφερομένου τοῦ λόγου. ἂν δὲ ἀνθρώπινον εἴπωμεν τὸ ἐκ Μαρίας σῶμα, ἀνάγκη ξένου ὄντος κατ' οὐσίαν τοῦ σώματος, προσθήκην γίνεσθαι. ταῦτα οὕτω λέγοντες, οὐ νοοῦσιν, ὅπως ἑαυτοῖς περιπίπτουσι. καὶ γὰρ κἂν μὴ ἐκ Μαρίας λέγωσι τὸ σῶμα, ἀλλὰ ὁμοούσιον αὐτὸ τῷ λόγῳ,

Post aliquot dies arcessiti, ascendimus in cœnaculum vbi nuper quoque colloquuti eramus. Inuenimus autem Syrum illum episcopum ad dextrum Generalis latus adsidentem, & Armenios episcopos sedentes singulos suo loco. quumque nos ad sinistram Generalis, pro more, considere iussi fuissemus, deinde consedissent & episcopi: (quippe primas in consessu nobis offerebant) multo tempore nihil omnino quisquam ad alterum vlla de re proferebat, sed commune silentium erat. Igitur vbi iam plurimum temporis præteriisset, his verbis Generalem Theorianus adlocutus est:

Audiui quosdam esse, qui dicant, si duas in Christo naturas confiteamur, non modo nos futuros Nestorianos: sed etiam Trinitatis loco quaternionem prædicaturos. Ac miror equidem, quonam pacto, qui hæc dicunt, perspicere non potuerint, minime Nestorium propterea depositum fuisse, quod duas naturas diceret: (hoc enim illustri & clara voce diuini patres vniuersi prædicant. Cyrillus quidem his verbis, Duas naturas esse dicimus: Gregorius vero Theologus, Naturæ duæ, Deus & homo: ceterique omnes, quos antea tibi produxi testes) sed quod diceret naturas duas inuicem separatas, diuinam seorsum, itidémque seorsum humanam. Eapropter & duos filios, & duos Christos esse, fanaticus ille statuebat: alium filium esse delirans, qui ex Deo & patre sit; alium, qui ex virgine. quam ob causam & sanctam illam virginem vocare Deiparam nolebat. Quòd autem minimè Nestorius vnionem confessus sit, sanctus ille Cyrillus in epistola ad Eulogium his ipsis verbis ostendit: Sic & in causa Nestorij, quamuis duas naturas, discrimen carnis & sermonis indicans, dicat: (alia námque natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum dominum confitemur. Ad id vero, quod subiicitur: Trinitatem fore quaternionem, si duas naturas in Christo confiteamur: pro nobis sanctus ille vir Athanasius satisfaciet, cuius in epistola ad Epictetum Corinthi episcopum hæc ipsa verba sunt: Insigni pudore adficientur, qui vel sola cogitatione putarunt, posse pro Trinitate fieri quaternionem, si corpus esse de Maria dicatur. Si corpus, inquiunt, vnius esse substantiæ dicamus cum Sermone, Trinitas manet Trinitas, quod hæc ratio nihil ei peregrinum inferat. Sin humanum dicamus illud ex Maria corpus, necesse est, aliquid Trinitati accedere; quod corpus illud secundum substantiam ab ea sit alienum. Hæc quum ita dicunt, non cogitant, quo pacto seipsos euertant. Nam si maximè corpus ex Maria non esse dicant, sed eiusdem cum sermone substantiæ:

Agitur in eos qui duas in Christo naturas constituere, Nestorianum esse defendebant.

Quid Nestorius senserit de duabus naturis Christi & quid Ecclesia Catholica.

Obiectionis de quaternione refutatio.

* Ἐπίκτητον

Ratio eorum qui posita humana natura in Christo, pro Trinitate quaternionem obligabant.

nihilominus quod vereri se simulant, ne sentire videantur, id ipsum eos iuxta sententiam suam dicere constabit, nimirum esse quaternionem. Quippe sicuti filius, secundum doctrinam patrum, eiusdem existens cum patre substantiæ, non ipse pater est, sed filius cum patre consubstantialis dicitur: ita & illud consubstantiale Sermoni corpus non erit ipse Sermo, sed aliud quiddam cum sermone. Si aliud quiddam est, sane secundum ipsos sacrosancta Trinitas erit quaternio. Nam vera planèque perfecta, & expers illa diuisionis Trinitas nullam recipit accessionem: sed ista ab eis excogitata Trinitas. Et quo pacto Christiani erunt, qui alium præter verum Deum excogitant? Rursus & in altero sophismate stoliditatem ipsorum perspicere licet. Si propterea, quod sit atque dicatur in sacris litteris humanum ex Maria corpus Seruatoris, pro Trinitate quaternionem dici putant, velut accessione facta propter corpus; multum sane falluntur creatum exæquantes opifici, & existimantes aliquid accedere diuinitati posse: ignorant denique, non vt aliquid accederet diuinitati sermonem factum esse carnem; sed vt genus humanum redimeret. Quinam igitur opinantur adsumptum à sermone corpus, & viuificatum, accessionem aliquam ad diuinitatem sermoni adferri? nam potius ei quod humanum erat, magna contigit accessio de sermonis cum eo societate ac vnione. quippe de mortali factum est immortale, de animali factum est spiritale, de terra ortum supra cœlestes portas euasit. Trinitas quidem certe Trinitas est, etiamsi sermo corpus ex Maria sumserit, nullam nec accessionem admittens, nec diminutionem: sed perfecta semper est, & vna in Trinitate diuinitas agnoscitur. atque hoc modo Deus vnus in ecclesia prædicatur, pater ille Sermonis. Audis quo pacto beatus Athanasius, diuinum quemdam zelum spirans, eos tangat, qui corpus eiusdem esse substantiæ cum sermone dicunt. Pudore adficientur, ait: item, Non cogitant quo pacto seipsos euertant. Et rursus, Stoliditatem ipsorum perspicere licet. Insipientes & stultos vocat. Et hæc quidem Athanasius. nos autem alio quoque modo, si placet, impietatem eorum redarguemus. GENERALIS. Mihi sanè videtur, ad eiusmodi erroris agnitionem, non esse opus ampliori refutatione. Nam qui adsentiri sancto viro Athanasio non vult, modò Christianus est, tantopere occlamanti eorum vesaniæ, qui corpus eiusdem esse cum Sermone substantiæ nugantur, & quaternionem in diuinitate loco Trinitatis, fieri somniant: cuinam mortalium, nunc in terris existenti, sit adsensurus, equidem non video. Quia tamen complures, aut omnino litteras sacras non legunt, aut legunt illi quidem,

Incarnatus filius Dei non ad nouæ perfectionis accessionem sed ad generis humani redemptionem. Humana natura in Christo multis dignitatis titulis aucta propter diuinitatis coniunctionem.

A οὐδὲν ἧττον ὅπερ ὑποκρίνονται, μὴ ἄρα ὥσπερ φρονοῦντες νομισθῶσι, τοῦτο κατὰ τὴν αὐτῶν ἔννοιαν ἐξελεγχθήσονται, λέγοντες τετράδα. ὥσπερ γὰρ ὁ υἱὸς κατὰ τοὺς πατέρας ὁμοούσιος ὢν τῷ πατρὶ, οὐκ ἔστιν αὐτὸς ὁ πατὴρ, ἀλλὰ υἱὸς πρὸς τὸν πατέρα λέγεται ὁμοούσιος. οὕτω τὸ ὁμοούσιον σῶμα τοῦ λόγου οὐκ ἔσται αὐτὸς ὁ λόγος, ἀλλ' ἕτερον πρὸς τὸν λόγον. ἑτέρου δὲ ὄντος, ἔσται κατ' αὐτοὺς ἡ ἁγία τριὰς τετράς. οὐ γὰρ ἡ ἀληθινὴ, καὶ ὄντως τελεία, καὶ ἀδιαίρετος τριὰς δέχεται προσθήκην, ἀλλ' ἡ παρὰ τούτων ἐπινενοημένη. καὶ πῶς ἔτι Χριστιανοὶ, οἱ ἕτερον παρὰ B τὸν ὄντα Θεὸν ἐπινοοῦντες; πάλιν γὰρ καὶ ἐν τῷ ἑτέρῳ αὐτῶν σοφίσματι τὴν ἀφροσύνην αὐτῶν ἔξεστι καθορᾷν. Εἰ διὰ τὸ εἶναι καὶ λέγεσθαι ἐν ταῖς γραφαῖς ἐκ Μαρίας ἀνθρώπινον τὸ σῶμα τοῦ σωτῆρος, νομίζουσιν ἀντὶ τριάδος τετράδα λέγεσθαι, ὡς προσθήκης γινομένης διὰ τὸ σῶμα, πολὺ πλανῶνται, τὸ ποίημα ἐξισοῦντες τῷ ποιητῇ, καὶ ὑπονοοῦντες δύνασθαι τὴν θεότητα προσθήκην λαμβάνειν· καὶ ἠγνόησαν, ὅτι οὐ διὰ προσθήκην θεότητος γέγονε σὰρξ ὁ λόγος, ἀλλ' ἵνα τὸ ἀνθρώπινον γένος λυτρώσηται. πῶς οὖν οἴονται τὸ διὰ C τοῦ λόγου ληφθὲν σῶμα καὶ ζωοποιηθὲν, προσθήκην εἰς θεότητα τῷ λόγῳ ποιεῖν; μᾶλλον γὰρ αὐτῷ τῷ ἀνθρωπίνῳ προσθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως. ἀπὸ γὰρ θνητοῦ γέγονεν ἀθάνατον, καὶ ψυχικὸν ὂν γέγονε πνευματικὸν, καὶ ἐκ τῆς γῆς γενόμενον τὰς οὐρανίας ὑπερέβη πύλας. ἡ μέντοι τριὰς καὶ λαβόντος ἐκ Μαρίας σῶμα τοῦ λόγου, τριάς ἐστιν, οὐ δεχομένη προσθήκην, οὐδὲ ἀφαίρεσιν· ἀλλ' ἀεὶ τελεία ἐστὶ, καὶ ἐν τριάδι μία θεότης γινώσκεται. καὶ οὕτως ἐν τῇ ἐκ- D κλησίᾳ εἷς Θεὸς κηρύττεται, ὁ τοῦ λόγου πατήρ. ἀκήκοας, πῶς ὁ μακάριος Ἀθανάσιος ζήλου πνέων ἐνθέου καθάπτεται τῶν λεγόντων ὁμοούσιον τῷ λόγῳ τὸ σῶμα; ἐρυθριάσουσι, φησί. καὶ πάλιν· οὐ νοοῦσιν, ὅπως ἑαυτοὺς περιτρέπουσι. καὶ αὖθις· τὴν ἀφροσύνην αὐτῶν ἔξεστι καθορᾷν. καὶ ἀνοήτους καὶ ἄφρονας αὐτοὺς ἀποκαλεῖ. ἀλλὰ ταῦτα μὲν ὁ ἱερὸς Ἀθανάσιος. ἡμεῖς δὲ ἀπελέγξομεν καὶ ἄλλως, εἰ δοκεῖ, τὴν ἐκείνων ἀσέβειαν. Ο ΚΑΘΟΛΙΚΟΣ. ἐμοὶ πως E δοκεῖ, μὴ δεῖσθαι πλείονος ἐλέγχου εἰς τὸ γνωρισθῆναι τὸ τοιοῦτον ὀλίσθημα. ὁ γὰρ τῷ ἁγίῳ Ἀθανασίῳ πεισθῆναι μὴ βουληθεὶς, εἴγε πως τῆς τῶν Χριστιανῶν μοίρας τυγχάνων, τοσαῦτα καταβοῶντι τῆς ἀνοίας τῶν ὁμοούσιον τῷ λόγῳ τὸ σῶμα φλυαρούντων, καὶ τετράδα ἀντὶ τριάδος τὴν θεότητα γενέσθαι ληρωδούντων, οὐκ οἶδα τίνι τῶν ἐπὶ γῆς νῦν ὄντων ἀνθρώπων πεισθήσεται. πλὴν ἐπεὶ πολλοὶ ἢ οὐδ' ὅλως ἀναγινώσκουσι τὰς θείας γραφὰς, ἢ ἀναγινώσκουσι μὲν,

A πλὴν ἀλλὰ παρέργως, καὶ οὐκ ἐπιμελῶς· καὶ διὰ τοῦτο τὸν ἐν βάθει νοῦν αὐτῶν ἀγνοοῦσιν· εἴ σοι δοκεῖ καὶ δυνάσαι καὶ ἄλλως τὴν ἐκείνων ἐλέγξαι πλάνην, εὖ ἔσῃ ποιῶν, καὶ φίλον Θεῷ, καὶ ἡμῖν καταθύμιον. Ο ΘΕΩΡ. πολλοὶ τοῦ χαιρεκάκου καὶ μισανθρώπου Σατᾶν μαθηταὶ γεγόνασιν, ἢ μᾶλλον ὄργανα εἰς ἀπώλειαν πολλῶν, οἷος ἦν ὁ ἐπάρατος Σεβῆρος, ὁ τοῦ θρόνου τῆς Ἀντιοχείας κρατήσας τυραννικῶς, ὃς μὴ φοβηθεὶς τὴν φάσκουσαν ἐντολήν, ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ, πλείστους τῆς εὐθείας ἀποπλανήσας ὁδοῦ, εἰς βάραθρον ἀπωλείας ἐλεεινῶς B κατεκρήμνισε, τοὔμπαλιν ὀφείλων ποιεῖν, ἐκ τῆς πλάνης ἐπιστρέφειν πρὸς τὴν ἀλήθειαν. τοῦτο γὰρ ἀπῄτει καὶ ἡ προεδρία αὐτοῦ. ὁ δὲ ἐκ τῆς ἀκοῆς αὐτοῦ, πολλῷ δὲ πλέον ἐκ τῆς καρδίας τὰ ἐντάλματα τοῦ Θεοῦ ἀπωσάμενος, τὰ οὑτωσίπως διακελευόμενα· πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε· λίθους, οὐ πρὸς οἰκοδομὴν τοῦ ζῶντος ναοῦ, πρὸς πλάσιν δὲ μᾶλλον, καὶ πρόσκομμα πολλῶν, ἐμβαλεῖν ἐν τῇ ὁδῷ τῆς ζωῆς ἀφρόνως ἐσπούδακε, καὶ διὰ λόγου καὶ διὰ γραφῶν μίαν φύσιν τοῦ Ἐμμανουὴλ ἐδογμάC τισε· δεδοικώς, μὴ τετρὰς ἀντὶ τριάδος γένηται ἡ τριάς· οὐκ ἐννοῶν, ὡς ἔοικεν, ὁ ἄθλιος, ὅτι τὸ τριὰς πρόσρημα οὐκ ἔστι τῆς φύσεως σημαντικόν, ἀλλὰ τοῦ ποσοῦ τῶν ὑποστάσεων. πῶς οὖν ἐκεῖνος συνῆγε τετράδα, ἡμῶν μὴ ὁμολογηκότων ὑπόστασιν ἀνειληφέναι τὸν τοῦ Θεοῦ λόγον, ἀλλ᾽ ἐν ἑαυτῷ ὑποστήσασθαι τὸ ἡμέτερον; καὶ μίαν ὑπόστασιν, καὶ ἕνα υἱὸν δογματιζόντων τὸν Ἐμμανουήλ; εἰ μὲν οὖν ὁ καινὸς θεολόγος τρεῖς φύσεις ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογεῖ, εἶD τα τὴν παρ᾽ ἡμῶν ὁμολογουμένην ἀνθρωπίνην φύσιν ἐν τῷ Ἐμμανουὴλ ταῖς αὐτοῦ προσθεὶς τρισὶ φύσεσι, συμπεραίνει ἀντὶ τριάδος τετράδα γίνεσθαι, ἄριστα τοῦτο ποιεῖ. εὐτέχνως γάρ, καὶ ἐπιστημόνως ἀποχωρίζει ἑαυτὸν τοῦ μόνου Θεοῦ, καὶ εἰς πολυθεΐαν ἐξοστρακίζεται. εἰ δὲ μίαν θεότητος φύσιν ὁμολογεῖ καὶ αὐτός, δύο δὲ φύσεις ἐπὶ τοῦ Χριστοῦ, οὐκ οἶδα, πόθεν αὐτῷ ἡ τετρὰς τῶν φύσεων ἐπεισέρχεται. ὑποστάσεων δ᾽ αὖ τετράδα, δίχα προσθήκης ἑτέρας ὑποστάσεως, τὴν τριάδα νοεῖν, ἀμήχανον.

E Τούτων οὕτω ῥηθέντων, ὁ Καθολικὸς τῷ Σύρῳ ἐπισκόπῳ ἐνητένισεν. ὡς οὖν ἑώρα τοῦτον εἰς γῆν ἔχοντα τὸ ὄμμα καὶ μηδαμῶς ἀνανεύοντα, στραφεὶς πρὸς τὸν Θεωριανόν, ἐνένευεν ἀποβλέψαι πρὸς τὸν Σύρον. ὁ δὲ βλέψας, ὑπεμειδίασε· καὶ φησὶ πρὸς τὸν Καθολικόν· δέσποτα, ἐρώτημα ἔχω πρὸς τὴν μεγάλην ἁγιωσύνην σου, καὶ παρακαλῶ, μὴ κατοκνήσῃς εἰπεῖν μοι τὴν τούτου λύσιν. Ο ΚΑΘ. ἐὰν ὁ Θεὸς δώσῃ μοι τὴν τούτου γνῶσιν, οὐ κατοκνήσω ταύτην εἰπεῖν σοι.

sed aliud quasi agentes, non studiose; qua de causa mentem earum intimam ignorant: recte feceris, & acceptum Deo, nobisque gratum præstiteris, si errorem eorum confutaueris; modò id tibi placeat, & alia facere via possis. THEORIANVS. Multi, Satanæ, qui malis oblectatur, & genus humanum odit, exstitere discipuli, vel instrumenta potius, ad multorum perniciem. qualis erat abominabilis ille Seuerus, qui Antiochiæ thronum per tyrannidem obtinuit. Is minimè præceptum illud reueritus, quo dicitur; Exsecrabilis, qui in itinere cæco causam erroris præbet: plurimos in errorem à recta deuocatos via, in perniciei barathrum miserabiliter præcipitauit; quum facere diuersum deberet, nimirum ab errore ad veritatem diuertere. quod quidem & præsulatus ipsius ab eo requirebat. Verum & auribus, & multo magis à corde reiectis Dei mandatis, quæ ita præcipiunt, Per portas meas ingredimini, & iter populo sternite, déque via lapides amouete: id operam dedit, vt non ad structuram illius viui templi, sed potius ad ruinam & offensionem plurium, lapides in via vitæ per infamiam spargeret, adeoque verbis & scriptis naturam Emmanuelis vnam tradidit; veritus, ne Trinitatis loco quaternio fieret; haud cogitans miser, vti quidem videtur, nomen Trinitatis non habere significationem naturæ, sed numeri personarum vel hypostasium. Quo igitur modo collegit ille quaternionem, quum nos minime confiteamur Dei sermonem adsumsisse hypostasin, sed nostrum illud in seipso constituisse? adeoque statuamus, Emmanuelem esse vnam hypostasin, & vnum filium? Quod si nouus ac vanus ille Theologus tres naturas in sancta Trinitate confitetur, deinde natura Emmanuelis humana, quam nos confitemur, ad suas illas tres naturas adiuncta, pro Trinitate quaternionem fieri concludit: optime id quidem facit. quippe seipsum artificiose peritéque separat ab vno solo Deo, & ad opinionem de pluribus diis deflectit. Sin vnam diuinitatis naturam & ipse confitetur, duásque naturas in Christo: vndenam ei naturarum quaternio proficiscatur, scire nequeo. Nec item fieri potest, vt Trinitate quaternionem hypostasium, absque alterius hypostasis accessione cogitemus.

His dictis, oculos Generalis in Syrum illum episcopum coniecit. quumque videret eum vultu in terram defixo, nequaquam suspicere: conuersus ad Theorianum, innuebat ei, Syrum vti adspiceret. At is Syrum intuitus, subrisit; & ad Generalem ait: Est, Domine, quod insignem sanctitatem tuam interrogem; téque obsecro, ne tibi graue sit, eius indicare solutionem. GENERALIS. Si Deus intellectum eius mihi dederit, non grauabor illam tibi exponere.

Exemplum insigne.

A THEORIANVS. Sint hic, velutin hypothesi, triagne potiora, quæ tamen vnius naturæ sint, auri scilicet. Si horum vnum in ignem coniecero, planè ignitum illud duarum naturarum erit; ignis inquam, & auri. deinde hoc vnito reliquis duobus necdum ignitis, interrogo, quotnam sint hæc ignita? triáne, ceu prius? an propter ignis naturam facta sunt quatuor? GENERALIS. Huius interrogationis solutionem exponat Ioannes religiosissimus Episcopus Cessunij. THEORIANVS. Quid vero sanctitatis tuæ prudentia dicit? ignis ne natura numerum siue quantitatem trium illorum auxit, an non? B GENERALIS. Mihi quidem non auxisse videtur. THEORIANVS. Atqui prius hæc tria vnius erant naturæ, nunc in vno duæ naturæ conspiciuntur. GENERALIS. Hoc quoque in confesso est. THEORIANVS. Non igitur est necesse, Trinitatem illorum ignis vt potiorum, fieri quaternionem, propter alteram illam naturam, videlicet ignis? GENERALIS. Non est necesse. THEORIANVS. Ineptiunt ergo, qui dicunt, necessario nobis quaternionem pro Trinitate confitendam, si naturas duas in Christo demus.

Exemplum accommodatissimum & notandum.

C His dictis, surgens ille Syrus Episcopus, nullo verbo prolato, cœnaculo cum sacerdotibus suis egressus est. Interrogatus autem à sacerdotibus suis, cur nihil cum philosopho loquutus esset: non sibi licere dixit, in aliena synodo de huiusmodi rebus loqui.

* * * *

Deest folium vnum.

humanitate non erat. nam diuinitate nusquam abest. Ergo quatenus homo, non quatenus Deus, ingredi voluit: adeóque voluntate prædictus erat, etiam quatenus erat homo. Item alibi; Volo, inquit, vt vbi sum ego, & ipsi sint. Si quatenus Christus est Deus, D supra illud, Vbi, est; (quatenus enim Deus est, in loco non est) fieri vero nequit, vt natura creata supra idem illud Vbi, sit: sanè, quatenus homo est, vult vt vbi sit, ibidem & ipsi sint. adeoque voluntate prædictus erat, etiam quatenus erat homo. Rursus alibi. Quum venisset ad locum, sitire se dixit; & obtulerunt ei vinum felle mistum, quo gustato, non voluit bibere. Secundum quã partem ipsius dixeris eum sitiisse? si secundum diuinitatem, adfectibus erit obnoxia diuinitas eius, quæ natura sua potum adpetiuerit: sin E quo ad humanitatem, sane quatenus sitiit, eatenus & quod naturæ non conueniebat, bibere noluit: erátque voluntate prædictus idem, etiam quatenus erat homo. & alibi dicitur: Circumibat in Galilæa Iesus. non enim Iudæam ad obire volebat, quod eum Iudæi ad necem quærerent. Si circumitio carnis naturæ competit, non ei iunctæ in eadem hypostasi diuinitatis: nimirum quatenus erat homo, idem in Galilæa circumambulans, Iudæam obire non voluit.

Theorianus contra Monothelitas.

** τὸ πῶ*

A Ο ΘΕΩΡΙΑΝΟΣ. ἔστωσαν ὡς ἐν ὑποθέσει ἐνταῦθα ὑπέρπυρα τρία, μιᾶς ὄντα φύσεως, χρυσοῦ δηλονότι. ἐὰν οὖν τούτων ἓν πυρακτώσω, ἔσται πάντως τὸ πεπυρακτωμένον δύο φύσεων, λέγω δὴ πυρὸς καὶ χρυσοῦ. εἶτα ἑνώσας τοῦτο τοῖς λοιποῖς δυσὶ τοῖς μὴ πεπυρακτωμένοις, ἐρωτῶ πόσα νῦν εἰσι ταῦτα τὰ ὑπέρπυρα; τρία, ὡς πρότερον; ἢ διὰ τὴν φύσιν τοῦ πυρὸς ἐγένοντο τέσσαρα; Ο ΚΑΘΟΛΙΚΟΣ. τούτου τοῦ ἐρωτήματος ὁ εὐλαβέστατος ἐπίσκοπος Κεσουνίου Ἰωάννης εἴπῃ τὴν λύσιν. Ο B ΘΕΩΡ. ἡ σύνεσις δὲ τῆς ἁγιωσύνης σου τί λέγει; ἡ φύσις τοῦ πυρὸς ηὔξησε τὸν ἀριθμὸν ἤτοι τὸ ποσὸν τῶν τριῶν, ἢ οὔ; Ο ΚΑΘΟΛ. ἔμοιγέ πως δοκεῖ, ὅτι οὐκ ηὔξησεν. Ο ΘΕΩΡ. καὶ μὴν πρότερον μιᾶς ἦσαν φύσεως τὰ τρία, νυνὶ δὲ ἐν τῷ ἑνὶ δύο καθορῶνται φύσεις. Ο ΚΑΘΟΛ. ὡμολόγηται καὶ τοῦτο. Ο ΘΕΩΡ. οὐκ ἀνάγκη λοιπὸν τὴν τριάδα τῶν ὑπερπύρων τετράδα γενέσθαι διὰ τὴν ἑτέραν φύσιν, ἤτοι τοῦ πυρός; Ο ΚΑΘ. οὐκ ἀνάγκη. Ο ΘΕΩΡ. περιττολογοῦσιν ἄρα οἱ λέγοντες, ἀνάγκη τετράδα ἀντὶ τριάδος ὁμολογεῖν, C εἰ δύο φύσεις ἐν τῷ Χριστῷ δώσομεν.

Τούτων οὕτω ῥηθέντων, ὁ Σύρος ἐπίσκοπος ἀναστὰς ἐξῆλθε τοῦ ἀνωγαίου, μετὰ τῶν ἱερέων αὐτοῦ, μηδὲν ἐπειπών. ἐρωτηθεὶς δὲ παρὰ τῶν αὐτοῦ ἱερέων, διὰ τί οὐκ ἐλάλησας τι πρὸς τὸν φιλόσοφον; εἶπεν, ὅτι οὐκ ἔξεστί μοι ἐν ἀλλοτρίᾳ συνόδῳ περὶ τῶν τοιούτων λαλεῖν.

* * * * * *

οὐκ ἦν δὲ ἀνθρωπότητι. θεότητι γὰρ οὐδενὸς ἄπεστιν. ἄρα οὖν καθὸ ἄνθρωπος, καὶ οὐ καθὸ Θεός, ἠθέλησεν εἰσελθεῖν· καὶ θελητικὸς ἦν καὶ καθὸ ἄνθρωπος. καὶ D ἑτέρωθι· θέλω ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσιν. εἰ καθὸ Θεὸς ὁ Χριστός, ὑπὲρ τὸ ποῦ ἐστιν. (οὐ γὰρ ἐν τόπῳ, καθὸ Θεός) ὑπὲρ δὲ * τὸ πῶ ἀδύνατον τὴν κτίσιν ὑπερέχειν φύσει· ἄρα καθὸ ἄνθρωπος θέλει, ἵνα ὅπου ἐστί, καὶ αὐτοὶ ὦσι. καὶ θελητικὸς ἦν αὐτὸς καὶ καθὸ ἄνθρωπος. καὶ ἀλλαχοῦ πάλιν· ἐλθὼν εἰς τὸν τόπον εἶπε, διψῶ· καὶ ἔδωκαν αὐτῷ οἶνον μετὰ χολῆς μεμιγμένον. καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. κατὰ ποῖον αὐτοῦ μέρος εἴπῃς αὐτὸν διψῆσαι; εἰ μὲν κατὰ τὴν θεότητα, ἐμπαθὴς ἔσται ἡ θεότης E αὐτοῦ, πόσεως κατὰ φύσιν ἐφιεμένη. εἰ δὲ κατὰ τὴν ἀνθρωπότητα, ἄρα καθὸ ἐδίψησε, κατ' ἐκεῖνο, καὶ τὸ ἀκατάλληλον τῇ φύσει, οὐκ ἤθελε πιεῖν. καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθὸ ἄνθρωπος· καὶ ἀλλαχοῦ φησί· καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ. οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. εἰ τῆς σαρκὸς φύσει ὁ περίπατος, ἀλλ' οὐ τῆς καθ' ὑπόστασιν ἡνωμένης αὐτῇ θεότητος, ἄρα καθὸ ἄνθρωπος ὁ αὐτὸς ἐν τῇ Γαλιλαίᾳ περιπατῶν, οὐκ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν,

καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθὸ ἄνθρωπος. καὶ ἑτέρωθι. κἀκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ. καὶ πάλιν ἑτέρωθι. κἀκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ ὅρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν. εἰ καθὸ Θεὸς ὁ Χριστὸς, δύναμις ἦν αὐθυπόστατος, καθὸ δὲ ἄνθρωπος, ἀσθένεια. (εἰ γὰρ ἐσταυρώθη, φησὶν ὁ θεῖος ἀπόστολος, ἐξ ἀσθενείας· ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ) ἄρα καθὸ ἄνθρωπος, καὶ οὐ καθὸ Θεὸς, εἰσελθὼν εἰς οἰκίαν οὐκ ἤθελεν ἵνα τις γνῷ, καὶ οὐκ ἠδυνήθη λαθεῖν. καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθὸ ἄνθρωπος. καὶ ἀλλαχοῦ φησί· καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; εἰ ἡ βρῶσις τοῦ πάσχα τῶν ὑπὸ νόμον ἐστί· γέγονε δὲ ὁ κύριος καθὸ ἄνθρωπος, ἀλλ' οὐ καθὸ Θεὸς, ὑπὸ νόμον· ἄρα καθὸ ἄνθρωπος, ἤθελε φαγεῖν τὸ πάσχα. καὶ θελητικὸς ἦν ὁ αὐτὸς καὶ καθὸ ἄνθρωπος· καὶ μυρία ἄλλα ἐν τοῖς ἱεροῖς λογίοις εὑρήσεις δηλοῦντα τὸν Ἐμμανουὴλ θελητικὸν καὶ καθὸ ἄνθρωπος. Ο ΔΙΔΑΣΚΑΛΟΣ. πῶς ὀφείλομεν λέγειν τὰς θελήσεις; φυσικάς, ἢ ὑποστατικάς; Ο ΘΕΩΡΙΑΝΟΣ. φυσικάς. εἰ γὰρ ὑποστατικὰς εἴπωμεν τὰς θελήσεις, δώσομεν ἐπὶ τῆς ἁγίας τριάδος τρεῖς θελήσεις, διότι τρεῖς ὑποστάσεις εἰσίν. ὥσπερ οὖν μία θέλησις ἐπὶ τῆς ἁγίας τριάδος, διότι μία φύσις· οὕτω δύο θελήσεις ἐπὶ τοῦ Χριστοῦ, διότι δύο φύσεις εἰσὶν, ὡς δεδήλωται. Ο ΔΙΔΑΣΚΑΛΟΣ. σφόδρα με ὠφέλησας ἐκ τοῦ παραδείγματος τῆς ἁγίας τριάδος· καὶ πέπεισμαι, ὅτι φυσικὸν ὀφείλομεν λέγειν τὸ θέλημα, οὐχ ὑποστατικόν. ἐπεὶ οὖν δύο φύσεις δίδομεν ἐπὶ τοῦ Χριστοῦ, ἐξ ἀνάγκης καὶ δύο θελήματα συνομολογήσομεν, θεῖόν τι καὶ ἀνθρώπινον. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀνθρώπινον δεῖ θέλημα νοεῖν, οὐ τὸ γνωμικὸν, ἢ προαιρετικὸν, ἀλλὰ τὸ φυσικὸν μόνον. Ο ΔΙΔΑΣΚΑΛΟΣ. καὶ τί ἐστι φυσικὸν θέλημα, καὶ τί προαιρετικόν; Ο ΘΕΩΡΙΑΝΟΣ. φυσικὸν θέλημά ἐστι δύναμις τοῦ κατὰ φύσιν ὄντος ὀρεκτικὴ καὶ τῶν οὐσιωδῶς τῇ φύσει προσόντων συνεκτικὴ πάντων ἰδιωμάτων, καθ' ἣν ἀεὶ τῷ φύσει θελητικῷ τὸ πεφυκέναι θέλειν ἐμπέφυκεν. οὐ ταὐτὸν δὲ τὸ πεφυκέναι θέλειν, καὶ θέλειν, ἐστὶν, ὡς οὐδὲ τὸ πεφυκέναι λαλεῖν, καὶ λαλεῖν. πέφυκε μὲν γὰρ τὸ λαλητικὸν λαλεῖν· λαλεῖ δὲ οὐκ ἀεί. ἐπειδὴ τὸ μὲν οὐσίας ἐστὶ, τῷ λόγῳ τῆς φύσεως συνεχόμενον· τὸ δὲ βουλῆς, τῇ τοῦ λαλοῦντος γνώμῃ τυπούμενον, ὥστε φύσεως μὲν τὸ ἀεὶ πεφυκέναι λαλεῖν, ὑποστάσεως δὲ τὸ πῶς λαλεῖν. ὥσπερ καὶ τὸ πεφυκέναι θέλειν; καὶ πῶς θέλειν.

A & idem voluntate præditus erat, etiam quatenus erat homo. Et alibi, Inde egressi Galilæam pertransibant, nec id quemquam scire volebat. Item alio loco, Inde mouens abiit ad Tyri Sidonisque fines, & domum ingressus, neminem id scire volebat; neque tamen latere poterat. Si Christus, quatenus erat Deus, potentia per se subsistens erat; & infirmitas, quatenus homo: (licet crucifixus est, inquit Apostolus, ex infirmitate: viuit tamen potestate diuina) ergo quatenus homo, non quatenus Deus erat, domum ingressus, neminem id scire volebat; neque tamen latere B poterat: adeóque voluntate præditus erat idem, etiam quatenus erat homo. Alibi quoque dicitur: Et accessere discipuli, dicentes: Quò nos abire vis, & pascha manducandum parare? Si manducatio paschatis ad subiectos legi pertinet, Dominus autem quatenus homo, non quatenus Deus erat, legi subiectus fuit: ergo quatenus erat homo, pascha manducare voluit, & erat idem voluntate præditus, etiam quatenus erat homo. Reperies & alia sacris in oraculis infinita, quæ Emmanuelem voluntate præditum fuisse demonstrant, etiam quatenus erat homo. DOCTOR.

C Quînam voluntates adpellare debemus? naturales, an *hypostaticas? THEOR. Naturales. quippe si volūtates hypostaticas dicimus, tres in sacra sancta Trinitate voluntates concedemus, quoniam tres sunt hypostases. Igitur vt vna voluntas est in sacra sancta Trinitate, quoniam vna natura: sic duæ voluntates in Christo sunt, quoniam duæ naturæ, sicut est indicatum. DOCTOR. Valde me iuuisti per exemplum illud sacræ sanctæ Trinitatis: éstque mihi persuasum, debere nos voluntatem naturalem dicere, non hypostaticam.

D Itaque quum duas in Christo naturas concedamus, necessario duas quoque voluntates confitebimur, diuinam & humanam. THEORIANVS. Humana voluntas intelligenda est, non arbitraria, vel eligens; sed tantum naturalis. DOCTOR. Et quid est naturalis voluntas? quid eligens? THEORIANVS. Voluntas naturalis est vis & facultas id adpetens, quod secundum naturam est omniumque proprietatum, quæ naturæ substantialiter adsunt, conseruatrix: secundum quam semper ei, quod à natura voluntate præditum est, hoc ipsum inest, vt ad volendum sit compa-

E ratum. Non idem est autem, cōparatum esse ad volēdum, & velle: sicuti nec comparatum esse ad loquendum, & loqui. Nam quidquid præditum est vi loquēdi, cōparatum quidem est ad loquendum: sed non semper loquitur: quoniā id quidē est substantiæ, rationéq; naturæ cōtinetur: hoc vero cōsilij est, & loquentis arbitrio formatur: quo fit, vt naturæ quidē sit, semper cōparatū esse ad loquendū: hypostasis autē, quodāmodo loqui: sicut ad volendum esse comparatum, & quodammodo velle.

vel personales.

Plures in Christo voluntates non fuerunt personales sed naturales.

Quid voluntas naturalis.

Arbitrium vero, & electio, siquidem propriè loqui volumus, in Dominum non cadunt. Nam arbitrium post habitam de ignota re quæstionem, & deliberationem siue consilium & iudicium, adfectio quædam est ad id, quo de iudicium factum est: post quam electio sequitur, alterum præ altero deligens. Dominus autem, qui nudus homo non est, sed etiam Deus, & qui nouit omnia, nec considerationis vllius eget, nec inquisitionis, nec consilij, nec iudicij: & tum coniunctionem cum bono naturaliter habet, tum auersionem à malo. Quapropter arbitrariam aut eligentem voluntatem domino non tribuimus, sed naturalem. Tum religiosissimus Episcopus Isaacus dixit: Sufficiunt hæc de duabus voluntatibus Emmanuelis, iis quidem qui non contentiose, quæ dicta sunt, audiunt. Nunc, si placet, etiam de geminis actionibus dicito. Theorianus. Ad demonstrandum actiones Christi duplices, apud vos oratione prolixa non opus esse arbitror, qui sacris litteris estis innutriti. Nam expuere, lutúmque de sputo conficere, cæcique pupulas inungere, hominis omnino actio est. quippe diuinitatem exspuere non dicemus, si non insani simus. At lutum illud in oculum & lucem conuertere, id vero diuinitati omnino adtribuemus. Eiusmodi quis infinita reperiet, si oracula diuina diligenter inspexerit. Erit autem res tota perspicua de gladij quoque candentis exemplo. nam is pariter & secat, & vrit: éstque dubio procul vstio quidem non ferri, sed ignis: sectio vero, non ignis, sed ferri. effecta denique diuersarum naturarum sunt, tam sectio quàm adustio. Verùm propter vnionem, non ignis tantum esse dicimus hanc vstionem, sed etiam ferri. Sic enim loqui solemus, Hoc ferrum vrit. Sic quoque rem considerabimus. Animæ est, corpus suum animare ac viuificare. quod quidem ex amborum diremptu patet. nam anima tēpore mortis à corpore suo direpta, corpus mortuum manet. Quum ergo diuinitas eius nūquam nec à corpore nec ab anima direpta fuerit: quo pacto vim istam animæ, viuificantem scilicet, non habuit eius diuinitas? nimirum à corpore indirempta, eique copulata hypostaticè, mortuum manere corpus haud sinebat. quippe dum inest anima corpori, numquam illud mortuum est. Nam quum anima sit spiritus vitalis, corpus ipsum viuificat, sicut etiam alicubi sapiens ille Salomo, de impiis quibusdam & de astrorum cultoribus loquens, dixit: Luto vilior est vita ipsorum, quoniam ignorarunt eum, qui finxit eos, & efficacem animam inspirauit eis, ac spiritum vitalem eis adflauit. Generalis. Quicumque conscientiam suam pedibus proculcat, præsertim in doctrina fidei: non dignus est adpellari Christianus.

Quid arbitrium & electio.

Actiones Christi duplices.

Similitudo apta.

Aptissimum aliud exemplum.

A γνώμην δὲ καὶ προαίρεσιν, ἐπὶ τοῦ κυρίου λέγειν ἀδύνατον, εἴ γε κυριολεκτεῖν βουλόμεθα. ἡ γνώμη γὰρ μετὰ τὴν περὶ τοῦ ἀγνοουμένου ζήτησιν, καὶ βούλευσιν ἤτοι βουλὴν, καὶ κρίσιν, πρὸς τὸ κριθὲν ἐστὶ διάθεσις, μεθ᾽ ἣν ἡ προαίρεσις ἐκλεγομένη καὶ αἱρουμένη πρὸ τοῦ ἑτέρου τὸ ἕτερον. ὁ δὲ κύριος οὐ ψιλὸς ἄνθρωπος ὤν, ἀλλὰ καὶ Θεὸς, καὶ πάντα εἰδὼς, ἀνενδεὴς σκέψεως, καὶ ζητήσεως, καὶ βουλῆς ὑπάρχει, καὶ κρίσεως· καὶ φυσικῶς τήν τε πρὸς τὸ καλὸν ἔχει οἰκείωσιν, τήν τε πρὸς τὸ κακὸν ἀλλοτρίωσιν. διὰ τοῦτο γνωμικὸν ἢ προαιρετικὸν θέλημα ἐπὶ τοῦ κυρίου οὐ λέγομεν, ἀλλὰ φυσικόν. B Ὁ εὐλαβέστατος ἐπίσκοπος ΙΣΑΑΚ εἶπεν. ἀρκεῖ τοῖς μὴ φιλονείκως ἀκούουσι τῶν ῥηθέντων περὶ τῶν δύο θελημάτων τοῦ Ἐμμανουήλ. εἰπὲ ἡμῖν, εἰ κελεύεις, καὶ περὶ τῶν δύο ἐνεργειῶν. Ὁ ΘΕΩΡΙΑΝΟΣ. περὶ τῶν δύο ἐνεργειῶν τοῦ Χριστοῦ οὐκ οἶμαι ὑμᾶς δεῖσθαι λόγων πολλῶν εἰς ἀπόδειξιν, τοὺς ταῖς θείαις ἐντεθραμμένους γραφαῖς. τὸ γὰρ πτύσαι, καὶ πηλὸν ἐκ τοῦ πτύσματος ποιῆσαι, καὶ χρῖσαι τὰς κόρας τοῦ τυφλοῦ, ἀνθρωπίνη πάντως ἐστὶν ἐνέργεια. πτύειν γὰρ οὐκ ἂν εἴποιμεν τὴν θεότητα, εἴ γε μὴ μαινοίμεθα. τὸ δὲ τὸν πηλὸν εἰς ὄμμα καὶ φῶς μετασκευάσασθαι, C πάντως τῇ θεότητι δώσομεν. καὶ μυρία ἄν τις εὕροι τοιαῦτα, τοῖς θείοις ἐπιμελῶς ἐγκύψας λογίοις. ἔσται δὲ σαφὲς τοῦτο καὶ διὰ παραδείγματος τῆς πεπυρακτωμένης μαχαίρας. τέμνει γὰρ αὕτη ἐν ταὐτῷ, καὶ καίει. καὶ ἔστιν ἡ μὲν καῦσις προδήλως οὐ τοῦ σιδήρου, ἀλλὰ τοῦ πυρός. ἡ δὲ τομὴ οὐ τοῦ πυρὸς, ἀλλὰ τοῦ σιδήρου· καὶ ἄλλης καὶ ἄλλης φύσεως ἐνέργειαι ἥτε τομὴ καὶ ἡ καῦσις. διὰ δὲ τὴν ἕνωσιν μὴ μόνον τοῦ πυρὸς εἶναι λέγομεν τὴν καῦσιν, ἀλλὰ καὶ τοῦ σιδήρου. καίει γὰρ ὁ σίδηρος οὗτος, φαμέν. σκοπήσομεν δὲ καὶ οὕτω· ψυχῆς ἐστὶ τὸ D ψυχοῦν καὶ ζωοποιεῖν τὸ ἑαυτῆς σῶμα· καὶ δῆλον ἀπὸ τοῦ χωρισμοῦ· χωριζομένης γὰρ ταύτης κατὰ τὸν καιρὸν τοῦ θανάτου ἀπὸ τοῦ οἰκείου σώματος, μένει τὸ σῶμα νεκρόν. ἐπεὶ οὖν ἡ θεότης αὐτοῦ οὐδέποτε οὔτε τοῦ σώματος, οὔτε τῆς ψυχῆς ἐχωρίσθη, πῶς τὴν ἐνέργειαν ταύτην τῆς ψυχῆς τὸ ζωογονεῖν φημὶ, οὐκ εἶχεν ἡ θεότης αὐτοῦ; ἀλλ᾽ ἀχώριστος οὖσα τοῦ σώματος, καὶ καθ᾽ ὑπόστασιν ἑνωμένη αὐτῷ, οὐκ εἴα μένειν αὐτὸ νεκρόν. ψυχῆς γὰρ ἐνούσης τῷ σώματι, οὐδέποτε E νεκρὸν ἐκεῖνο τυγχάνει ὄν. πνεῦμα γὰρ ζωτικὸν οὖσα ἡ ψυχὴ, ζωοποιεῖ τὸ σῶμα, ὥς που καὶ ὁ σοφὸς Σολομὼν περὶ τινων παρανόμων καὶ εἰδωλολατρῶν εἶπε· πηλοῦ ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτοὺς, καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα αὐτοῖς πνεῦμα ζωτικόν. Ὁ ΚΑΘΟΛΙΚΟΣ. ὅστις τὸ οἰκεῖον καταπατεῖ συνειδὸς, καὶ μάλιστα ἐν τοῖς περὶ πίστεως λόγοις, οὐκ ἔστιν ἄξιος καλεῖσθαι Χριστιανός.

A ἐγὼ δὲ ὁμολογῶ ἐπὶ Θεῷ μάρτυρι, ὅτι τῆς αὐτῆς ὑμῖν πίστεως καὶ ἤμην καὶ εἰμί, ἐξ ὅτου ταῖς θείαις ἐνέκυψα βίβλοις, ἧς καὶ αὐτὸς εἶ, καὶ οἱ παρὰ σοῦ εἰς μέσον ἀχθέντες θεῖοι πατέρες. Ο ΘΕΩΡΙΑΝΟΣ. εἰ οὕτως ἐπίστευες καὶ πιστεύεις, ἕνεκεν τίνος λοιπὸν ἔγραψας ἐν τῇ ἐπιστολῇ σου, λέγομεν μίαν φύσιν εἰς τὸν Χριστόν; Ο ΚΑΘΟΛΙΚΟΣ. ἀποβλέπων εἰς τὸ τοῦ ἀνθρώπου παράδειγμα, ᾧ οἱ ἅγιοι πατέρες ἐχρήσαντο, τοῦ ἐκ ψυχῆς συγκειμένου καὶ σώματος, καὶ μία φύσις λεγομένου μετὰ τὴν ἕνωσιν, καὶ τὰς, ἐξ ὧν συνετέθη, φύσεις ἀσυγχύτους καὶ ἀτρέπτους φυλάτ-
B τοντος, οὐκ ἐδόκουν, ὡς πολλάκις εἶπόν σοι, σφάλλεσθαι. ὑπελάμβανον δὲ καὶ τὸν μακάριον Κύριλλον, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην λέγοντα, τοῦτο βούλεσθαι δηλοῦν. ἤκουον δὲ καὶ παρὰ πολλῶν, ὅτι οἱ Ῥωμαῖοι δύο φύσεις κεχωρισμένας, ὡς ὁ Νεστόριος, δογματίζουσι. καὶ διὰ τοῦτο σφοδρῶς ἀντιμαχόμενος τῆς μιᾶς φύσεως λέξεως, καὶ κατὰ τοῦ ΚΕΧΩΡΙΣΜΕΝΑΣ, τὸ, ΜΙΑΝ ἀντετιθέμεθα. κατὰ μέντοι γε τὸν νοῦν οὕτως ἐφρόνουν, καὶ οὕτω φρονῶ, ὡς αὐτὸς ἡμῖν διετράνωσας, ἐκ τῶν θείων γραφῶν τὰς ἀπο-
C δείξεις ποιούμενος. νῦν οὖν εἰ ἔχεις ἄλλο κεφάλαιον, πρόσθες καὶ περὶ ἐκείνου, εἰ δοκεῖ, ποιησόμεθα τὴν διάλεξιν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀναγνωσόμεθα λοιπὸν καὶ πάλιν ἐκ τῆς σῆς ἐπιστολῆς. Ο ΚΑΘΟΛ. ἄγε.

Ὡς οὖν ἀνεγινώσκομεν, ἤλθομεν εἰς τὸν τόπον, οὗ ἦν γεγραμμένον· ἐσκήνωσεν ἐν τῇ γαστρὶ τῆς παρθένου ἐννέα μηνῶν χρόνον, καὶ πέντε ἡμερῶν. Εἶπεν ὁ Θεωριανός. πόθεν ἔχεις τοῦτο, ὅτι ἐννέα μῆνας καὶ πέντε ἡμέρας ἐσκήνωσεν ἐν τῇ γαστρὶ τῆς παναγνου παρθέ-
D νου; Ο ΚΑΘΟΛΙΚΟΣ. ἔγνωμεν ἀπὸ τῶν ἡμετέρων διδασκάλων, ὅτι τὰ πρωτότοκα παιδία ποιοῦσιν ἐν τῇ μήτρᾳ τῶν ἑαυτῶν μητέρων ἐπέκεινα τῶν μὴ πρωτοτόκων, πέντε ἡμέρας. καὶ τοῦτο πιστοῦνται ἀπὸ τοῦ σοφοῦ Σολομῶντος, λέγοντος περὶ ἑαυτοῦ· δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν σώματι· τοῦτο βουλομένου δηλοῦν, ὅτι οὐ μόνον ἐννέα μῆνας ἦν ἐν τῇ μήτρᾳ τῆς ἑαυτοῦ μητρὸς, ἀλλὰ καὶ ἀπὸ τοῦ δεκάτου ἔλαβεν. ὡς πρωτότοκον οὖν ὁ Ἐμμανουὴλ, τὸν ἴσον αὐτοῖς χρόνον ἐν τῇ μήτρᾳ τῆς ἑαυτοῦ μητρὸς πεποίηκεν. Ο ΘΕΩΡ.
E ὁ Σολομῶν κατὰ τὸν ἀριθμὸν ἀριθμῶν τῶν Ἑβραίων, δεκαμηνιαίῳ χρόνῳ εἶπε παγεὶς ἐν σώματι. καὶ γὰρ οἱ μῆνες τῶν Ἑβραίων μικρότεροί εἰσι τῶν ἡμετέρων μηνῶν. ἐκεῖνοι γὰρ τὴν σελήνην ἔχουσι μέτρον τῶν παρ' αὐτοῖς μηνῶν. τὴν γὰρ ἀρχὴν τῆς σελήνης ἔχουσιν ἀρχὴν τοῦ μηνός· καὶ τὸ τέλος πάλιν αὐτῆς, τέλος τοῦ μηνὸς αὐτῶν. οὐδέποτε δὲ σελήνη ἔχει ἡμέρας λ΄, ἢ λα΄. ὡς ἔχουσι οἱ μῆνες ἡμῶν. κατὰ γοῦν τὸν ἀριθμὸν τῶν μηνῶν τῶν Ἑβραίων εἶπεν ὁ Σολομών·

A Ego vero Deum testem adpellans fateor, me & eiusdem vobiscum fuisse fidei, & esse; ex quo libros sacros inspexi: cuius scilicet es ipse fidei, & in medium abs te producti diui patres. THEORIANVS. Si sic credebas, & nunc credis; quare scribebas in epistola tua: Dicimus vnam in Christo naturam? GENERALIS. Equidem respiciens ad illud exemplum ab homine sumptum, quo sancti patres vsi sunt; homine, inquam, ex anima corporeque composito, quique post vnionem esse natura dicitur vna, & naturas, ex quibus est compositus, inconfusas
B & mutationis expertes retinet: minimè mihi, ceu multoties tibi iam dixi, falli videbar. Præterea putabam, beatum illum Cyrillum, quum dicit vnam naturam Sermonis incarnatam, hoc ipsum indicare velle. A pluribus audiebam denique, Romanos exemplo Nestorij duas naturas separatas statuere. quamobrem vnius naturæ vocem vehementer propugnantes, pro SEPARATIS naturis, VNAM reponebamus. Interim mente sic sentiebam, & sentio, quemadmodum ipse nobis declarasti per eas demonstrationes, quas ex di-
C uinis litteris contexebas. Itaque si nunc aliud caput habes, adiicito: vt etiam de illo, si videbitur, colloquamur. THEORIANVS. Ergo rursus ex epistola tua legere pergemus. GENERALIS. Age verò.

Quum igitur legeremus; ad eum locum venimus, vbi scriptum erat: Habitauit in vtero virginis nouem mensium & quinque dierum spatio. Dixit ergo THEORIANVS. Vnde quæso id habes, quod nouem mensibus & quinque diebus habitauerit in ca-
D stissimæ virginis vtero? GENERALIS. Accepimus à doctoribus nostris, primigenia quinque diebus in matrum suarum aluo diutius existere quàm fœtus non primigenios. atque huic opinioni fidem conciliant ex illo sapiente Solomone, de se ipso dicente: Decem mensium spatio defixus in corpore fui: quibus verbis hoc indicare vult, quòd non modo nouem mensibus in vtero matris suæ fuerit, sed etiam decimi partem aliquam ceperit. Noster igitur Emmanuel, tamquam fœtus primigenius, par temporis spatium in vtero matris
E exegit. THEORIANVS. Salomon Hebræorum more tempora metiens, decem mensium spatio se in corpore defixum fuisse dicit. quippe menses Hebræorum minores sunt nostris mensibus. Nam secundum lunam menses suos dimetiuntur, adeóque lunę principium, mensis principium faciunt; ac vicissim lunæ finem, mensis sui finem. Numquam vero luna dies XXX vel XXXI, instar nostrorum mensium habet. itaque iuxta numerum Hebræorum mensium Solomo dixit:

Nona quæstio quot mensibus in vtero virginis Mariæ Christus manserit an decem an paucioribus.

Menses Hebræi.

Chrysostomi locus.

Decem mensium spatio defixus in corpore. Ceterùm lumen illud orbis, Ioannes Chrysostomus, in oratione de natiuitate Domini nostri Iesu Christi, qua etiam clare demonstrat, quando natalis Seruatoris celebrandus sit, cuius quidem orationis hoc est exordium: Quæ olim patriarchæ parturiebant, prædicebant vates; iusti videre desiderabant; ea nunc euenerunt, hodiéque consummata sunt: sub huius igitur orationis medium Chrysostomus ait: Quum Ioannem Elizabeta sextum iam mensem in vtero gereret, Mariæ conceptio principium habuit. Hinc iam cognito conceptionis Mariæ principio, nouémque mensibus à conceptione numeratis: quando pepererit, sciemus. Non menses nouem & dies quinque dicit, vti tua sanctitas scripsit. GENERALIS. Nos orationem illam Chrysostomi non habemus. at enim hoc emendatu facillimum fuerit. itaque missum id faciamus, & sequentia videamus.

Noua quæstio de festis Natiuitatis & baptismi Christi, vtrùm vno eodémque die debeant celebrari.

Cur Hebræi cum christianis eodem die Paschatis non celebrant.

Vlterius ergo legentes epistolam, ad caput de festis peruenimus, in quo hæc erant verba: Quod natiuitatis & baptismi festum vno eodemque die celebramus, id rectè fieri multis testimoniis docemus. Primum omnes ecclesiæ sic factitabãt, inde vsque ab apostolis. Altera ratio, quod Euangelista Lucas id testatur. quippe commemorat, in festo propitiationis: quod est mensis Tisronis die x, hoc est XXVII Septembris: quo Zacharias pontifex templum ingressus fuit, & suffitum fecit, & angelum adspexit. Ad hæc THEORIANVS. Vnde constat, ait, diem x mensis Tisronis, esse XXVII Septembris? GENERALIS. Ex Hebraico. THEORIANVS. Quînam ex Hebraico? atqui menses Hebræorum nostris mensibus non respondent; nec ipsorum mensibus, nostri. quod sane manifestum est ex paschate. propter illam enim causam aliquando Martio mense, aliquando Aprili pascha celebramus: quũ illud Hebraicum pascha non sequamur. At illi numquam à primi apud eos mensis, videlicet Nisanis, die XIV recedunt, quemadmodum lex Mosaica præcipit. quo fit, vt qui primus apud eos mensis est, nonnumquam in eum, qui apud nos Martius dicitur, nonnumquam in Aprilem incidat. ideóque menses ordine ceteri necessario sequuntur eum qui apud ipsos primus est: ac septimus ipsorum mensis, quo festum propitiationis apud eos celebratur, non semper in Septembrem nostrum incidit; sed est necesse, nonnumquam vt anticipet, nonnumquam accedat tardius. Vndenam ergo certus es, diem XXVII Septembris, esse Tisronis x? GENERALIS. Sic à maioribus nostris accepimus. THEORIANVS. Quid accepistis? per scripturam? an citra scripturam? GENERALIS. Contra scripturam. THEORIANVS.

δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν σώματι. ὁ δὲ τῆς οἰκουμένης φωστὴρ ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης ἐν τῷ λόγῳ τῷ εἰς τὴν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ καὶ περὶ τοῦ, πότε δεῖ τὴν τοῦ Σωτῆρος γέννησιν ἑορτάζειν, σαφῶς ἀποδείκνυσιν, οὗ ἡ ἀρχή· ἃ πάλαι πατριάρχαι μὲν ὤδινον, προφῆται δὲ προὔλεγον, δίκαιοι δὲ ἐπεθύμουν ἰδεῖν, ταῦτα ἐξέβη, καὶ τέλος ἔλαβε σήμερον· περὶ τὸ μέσον οὖν τοῦ λόγου τούτου φησίν· ἓξ μῆνας ἐν γαστρὶ ἐχούσης τὸν Ἰωάννην τῆς Ἐλισάβετ, ἡ Μαρία ἤρξατο συλλαμβάνειν. εἶτα μαθόντες, πότε ἤρξατο ἡ Μαρία συλλαμβάνειν, εἰσόμεθα καὶ πότε ἔτεκεν, ἐννέα μῆνας ἀριθμήσαντες ἐκ τῆς συλλήψεως. οὐχὶ ἐννέα μῆνας, καὶ πέντε ἡμέρας, ὡς ἡ ἁγιωσύνη σου ἔγραψεν. Ο ΚΑΘΟΛΙΚΟΣ. ἡμεῖς τὸν λόγον τοῦτον τοῦ Χρυσοστόμου οὐκ ἔχομεν. πλὴν τοῦτο ῥᾷστον διορθωθῆναι. ἐάσωμεν οὖν, εἰ δοκεῖ, τοῦτο καὶ ἴδωμεν τὰ ἑξῆς.

Ἀναγινώσκοντες οὖν τὸ ἑξῆς τῆς ἐπιστολῆς, ἤλθομεν εἰς τὸ περὶ ἑορτῶν κεφάλαιον, ἐν ᾧ ἔλεγε· πλὴν διὰ τὸ τὴν γέννησιν καὶ τὸ βάπτισμα ἐφάπαξ ἑορτάσαι, πολλὰς ἔχομεν μαρτυρίας. πρῶτον μὲν πᾶσαι αἱ ἐκκλησίαι οὕτως ἑόρταζον, ἀρξάμεναι ἀπὸ τῶν ἀποστόλων. δεύτερον δὲ λόγον, ὅτι ὁ Εὐαγγελιστὴς Λουκᾶς τοῦτο μαρτυρεῖ. διηγεῖται γὰρ ἐν τῇ ἑορτῇ τοῦ ἱλασμοῦ, ἥτις ἐστὶ τῷ μηνὶ Τισρὶ τῇ δεκάτῃ, ἥτις ἐστὶ Σεπτεμβρίου κζʹ. ἐν ᾗ εἰσῆλθεν ὁ ἀρχιερεὺς Ζαχαρίας ἐν τῷ ναῷ, καὶ ἐθυμίασε, καὶ εἶδε τὴν ὅρασιν τοῦ ἀγγέλου. εἶπεν Ο ΘΕΩΡΙΑΝΟΣ. πόθεν δῆλον, ὅτι ἡ δεκάτη τοῦ Τισρὶ ἐστὶν ἡ κζʹ. τοῦ Σεπτεμβρίου μηνός; Ο ΚΑΘΟΛ. ἐκ τοῦ Ἑβραϊκοῦ. Ο ΘΕΩΡ. πῶς ἐκ τοῦ Ἑβραϊκοῦ; καὶ μὴν οἱ τῶν Ἑβραίων μῆνες οὐκ ἀκολουθοῦσι τοῖς ἡμετέροις μησὶν, οὔτε μὴν οἱ ἡμέτεροι τοῖς ἐκείνων, καὶ δῆλον ἐκ τοῦ πάσχα. διὰ γὰρ τοῦτο, ποτὲ μὲν μηνὶ Μαρτίῳ, ποτὲ δὲ μηνὶ Ἀπριλλίῳ τὸ πάσχα ἑορτάζομεν, ἐπειδὴ τῷ Ἑβραϊκῷ ἀκολουθοῦμεν πάσχα. ἐκεῖνοι δὲ οὐδέποτε τοῦ παρ' αὐτοῖς πρώτου μηνὸς, ἤτοι τοῦ Νισὰν, τῆς τεσσαρεσκαιδεκάτης ἐξίστανται, καθὼς ἡ τοῦ Μωσέως νομοθεσία διακελεύεται. ὥστε ὁ παρ' αὐτοῖς πρῶτος μὴν, ποτὲ μὲν ἐν τῷ παρ' ἡμῖν Μαρτίῳ λεγομένῳ μηνὶ, ποτὲ δὲ ἐν τῷ Ἀπριλλίῳ ἐμπίπτει. καὶ λοιπὸν ἐξ ἀνάγκης οἱ καθεξῆς μῆνες τῷ πρώτῳ αὐτῶν ἀκολουθοῦσι· καὶ ὁ ζʹ. μὴν αὐτῶν, καθ' ὃν ἡ ἑορτὴ τοῦ ἱλασμοῦ παρ' αὐτοῖς τελεῖται, οὐκ ἐμπίπτει ἀεὶ τῷ παρ' ἡμῖν Σεπτεμβρίῳ, ἀλλ' ἀνάγκη ποτὲ μὲν προλαμβάνειν αὐτὸν, ποτὲ δὲ ὑστερίζειν. πόθεν οὖν ἔχεις βεβαίως, ὅτι ἡ κζ. Σεπτεμβρίου, δεκάτη ἐστὶ τοῦ Τισρί; Ο ΚΑΘΟΛΙΚΟΣ. οὕτω παρελάβομεν παρὰ τῶν πρὸ ἡμῶν. Ο ΘΕΩΡ. πῶς παρελάβετε; ἐγγράφως, ἢ ἀγράφως; Ο ΚΑΘΟΛΙΚΟΣ. ἀγράφως. Ο ΘΕΩΡΙΑΝΟΣ.

ἐκ τῶν ῥηθέντων περὶ τῆς ἀνισότητος τῶν παρ' ἡμῖν, καὶ τῶν παρὰ Ἑβραίοις μηνῶν, δῆλόν ἐστιν, ὅτι οὐκ οἶδας βεβαίως, εἰ ἔστιν ἡ δεκάτη τοῦ Τισρὴν, κζ΄. τοῦ Σεπτεμβρίου, καὶ εἰ τοῦτο ἀγνοεῖς, οὐδὲ τὴν σύλληψιν Ἰωάννου οἶδας ἵνα κατὰ τὸν ϛ΄. μῆνα ταύτης τὴν σύλληψιν εὑρήσῃς τοῦ Κυρίου. Ο ΚΑΘΟΛΙΚΟΣ. ἄλλην ἀσφάλειαν οὐκ ἔχω. πλὴν ἡ διόρθωσις τούτου γενήσεται, σὺν Θεῷ, εἴγε διορθωθείη τὰ χρειωδέστερα. ἐγὼ γὰρ τὸν λόγον τοῦ θείου Χρυσοστόμου, τὸν, πότε δεῖ τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως ἑορτάζειν, διαγορεύοντα (οὗ μνείαν αὐτὸς ἀνωτέρω πεποίηκας) μέχρι τοῦ νῦν οὐχ ἑώρακα. ἀλλ' οὐδὲ ἤκουσα, ὅτι ἐστὶ λόγος τοῦ Χρυσοστόμου περὶ τούτου. μᾶλλον δὲ τοῦ ἁγίου Ἐπιφανίου τοῦ Κύπρου ἤκουον εἶναι λόγον περὶ τούτου· ἀλλ' οὐδὲ ἐκεῖνον εἶδον. λέγουσι γὰρ, ὅτι ὁ θεῖος Ἐπιφάνιος, ἅτε ἐξ Ἑβραίων ὢν, ἐκ τῆς τῶν Ἑβραίων γραφῆς καὶ Ἰωσήπου τοῦ χρονογράφου ἐβεβαίωσε, Δεκεμβρίου κε΄. τὴν γέννησιν ἑορτάζεσθαι τοῦ Σωτῆρος. τούτῳ φασὶ συμφωνεῖν καὶ τὰς ὑπὸ τοῦ Τίτου ἀπὸ Ἱερουσαλὴμ εἰς Ῥώμην ἀχθείσας γραφὰς, ὅτε ταύτην αὐτὸς ᾐχμαλώτευσεν. ἀλλ' οὐ πολὺς ἐμοὶ λόγος περὶ τῶν ἑορτῶν, καὶ τῶν ἄλλων τῆς ἐκκλησίας ἐθῶν, εἰ μόνον περὶ τὴν πίστιν ὁμοφρονήσωμεν. Ο ΘΕΩΡΙΑΝΟΣ. τί δὲ περὶ τῆς τοῦ Τρισαγίου ὕμνου προσθήκης; ἐάσομεν αὐτὴν ἀνεξέλεγκτον; ἐπεὶ ἐν τοῖς πρακτικοῖς τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου ἐμφέρεται, ὅπως τοῦτον τότε οἱ θεοφόροι πατέρες τὸν ὕμνον ἐξύμνησαν, τῇ ἐκείνων ὑμνολογίᾳ ἀρκούμενοι; ἢ δεῖ καὶ περὶ ταύτης ἀνασκευὰς εἰπεῖν, καὶ δεῖξαι, ὅτι ἡ τοῦ κναφέως προσθήκη τῇ ἐκκλησίᾳ βδελυκτή ἐστι καὶ ἀπόβλητος; Ο ΚΑΘΟΛΙΚΟΣ. εὖ πεποίηκας ἀναμνήσας ἡμᾶς περὶ τοῦ Τρισαγίου. εὑρίσκεις γὰρ χρήσεις τῶν μεγάλων διδασκάλων τῆς ἐκκλησίας, μόνῳ δοκούσας προσάπτειν τῷ υἱῷ τὸν Τρισάγιον ὕμνον. καὶ πολλάκις ταύτας σκεψάμενος κατ' ἐμαυτὸν, ἐν ἀμηχανίᾳ κατέστην πολλῇ. καὶ μοι δοκεῖ ἐκ τούτων ὁρμώμενοι τῶν χρήσεων τοὺς τὴν προσθήκην ταύτην πεποιηκότας πεποιηκέναι· καὶ διδάξαι ἡμᾶς, ὅταν μὲν ἐπὶ τῆς ἁγίας τριάδος τὸν θεῖον ᾄδωμεν ὕμνον, μηδεμίαν προσθήκην ποιεῖν· ὅταν δὲ ἐπὶ μόνου λέγωμεν τοῦτον τοῦ υἱοῦ, προστιθέναι ποτὲ μὲν τὸ, Ο σταυρωθεὶς δι' ἡμᾶς· ποτὲ δὲ αὖ τὸ, Ἀναστὰς ἢ τὸ, ἀναληφθεὶς πρὸς τὸν καιρὸν τοῦ μυστηρίου ἁρμοδίως καὶ τὴν προσθήκην ποιουμένοι· τὸ, Θεὸς καὶ τὸ, ἰσχυρὸς καὶ τὸ, ἀθάνατος· ἐπὶ μόνου τοῦ δι' ἡμᾶς σταυρωθέντος, καὶ ἀναστάντος, καὶ ἀναληφθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐκλαμβάνοντες. Ο ΘΕΩΡΙΑΝΟΣ. λοιπὸν, ὅταν μετὰ τῆς προσθήκης τοῦτον λέγητε τὸν ὕμνον, Τρισάγιον καλεῖτε τὸν υἱόν; Ο ΚΑΘΟΛΙΚΟΣ. ναί. καὶ γὰρ οὐ μόνον Τρισάγιον, ἀλλὰ καὶ μυριάγιον ἐὰν καλῶμεν αὐτὸν, καλῶς ποιοῦμεν·

A Ex iis quæ dicta sunt de inæqualitate nostrorum & Hebræorum mensium, manifestum est, non te scire certo, an dies x Tisronis sit XXVII Septembris. quod quum ignores, nec Ioannis conceptionem nosti: vti scilicet eius mense sexto, reperire domini conceptionem possis. GENERALIS. Equidem aliam certitudinem non habeo. corrigetur tamen hoc quoque, Deo propitio, si quæ maioris momenti sunt, emendata fuerint. nam ego diui Chrysostomi orationem, qua docet, quando natalis Christi celebrandus sit: (cuius ipse suprà mentionem fecisti) hactenus non vidi. immo ne quidem audiui, aliquam Chrysostomi orationem eius argumenti exstare. potius
B intellexeram, esse quamdam de hoc orationem sancti Epiphanij, Cypri episcopi; quã ipsam quoque non vidi. Aiunt enim, diuum Epiphanium, qui esset Hebræus natione, de litteris Hebræorum, & annalium scriptore Iosepho adfirmasse, natalem Seruatoris die XXV Decemb. celebrãdum. Cum eo consentire dicunt & ea scripta quæ Titus Hierosolymis Romã deportauerit, quum eam vrbem caperet. Verum non magnopere sollicitus equidem fuero de festis, aliisque consuetudinibus ecclesiæ, modò sententiis de fide conueniamus. THEOR. Quid autẽ de illius hym-
C ni, quem Trishagium dicimus (quod ter in eo Sãcti nomen repetatur) adpendice? Num illam inexaminatã relinquemus? vt, quoniam in actis sanctæ ac vniuersalis quartæ synodi traditur, qua forma id tẽporis eum isti diuini patres pronuntiauerint, nos eorũ in illo hymno pronuntiando forma contenti simus? an & heic argumẽta promenda, probãdúmque; * Fullonis istius adpendicem ab ecclesia pro abominabili & rei cula duci? GEN. Tu vero recte, qui de Trishagio nos admonueris.
D quippe magnorum ecclesiæ doctorum auctoritates inueniũtur, quæ soli filio hymnum illum Trishagii adtribuere videntur, ac sæpè mecum illas equidem considerãs, admodum anxius hæsi: adeóq; arbitror, eius adpendicis auctores, illis permotos auctoritatibus, eam fecisse; nosque docuisse, quoties de sancta Trinitate diuinum illum hymnum canimus, nullam faciundam adpendicem: at quoties cum de filio dumtaxat pronuntiamus, interdum quidem addendum, Qui crucifixus es
E propter nos; interdum vero, Qui resuscitatus es: vel illud: Qui adsumptus es sursum: nimirum vt pro tempore mysterij, apta quoque subiiciatur adpendix: & illam vocem, Deus; & alteram, Fortis; & tertiam, immortalis; de solo propter nos crucifixo, déque mortuis suscitato, & sursum adsumpto Christo Deo nostro intelligamus. THEOR. Sequitur ergo, vt quum pronuntiatis hunc hymnum cum adpẽdice, filium ter sanctũ adpelletis. GEN. Verò. nam rectè facimus, eum nõ modo tersanctum, sed millies sanctum adpellantes:

Epiphanius Hebræus natione.

Noua quæstio de Hymno quem Trishagium dicebãt Græci: quasi diceres, tersanctum: qui hymnus tantũ canebatur in honorem vel solius filii, vel totius Trinitatis, non autem reliquarũ à filio ã unarum personarum, iuxta Græcorum morem.

* *cognomen Antiocheni Episcopi, de quo infrà Leontius & Harmenop.*

quemadmodum magnus ille Athanasius in oratione de carnis adsumptione Trinitatéq; loquitur: Non ter modo sanctus, inquiẽs, sed infinitè sanctus, & omnem supra sanctitatem positus. THEORIANVS. Patrem vero, sanctúmve spiritum, tersanctos non dicitis? GENERALIS. Non. THEORIANVS. Et vnde profecta est isthæc distributio, vt vel soli filio hymnus hic tribuatur, vel toti Trinitati: non autem vel patri soli, vel soli spiritui sancto? GENERALIS. Sic à sanctis hominibus edocti sumus. Nec longè abiuerimus. Magnus ille

D. Athanasius. Athanasius in oratione de carnis adsumptione ac Trinitate, cuius suprà mentio facta est, huiusmodi profert: Vidimus eum, nec speciem, nec pulchritudinem habebat. Nam antea viderat eum in diuina gloriosáque forma, sedentem in alto sublimique solio; quum Seraphi maiestatem eius verbis hisce concelebrabãt: Sanctus, Sanctus, Sanctus Dominus Sabbaoth. postea vero videt eum adsumpta serui forma, similem hominibus factum. Vidésne diuinum hunc virum soli filio videri tersanctũ istum hymnũ adtribuere? Quum, inquit, Seraphi maiestatem eius verbis hisce concelebrabant: Sanctus, Sanctus, Sanctus dominus Sabaoth. postea vero videt eum adsumpta serui forma, similem hominibus fa-

S. Epiphanius. ctum. Quin & S. Epiphanius in oratione de sancta Deipara, similia dicens: Beata, inquit, inter mulieres quæ sermonẽ ex te incarnatũ peperisti; sermonem illum, qui patris est filius; sermonem, qui Deus sæculis prior; sermonem, qui expers est principij, & æternus; sermonem, qui eiusdem est substantiæ cum inseparabili Trinitate; sermonem, qui cum patre ac spiritu sancto adoratur; sermonem, qui consors est solij paterni; sermonem qui Cherubis insidet; sermonem, quem illæ quadriformes bestiæ verbis hisce concelebrant; Sanctus, Sanctus, Sanctus Dominus Sabaoth. Plenum est cœlum & terra maiestate ipsius. Viden' vt & ille soli filio tersãctum hymnum adtribuere videatur? ait enim: Quem illæ quadriformes bestiæ verbis hisce cõcelebrãt; Sanctus, Sanctus, sanctus, &c. Quin & diuus

D. Chrysost. ille Chrysostom. in oratione de benedicto, cuius initium, De miraculis in miracula: verbis his eadem dicit: Hodie rex maiestatis in terra sic concelebratur, vti vates descripsit, & lætitiæ cœlestis participes terrigenas facit: vt ostẽdat amborum se Dominum, qui vtrimq; consona voce concelebretur. Propterea superi quidem illi salutem istam in terris indicãtes canebãt: Sanctus, Sanctus, Sanctus Dominus Sabaoth, plena est vniuersa terra maiestate ipsius; inferi vero cum lætitia cœlesti celebrationẽ suam coniungentes, clamabãt:

Respondet Theorianus adductis authoritatibus. Hosanna filio Dauidis. Vides hæc tria magna ecclesiæ lumina videri filio soli tersanctum illum hymnum adtribuere? THEOR. Bene dictum abs te, videri. non enim adtribuunt,

A καθὼς ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ σαρκώσεως καὶ τριάδος λόγῳ φησὶν· οὐ τρὶς μόνον ἅγιος, ἀλλ' ἀορίστως καὶ ἀπειράκις ἅγιος, καὶ ὑπεράγιος. Ο ΘΕΩΡΙΑΝΟΣ. τὸν δὲ πατέρα, ἢ τὸ πνεῦμα τὸ ἅγιον, οὐ λέγετε τρισαγίους; Ο ΚΑΘΟΛΙΚΟΣ. οὔ. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ πόθεν ἡ ἀποκλήρωσις, τὸ τῷ υἱῷ μόνον προσαρμόζειν τὸν θεῖον τοῦτον ὕμνον, ἢ τῇ ὅλῃ τριάδι, τῷ πατρὶ δὲ μόνῳ, ἢ τῷ ἁγίῳ πνεύματι μόνῳ οὔ; Ο ΚΑΘΟΛΙΚΟΣ. ἐκ τῶν ἁγίων ἐδιδάχθημεν τοῦτο. αὐτὸς ὁ μέγας Ἀθανάσιος ἐν τῷ ἄνω μνημονευθέντι περὶ τῆς σαρκώσεως καὶ τριά-
B δος λόγῳ, τοιάδε φησίν· εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὔτε κάλλος. ἰδὼν γὰρ αὐτὸν πρὸ τούτου θεωρήσας ἐν τῇ θεϊκῇ καὶ ἐνδόξῳ μορφῇ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν, λέγοντα· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. καὶ μετὰ ταῦτα ὁρᾷ αὐτὸν μορφὴν δούλου λαβόντα, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. ὁρᾷς, πῶς μόνῳ τῷ υἱῷ δοκεῖ προσάπτειν τὸν τρισάγιον ὕμνον ὁ θεῖος οὗτος ἀνήρ; ὅτε φησὶ, τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν, λέγοντα ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. καὶ μετὰ ταῦτα ὁρᾷ αὐτὸν μορφὴν δούλου λαβόντα, καὶ ἐν ὁμοιώματι
C ἀνθρώπων γενόμενον. ἀλλὰ δὴ καὶ ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ εἰς τὴν ἁγίαν θεοτόκον λόγῳ τὰ ὅμοια φάσκων, φησίν, ἡ μακαρία ἐν γυναιξίν, ἡ τὸν λόγον ἐκ σοῦ σαρκωθέντα τεκοῦσα, λόγον τὸν τοῦ πατρὸς υἱόν, λόγον τὸν προαιώνιον Θεόν, λόγον τὸν ἄναρχον καὶ ἀΐδιον, λόγον τὸν ὁμοούσιον τῆς ἀχωρίστου τριάδος, λόγον τὸν σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον, λόγον τὸν σύνθρονον τοῦ πατρὸς, λόγον τὸν ἐπὶ Χερουβὶμ καθήμενον, λόγον ὃν τὰ τετράμορφα ζῷα δοξολογοῦσι, λέγοντα· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς
D καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Ὁρᾷς, ὅπως καὶ οὗτος δοκεῖ μόνῳ τῷ υἱῷ τὸν τρισάγιον ὕμνον προσαρμόζειν; λέγων· ὃν τὰ τετράμορφα ζῷα δοξολογοῦσι, λέγοντα, ἅγιος, ἅγιος, ἅγιος· καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος εἰς τὴν εὐλογημένην, οὗ ἡ ἀρχὴ ἐκ θαυμάτων εἰς θαύματα τὰ αὐτὰ φησί· σήμερον, λέγων, ὁ βασιλεὺς τῆς δόξης ἐπὶ γῆς προφητικῶς δοξάζεται, καὶ κοινωνοὺς τῆς ἐπουρανίου εὐωχίας τοὺς γηγενεῖς ἀναδείκνυσιν, ἵνα δείξῃ, ὅτι αὐτός ἐστι κύριος ἀμφο-
E τέρων, ὡς ἑκατέρωθεν συμφώνως ἀνυμνούμενος. διὰ τοῦτο οἱ μὲν ἄνω τὴν ἐπὶ γῆς σωτηρίαν καταγγέλλοντες ἔψαλλον, ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. οἱ δὲ κάτω τῇ ἐπουρανίῳ εὐφροσύνῃ συμπανηγυρίζοντες, ἔκραζον Ὡσαννὰ τῷ υἱῷ Δαβίδ. ὁρᾷς, ὅτι καὶ οἱ τρεῖς οὗτοι μεγάλοι τῆς ἐκκλησίας φωστῆρες τῷ υἱῷ μόνῳ δοκοῦσι προσάπτειν τὸν τρισάγιον ὕμνον; Ο ΘΕΩΡ. ὀρθῶς εἴρηκας, ὅτι δοκοῦσιν· οὐ γὰρ προσάπτουσιν,

ἀλλὰ δοκοῦσι προσβάλλειν. δοκοῦσι δὲ, τίσι; τοῖς μὴ εἰς τὸ βάθος εἰσδῦναι δυναμένοις τοῦ νοὸς τῶν μεγάλων τούτων καὶ θείων ἀνδρῶν. ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτὸν, φησὶν ὁ μέγας Ἀθανάσιος. ἀλλ᾽ οὐκ εἶπε, μόνον ἐδοξολόγουν χωρὶς τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. εἰ γὰρ τὴν ὅλην ἐδοξολόγουν τριάδα, ἐξ ἀνάγκης δηλονότι καὶ τὸν υἱὸν ἐδοξολόγουν. καλῶς οὖν εἶπεν ὁ πατὴρ, ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν. οὕτω νοήσεις καὶ τὸν ἅγιον Ἐπιφάνιον, καὶ τὸν θεῖον Χρυσόστομον, καὶ ἄλλους τῶν ἁγίων, ὅπου ἂν εὕρῃς τοιαῦτα γράφοντας. σαφὲς δ᾽ ἂν εἴη, ὃ λέγω, καὶ ἐπὶ παραδείγματι, τοῦτον τὸν τρόπον. γυνή τις, οὐ τῶν ἐκ γένους καταγομένων βασιλικοῦ, ἀλλ᾽ οὐδὲ τῶν ἄγαν ἐπισήμων, ἔσχε θυγατέρα ὡραιοτάτην, κάλλει, καὶ σωφροσύνῃ, καὶ φρονήσει πάσας τὰς κατ᾽ ἐκεῖνο καιροῦ γυναῖκας ὑπερνικῶσαν. ταύτην βασιλεὺς ἰδὼν πάσας ἔχουσαν τὰς τῶν γυναικῶν ἀρετὰς ἀκιβδήλους καὶ καθαράς, ἔλαβεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα, καὶ στέφει βασιλικῷ, ὡς εἰκὸς, ἐταινίωσεν. ἐνστάντος δὲ τοῦ καιροῦ, καθ᾽ ὃν πᾶσα ἡ πόλις τὸν * εὐφημισμὸν ἀναπέμπει τοῖς βασιλεῦσιν, εἶπέ τις τῇ μητρὶ τῆς βασιλίσσης, ἐλθὲ, ἵνα ἀκούσῃς ὑπὸ πάσης εὐφημουμένην τῆς πόλεως θυγατέρα. καὶ Ο ΚΑΘΟΛΙΚΟΣ ἀρτάσας τὸν λόγον, εἶπεν· ἔγνων, ὃ βούλῃ εἰπεῖν. ἐπεὶ ὁ εὐφημισμὸς κοινός ἐστι τοῦ βασιλέως καὶ τῆς βασιλίσσης, καλῶς δύναταί τις εἰπεῖν, ὅτι τὸν πατέρα δοξολογοῦσιν, ἢ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ταῦτα γὰρ πάντα καὶ ἅμα, καὶ χωρὶς ἐκφωνούμενα ἀληθεύει, ἀλλὰ τῆς τοῦ μόνου προσθήκης λεγομένης. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀπήλλαξας πραγμάτων ἡμᾶς, ἁγιώτατε δέσποτα. οὐκ ἄρα μόνον τῷ υἱῷ ᾖδε τὰ Σεραφὶμ τὸν τρισάγιον ὕμνον, ἀλλὰ τῇ ὅλῃ τριάδι. καὶ διὰ τοῦτο οὐ δεῖ προστεθῆναι τὸ, Ὁ σταυρωθεὶς, ἢ ἄλλην τινὰ προσθήκην. ἔστι δὲ καὶ ἄλλως ἀποδεῖξαι, ὅτι οὐκ ἐπὶ μόνου τοῦ υἱοῦ τὸν τρισάγιον ὕμνον ὁ μέγας Ἐπιφάνιος ἐξελάβετο, ἐξ αὐτῆς τῆς προτεθείσης αὐτοῦ χρήσεως. φησὶ γάρ· λόγον τὸν σύνθρονον τοῦ πατρὸς, λόγον τὸν ἐπὶ τῶν Χερουβὶμ καθήμενον. οὐκ ἐσήμανε μόνον τὸν υἱὸν ἐπὶ τῶν Χερουβὶμ καθῆσθαι, ἀλλὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος. σύνθρονον γὰρ τοῦ πατρὸς προέφησεν αὐτόν. οὕτω καὶ ἐπὶ τῆς δοξολογίας δεῖ νοεῖν. κοινὸν τὸ καθῆσθαι, κοινὴ ἡ δοξολογία. συμβάλλεται δὲ ἡμῖν οὐ μικρῶς πρὸς τὸν προκείμενον νοῦν, καὶ ὃ πρὸς τῷ τέλει τῶν πράξεων ὁ εὐαγγελιστὴς ἀναγράφει Λουκᾶς. φησὶ γὰρ, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγων, πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπὸν, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· καὶ τὰ ἑξῆς. τί οὖν;

A sed adtribuere videntur videntur autem, sed quibus obsecro? qui penetrare ad profunditatem sententiæ magnorum istorum diuinorumque hominum nequeũt. Quum Seraphi maiestatem eius concelebrabant, inquit eximius ille Athanasios: sed non ait, Solum concelebrabant, absque patre ac spiritu sancto. quippe si totam Trinitatem concelebrabant, necessario scilicet concelebrabant & filium. quapropter rectè dixit Athanasius, Quum Seraphi eum concelebrabant. Sic & sanctum Epiphanium & diuum illum Chry- B sostomum, & ceteros sanctos homines, quos cumque talia scribentes repereris, intelliges. Fuerit autem res tota perspicua per exemplum, hoc modo: Mulier quædam, non regio prognata genere, immo nec illustri quidem admodum, filiam venustissimam habuit, forma, pudicitia, prudentia mulieres eius temporis vniuersas superantem. Eam videns imperator omnibus præditam fœmineis virtutibus, ac sinceris quidem, minimèque fucatis; vxorem sibi accepit, & imperatoria, pro more, corona redimiuit. Adpetente vero tempore, quo vrbs vniuersa faustis vocibus C Augustis acclamare consueuit: quidam matri Augustæ, Veni, ait, vt filiam tuam ab vrbe tota faustis excipi acclamationibus audias. Tum GENERALIS interrupto Theoriani sermone: Intelligo, inquit, quid dicere velis. quando illæc acclamatio fausta, communis est Augusto cum Augusta; rectè quis dicere potest, quod qui filium, patrem quoque concelebrent, & spiritum sanctum. Hæc enim omnia tam simul quàm seorsum enuntiata, vera sunt: modo solius vox non adiiciatur. THEORIANVS. Liberasti nos molestia, sanctissime Domine. nimirum se- D quitur, Seraphos non filio dumtaxat hymnum illum tersanctum cecinisse: sed vniuersæ Trinitati: propterea non addendum est illud, Qui crucifixus est: nec alia quæpiam adpendix. Quamquam & aliunde probari potest, magnum illum Epiphanium non de solo filio tersanctum hymnum intellexisse; idque de verbis dictis eius, antea positis. Ait enim; Sermonem, qui consors est solij paterni: sermonem, qui Cherubis insidet. Certè non hoc vult, solum filium Cherubis insidere, sine patre ac spiritu sancto. nam antea solij paterni con- E sortem dixit idem de concelebratione maiestatis intelligendum. Communis est sessio, communis celebratio. Nec parum nobis ad hunc sensum & illud confert, quod in actis Euangelista Lucas in extremo scribit. Ait enim, Paulum hoc verbum protulisse: Rectè spiritus sanctus per Esaiam vatem loquutus est ad patres nostros hisce verbis: Vade ad populum hunc, & dicito: Auribus audietis, & non intelligetis: videntes videbitis, & non perspicietis: & cæt. Quid ergo?

Exemplum notandum.

* εὐφημισμὸν

solumne spiritum sanctum dicemus in alto sublimique solio considentem, Esaiæ vati præcipere: Vade ad populum hunc, & cætera, quoniam diuus Paulus sancti dumtaxat spiritus meminit? an patrem quoque, cum filio? GENERALIS. Hoc iam solutum est, nec quidquam dicendum amplius. THEORIANVS. Deinceps videamus, quid in epistola tua de vnguento perscripseris. GENERALIS. Recte dicis: fiat.

Itaque caput de vnguento legentes, hæc scripta reperimus. Rursum præcepit ipsa scriptura, vt ex iis oleis holerum, quæ sesamum vocant, vnguentum nostrum conficiatur, non ex oliuarum arboribus. atque hoc reapse verum est. Causa rei est hæc, quod in Armeniorum regione non sunt olíueta propter aëris in ea regione frigus. itaque necessitas ipsa flagitat, vt oleum illud, quod in ipsa regione reperitur, ad vsum vnguenti adhibeatur. qua in re nullum ego spirituale delictum video. THEORIANVS. Miror Domine, cur ad imperatorem hoc perscripseris. nam plurima heic olíueta video, & quidem olei satis. GENERALIS. Verùm ista vnguenti confectio principium habuit ad orientis plagam intimam, vbi nulla sunt olíueta: indéque nos acceptam seruamus hactenus.

Disputatio de vnguento quo ex oleo debeat fieri.

Deinde capitis eiusdem parte proxima perlecta, sic scriptum inuenimus: Sicut vinum sanguinis Christi materies est, & cuiuscumque sit coloris, recipi debet; siue nigrum, siue rubrum, siue album vinum fuerit: quoniam per ministerium sanctificatur, & Christi fit sanguis. THEORIANVS. Exemplum hoc tuum parum ad ipsam rem quadrat. non enim de coloribus nobis est quæstio; sed de subiecto, siue materie. Nosti enim, diuersis ex arboribus vinum fieri. Nam ex pomis, & cerasis, & aliis fructibus, & herbis quoque conficitur: sed ad hoc sacrificium non adhibetur, nisi dumtaxat ex vite factum. Sic & de oleo: fit ex lauro, iunco odorato, & aliis multis oleum: sed à sanctis patribus oleum oliuæ ceteris est prælatum. atque hoc cuilibet cognoscere licet, tam ex sancto illo Dionysio Areopagita, quàm aliis sanctis hominibus non paucis. Nec minoris est momenti argumentum, quod ex ipso nomine contexitur. quippe si simpliciter oleum dicatur, ex oliua factum intelligitur. at quum laurinum, vel iunceum, vel sesaminum, & huiusmodi alia .:.:.:.:.:.:. Quemadmodum enim, si nauim dicam, facta de lignis, clauis, & pice nauis intelligitur, qua nauigamus, non nauis lapidea; sed si nauim lapideam significare velimus, lapideam adiicimus; absque qua adpendice numquam ex sola nauis appellatione, lignea nauis intelligetur:

Vinum ex vite natum tantum locũ habet in sacrificio Missæ.

A μόνον δὲ τὸ πνεῦμα τὸ ἅγιον εἴπωμεν καθῆσθαι ἐπὶ τοῦ θρόνου τοῦ ὑψηλοῦ καὶ ἐπηρμένου, τῷ προφήτῃ Ἠσαΐᾳ διακελευόμενον· πορεύθητι πρὸς τὸν λαόν· καὶ τὰ ἑξῆς; ἐπεὶ ὁ θεῖος Παῦλος τοῦ ἁγίου πνεύματος μέμνηται μόνου; ἢ καὶ τὸν πατέρα, καὶ τὸν υἱόν; Ο ΚΑΘΟΛ. λέλυται τοῦτο, καὶ πλέον περὶ τούτου οὐ χρὴ λέγειν. Ο ΘΕΩΡ. ἴδωμεν λοιπόν, τί ἔγραψας ἐν τῇ ἐπιστολῇ σου περὶ τοῦ μύρου. Ο ΚΑΘ. εὖ λέγεις· γινέσθω.

Καὶ ἀναγνόντες δὲ περὶ τοῦ μύρου κεφάλαιον, εὕρομεν οὕτως. B πάλιν διηγόρευεν ἡ γραφὴ ἀπὸ τῶν ἐλαιῶν τῶν λαχάνων, ὅπερ σήσαμον ὀνομάζουσι, γίνεσθαι δὲ μύρον ἡμῶν· καὶ οὐχὶ ἀπὸ δένδρων ἐλαιῶν. καὶ τοῦτο ἐν ἀληθείᾳ ἐστίν. ἔστι δὲ ἡ αἰτία τοιαύτη, ὅτι εἰς τὴν χώραν τῶν Ἀρμενίων οὐκ εἰσὶν ἐλαιῶνες, διὰ τὸ ψυχρὸν τῆς χώρας τοῦ ἀέρος· καὶ ἀνάγκη πρόκειται, τὸ ἔλαιον ἐκεῖνο, ὅπερ εὑρίσκεται εἰς τὴν χώραν, εἰς χρῆσιν τοῦ μύρου λαμβάνειν, καὶ οὐ συνορῶ σφάλμα πνευματικὸν ἐν τούτῳ. Ο ΘΕΩΡ. θαυμάζω δέσποτα, πῶς τοῦτο γέγραφας πρὸς βασιλέα. ὁρῶ γὰρ C πλείστους ἐλαιῶνας ὧδε, καὶ ἔλαιον ἱκανόν. Ο ΚΑΘΟΛΙΚΟΣ. ἀλλ᾽ εἰς τὴν ἐνδοτάτην ἀνατολὴν εὑρέθη ἡ ἀρχὴ τῆς κατασκευῆς τοῦ μύρου, ὅπου ἐλαιῶνες οὐκ εἰσί. κἀκεῖθεν παραλαβόντες ἡμεῖς φυλάττομεν ὃ παρελάβομεν μέχρι τοῦ νῦν.

Εἶτα ἀναγνόντες δὲ ἑξῆς τοῦ κεφαλαίου τούτου, εὕρομεν οὕτως· ὥσπερ γὰρ τοῦ αἵματος τοῦ Χριστοῦ ὁ οἶνος ἐστὶν ὕλη· καὶ οἵας ἐστὶ χροιᾶς, ἀποδεκτέος ἐστί, κἂν μέλας, κἂν ἐρυθρὸς ἐστί, κἂν λευκός· ἐπεὶ ἡ λειτουργία ἁγιάζει αὐτόν, καὶ γίνεται αἷμα Χριστοῦ. Ο ΘΕΩΡ. D τὸ παράδειγμά σου οὐκ ἔστι προσφυές. οὐ γὰρ περὶ χρωμάτων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τοῦ ὑποκειμένου, ἤτοι τῆς ὕλης. οἶδας γάρ, ὅτι ἐκ διαφόρων δένδρων γίνεται οἶνος. γίνεται γὰρ ἐκ μήλων, καὶ κερασίων, καὶ ἄλλων φυτῶν, καὶ δὴ βοτανῶν. ἀλλ᾽ οὐ προσάγεται εἰς θυσίαν, ἀλλ᾽ ἢ μόνον ὁ ἐκ τῆς ἀμπέλου. οὕτω καὶ ἐπὶ τοῦ ἐλαίου. γίνεται γὰρ ἔλαιον ἔκ τε δάφνης, καὶ σχοίνου, καὶ ἄλλων πολλῶν· ἀλλὰ τὸ τῆς ἐλαίας προκέκριται παρὰ τῶν ἁγίων πατέρων. καὶ ἔξεστι τοῦτο μαθεῖν τῷ βουλομένῳ παντί, ἀπό τε τοῦ ἁγίου Διο- E νυσίου τοῦ Ἀρεοπαγίτου, καὶ ἄλλων ἁγίων οὐκ ὀλίγων. οὐ χεῖρον δὲ καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος κατασκευάσαι, ὅτι τὸ ἔλαιον ἁπλῶς λεγόμενον, τὸ ἐξ ἐλαίας δηλοῖ. ἐκεῖνα δὲ δαφνέλαιον, ἢ σχινέλαιον, ἢ σησαμέλαιον, καὶ τὰ τοιαῦτα .:.:.:.:.:.:. ὥσπερ γὰρ ὅταν εἴπωμεν ναῦς, νοεῖται ἡ ἐκ ξύλων, καὶ ἥλων, καὶ πίσσης ναῦς, δι᾽ ἧς πλέομεν, οὐ μὴν νοεῖται ἡ ἐκ λίθων ναῦς· ἂν δὲ τὴν ἐκ λίθων ναῦν σημειῶσαι θελήσωμεν, προστίθεμεν τό, λιθίνην· ἄνευ δὲ τῆς προσθήκης ταύτης οὐκ ἄν ποτε νοηθείη ἐκ μόνου τοῦ ναῦς ὀνόματος ἡ λιθίνη ναῦς

τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ ἐλαίου, καὶ σησαμελαίου. ἔλαιον οὖν χωρὶς προσθήκης λέγοντες, τὸ ἐξ ἐλαίας δηλονότι διασημαίνουσι. Ο ΚΑΘΟΛΙΚΟΣ. καὶ τοῦτο ῥᾷστόν ἐστι διορθώσασθαι.

Τούτων οὕτω ῥηθέντων, ἤρξαντο οἱ ἱερεῖς αὐτοῦ ψάλλειν τοῦ ἑσπερινοῦ τὴν ἀκολουθίαν ἔξω τῆς ἐκκλησίας, κατὰ τὴν αὐτῶν συνήθειαν. καί φησιν ὁ Θεωριανός. ἵνα τί ἵστανται ἔξω τῆς ἐκκλησίας, ὅταν ψάλλωσιν οἱ ἱερεῖς σου; Ο ΚΑΘΟΛΙΚΟΣ. γέγραπται, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. ὁμοίως γέγραπται· ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου. καὶ πάλιν· ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν· καὶ μυρία τοιαῦτα. ἀλλ' ἐρωτῶ, πόθεν τοῦτο παρελάβετε; Ο ΚΑΘΟΛ. οἱ διδάσκαλοι ἡμῶν, οἱ τὴν ἀκολουθίαν τὴν ἐκκλησιαστικὴν καὶ τὴν τάξιν ἡμῖν παραδεδωκότες, μόνην τὴν θείαν λειτουργίαν ἔνδον τοῦ θείου ναοῦ ἐπιτελεῖν διωρίσαντο, μόνου τοῦ ἱερέως εἰσιόντος εἰς αὐτόν· τοῦ λαοῦ παντὸς ἔξω ἱσταμένου. τὴν δ' ἄλλην πᾶσαν ἀκολουθίαν, ἔξω γίνεσθαι τοῦ θείου ναοῦ, καὶ τοῦτο εὐλόγως διετάξαντο. σφόδρα γὰρ ὑπερέχει τὰ νέα τῶν παλαιῶν, ὡς ἀλήθεια σκιᾶς. θύεται γὰρ ἔνδον ὁ υἱὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου παντὸς σωτηρίας. καὶ δεῖ ἡμᾶς πλέον σέβας καὶ τιμὴν ἀπονέμειν τῷ παρ' ἡμῖν ναῷ, τοῦ παρ' Ἑβραίοις. ἐκεῖνοι γὰρ καθαροὶ ὄντες, εἰσήεσαν εἰς τὸ λεγόμενον ἅγιον κοσμικόν, οὐχὶ καὶ εἰς τὴν σκηνὴν, τὴν λεγομένην, ἅγια ἁγίων, ἣ σκιὰ ἦν τοῦ παρ' ἡμῖν θείου ναοῦ· ἡμεῖς δὲ ῥύπου πλήρεις τυγχάνοντες, πῶς εἰς τὸν ἁγιώτατον ναὸν εἰσέλθωμεν τοῦ Θεοῦ; καὶ τοῦτο γινώσκοντες οἱ διδάσκαλοι ἡμῶν, οὕτω γίνεσθαι διωρίσαντο. Ο ΘΕΩΡΙΑΝΟΣ. οἱ διδάσκαλοι ὑμῶν, οἱ ταῦτα διαταξάμενοι, ἐναντία δοκοῦσι διορίσασθαι τοῖς τ.ι.η'. ἁγίοις θεοφόροις πατράσι, τοῖς ἐν Νικαίᾳ συνειλεγμένοις. ἐκεῖνοι γὰρ ἐν δεκάτῳ κανόνι οὕτω φασὶ κατὰ λέξιν· περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ· εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν οἱ πιστοί, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν. ὁρᾷς, ὅτι τοὺς τηλικούτῳ παραπεσόντας πτώματι, τρία μόνα ἔτη ἀκροᾶσθαι διακελεύεται ὁ κανών, ἤγουν ἔξω τῆς ἐκκλησίας ἵστασθαι ἐν τῷ νάρθηκι, καὶ τῶν θείων ἀκούειν γραφῶν. οἱ δὲ σοὶ ἱερεῖς ἀεὶ ἐν ἀκροωμένοις εἰσίν. εἶτα τί φησιν ὁ κανών; καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται. τοῦτο δέ ἐστιν, ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι, ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἄμβωνος ἵστασθαι,

A eodem modo ſtatuendum de oleo, & oleo ſeſamino. Quapropter oleum abſque adpendice dicentes, ex oliua factum ſignificant. GENERALIS. Hoc quoque correctu facillimum fuerit.

De ſtatione intra Eccleſiam.

His ita dictis, ſacerdotes eius pſallere cœperunt hymni veſpertini ſeriem extra eccleſiam, de more ipſorum: Et THEORIANVS. Cur extra eccleſiam ſacerdotes tui ſtant, ait, quum pſallunt? GENERALIS. Scriptum eſt: In omni loco dominij eius. THEORIANVS. Similiter ſcriptum eſt: En celebrate dominum omnes ſerui

Diſputatio nobiliſſima de loco ad orandum idoneo.

B Domini, ſtantes in domo Domini. Et rurſus: In eccleſiis Deum celebrate. & alia ſunt infinita eiuſmodi. Sed interrogo, vnde hoc accepiſtis? GENERALIS. Doctores noſtri, qui ſeriem & ordinem rerum eccleſiaſticarum nobis tradiderunt, ſolam diuinam adminiſtrationem intra ſactum templum perficiendam ſtatuerunt, ingrediente ſolo Pontifice reliquo populo foris ſtante: cetera fieri extra templum debere, nec id citra rationem, ordinarunt. Nam valde veteribus noua præſtant, vt vmbræ veritas. quippe * mactatur intus

Cur Græci extra templum non in templo orandum exiſtimauerint.

** hoc eſt, repræſentatur in ſacra cœna mactatio Chriſti.*

C Dei filius pro totius mundi ſalute, maiorémque reuerentiam exhibere nos templo noſtro, quàm illi apud Hebræos, par eſt. Etenim illi, ſi puri eſſent, in id ſanctum ingrediebantur, quod mundi vocabant: non tamen in tabernaculum, quod ſanctum ſanctorum dicebatur, & vmbra ſacri apud nos templi erat. Nos vero toti coinquinati ſordibus, quo pacto ſanctiſſimum Dei templum ingrediamur? quod quum doctores noſtri non ignurarent, ita fieri debere ſtatuerunt. THEORIANVS. Doctores veſtri, qui hæc ordinarunt, contraria ſtatuiſſe videntur illis CCCXVIII ſan-

D ctis ac diuinitus gubernatis patribus, qui Nicææ conuenerunt. Etenim illi ſic in x canone ad verbum aiunt: De iis, qui fidem Chriſtianam citra coactionem, & facultatum ademptionem deſeruerunt, aut abſque periculo, vel eiuſmodi quopiam, quod durante Licinij tyrannide contigit; viſum eſt ſanctæ ſynodo: vt, tametſi humanitatem nullam mereantur, benignè tamen cum eis agatur. Quotquot ergo vere pœnitentiam agunt, tres annos inter au-

Nicæna ſynodus.

E dientes exigent fideles, & annos ſeptem inferioris erunt ordinis, & biennio citra * oblarionem cum populo precabuntur. Vides tam fœdè lapſis à canone præſcribi, tres tantum vt annos auditores ſint, hoc eſt, extra eccleſiam ſtent in * Ferula, ſacráſque litteras audiant. Tui vero ſacerdotes ſemper inter auditores hærent. Quid deinde canon vlterius? Et ſeptem, inquit, annis erũt ordinis inferioris: hoc eſt, eccleſiam quidem ingredientur, ſed in parte * ambonis poſtica ſtabunt,

** id eſt, perceptionem ſacramentorũ.*

** locus, vbi ſtabant qui erant veluti ſub ferula.*

** hoc eſt ſuggeſti.*

& cum catechumenis exibunt. Annos denique duos fidelibus adstabunt, & cum eis precabuntur : non tamen sacramentorum quoque perceptionem impetrabunt, donec biennium præterierit. Si ergo constricti excommunicationis pœna, templum tamen ingrediuntur : quare tui sacerdotes non ingrediuntur ? GENERALIS. Numquam animum isti canoni hactenus aduerti. tuæ quidem orationi plurimum momenti adfert. Sed de his esse solliciti non debemus, modo circa fidem, vt dixi, consenserimus. THEORIANVS. His igitur in præsentia dimissis, definitionem quartæ synodi, si placet, inspiciamus: quam hesterna die tibi obtulimus. GENERALIS. Ita fiat. Lubet enim de vocibus quibusdam, in ea positis, interrogare. Sed prius vtrumque librum inter se conferamus, & videamus, an sibi respondeant: deinde quæramus de iis in quibus hæremus.

SANCTI IV. CONCILII
** definitio.*

* Rectius, decretum.

Sufficeret quidem ad perfectam pietatis cognitionem & confirmationem, hoc eruditum ac salubre diuinæ gratiæ symbolum, quod & perfectam de patre, & filio, & spiritu sancto doctrinam tradit, & incarnationem Domini fideliter excipientibus exhibet: sed quando illi, qui prædicationem veritatis abolere conantur, per suas hæreses nouas quasdam doctrinas pepererunt, aliis susceptæ propter nos administrationis dominicæ mysterium corrumpere audentibus, & Deiparæ vocem virgini tribuendam negantibus ; aliis confusionem & commistionem introducentibus, & vnam esse carnis diuinitatisque naturam stultè comminiscentibus, adeoque per hanc confusionem monstrose statuentibus, diuinam vnigeniti naturam esse passibilem : eapropter hæc sancta, magna, & vniuersalis synodus, eos ab omni contra veritatem machinatione volens excludere, doctrinámque traditam antiquitus immotam adserens, ante omnia statuit, vt sanctorum CCCXIIX patrum fides inconuulsa permaneat. Ac propter eos quidem, qui spiritum sanctum oppugnant, doctrinam de substantia spiritus à sanctis illis CL patribus, aliquot post annis in Augusta vrbe congressis, traditam confirmat ; quam illi vniuersis notam fecerunt, non quasi quiddam adferentes, quod prioribus deesset ; sed suam de spiritu sancto sententiam aduersus illos, qui potestatem eius abolere conabantur, sacrarum litterarum testimoniis illustrantes : propter eos verò qui sacramentum dominicæ dispensationis falsariorum more corrumpere tentant, & imprudenter purum hominem esse nugantur eum qui de sancta Virgine Maria procreatus fuit ;

* id est, Constant.

* λεῖπον

καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων. ἐνιαυτοὺς δὲ δύο συνίστασθαι καὶ συνεύχεσθαι μετὰ τῶν πιστῶν· μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ. Εἰ οὖν οἱ ἐπιτιμίῳ ἀκοινωνησίας δεδεμένοι εἰς τὴν ἐκκλησίαν εἰσέρχονται, διατί οἱ ἱερεῖς σου οὐκ εἰσέρχονται; Ο ΚΑΘΟΛΙΚΟΣ. οὐδέποτε μέχρι τοῦ νῦν ἐπέστησα τῷ κανόνι τούτῳ τὸν νοῦν· συμβάλλεται δέ σου τῷ λόγῳ σφόδρα. ἀλλὰ περὶ τῶν τοιούτων οὐ δεῖ φροντίζειν, εἰ μόνον περὶ τὴν πίστιν, ὡς εἶπον, ὁμοφρονήσομεν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀφέντες οὖν ταῦτα περὶ τὸ παρὸν, ἴδωμεν, εἰ δοκεῖ, τὸν ὅρον τῆς τετάρτης συνόδου, ὃν σοι τῇ προτεραίᾳ δεδώκαμεν. Ο ΚΑΘΟΛΙΚΟΣ. οὕτω γενέσθω. βούλομαι γὰρ ἐρωτῆσαι περί τινων λέξεων ἐκεῖ κειμένων. ἀλλὰ πρότερον ἀντιβάλλωμεν ἀμφότερα τὰ βιβλία, καὶ ἴδωμεν, εἰ ἐξισάζει· καὶ τότε περὶ ὧν ἀμφιβάλλομεν, ἐρωτήσομεν.

ΟΡΟΣ ΤΗΣ ΑΓΙΑΣ δ΄. συνόδου.

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν, τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον. περί τε γὰρ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλ᾽ ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα, διὰ τῶν οἰκείων αἱρέσεων τὰς καινοφωνίας ἀπέτεκον, οἱ μὲν τὸ τῆς δι᾽ ἡμᾶς τοῦ Κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμῶντες, καὶ τὴν ΘΕΟΘΟΚΟΣ ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι· οἱ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες, καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀναπλάττοντες ἀνοήτως, καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῇ συγχύσει τερατευόμενοι· διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἡ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως, τ.ι.η. ἁγίων πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον. καὶ διὰ μὲν τοὺς τῷ πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνοις ὕστερον παρὰ τῶν τῆς βασιλευούσης πόλεως συνελθόντων ἁγίων ρ. ν. πατέρων περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ, ἣν ἐκεῖνοι τοῖς πᾶσιν ἐγνώρισαν· οὐχ ὥς τι * λοιπὸν τοῖς προλαβοῦσιν ἐπεισάγοντες, ἀλλὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν, κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθετεῖν πειρωμένων, γραφικαῖς μαρτυρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας μυστήριον, καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας παρθένου τεχθέντα Μαρίας, ἀναιδῶς ληρῳδοῦντας,

τοῦ μακαρίου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος συνοδικὰς ἐπιστολὰς πρός τε Νεστόριον, καὶ τοὺς τῆς ἀνατολῆς, ἁρμοδίους οὔσας ἐδέξατο· Εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν εὐσεβεῖ ζήλῳ τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης Ῥώμης προέδρου, τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἀρχιεπίσκοπον Φλαβιανὸν, ἐπ' ἀναιρέσει τῆς Εὐτυχοῦς κακονοίας, ἅτε δὴ τῇ τοῦ μεγάλου Πέτρου ὁμολογίᾳ συμβαίνουσαν· καὶ κοινήν τινα στήλην ὀρθοδοξίας κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρμοσε, πρὸς τὴν τῶν ὀρθοδόξων δογμάτων βεβαίωσιν. Τοῖς τε γὰρ εἰς * υἱὸν τὴν δυάδα, τὸ τῆς οἰκονομίας διασπᾶν ἐπιχειροῦσι μυστήριον, παρατάττεται. καὶ τοὺς παθητὴν λέγειν τολμῶντας τοῦ μονογενοῦς τὴν θεότητα, τοῦ τῶν ἱερέων ἀπωθεῖται συλλόγου· καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται. καὶ τοὺς οὐράνιον, ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῷ τὴν δούλου μορφὴν παραπαίοντας ἐξελαύνει. καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας, ἀναθεματίζει.

Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, συμφώνως ἅπαντες ἐκδιδάσκομεν· τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας. πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, * ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως. ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστόν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ὁ κύριος Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῶν παραδέδωκε σύμβολον. Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν,

A beati Cyrilli qui Alexandrinæ pastor ecclesiæ fuit, synodales ad Nestorium & Orientales episcopos litteras sibi consentientes amplexa est; tum ad Nestorianæ dementiæ confutationem, tum ad interpretationem pro iis institutam, qui pio zelo symboli salubris intellectum desiderant. atque his epistolam quoque beatissimi sanctissimique Archiepiscopi Leonis, illius maximæ Romæ præsidis, ad sanctæ memoriæ Flauianum archiepiscopum, euertendæ prauationis Eutychianæ causa scriptam, veluti magni illius Petri confessioni conuenientem, & B columnam quamdam rectæ sententiæ publicam, aduersus malarum opinionum auctores, ad orthodoxa dogmata stabilienda, meritò coniunxit. Nam & iis hæc opponit *sese, qui sacramentum dispensationis in duos filios distrahere nituntur: & eos cœtu sanctorum expellit, qui passibilem dicere diuinitatem vnigeniti audent; & iis resistit, qui in duabus Christi naturis commistionem vel confusionem excogitant; & eos exterminat, qui sumptam de nobis seruilem formam, cœlestem esse, vel alterius cuius- C dam substantiæ delirant; & eos, qui duas quidem Domini naturas ante vnionem fabulantur, vnam vero post vnionem fingunt, anathematizat.

* υἱῶν

Sequentes ergo sanctos illos patres, vniuersi consona voce vnum & eumdem filium dominum nostrum Iesum Christum, confitendum esse docemus: eumdem in diuinitate perfectum, & eumdem perfectum in humanitate: vere Deum, & eumdem vere hominem, ex participe rationis anima corporéque constantem: eiusdem cum patre D substantiæ, secundum diuinitatem; & eumdem nobiscum eiusdem substantiæ, secundum humanitatē: similiter nobis per omnia, excepto peccato: ante sæcula quidem ex patre genitum, quoad diuinitatem; extremis vero diebus eumdem propter nos, & salutem nostram, natum ex Maria Virgine Deipara, secundum humanitatem: vnum & eumdem Christum filium, Dominum, vnigenitum, qui duabus * ex naturis citra confusionem, mutationem, diuisionem, separationem, agnoscitur; nequaquam naturarum discrimine propter vnionem sublato, sed vtriusque E naturæ proprietate salua potius, & in vnam personam vnámque hypostasin coeunte: non in duas personas discerptum, vel diuisum, sed vnum & eumdem filium vnigenam, Deum sermonem, Dominum Iesum Christum: sicut olim vates de ipso, & ipse nos Dominus Iesus Christus erudiit, & symbolum illud patrum nostrorum tradidit. His ergo cum omni vndique accuratione diligentiáque à nobis sancitis, sacra & vniuersalis synodus decreuit, nemini fas esse fidem aliam proferre, vel in litteras referre,

* ἐν δύο φύσεσιν

* al. in naturis.

vel componere, vel amplecti, vel alios docere. Si qui vero fuerint ausi fidem aliam vel componere, siue proferre, vel docere, vel aliud iis symbolum tradere, qui de paganismo, siue Iudaismo, siue secta quacumque veritatis ad agnitionem se conuertere volunt: eos, si fuerint episcopi vel clerici, tam ab episcoporum quàm clericorum ordine remouet. sin monachi, vel laici fuerint, anathemati statuit esse subiectos.

Postea quam concilij decretum recitatum fuisset, atque liber Armenicus Romano respondere deprehensus; satis essent denique declaratæ concilij voces, sanè tolerabiles, quæ Generali visæ fuerant obscuræ: Theorianus hisce Generalem verbis compellabat: Vides sanctissime Domine, sacrum illum cœtum ıↄc xxx diuinorum patrum, in oppido Chalcedonensi congregatorum, non modo nihil extra dogmatum rectitudinem vel loquutum esse, vel sensisse: sed ne vna quidem peregrina voce ad huius diuini decreti expositionem vsum. Nam & fidem patrum se maiorum ætate retinuit, & ipsa quoque verba. Ostendam vero tibi, si placet, ex quibus antiquioribus diuis patribus hi beati patres vocem quamlibet huius decreti sumpserint. Complures quidem certe de Cyrilli commentariis vsurpatæ sunt, quem vos magis, quàm alios, sequi decreuistis. GENERALIS. Perlubenter id quidem audiemus, si dicere tibi libuerit. THEORIANVS. Si dicere non libuisset, non promisissem. verum per incisa singula concilij decretum recitetur, & ad quodlibet incisum decreti, dictum illius, à quo sumptum est, adijciatur.

EX DECRETO.

Sequentes ergo sanctos illos patres, vniuersi consona voce vnum & eumdem filium, dominum nostrum Iesum Christum confitendum esse docemus.

CYRILLI ex I. ad Successum epistola.

Edocti sumus à scriptura sacra, sanctisque patribus, vt vnum filium & Christum confiteamur.

EIVSDEM, ex epistola ad Eulogium.

Nos vnitis hisce, Christum vnũ, eumdem vnum filium, vnum Dominum confiteamur.

EX DECRETO.

Eumdem in diuinitate perfectum, & eumdem perfectum in humanitate.

CYRILLI, ex epistola ad Ioannem.

Idem perfectus in diuinitate, ac perfectus idem in humanitate.

EIVSDEM, ex epistola ad Augustas.

Præterea si hoc quoq; prius adtester, rectè me facturum arbitror. quemadmodum enim perfectus est in diuinitate genitus ille de

A ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέροις. τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀληθείας ἐξ Ἑλληνισμοῦ, ἢ Ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως τῆς οἱασδηποτοῦν· τούτους εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς· καὶ τοὺς κληρικοὺς, τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι αὐτούς.

Ἐπεὶ δὲ ἀνεγνώσθη ὁ ὅρος, καὶ τὰ βιβλία εὑρέθησαν ἐξισάζοντα, τό, τε Ἀρμενικὸν, καὶ τὸ Ῥωμαϊκὸν, καὶ B αἱ τῷ Καθολικῷ δοκοῦσαι ἀσαφεῖς αὐτοῦ λέξεις μετρίας οὔσας ἱκανῆς τετυχήκασι σαφηνείας, εἶπεν ὁ Θεωριανὸς πρὸς τὸν Καθολικόν. Ὁρᾷς ἁγιώτατε δέσποτα, ὅτι τῶν χλ΄. θεοφόρων πατέρων θεῖος χορὸς, τῶν ἐν Χαλκηδονέων πόλει συνεγηγερμένων, οὐ μόνον οὐδὲν ἔξω τῆς τῶν δογμάτων ὀρθότητος λελάληκεν ἢ πεφρόνηκεν, ἀλλ᾽ οὐδὲ κἂν μιᾷ λέξει ξένῃ εἰς τὴν ἔκθεσιν τοῦ θείου τούτου ὅρου ἐχρήσατο. τετήρηκε γὰρ τήν τε πίστιν τῶν πρὸ αὐτοῦ ἁγίων πατέρων, καὶ αὐτὰ δὴ τὰ ῥήματα. C καὶ εἰ κελεύεις, δείξω σοὶ, ἐκ ποίων προηγουμένων θείων πατέρων τοῖς μακαρίοις τούτοις θείοις πατράσιν ἑκάστη λέξις τοῦ ὅρου τούτου παρείληπται. αἱ πλείους γὰρ αὐτῶν ἀπὸ τῶν τῷ μακαρίῳ Κυρίλλῳ πονηθεισῶν συγγραφῶν παρελήφθησαν, ᾧ ὑμεῖς μᾶλλον τῶν ἄλλων ἀκολουθεῖν διεγνώκατε. Ο ΚΑΘΟΛ. ἡδέως ἀκούσομεν, εἴγε θελήσεις εἰπεῖν. Ο ΘΕΩΡ. εἰ μὴ ἤθελον εἰπεῖν, οὐκ ἂν ὑπεσχόμην. ἀλλ᾽ ἀναγινωσκέσθω ὁ ὅρος κομματικῶς, καὶ πρὸς ἕκαστον κόμμα τοῦ ὅρου, ἡ χρῆσις, ὅθεν ἐλήφθη, παρατιθέσθω.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

D Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκεσσον α΄. ἐπιστολῆς.

Ἐδιδάχθημεν παρά τῆς θείας γραφῆς, καὶ τῶν ἁγίων πατέρων, ἕνα υἱὸν καὶ Χριστὸν ὁμολογεῖν.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς ΕΥλόγιον ἐπιστολῆς.

Ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν τὸν αὐτὸν, ἕνα κύριον ὁμολογοῦμεν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

E Τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Τέλειος ὁ αὐτὸς ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς τὰς Βασιλίδας ἐπιστολῆς.

Προδιαμαρτύρασθαι δὲ κἀκεῖνο οἶμαι καλόν. ὥσπερ γάρ ἐστιν ἐν θεότητι τέλειος ὁ ἐκ Θεοῦ

πατρὸς λόγος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος κατὰ τὸν τῆς ἀνθρωπότητος λόγον· οὐκ ἄψυχον σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον λογικῇ ψυχῇ.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν, ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα, χωρὶς ἁμαρτίας· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα, κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον α'. ἐπιστολῆς.

Ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τὸν τῆς ἐνανθρωπήσεως τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν * ἀδιάσπαστον, ἀσυγχύτως, ἀτρέπτως. ἡ γὰρ σὰρξ, σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ. ὁμοίως δὲ ὁ λόγος Θεός ἐστι, καὶ οὐ σάρξ. εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ Χριστὸν Ἰησοῦν, Κύριον, τὸν τοῦ Θεοῦ λόγον σεσαρκωμένον.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὔτε δὴ τὴν σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν, οὔτε μὴν εἰς σαρκὸς τὸν ἀπόρρητον τοῦ Θεοῦ λόγον παρενεχθῆναι φύσιν. ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος, ὁ αὐτὸς ἀεὶ μένων, κατὰ τὰς γραφάς.

ΤΟΥ ΑΥΤΟΥ, ἐν τῇ πρὸς ΕΥλόγιον ἐπιστολῇ.

Οὕτω καὶ ἐπὶ Νεστορίου. κἂν λέγῃ δύο φύσεις, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τῆς θεότητος· ἀλλ' οὐχὶ καὶ τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταύτας, ἕνα Χριστὸν, ἕνα υἱὸν τὸν αὐτὸν, ἕνα κύριον ὁμολογοῦμεν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

* Οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης, διὰ τὴν ἕνωσιν.

A patre sermo, sic & in humanitate perfectus est, secundum ipsius humanitatis rationem: nec expers animæ corpus adsumpsit, sed animatum potius per animam rationis participem.

EX DECRETO.

Verè Deum, & eũdem verè hominem, ex participe rationis anima corporéque constantem: eiusdem cum patre substantiæ, secundum diuinitatem; & eumdem nobiscum eiusdem substantiæ, secũdum humanitatem similem nobis per omnia, excepto peccato: B ante sæcula quidem ex patre genitum, quo ad diuinitatem; extremis vero diebus eũdem propter nos, & salutẽ nostrã, natum ex Maria virgine deipara, secundum humanitatem.

CYRILLI, ex epistola ad Ioannem.

Deum perfectum, & perfectum hominem, ex anima participe rationis & corpore constantem: ante sæcula quidem ex patre genitum, quo ad diuinitatem; extremis vero diebus eumdem propter nos, & salutem nostrã, natum ex Maria virgine, secundum humanitatem: eiusdem cum patre substantiæ secundum diuinitatem; & eumdem nobiscum eius- C dem substantiæ, secundum humanitatem.

EX DECRETO.

Vnum & eumdem Christum, filium, Dominum, vnigenitum, qui duabus in naturis citra confusionem, mutationem, diuisionem, separationem, adgnoscitur.

CYRILLI ex I. ad Successum epistola.

Itaque modum adsumptionis humanæ naturæ animo considerantes, naturas duas coiuisse per vnionem videmus, citra diuisionem, confusionem, & mutationem. Caro enim caro est, non diuinitas, licet Dei caro facta sit: similiter & sermo Deus est; non caro; licet D dispensatione quadam carnem propriè suam fecerit.

* ἀδιαιρέτως

EIVSDEM, ex eadem epistola

Duas naturas esse dicimus, vnum vero Christum Iesum, Dominum, Dei sermonem incarnatum.

EIVSDEM, ex epistola ad Nestorium.

Nec carnem dicimus in diuinitatis naturam esse conuersam, nec ineffabilem Dei sermonem in naturam carnis translatum. Est enim incommutabilis, & inalterabilis, semper idem manens, secundum scripturas. E

EIVSDEM, in epistola ad Eulogium.

Sic & in causa Nestorij. quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat: (nam alia natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum Dominum confitemur.

EX DECRETO.

Nequaquam naturarum discrimine propter vnionem sublato.

* Οὐδαμῶς

CYRILLI, ex epistola ad Nestorium.

Non tamquam naturarum discrimine sublato propter vnionem.

EX DECRETO.

Sed vtriusque naturæ proprietate potius salua.

CYRILLI, ex II. ad Successum epistola.

Licet enim vnus à nobis dicatur vnigenitus Dei filius incarnatus, & homo factus: non tamen ideo commistus est, de ipsorum opinione; nec vel natura sermonis in naturam carnis transiit, nec carnis natura in naturam sermonis; sed vtroque in sua proprietate manente simul ac intellectu, secundum expositam à nobis modò rationem.

EX DECRETO.

Et in vnam personam vnámque hypostasin coeunte.

CYRILLI, ex epistola ad Ioannem.

Et tamquam in vna persona vnitus. Vnus enim Dominus Iesus Christus, tametsi naturarum discrimen non ignoratur.

EIVSDEM, ex II. ad Nestorium epistola.

Vni ergo personæ omnes in Euangelio voces adtribuendæ sunt, vnique hypostasi sermonis incarnatæ. Christus enim Iesus vnus dominus est, secundùm scripturas.

EX DECRETO.

Non in duas personas discerptum, vel diuisum: sed vnum & eumdem filium vnigenam, Deum sermonem, Dominum Iesum Christum.

CYRILLI, ex epistola ad Successum.

Non in duas personas & filios discerpetur: sed mansit vnus & idem Dominus Iesus Christus.

EX DECRETO.

Sicut olim vates de ipso, & ipse nos Dominus Iesus Christus erudiit, & symbolum illud patrum nostrorum tradidit.

CYRILLI, ex epistola ad Nestorium.

Sic sanctos sensisse patres inueniemus.

EX DECRETO.

His ergo cum omni vndique accuratione diligentiáque à nobis sancitis, decreuit sacra synodus, nemini fas esse, fidem aliam proferre, vel in litteras referre: & cætera.

CYRILLI, ex Ephesina synodo.

His ergo recitatis, decreuit sacra synodus nemini fas esse, fidem aliam proferre: & cetera. THEORIANVS. Vides, sanctissime Domine, sacram hanc synodum Chalcedone habitam, à recta patrum sententia ne paullum quidem recessisse: sed ipsa verba cum mente verborum retinuisse?

A ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς β.

Εἰ γὰρ καὶ εἷς λέγοιτο παρ' ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τοῦτο κατὰ τὸ ἐκείνοις δοκοῦν· οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου, ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ· ἀλλ' ἐν ἰδιότητι ἑκατέρου
B μένοντός τε ὁμοῦ, καὶ νοουμένου, κατά γε τὸν ἀρτίως ἡμῖν ἀποδοθέντα λόγον.

ΤΟΥ ΟΡΟΥ.

Καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Καὶ ὡς ἐν ἑνὶ προσώπῳ ἑνούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς Νεστόριον β. ἐπιστολῆς.

C Ἑνὶ τοιγαροῦν προσώπῳ τὰς ἐν τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνάς, καὶ ὑποστάσει μιᾷ τῇ τοῦ λόγου σεσαρκωμένῃ. κύριος γὰρ εἷς ἐστιν ὁ Χριστὸς Ἰησοῦς, κατὰ τὰς γραφάς.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Οὐκ εἰς δύο πρόσωπα μεριζόμενον, ἢ διαιρούμενον· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, καὶ κύριον Ἰησοῦν Χριστόν.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς.

Καὶ οὐκ εἰς δύο μερισθήσεται πρόσωπα καὶ υἱούς.
D ἀλλὰ μεμένηκεν εἷς καὶ ὁ αὐτὸς κύριος Ἰησοῦς Χριστός.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῶν παραδέδωκε σύμβολον.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας
E τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν· καὶ τὰ λοιπά.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς κατ' Ἔφεσον συνόδου.

Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν καὶ τὰ λοιπά. Ο ΘΕΩΡΙΑΝΟΣ. ὁρᾷς ἁγιώτατε δέσποτα, ὅτι οὐδὲ κἂν μικρὸν ἐκβέβηκε τῆς ὀρθῆς τῶν πατέρων δόξης ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος γενομένη· ἀλλὰ μετὰ τῆς διανοίας καὶ αὐτὰ τὰ ῥήματα ἐφύλαξεν;

GENER.

Ο ΚΑΘΟΛΙΚΟΣ. ἐγὼ οὐδὲν ἐναντίον τῇ ὀρθοδόξῳ πίστει εὑρίσκω ἐν τούτῳ τῷ ὅρῳ· καὶ θαυμάζω, πῶς οἱ πρὸ ἡμῶν ἀναιδῶς εἰς συκοφαντίαν ἐχώρησαν κατ' αὐτοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. παραθῶμεν, εἰ δοκεῖ, καὶ τὰς πρὸ τοῦ ἁγίου Κυρίλλου, καὶ τὰς μετ' αὐτὸν διαλαμψάντων ἁγίων πατέρων χρήσεις, αὐταῖς λέξεσι καὶ νοήμασι τῇ ἐν Χαλκηδόνι ἁγίᾳ συνόδῳ συνᾳδούσας. Ο ΚΑΘ. περιττόν ἐστι τοῦτο. ἀρκοῦσι γὰρ αἱ τοῦ ἁγίου Κυρίλλου προτεθεῖσαι χρήσεις. Ο ΘΕΩΡ. ἴδωμεν λοιπὸν, εἰ δοκεῖ, πόσαις καὶ οἵαις αἱρέσεσιν ὁ θεῖος οὗτος ὅρος ἀντιπαρατάττεται. Ο ΚΑΘΟΛ. καλόν ἐστι τοῦτο ἰδεῖν, ἵνα μηδὲν ἡμῖν ἐλλείπῃ εἰς σύστασιν αὐτοῦ λεχθῆναι ὀφειλόντων ἐς ὕστερον.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν. Ο ΘΕΩΡ. ἐν τούτοις τὸν Σαμοσατέα Παῦλον, καὶ Νεστόριον, τοὺς ἀνθρωπολάτρας ἐπιστομίζει, τοὺς εἰς υἱῶν δυάδα τολμήσαντας αὐτὸν διαιρεῖν· καὶ ἄλλον μὲν λέγοντας υἱὸν φύσει τὸν λόγον, ἄλλον δὲ πάλιν υἱὸν χάριτι τὸν Χριστὸν Ἰησοῦν, ἑνώσει καὶ συναφείᾳ τῇ πρὸς τὸν κατὰ φύσιν υἱὸν τὴν υἱότητα κεκτημένον· καὶ οὐχ ὁμολογοῦντας ἕνα καὶ τὸν αὐτὸν υἱὸν, ἄσαρκον μὲν πρὸ τῆς καταβάσεως καὶ ἐνανθρωπήσεως· σεσαρκωμένον δὲ τὸν αὐτὸν μετὰ τὴν δι' ἡμᾶς κατάβασίν τε καὶ ἐνανθρώπησιν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι. Τέλειον ἐν θεότητι εἰπὼν, τὴν Ἀρειανῶν ἀπωθεῖται βλασφημίαν. οὗτοι γὰρ Θεὸν μὲν εἶναι λέγουσι τὸν Χριστὸν, ἀτελῆ δὲ, καὶ ἐλάττονα τοῦ πατρὸς Θεὸν αὐτὸν δογματίζουσιν. ἐν δὲ τῷ εἰπεῖν· καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· οὐ μόνον τὴν Ἀρειανῶν, ἀλλὰ καὶ τὴν Ἀπολιναριανῶν διελέγχει ἄνοιαν. ὁ μὲν γὰρ Ἄρειος ἄψυχον παντελῶς σάρκα ἀνειληφέναι τὸν λόγον ληρωδεῖ· ὁ δὲ Ἀπολινάριος ἔμψυχον μὲν, ἄνουν δέ· ὡς ἀμφοτέρους ἀτελῆ τὴν ἀνθρωπότητα τοῦ Κυρίου ἀμαθῶς δογματίζειν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν. Ταῦτα διὰ Μάνεντα, ὃς Θεὸν ψιλὸν αὐτὸν ὁμολογεῖ, καὶ οὐκ ἄνθρωπον· καὶ διὰ Παῦλον τὸν Σαμοσατέα, καὶ Ἀρτεμᾶν, οἵτινες ἀρνοῦνται αὐτοῦ τὴν θεότητα, ψιλὸν αὐτὸν ἄνθρωπον ὁμολογοῦντες.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ἐκ ψυχῆς λογικῆς, καὶ σώματος. ἐνταῦθα πάλιν Ἀπολιναρίῳ πολεμεῖ, λέγοντι μὴ ἐσχηκέναι νοερὰν ψυχὴν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ ζωτικὴν μόνην· καὶ διὰ Μάνεντα καὶ Οὐαλεντῖνον, τοὺς ἀρνουμένους αὐτοῦ τὴν σάρκωσιν. ΕΚ ΤΟΥ ΟΡΟΥ.

A GENERALIS. equidem in hoc decreto nihil inuenio, quod orthodoxæ fidei aduersetur: adeóque miror, quî factum sit vt nostri maiores impudenter ad id calumniandum progrederentur. THEORIANVS. Adponamus, si placet, eorum quoque patrum auctoritates, qui partim ante Cyrillum, partim post eum illustres exstiterunt, tam verbis quàm sententiis sanctæ Chalcedonensi synodo respondentes. GENERALIS. Id vero superuacaneum fuerit, quippe Cyrilli supra recitatæ auctoritates sufficiunt. THEORIANVS. B Videamus ergo, si placet, quot & qualibus sectis diuinum hoc decretum sese obiiciat. GENERALIS. Id vero præclarum fuerit intueri, ne quid eorum nobis desit, quæ deinceps eius stabiliendi causa proferri debent.

EX DECRETO.

Vnum & eumdem filium, Dominum nostrum Iesum Christum, esse confitendum, vniuersi consona voce docemus.

THEORIANVS. In his obthurat os Paulo Samosateno, & Nestorio, qui hominem adorabant, & in duos filios ausi sunt eum diuidere, C aliúmque dicere filium natura sermonem, & alium rursus filium per gratiam Christum Iesum, qui nomen filij per vnionem & coniunctionem cum naturali filio sit adeptus: qui denique non confitebantur vnum & eundem filium, carnis quidem expertem ante descensum & hominis adsumptionem: incarnatum verò eumdem post descensum & hominis adsumptionem nostri causa factam.

EX DECRETO.

Eumdem in diuinitate perfectum, & eumdem perfectum in humanitate. Quum in diuinitate perfectum dicit, Arianorum bla- D sphemiam reiicit. Nam illi Deum quidem esse Christum dicunt, sed imperfectum & patre minorem Deum tradunt. Quum autem inquit, Et eumdem perfectum, in humanitate: non Arianorum modò, sed Apollinaristarum quoque dementiam refutat. Arius enim nugatur, sermonem adsumpsisse carnem omnino inanimam: Apollinaris autem, animatam quidem carnem, sed mentis expertem: quo fit, vt imperitè ambo imperfectam Domini humanitatem tradant.

EX DECRETO.

Verè Deum, & eũdem verè hominem. Hæc E propter Manem posita sunt, qui eum purum fatetur Deũ, non etiam hominem: & propter Paulum Samosatenũ, & Artemam, qui diuinitatem eius pernegant, purum hominẽ confitentes. *EX DECRETO.* Ex participe rationis anima, corporéque constantem. Hic rursus Apollinarim oppugnat, qui Dominum nostrũ Iesum Christum non dicebat animam habuisse mente præditam, sed dumtaxat vitalem: itemque Manem & Valentinum, incarnationẽ eius negantes. *EX DECRETO.*

Eiusdem cum patre substantiæ, secundum diuinitatem. Hoc propter Eunomium & Arium qui vnigenam illum sermonem diuersæ à pateroa substantiæ, & creaturam & mancipium, impiè prædicabant. *EX DECRETO.* Et eumdem nobiscum eiusdem substantiæ, secundum humanitatem. Hoc propter Marcionē, & Manem, & Valentiū, qui eum per opinionem ac phantasiam dūtaxar aiebant hominem adparuisse; non reipsa, & naturaliter hominem factum confitebantur. *EX DECRETO.* Ante sæcula quidem ex patre genitum, quo ad diuinitatem. Hoc propter Simonem, & Eunomium, & Arium, qui generationem ipsius ex patre, factam ante sæcula, negabant. *EX DECRETO.* Extremis vero diebus eumdem propter nos, & salutem nostram, natum ex Maria Virgine Deipara, secundum humanitatem. Hoc propter Photinum, & Theodorum, & Diodorum, & Nestorium, qui existendi principium ei dant ex virgine, ac tradunt eum hominem esse, qui ob virtutem profectu quodam & incremento sit deificatus; non Deum de Deo, qui amore generis humani citra mutationem homo factus sit. *EX DECRETO.* Qui duabus in naturis citra confusionem, mutationem, diuisionem, separationem adgnoscitur; nequaquam naturarum discrimine propter vnionem sublato, sed vtriusque naturæ proprietate potius salua, & in vnam personam vnámque hypostasin coeunte. Ista propter Nestorium, & Apollinarim, & Eutychem, qui naturas diuersas, Sermonis, inquam, & carnis eius, vnam naturam absoluisse dicunt, amissa scilicet singularum proprietate: quo fit vt secundum ipsorum doctrinam, non amplius in Christo vel esse passibile quidquam statuere possimus, propter diuinitatem ipsius, passionis expertem; vel quidquam impassibile, propter ipsius humanitatem, passioni obnoxiam. His ita recitatis & declaratis, Generalis ad Theorianum inquit: Equidem post recitationem huius decreti nihil in eo deprehendi, quod orthodoxæ fidei repugnet, sicut & pridem fassus sum. miror etiam, qui factum sit vt nostri maiores impudenter ad id calumniandum progrederētur. Sed arbitror propterea, quod hæc sancta, vniuersalis, magnaque synodus, aduersus plures se sectas obuciat, vt indicatum est; multos aduersus eam ab hoste salutis humanæ calumniatores fuisse suscitatos, pro multis illis vulneribus, quæ ad cor ipsum ei sunt à synodo inflicta. Rectissimum sanè decretum est, vti quod à spiritu sancto per tot taléisque sanctos patres dictatū fuerit. quippe nulla synodus tam frequentem sanctorum patrum collectorum numerū habuit. Ceterum modo tibi quiddam aperiam, quod hactenus vulgo proditū non fuit. Ante cc annos quidam Generalis Armeniorum fuit, cui nomen Ioannes,

ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, διʼ Εὐνόμιον καὶ Ἄρειον, τοὺς τὸν μονογενῆ λόγον ἑτεροούσιον τοῦ πατρὸς, καὶ κτίσμα, καὶ δοῦλον ἀσεβῶς αὐτὸν καταγγείλαντας. ΕΚ ΤΟΥ ΟΡΟΥ. καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα· διὰ Μαρκίωνα, καὶ Μάνεντα, καὶ Οὐαλεντῖνον, τοὺς δοκήσει καὶ φαντασίᾳ ψιλῇ λέγοντας αὐτὸν ἄνθρωπον ὀφθῆναι, οὐ μὴν ἀληθείᾳ, καὶ κατὰ φύσιν ἄνθρωπον ὁμολογοῦντας αὐτὸν γεγονέναι. ΕΚ ΤΟΥ ΟΡΟΥ. πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα, κατὰ τὴν θεότητα· διὰ Σίμωνα, καὶ Εὐνόμιον, καὶ Ἄρειον, τοὺς ἀρνουμένους αὐτοῦ τὴν ἐκ πατρὸς πρὸ αἰώνων γέννησιν. ΕΚ ΤΟΥ ΟΡΟΥ. ἐπʼ ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν διʼ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου καὶ θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα· διὰ Φωτεινὸν καὶ Θεόδωρον, καὶ Διόδωρον, καὶ Νεστόριον, τοὺς διδόντας αὐτῷ τὴν ἀρχὴν τῆς ὑπάρξεως ἐκ τῆς παρθένου, καὶ λέγοντας αὐτὸν ἄνθρωπον ἐξ ἀρετῆς κατὰ προκοπὴν θεοποιηθέντα, καὶ οὐχὶ Θεὸν ἐκ Θεοῦ ὄντα, καὶ διὰ φιλανθρωπίαν ἀτρέπτως ἄνθρωπον γεγενημένον. ΕΚ ΤΟΥ ΑΥΤΟΥ. ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν συντρεχούσης. Ταῦτα διὰ Νεστόριον, καὶ Ἀπολινάριον, καὶ Εὐτυχῆ, οἳ τὰς διαφόρους φύσεις, τοῦ λόγου λέγω καὶ τῆς σαρκὸς αὐτοῦ, μίαν φύσιν ἀποτετελεκέναι φασὶν, ἐκστάσας δηλονότι τῆς ἑαυτῶν ἰδιότητος· ὡς κατὰ τὸν ἐκείνων λόγον μηκέτι δύνασθαι σώζεσθαι τοῦ Χριστοῦ μήτε τὸ παθητὸν, διὰ τὸ ἀπαθὲς αὐτοῦ τῆς θεότητος, μήτε τὸ ἀπαθὲς, διὰ τὸ παθητὸν αὐτοῦ τῆς ἀνθρωπότητος. Τούτων οὕτως ἀναγνωσθέντων καὶ ἑρμηνευθέντων, εἶπεν ὁ Καθολικὸς πρὸς τὸν Θεωριανόν· ἐγὼ τοῦτον ἀναγνοὺς τὸν ὅρον, οὐδὲν ἐναντίον τῇ ὀρθοδόξῳ πίστει ἐν αὐτῷ διέγνων, ὥς σοι καὶ πρώην ἐξεῖπον. καὶ θαυμάζω, πῶς οἱ πρὸ ἡμῶν ἀναιδῶς κατʼ αὐτοῦ εἰς συκοφαντίαν ἐξώρμησαν. ἀλλʼ οἶμαι, ἐπεὶ κατὰ πολλῶν αἱρέσεων παρατάττεται ἡ ἁγία αὕτη Καθολικὴ μεγάλη σύνοδος, ὡς δεδήλωται, πολλοὺς κατʼ αὐτῆς ὁ τῆς σωτηρίας τῶν ἀνθρώπων πολέμιος τοὺς συκοφαντὰς ἤγειρεν ἀντὶ πολλῶν, ὧν κατὰ καρδίας ἐδέξατο πληγῶν παρʼ αὐτῆς. ὀρθότατός ἐστιν ὁ ὅρος, ὡς ὑπὸ τοῦ πναγίου πνεύματος διὰ τοσούτων καὶ τηλικούτων ἁγίων θεοφόρων πατέρων ὑπαγορευθείς. οὐδεμία γὰρ ἁγία σύνοδος τοσούτους ἔσχε συνειλεγμένους ἁγίους πατέρας. νυνὶ δέ σοι καί τι τῶν μέχρι τοῦ νῦν ἀπορρήτων ἀποκαλύψω. πρὸ διακοσίων ἐτῶν ἐγένετό τις Καθολικὸς τῶν Ἀρμενίων, ᾧ ὄνομα Ἰωάννης,

βίῳ καὶ λόγῳ τοῖς μεγάλοις ἁγίοις πατράσιν ἡμιλλημένος, παιδείας τε τῆς ἔξω πάσης, καὶ δὴ καὶ αὐτῆς φιλοσοφίας οὐκ * ἀκροθινῶς ἥψατο· βίῳ δὲ ἐνθέῳ οὐκ οἶδα εἰ πάντας τοὺς πλείστους γέως ὑπερηκόντισεν· ὃς διά τε τὸν βίον, διά τε τὸν λόγον, τοῦ θείου τούτου βαθμοῦ καὶ τοῦ θρόνου, τῶν Καθολικῶν λέγω, ἠξίωτο. οὗτος ζήλου θείου πλησθεὶς, κατὰ τῶν μονοφυσιτῶν ὥρμητο· καὶ δὴ καὶ γραφαῖς, καὶ γλώττῃ τούτους κατατραυματίζειν, τὸν ὅλον τῆς ἐπισκοπῆς αὐτοῦ χρόνον σχεδὸν οὐκ ἐπαύσατο. οὗ τὴν θείαν μνήμην ἐντίμως καὶ θεοσεβῶς ἑορτάζομεν. τούτου τοῦ θείου καὶ μακαρίου ἀνδρός ἐστι παρ' ἐμοὶ συγγραφὴ, ἣν κατὰ τῶν μονοφυσιτῶν συνεγράψατο, πολλαῖς γραφικαῖς μαρτυρίαις, καὶ ἐνθυμήμασι, καὶ συλλογισμοῖς ἰσχυροῖς, καὶ κοιναῖς ἐννοίαις καὶ ἀποδείξεσιν ἐμπεπυκνωμένην. ταύτην ὁ ἐν μακαρίᾳ τῇ μνήμῃ ὀλίγον πρὸ ἐμοῦ τῷ θρόνῳ τούτῳ διαπρέψας Γρηγόριος ὁ Καθολικὸς ἐπεκύρωσε, γράψας πρὸς τῷ τέλει αὐτῆς, ὅτι οὕτω πιστεύω κἀγὼ, ὡς ὁ ἁγιώτατος Καθολικὸς Ἰωάννης ἐνταυθοῖ γέγραφε, καὶ τοὺς μὴ οὕτω πιστεύοντας ἀναθεματίζω. καὶ εἰ κελεύεις, ἀναγνώσομεν ἐκ ταύτης ὀλίγον, ἵνα γνῷς τὸν ἄνδρα, ὡς ἐξ ὀνύχων τὸν λέοντα. Ο ΘΕΩΡΙΑΝΟΣ. ἥδιστα ἀκούσαιμι τῆς γραφῆς.

Ὡς οὖν ἀνέγνωμεν τὸ προοίμιον, εἶπεν ὁ Θεωριανὸς πρὸς τὸν Καθολικόν· παρακαλῶ τὴν μεγάλην ἁγιωσύνην σου μεταγραφῆναι τὴν συγγραφὴν ταύτην, καὶ δοθῆναί μοι, ἵνα ἐξελληνισθεῖσαν ἐν Ῥωμανίᾳ ἔχοιμεν αὐτὴν, εἰς τιμὴν τοῦ πατρὸς αὐτοῦ, καὶ τιμώμεθα δι' αὐτῆς τὸν γεννήτορα. Ο ΚΑΘΟΛΙΚΟΣ. ἀποδέχομαι τοῦτο σφόδρα.

Καὶ δὴ μεταγραφεῖσα ἐδόθη ἡμῖν, ἣν καὶ ἀπεκομισάμεθα πρὸς τὴν βασιλεύουσαν.

Τούτων οὕτω γενομένων, εἶπεν ὁ Καθολικὸς πρὸς ἡμᾶς· ὁ μακάριος Παῦλος ἔφη· ἐβουλόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου, τῶν κατὰ σάρκα, μόνον ἵνα σωθῶσι. τοῦτό φημι κἀγὼ ὑπὲρ τοῦ ἐμοῦ γένους· ἐπεὶ καὶ ἀποθανεῖν ὀφείλει ὁ ποιμὴν ὁ καλὸς ὑπὲρ τῶν προβάτων αὐτοῦ· πᾶσαν μηχανὴν καὶ σπουδὴν ποιήσω, καὶ πάντα πᾶσι γενήσομαι, ἵνα πάντας, ἢ τινὰς πάντως, σώσω· ὡς ἂν κἀγὼ δυνηθῶ εἰπεῖν, ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. πῶς δὲ τοῦτο ποιήσω, ἄκουσον. ἀπὸ τῆς σήμερον ἄρξομαι γράφειν ἐπιστολὰς πρὸς τοὺς ἁπανταχοῦ γῆς Ἀρμενίων ἐπισκόπους, καλῶν αὐτοὺς εἰς τὴν σύνοδον. καὶ μετὰ τὸ κροτηθῆναι τὴν σύνοδον, προθήσω εἰς μέσον ὅσας χρήσεις ἔχουσιν οἱ Ἀρμένιοι, δοκούσας αὐτοῖς βοηθεῖν. προθήσω δὲ καὶ ὅσας αὐτὸς μοι παρήγαγες γραφικὰς μαρτυρίας. καὶ πρῶτον μὲν ἔσομαι ἐκ τοῦ μέρους τῶν Ἀρμενίων,

A vita doctrináque magnis sanctisque patribus par, & qui disciplinas exteras vniuersas, adeóque philosophiam ipsam non summatim adtigisset; vita quidem diuina haud scio an omnibus, plurimis certè præiuit; dignus habitus, tam vitæ quàm doctrinæ gratia, qui hoc sacro gradu solióque Generalium potiretur. Hic diuino repletus zelo, contra * Monophysitas ruebat, & toto eis propemodum episcopatus sui tempore tam scriptis quàm lingua infligere vulnera non desiit: cuius & sacram memoriam honorificè piéque celebramus. B Huius diuini beatique viri commentarius est apud me, quem contra Monophysitas scripsit, pluribus scripturarum testimoniis, & enthymematis, & valentibus syllogismis, & notionibus communibus, & demonstrationibus refertus. Eum beatæ memoriæ Generalis Gregorius, qui non multo ante me illustris in hoc solio fuit, ita confirmauit; vt eius in extremo hæc verba perscriberet: Sic & ego credo, quemadmodum sanctissimus Generalis Ioannes hîc scripsit; & ita non credentes, anathematizo. Ac le- C gamus sane paululum ex eo, si placet, vt hunc virum adgnoscas, veluti leonem ex vnguibus. THEORIANVS. Equidem hoc scriptum libentissimè audiam.

Quum ergo recitatum fuisset procemium, Theorianus ad Generalem: Obsecro, inquit, eximiam sanctitatem tuam, vt hic liber describatur, ac mihi tradatur: quo Græcum factum habere in * Romania possimus, ad honorem patris ipsius, vtque per eum auctor à nobis ipse celebretur. GENERALIS. D Perplacet.

Itaque descriptus & nobis traditus est, qui eum ad vrbem * Augustam deportauimus.

Secundum hæc Generalis ita nos compellabat. Beatus Paulus inquit; Optarem ipsemet esse à Christo anathema, pro fratribus meis, cognatis mihi, quod carnem adtinet, duntaxat vt ipsi salutem adipiscerentur. Idem ego de mea gente dico. & quandoquidem bonus pastor etiam mori debet pro suis ouibus, omnem machinationem atque studium adhibebo, & omnibus omnia fiam; vt E omnes, aut aliquos omnino seruem: quo & ipse dicere possim: En ego, & liberi, quos Deus mihi dedit. Quo autem modo sim id facturus, audi. Ab hodierno die scribere litteras ad Armeniorum episcopos vbique gentium incipiam, quibus eos ad synodum inuitabo. Ea quum habita fuerit, in medium proponam auctoritates omnes, quotquot Armenij habent, & pro ipsis esse videntur. Proponam & illa sacrarum litterarum testimonia, quæcumque tu mihi protulisti. Ac primum quidem ero ex parte Armeniorum,

* ἀκροθινῶς.

* Qui vnã in Christo naturam credunt.

* sic adpellebãt imperium Orientale.

* Constantinopolim.

Rom. 10.

contra vos disserendo contendens: deinde paulatim, ac pedetentim, nec sine multo consilio, conuenienti & tempore & modo, detegere incipiam Armeniorum errorem, qui hactenus obtinuit. Redarguam eus & de libro sanctæ memoriæ Ioannis illius Generalis episcopi, quem librum tibi descriptum obtuli: de omnibus illis denique demonstrationibus, quas eruditio tua mihi suppeditauit. Ad summum, Romanus ero, próque Romanis, immo pro veritate, aduersus Armenios decertabo: ac spe infallibili fretus erga Deum, futurum mihi polliceor, vt oues meæ vocem meam audiant, ac me sequantur: & erimus, Deo iuuante, vnum ouile, vnus pastor. Quod si ad me vniuersi accesserint, bene erit; ac benigno Deo gratias agere non desinam: sin autem, (quod euenire nolim) cum iis qui me sequentur, & mecum consentient, veritatis doctrinam confirmabo, & ad præpotentem sanctúmque nostrum imperatorem, & sanctissimum ac vniuersalem patriarcham, meos auctoritatis præcipuæ pontifices mittam, qui fidem orthodoxam scripto comprehensam adferent, manu mea subnotatam, & omnium mihi subiectorum recte sentientium episcoporum subscriptiones continentem; quique tam voce propria quàm per scripturam, nostro nomine pariter, & amplexorum veram sententiam Armeniorum, eam confirmabunt. Atque huic comprehensæ scripto fidei hoc quoque, præter alia, insertum erit: Nos habitam Chalcedone magnam, vniuersalem, quartam illam sacram synodum recipere cum iis sanctis patribus, quos ea recipit: quos autem è d.uerso anathemati subiicit, eos nos quoque anathematizare; nimirum Eutychem, & Dioscorum, & præter hos Seuerum, & Timotheum Ælurum, & omnes, qui aduersus eam nugas meras effutiuerunt. Quotquot autem cordis oculos ad veritatis lucem clauserint, & se viris illis sanctis doctiores existimabunt, æterno anathemati tradam. Deinde quum hæc omnia in vrbe Augusta, synodo interueniente, corroborata fuerint, ac reuersi mei pontifices: si quidem piissimus Imperator iusserit, & ipse vrbem Augustam ingrediar, adoraturus & res ibidem sanctas ac veneratione dignas, & Apostolis parem ac sanctum imperatorem, & sanctissimum patriarcham. Quibus dictis, è cœnaculo expulit vniuersos, & animo dolorem præ se ferente; plenisque lacrumarum oculis, ita nos adfari cœpit:

Obsecro benignum & sanctum imperatorem nostrum, vt, posteaquam mei Pontifices Constantinopolim ingressi, & hæc, quæ diximus, omnia confirmata fuerint: iubeat sanctissimum & vniuersalem Patriarcham, ornatum pontificalibus suis, quæ gestare consueuit,

βεβαιῶσαι

A καθ᾽ ὑμῶν γυμνάζων τὸν λόγον· εἶτα ἠρέμα, καὶ κατ᾽ ὀλίγον, καὶ μετὰ πολλῆς τῆς οἰκονομίας, καὶ κατὰ καιρὸν καὶ τρόπον προσήκοντα, ἄρξομαι ἀποκαλύπτειν τὴν μέχρι τοῦ νῦν κρατήσασαν πλάνην τῶν Αρμενίων. ἐλέγξω δὲ καὶ αὐτοὺς καὶ ἀπὸ συγγραφῆς τοῦ ἐν ἁγίοις Ιωάννου καὶ Καθολικοῦ, ἣν σοι δέδωκα μεταγράψας. καὶ ἀπὸ πασῶν τῶν ἀποδείξεων, ἃς μοι πεποίηκεν ἡ σὴ λογιότης. καὶ τὸ ὅλον εἰπεῖν, ἔσομαι Ρωμαῖος, ὑπὲρ Ρωμαίων, μᾶλλον δὲ ὑπὲρ τῆς ἀληθείας κατὰ τῶν Αρμενίων ἀγωνιζόμενος· καί μοι ἀψευδὴς ἐλ-
B πίς ἐστιν εἰς Θεὸν, ὅτι τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούσει, καὶ ἀκολουθήσει μοι· καὶ ἐσόμεθα σὺν Θεῷ μία ποίμνη, εἷς ποιμήν. καὶ εἰ μὲν πάντες συνέλθοιεν ἐμοὶ, εὖ ἂν ἔχοι· τῷ φιλανθρώπῳ Θεῷ οὐ παύσομαι εὐχαριστῶν. εἰ δέ γε καὶ μὴ, (ὅπερ ἀπεύχομαι) μετὰ τῶν ἑπομένων μοι, καὶ στοιχούντων, καὶ ὁμοφρονούντων κυρώσω τὸ δόγμα τῆς ἀληθείας. καὶ ἀποστείλω πρὸς τὸν κράτιστον καὶ ἅγιον ἡμῶν βασιλέα, καὶ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην τοὺς ἀξιολόγους τῶν ἀρχιερέων μου, φέροντας τὴν ὀρθόδο-
C ξον πίστιν ἔγγραφον, καὶ ὑπογεγραμμένην οἰκείᾳ ἐμῇ χειρὶ, ἔχουσαν καὶ ὑπογραφὰς πάντων τῶν ὑπ᾽ ἐμὲ ὄντων ὀρθοδόξων ἐπισκόπων, βεβαιώσοντας, καὶ δι᾽ οἰκείας φωνῆς, καὶ γραφῆς λόγῳ ἡμῶν καὶ τῶν ὀρθοδοξησάντων Αρμενίων ταύτην. ἔσται δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἐν τῇ τοιαύτῃ ἐγγράφῳ πίστει ἐγκείμενον, ὅτι δεχόμεθα τὴν ἐν Χαλκηδόνι μεγάλην καὶ οἰκουμενικὴν τετάρτην ἁγίαν σύνοδον, καὶ οὓς αὐτὴ δέχεται ἁγίους πατέρας. οὓς δὲ πάλιν αὐτὴ ἀναθεματίζει, καὶ ἡμεῖς ἀναθεματίζομεν· Εὐτυ-
D χέα τε καὶ Διόσκορον, πρὸς δὲ καὶ Σεβῆρον, καὶ Τιμόθεον τὸν Αἴλουρον, καὶ πάντας τοὺς αὐτῆς καταφλυαρήσαντας· τοὺς δὲ πρὸς τὸ φῶς τῆς ἀληθείας τοὺς ὀφθαλμοὺς μύσαντας τῆς καρδίας, καὶ σοφωτέρους ἑαυτοὺς τῶν ἁγίων ὑπολαμβάνοντας, αἰωνίῳ ἀναθέματι παραπέμψω. εἶτα μετὰ τὸ κυρωθῆναι συνοδικῶς ἐν τῇ βασιλευούσῃ ταῦτα πάντα, καὶ ὑποστρέψαι τοὺς ἐμοὺς ἀρχιερεῖς, εἴγε κελεύσει ὁ θεοφιλέστατος βασιλεὺς, εἰσέλθω καὶ αὐτὸς εἰς τὴν βασιλεύουσαν, προσκυνήσων τὰ ἐκεῖσε ἅγια προσκυνήματα,
E καὶ τὸν ἰσαπόστολον καὶ ἅγιον βασιλέα, καὶ τὸν ἁγιώτατον πατριάρχην. καὶ ταῦτα εἰπὼν, ἐξέβαλε πάντας τοῦ ὑπερῴου, καὶ μετὰ περιωδυνωμένης ψυχῆς, ἔχων καὶ τοὺς ὀφθαλμοὺς δακρύων μεστοὺς, ἤρξατο λέγειν πρὸς ἡμᾶς.

Παρακαλῶ τὸν φιλόχριστον καὶ ἅγιον ἡμῶν βασιλέα, ἵνα μετὰ τὸ εἰσελθεῖν τοὺς ἐμοὺς ἀρχιερεῖς εἰς τὴν Κωνσταντινούπολιν, καὶ * βεβαιῶσαι ταῦτα πάντα, ἃ εἴπομεν, προτρέψῃ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην φορέσαι τὰ ἱερατικὰ αὐτοῦ, ὅσα φορεῖν εἴωθε,

τὴν θείαν ἐκτελεῖ λειτουργίαν, καὶ ἀναβαίνῃ ἐπὶ τοῦ ἄμβωνος, ἢ ἐπὶ τοῦ θείου καὶ ἱεροῦ θρόνου, τοῦ ὄπισθεν τῆς ἁγίας τραπέζης, κρατοῦντα ταῖς χερσὶ τὸν ἅγιον σταυρὸν, ἔχοντα τὰ τίμια ξύλα, καὶ ἐν ἀκροάσει παντὸς τοῦ τε πληρώματος τῆς ἐκκλησίας καὶ τοῦ λαοῦ, εὐλογῆσαι τὸ γένος τῶν Ἀρμενίων, ὃ σχεδὸν ὅλον αἰῶνα ὑπὸ κατάραν ἦν· εἶτα ποιῆσαι εὐχὴν ἐκτενῆ καὶ ὑπὲρ τῶν κεκοιμημένων Ἀρμενίων, ἵνα ὁ θέλων πάντων ἀνθρώπων τὴν σωτηρίαν Θεὸς, ἀφήσῃ αὐτοῖς τοῦτο τὸ ἐξ ἀγνοίας, οὐ κακουργίας ἁμάρτημα. ὡς οὖν ἑωράκαμεν αὐτὸν μετὰ συντετριμμένης καρδίας καὶ στεναγμῶν, ταῦτα πρὸς ἡμᾶς λέγοντα· κεκινήμεθα καὶ ἡμεῖς πρὸς οἶκτον, καὶ ὅλοι δακρύων καὶ θρήνων γεγόναμεν. ὥρας δὲ ὀλίγης παρελθούσης, καὶ τοῦ θρήνου κατηρεμήσαντος, εἶπεν ὁ Θεωριανός.

Ταύτην σου τὴν παράκλησιν, δέσποτα, εἴπομεν τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ. καὶ δοὺς ἡμῖν γραφὴν αὐτοῦ πρὸς τὸν εὐσεβέστατον, καὶ ἅγιον, καὶ φιλόχριστον ἡμῶν αὐτοκράτορα, περιέχουσαν τὸ ὅτι δέχομαι τὴν τετάρτην μεγάλην καὶ οἰκουμενικὴν ἁγίαν σύνοδον τὴν ἐν Χαλκηδόνι· ἀπέλυσεν ἡμᾶς ἐν εἰρήνῃ· καὶ ἁψάμενος τῆς κεφαλῆς ἡμῶν, εὐλόγησεν ἡμᾶς. ἡμεῖς δὲ ἐπὶ πᾶσι τούτοις εὐχαριστήσαντες τῷ Θεῷ, τῆς πρὸς Κωνσταντινούπολιν φερούσης εἰχόμεθα, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκυνήσεις, καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A quoties sacrum ministerium peragit, in * ambonem conscendere, vel in sacrum sanctum illud solium post sacram mensam collocatum, crucem sanctam manibus suis tenentem, & venerabilia ligna: audientéque toto ecclesiæ corpore ac populo, genti Armeniorum bene precari, quæ totum prope sæculum execrationi subiecta fuit: deinde curet ferias concipi preces etiam pro iis Armeniis, qui obdormierunt: vt Deus, qui omnium vult salutem, profectum hoc ex ignoratione, non malitia, delictum eis remittat. Quum B ergo videremus eum, hæc corde contrito, & cum gemitibus ad nos proferentem: nos quoque moti sumus ad commiserationem, totique meras in lacrymas & lamentationes soluti. Deinde quum paululum temporis intercessisset, quasique ploratus conquieuisset; Theorianus dixit:

*suggestum

Has preces tuas, Domine, præpotenti & sancto imperatori nostro exponemus. Inde tradita nobis epistola ad pijssimum, & sanctum, & Christianum imperatorem nostrũ, qua & illud cõplexus erat, se magnam illam, & vniuersalem, sanctámque synodum quar- C tam, Chalcedone habitam, recipere: pacificè nos dimisit, tactóque capite nostro, bene nobis est precatus. Nos autem actis Deo pro his omnibus gratiis, Constantinopolim continuis itineribus proficiscebamur, Deum interim & collaudantes, & prædicantes: cui quidem omnis maiestas, honos, adoratio, & magnificentia, sæculis infinitis competit. Amen.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΠΑ ΡΩΜΗΣ ΛΕΟΝΤΟΣ

ἐπιστολὴ, πεμφθεῖσα τῷ ἐν ἁγίοις Φλαβιανῷ πατριάρχῃ Κωνσταντινουπόλεως, κατὰ Εὐτυχοῦς τοῦ ματαιόφρονος, καὶ τῶν ὁμοφρόνων αὐτοῦ· ἥν τινα στήλην τῆς ὀρθοδοξίας * καλοῦσιν.

EPISTOLA BEATISSIMI PAPÆ ROMANI LEONIS,

missa ad sanctum Flauianum, Patriarcham Constantinopolitanum, aduersus auctorem vanæ opinionis Eutychem, eíque consentientes: quam rectæ fidei columnam * vocant.

* nimirum patres Concily Chalcedonensis. vide sup. in definitione Concilii.

Ἀναγνόντες τὰ γράμματα τῆς ἀγάπης τῆς σῆς, ἅπερ οὕτω βραδύτατα γεγένηνται θαυμάζομεν, καὶ τῇ τάξει τῶν ὑπομνημάτων ἐκκύψαντες, ἥτις ἐπὶ τῶν ἐπισκόπων ἐπεπράχθη· μόλις ποτὲ, τί παρ' ὑμῖν σκάνδαλον ἀνεφύη κατὰ τῆς ὑγιοῦς πίστεως, ἔγνωμεν· καὶ τὰ πρότερον λεληθέναι δοκοῦντα, νῦν ἡμῖν δῆλα γεγένηται· δι' ὧν Εὐτυχὴς, τῇ τοῦ πρεσβυτέρου προση-

Lectis dilectionis tuæ litteris, quas miramur fuisse tam feras, & gestorum episcopalium ordine recensito, tandem quid apud vos scandali contigerit, atque contra integritatem fidei exortum fuerit, agnouimus: & quæ prius videbantur occulta, nunc nobis reserata patuerunt. quibus Eutyches, qui presbyterij nomine

quemadmodum magnus ille Athanasius in oratione de carnis adsumptione Trinitatéq; loquitur: Non ter modo sanctus, inquiẽs, sed infinitè sanctus, & omnem supra sanctitatem positus. THEORIANVS. Parrem vero, sanctúmve spiritum, rersanctos non dicis? GENERALIS. Non. THEORIANVS. Et vnde profecta est isthæc distributio, vt vel soli filio hymnus hic rribuatur, vel roti Trinirari: non aurem vel patri soli, vel soli spiritui sancto? GENERALIS. Sic à sanctis hominibus edocti sumus. Nec longè abiuerimus. Magnus ille

D. Athanasius.

Arhanasius in oratione de carnis adsumptione ac Trinitate, cuius suprà mentio facta est, huiusmodi profert: Vidimus eum, nec speciem, nec pulcbrirudinem habebat. Nam antea viderat eum in diuina gloriosáque forma, sedentem in alro sublimique solio; quum Seraphi maiestatem eius verbis hisce concelebrabãt: Sanctus, Sanctus, Sanctus Dominus Sabbaorh. postea vero videt eum adsumpta serui forma, similem hominibus factum. Vidésne diuinum hunc virum soli filio videri tersanctũ istum hymnũ adtribuere? Quum, inquit, Seraphi maiestarem eius verbis hisce coucelebrabanr: Sanctus, Sanctus, Sanctus dominus Sabaoth. postea vero vider eum adsumpta serui forma, similem hominibus factum.

S. Epiphanius.

Quin & S Epiphanius in oratione de sancta Deipara, similia dicens: Beata, inquit, inrer mulieres quæ sermonẽ ex te incarnarũ peperisti; sermonem illum, qui patris est filius; sermonem, qui Deus sæculis prior; sermonem, qui expers est principij, & ærernus; sermonem, qui eiusdem est substantiæ cum inseparabili Trinitate; sermonem, qui cum patre ac spiriru sancto adorarur; sermonem, qui consors est solij paterni; sermonem qui Cherubis insidet; sermonem, quem illæ quadriformes bestiæ verbis hisce concelebranr; Sanctus, Sanctus, Sanctus Dominus Sabaoth. Plenum est cœlum & rerra maiestate ipsius. Viden' vr & ille soli filio tersãctum hymnum adtribuere videatur? ait enim: Quem illæ quadriformes bestiæ verbis hisce cõcelebrãr; Sanctus, Sanctus, sanctus, &c. Quin & diuus

D. Chrysost.

ille Chrysostom. in oratione de benedicto, cuius initium, De miraculis in miracula: verbis bis eadem dicit: Hodie rex maiestaris in terra sic concelebratur, vti vates descripsit, & lætitiæ cœlestis participes terrigenas facit: vt ostẽdat amborum se Dominum, qui vtrimq; consona voce concelebrerur. Propterea superi quidem illi salutem istam in terris indicãtes canebãt: Sanctus, Sanctus, Sanctus Dominus Sabaorb, plena est vniuersa rerra maiestate ipsius; inferi vero cum lætiria cœlesti celebrationẽ suam coniungenres, clamabãt: Hosanna filio Dauidis. Vides hæc rria magna

Respondet Theorianus adductis authoritatibus.

ecclesiæ lumina videri filio soli tersanctum illum hymnum adtribuere? THEOR. Bene dictum abs te, videri. non enim adtribuunt,

A καθὼς ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ σαρκώσεως καὶ τριάδος λόγῳ φησίν· οὐ τρὶς μόνον ἅγιος ἀλλ' ἀπείρως καὶ ἀπειράκις ἅγιος, καὶ ὑπεράγιος. Ο ΘΕΩΡΙΑΝΟΣ. τὸν δὲ πατέρα, ἢ τὸ πνεῦμα τὸ ἅγιον, οὐ λέγεις τρισαγίους; Ο ΚΑΘΟΛΙΚΟΣ. οὔ. Ο ΘΕΩΡΙΑΝΟΣ. καὶ πόθεν ἡ ἀποκλήρωσις, τὸ τῷ υἱῷ μόνον προσαρμόζειν τὸν θεῖον τοῦτον ὕμνον, ἢ τῇ ὅλῃ τριάδι, τῷ πατρὶ δὲ μόνῳ, ἢ τῷ ἁγίῳ πνεύματι μόνῳ οὔ; Ο ΚΑΘΟΛΙΚΟΣ. ἐκ τῶν ἁγίων ἐδιδάχθημεν τοῦτο. εὐθὺς ὁ μέγας Ἀθανάσιος ἐν τῷ ἄνω μνημονευθέντι περὶ τῆς σαρκώσεως καὶ τριάδος λόγῳ, τοιάδε φησίν· εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὔτε κάλλος. ἦν γὰρ αὐτὸν πρὸ τούτου θεωρήσας ἐν τῇ θεϊκῇ καὶ ἐνδόξῳ μορφῇ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν, λέγοντα· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. καὶ μετὰ ταῦτα ὁρᾷ αὐτὸν μορφὴν δούλου λαβόντα, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. ὁρᾷς, πῶς μόνῳ τῷ υἱῷ δοκεῖ προσάπτειν τὸν τρισάγιον ὕμνον ὁ θεῖος οὗτος ἀνήρ; ὅτε φησί, τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν, λέγοντα ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. καὶ μετὰ ταῦτα ὁρᾷ αὐτὸν μορφὴν δούλου λαβόντα, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. ἀλλὰ δὴ καὶ ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ εἰς τὴν ἁγίαν θεοτόκον λόγῳ τὰ ὅμοια φάσκων, φησίν, ἡ μακαρία ἐν γυναιξὶν, ἡ τὸν λόγον ἐκ σοῦ σαρκωθέντα τεκοῦσα, λόγον τὸν τοῦ πατρὸς υἱόν, λόγον τὸν προαιώνιον Θεόν, λόγον τὸν ἄναρχον καὶ ἀΐδιον, λόγον τὸν ὁμοούσιον τῆς ἀχωρίστου τριάδος, λόγον τὸν σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον, λόγον τὸν σύνθρονον τοῦ πατρός, λόγον τὸν ἐπὶ Χερουβὶμ καθήμενον, λόγον ὃν τὰ τετράμορφα ζῶα δοξολογοῦσι, λέγοντα· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Ὁρᾷς, ὅπως καὶ οὗτος δοκεῖ μόνῳ τῷ υἱῷ τὸν τρισάγιον ὕμνον προσαρμόζειν; λέγων· ὃν τὰ τετράμορφα ζῶα δοξολογοῦσι, λέγοντα, ἅγιος, ἅγιος, ἅγιος· καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος εἰς τὸν εὐλογημένον, οὗ ἡ ἀρχή· ἐκ θαυμάτων εἰς θαύματα τὰ αὐτά. φησί· σήμερον, λέγων, ὁ βασιλεὺς τῆς δόξης ἐπὶ γῆς προφητικῶς δοξάζεται, καὶ κοινωνοὺς τῆς ἐπουρανίου εὐωχίας τοὺς γηγενεῖς ἀναδείκνυσιν, ἵνα δείξῃ, ὅτι αὐτός ἐστι κύριος ἀμφοτέρων, ὡς ἑκατέρωθεν συμφώνως ὑμνούμενος. διὰ τοῦτο οἱ μὲν ἄνω τὴν ἐπὶ γῆς σωτηρίαν καταμηνύοντες ἔψαλλον, ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. οἱ δὲ κάτω τῇ ἐπουρανίῳ εὐφροσύνῃ συμπανηγυρίζοντες, ἔκραζον· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ. ὁρᾷς, ὅτι καὶ οἱ τρεῖς οὗτοι μεγάλοι τῆς ἐκκλησίας φωστῆρες τῷ υἱῷ μόνῳ δοκοῦσι προσάπτειν τὸν τρισάγιον ὕμνον; Ο ΘΕΩΡ. ὀρθῶς εἴρηκας, ὅτι δοκοῦσιν· οὐ γὰρ προσάπτουσι,

A ἀλλὰ δοκοῦσι προστιθέναι. δοκοῦσι δὲ, τίσι; τοῖς μὴ εἰς τὸ βάθος εἰσδῦναι δυναμένοις τοῦ νοὸς τῶν μεγάλων τούτων καὶ θείων ἀνδρῶν. ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτὸν, φησὶν ὁ μέγας Ἀθανάσιος. ἀλλ' οὐκ εἶπε, μόνον ἐδοξολόγουν χωρὶς τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. εἰ γὰρ τὴν ὅλην ἐδοξολόγουν τριάδα, ἐξ ἀνάγκης δηλονότι καὶ τὸν υἱὸν ἐδοξολόγουν. καλῶς οὖν εἶπεν ὁ πατὴρ, ὅτε τὰ Σεραφὶμ ἐδοξολόγουν αὐτόν. οὕτω νόησον καὶ τὸν ἅγιον Ἐπιφάνιον, καὶ τὸν θεῖον Χρυσόστομον, καὶ ἄλλους τῶν ἁγίων, ὅπου ἂν εὕρῃς τοιαῦτα γράφοντας. B σαφὲς δ' ἂν εἴη, ὃ λέγω, καὶ ἐπὶ παραδείγματι, τοῦτον τὸν τρόπον. γυνή τις, οὐ τῶν ἐκ γένους καταγομένων βασιλικοῦ, ἀλλ' οὐδὲ τῶν ἄγαν ἐπιφανῶν, ἔσχε θυγατέρα ὡραιοτάτην, κάλλει, καὶ σωφροσύνῃ, καὶ φρονήσει πάσας τὰς κατ' ἐκεῖνο καιροῦ γυναῖκας ὑπερνικῶσαν. ταύτην βασιλεὺς ἰδὼν πάσας ἔχουσαν τὰς τῶν γυναικῶν ἀρετὰς ἀκιβδήλους καὶ καθαράς, ἔλαβεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα, καὶ στέφει βασιλικῷ, ὡς εἰκὸς, ἐταινίωσεν. ἐνστάντος δὲ τοῦ καιροῦ, καθ' ὃν πᾶσα ἡ πόλις τὸν *εὐφημισμὸν ἀναπέμπει τοῖς βασιλεῦσιν, εἶπέ τις τῇ μητρὶ τῆς βασιλίσσης, C ἐλθὲ, ἵνα ἀκούσῃς ὑπὸ πάσης εὐφημουμένην τῆς πόλεως θυγατέρα. καὶ Ο ΚΑΘΟΛΙΚΟΣ ἁρπάσας τὸν λόγον, εἶπεν· ἔγνων, ὃ βούλει εἰπεῖν. ἐπεὶ ὁ εὐφημισμὸς κοινός ἐστι τοῦ βασιλέως καὶ τῆς βασιλίσσης, καλῶς δύναταί τις εἰπεῖν, ὅτι τὸν πατέρα δοξολογοῦσιν, οἱ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ταῦτα γὰρ πάντα καὶ ἅμα, καὶ χωρὶς ἐκφωνούμενα ἀληθεύει, ἄνευ τῆς τοῦ μόνου προσθήκης λεγόμενα. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀπήλλαξας πραγμάτων ἡμᾶς, ἁγιώτατε δέσποτα. οὐκ ἄρα μόνον τῷ υἱῷ ᾖδε τὰ Σεραφὶμ τὸν τρισάγιον D ὕμνον, ἀλλὰ τῇ ὅλῃ τριάδι. καὶ διὰ τοῦτο οὐ δεῖ προστεθῆναι τὸ, Ὁ σταυρωθεὶς, ἢ ἄλλην τινὰ προσθήκην. ἔστι δὲ καὶ ἄλλως ἀποδεῖξαι, ὅτι οὐκ ἐπὶ μόνου τοῦ υἱοῦ τὸν τρισάγιον ὕμνον ὁ μέγας Ἐπιφάνιος ἐξελάβετο, ἐξ αὐτῆς τῆς προστεθείσης αὐτῷ χρήσεως. φησὶ γάρ· λόγον τὸν σύνθρονον τοῦ πατρὸς, λόγον τὸν ἐπὶ τῶν Χερουβὶμ καθήμενον. οὐκ ἐσήμανε μόνον τὸν υἱὸν ἐπὶ τῶν Χερουβὶμ καθῆσθαι, ἄνευ τοῦ πατρὸς καὶ τοῦ πνεύματος. σύνθρονον γὰρ τοῦ πατρὸς προεῖπεν αὐτόν. οὕτω E καὶ ἐπὶ τῆς δοξολογίας δεῖ νοεῖν. κοινὸν τὸ καθῆσθαι, κοινὴ ἡ δοξολογία. συμβάλλεται δὲ ἡμῖν οὐ μικρῶς πρὸς τὸν προκείμενον νοῦν, καὶ ὃ πρὸς τῷ τέλει τῶν πράξεων ὁ εὐαγγελιστὴς ἀναγράφει Λουκᾶς. φησὶ γάρ, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγων, πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπὸν, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· καὶ τὰ ἑξῆς. τί οὖν;

sed adtribuere videntur. videntur autem, sed quibus obsecro? qui penetrare ad profunditatem sententiæ magnorum istorum diuinorumque hominum nequeũt. Quum Seraphi maiestatem eius concelebrabant, inquit eximius ille Athanasius: sed non ait, Solum concelebrabant, absque patre ac spiritu sancto. quippe si totam Trinitatem concelebrabant, necessario scilicet concelebrabant & filium. quapropter recte dixit Athanasius, Quum Seraphi eum concelebrabant. Sic & sanctum Epiphanium & diuum illum Chrysostomum, & ceteros sanctos homines, quos cumque talia scribentes repereris, intelliges. Fuerit autem res tota perspicua per exemplum, hoc modo: Mulier quædam, non regio prognata genere, immo nec illustri quidem admodum, filiam venustissimam habuit; forma, pudicitia, prudentia mulieres eius temporis vniuersas superantem. Eam videns imperator omnibus præditam fœmineis virtutibus, ac sinceris quidem, miniméque fucatis; vxorem sibi accepit, & imperatoria, pro more, corona redimiuit. Adpetente vero tempore, quo vrbs vniuersa faustis vocibus Augustis acclamare consueuit: quidam matri Augustæ, Veni, ait, vt filiam tuam ab vrbe tota faustis excipi acclamationibus audias. Tum GENERALIS interrupto Theoriani sermone: Intelligo, inquit, quid dicere velis. quando illæc acclamatio fausta, communis est Augusto cum Augusta; rectè quis dicere potest, quod qui filium, patrem quoque concelebrent, & spiritum sanctum. Hæc enim omnia tam simul quàm seorsum enuntiata, vera sunt: modo solius vox non adiiciatur. THEORIANVS. Liberasti nos molestia, sanctissime Domine. nimirum sequitur, Seraphos non filio dumtaxat hymnum illum tersanctum cecinisse: sed vniuersæ Trinitati: propterea non addendum est illud, Qui crucifixus est: nec alia quæpiam adpendix. Quamquam & aliunde probari potest, magnum illum Epiphanium non de solo filio tersanctum hymnum intellexisse; idque de verbis dicti eius, antea positis. Ait enim; Sermonem, qui consors est solij paterni; sermonem, qui Cherubis insidet. Certè non hoc vult, solum filium Cherubis insidere, sine patre ac spiritu sancto. nam antea solij paterni consortem dixit. idem de concelebratione maiestatis intelligendum. Communis èst sessio, communis celebratio. Nec parum nobis ad hunc sensum & illud confert, quod in actis Euangelista Lucas in extremo scribit. Ait enim, Paulum hoc verbum protulisse: Rectè spiritus sanctus per Esaiam vatem loquutus est ad patres nostros hisce verbis: Vade ad populum hunc, & dicito: Auribus audictis, & non intelligetis: videntes videbitis, & non perspicietis: & cær. Quid ergo?

Exemplum notandum.

* εὐφημισμὸς

solumne spiritum sanctum dicemus in alto sublimique solio considentem, Esaiæ vati præcipere: Vade ad populum hunc, & cætera, quoniam diuus Paulus sancti dumtaxat spiritus meminit? an patrem quoque, cum filio? GENERALIS. Hoc iam solutum est, nec quidquam dicendum amplius. THEORIANVS. Deinceps videamus, quid in epistola tua de vnguento perscripseris. GENERALIS. Recte dicis: fiat.

Itaque caput de vnguento legentes, hæc scripta reperimus. Rursum præcepit ipsa scriptura, vt ex iis oleis holerum, quæ sesamum vocant, vnguentum nostrum conficiatur, non ex oliuarum arboribus. atque hoc reapse verum est. Causa rei est hæc, quod in Armeniorum regione non sunt oliueta propter aëris in ea regione frigus. itaque necessitas ipsa flagitat, vt oleum illud, quod in ipsa regione reperitur, ad vsum vnguenti adhibeatur. qua in re nullum ego spirituale delictum video. THEORIANVS. Miror Domine, cur ad imperatorem hoc perscripseris. nam plurima heic oliueta video, & quidem olei satis. GENERALIS. Verùm ista vnguenti confectio principium habuit ad orientis plagam intimam, vbi nulla sunt oliueta: indéque nos acceptam seruamus hactenus.

Disputatio de vnguento, quo ex oleo debeat fieri.

Deinde capitis eiusdem parte proxima perlecta, sic scriptum inuenimus: Sicut vinum sanguinis Christi materies est, & cuiuscumque sit coloris, recipi debet; siue nigrum, siue rubrum, siue album vinum fuerit: quoniam per ministerium sanctificatur, & Christi fit sanguis. THEORIANVS. Exemplum hoc tuum parum ad ipsam rem quadrat. non enim de coloribus nobis est quæstio; sed de subiecto, siue materie. Nosti enim, diuersis ex arboribus vinum fieri. Nam ex pomis, & cerasis, & aliis fructibus, & herbis quoque conficitur: sed ad hoc sacrificium non adhibetur, nisi dumtaxat ex vite factum. Sic & de oleo: fit ex lauro, iunco odorato, & aliis multis oleum: sed à sanctis patribus oleum oliuæ ceteris est prælatum. atque hoc cuilibet cognoscere licet, tam ex sancto illo Dionysio Areopagita, quàm aliis sanctis hominibus non paucis. Nec minoris est momenti argumentum, quod ex ipso nomine contexitur. quippe si simpliciter oleum dicatur, ex oliua factum intelligitur. at quum laurinum, vel iunceum, vel sesaminum, & huiusmodi alia . . . . Quemadmodum enim, si nauim dicam, facta de lignis, clauis, & pice nauis intelligitur, qua nauigamus, non nauis lapidea; sed si nauim lapideam significare velimus, lapideam adijcimus; absque qua adpendice numquam ex sola nauis appellatione, lignea nauis intelligetur:

Vinum ex vite natum tantùm locū habet in sacrificio Missæ.

A μόνον δὲ πνεῦμα τὸ ἅγιον εἴπωμεν καθῆσθαι ἐπὶ τοῦ θρόνου τοῦ ὑψηλοῦ καὶ ἐπηρμένου, τῷ προφήτῃ Ἡσαΐᾳ διακελευόμενον· πορεύθητι πρὸς τὸν λαὸν καὶ τὰ ἑξῆς; ἐπειδὴ ὁ θεῖος Παῦλος τοῦ ἁγίου πνεύματος μέμνηται μόνου; ἢ καὶ τὸν πατέρα, καὶ τὸν υἱόν; Ο ΚΑΘΟΛ. λέλυται τοῦτο, καὶ πλέον περὶ τούτου οὐ χρὴ λέγειν. Ο ΘΕΩΡ. ἴδωμεν λοιπὸν, τί ἔγραψας ἐν τῇ ἐπιστολῇ σου περὶ τοῦ μύρου. Ο ΚΑΘ. εὖ λέγεις· γινέσθω.

Καὶ ἀναγνόντες δὲ περὶ τοῦ μύρου κεφάλαιον, εὕρομεν οὕτως. B πάλιν διηγόρευεν ἡ γραφὴ ἀπὸ τῶν ἐλαιῶν τῶν λαχάνων, ὅπερ σήσαμον ὀνομάζουσι, γίνεσθαι δὲ μύρον ἡμῶν καὶ οὐχὶ ἀπὸ δένδρων ἐλαιῶν. καὶ τοῦτο ἐν ἀληθείᾳ ἐστίν. ἔστι δὲ ἡ αἰτία τοιαύτη, ὅτι εἰς τὴν χώραν τῶν Ἀρμενίων οὐκ εἰσὶν ἐλαιῶνες, διὰ δὲ ψυχρὸν τῆς χώρας τοῦ ἀέρος· καὶ ἀνάγκη πρόκειται, τὸ ἔλαιον ἐκεῖνο, ὅπερ εὑρίσκεται εἰς τὴν χώραν, εἰς χρῆσιν τοῦ μύρου λαμβάνειν, καὶ οὐ συνορῶ σφάλμα πνευματικὸν ἐν τούτῳ. Ο ΘΕΩΡ. θαυμάζω δέσποτα, πῶς τοῦτο γέγραφας πρὸς βασιλέα. ὁρῶ γὰρ C πλείστους ἐλαιῶνας ὧδε, καὶ ἔλαιον ἱκανόν. Ο ΚΑΘΟΛΙΚΟΣ. ἀλλ' εἰς τὴν ἐνδοτάτην ἀνατολὴν ἐγένετο ἡ ἀρχὴ τῆς κατασκευῆς τοῦ μύρου, ὅπου ἐλαιῶνες οὐκ εἰσί. κἀκεῖθεν παραλαβόντες ἡμεῖς φυλάττομεν ὃ παρελάβομεν μέχρι τοῦ νῦν.

Εἶτα ἀναγνόντες δὲ ἑξῆς τοῦ κεφαλαίου τούτου, εὕρομεν οὕτως· ὥσπερ γὰρ τοῦ αἵματος τοῦ Χριστοῦ ὁ οἶνος ἐστὶν ὕλη· καὶ οἵας ἐστὶ χροιᾶς, ἀποδεκτέος ἐστὶ, κἂν μέλας, κἂν ἐρυθρὸς ἐστὶ, κἂν λευκός· ἐπειδὴ ἡ λειτουργία ἁγιάζει αὐτὸν, καὶ γίνεται αἷμα Χριστοῦ. Ο ΘΕΩΡ. τὸ παράδειγμα σου οὐκ ἔστι προσφυές. D οὐ γὰρ περὶ χρωμάτων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τοῦ ὑποκειμένου, ἤτοι τῆς ὕλης. οἶδας γὰρ, ὅτι ἐκ διαφόρων δένδρων γίνεται οἶνος. γίνεται γὰρ ἐκ μήλων, καὶ κερασίων, καὶ ἄλλων φυτῶν, καὶ δὴ βοτανῶν. ἀλλ' οὐ προσάγεται εἰς θυσίαν, ἀλλ' ἢ μόνον ὁ ἐκ τῆς ἀμπέλου. οὕτω καὶ ἐπὶ τοῦ ἐλαίου. γίνεται γὰρ ἔλαιον ἔκ τε δάφνης, καὶ σχίνου, καὶ ἄλλων πολλῶν· ἀλλὰ τὸ τῆς ἐλαίας προεκρίθη παρὰ τῶν ἁγίων πατέρων. καὶ ἔξεστι παντὶ μαθεῖν τῷ βουλομένῳ παντί, ἀπό τε τοῦ ἁγίου Διο- E νυσίου τοῦ Ἀρεοπαγίτου, καὶ ἄλλων ἁγίων οὐκ ὀλίγων. οὐ χεῖρον δὲ καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος κατασκευάσαι, ὅτι τὸ ἔλαιον ἁπλῶς λεγόμενον, τὸ ἐξ ἐλαίας δηλοῖ. τοὔνικα δὲ δαφνέλαιον, ἢ σχινέλαιον, ἢ σησαμέλαιον, καὶ τὰ τοιαῦτα . . . . ὥσπερ γὰρ ὅταν εἴπωμεν ναῦς, νοεῖται ἡ ἐκ ξύλων, καὶ ἥλων, καὶ πίσσης ναῦς, δι' ἧς πλέομεν, οὐ μὴν νοεῖται ἡ ἐκ λίθων ναῦς· ἂν δὲ τὴν ἐκ λίθων ναῦν σημειῶσαι θελήσωμεν, προστίθεμεν τὸ, λιθίνην· ἄνευ δὲ τῆς προσθήκης ταύτης οὐκ ἄν ποτε νοηθείη ἐκ μόνου τοῦ ναῦς ὀνόματος ἡ λιθίνη ναῦς

τ' αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ ἐλαίου, καὶ σησαμελαίου. ἔλαιον οὖν χωρὶς προσθήκης λέγοντες, τὸ ἐξ ἐλαίας δηλονότι διασημαίνουσι. Ο ΚΑΘΟΛΙΚΟΣ. καὶ τοῦτο ῥᾷστόν ἐστι διορθωθῆναι.

Τούτων οὕτω ῥηθέντων, ἤρξαντο οἱ ἱερεῖς αὐτοῦ ψάλλειν τοῦ ἑσπερινοῦ τὴν ἀκολουθίαν ἔξω τῆς ἐκκλησίας, κατὰ τὴν αὐτῶν συνήθειαν. καί φησιν ὁ Θεωριανός. ἵνα τί ἵστανται ἔξω τῆς ἐκκλησίας, ὅταν ψάλλωσιν οἱ ἱερεῖς σου; Ο ΚΑΘΟΛΙΚΟΣ. γέγραπται, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. ὁμοίως γέγραπται· ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου. καὶ πάλιν· ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν· καὶ μυρία τοιαῦτα. ἀλλ' ἐρωτῶ, πόθεν τοῦτο παρελάβετε; Ο ΚΑΘΟΛ. οἱ διδάσκαλοι ἡμῶν, οἱ τὴν ἀκολουθίαν τὴν ἐκκλησιαστικὴν καὶ τὴν τάξιν ἡμῖν παραδεδωκότες, μόνην τὴν θείαν λειτουργίαν ἔνδον τοῦ θείου ναοῦ ἐπιτελεῖν διωρίσαντο, μόνου τοῦ ἱερέως εἰσιόντος εἰς αὐτόν· τοῦ λαοῦ παντὸς ἔξω ἱσταμένου. τὴν δ' ἄλλην πᾶσαν ἀκολουθίαν, ἔξω γίνεσθαι τοῦ θείου ναοῦ, καὶ τοῦτο εὐλόγως διετάξαντο. σφόδρα γὰρ ὑπερέχει τὰ νέα τῶν παλαιῶν, ὡς ἀλήθεια σκιᾶς. θύεται γὰρ ἔνδον ὁ υἱὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου παντὸς σωτηρίας. καὶ δεῖ ἡμᾶς πλέον σέβας καὶ τιμὴν ἀπονέμειν τῷ παρ' ἡμῖν ναῷ, τοῦ παρ' Ἑβραίοις. ἐκεῖνοι γὰρ καθαροὶ ὄντες, εἰσῄεσαν εἰς τὸ λεγόμενον ἅγιον κοσμικόν, οὐχὶ καὶ εἰς τὴν σκηνήν, τὴν λεγομένην, ἅγια ἁγίων, ἣ σκιὰ ἦν τοῦ παρ' ἡμῖν θείου ναοῦ. ἡμεῖς δὲ ῥύπου πλήρεις τυγχάνοντες, πῶς εἰς τὸν ἁγιώτατον ναὸν εἰσελθωμεν τοῦ Θεοῦ; καὶ τοῦτο γινώσκοντες οἱ διδάσκαλοι ἡμῶν, οὕτω γίνεσθαι διωρίσαντο. Ο ΘΕΩΡΙΑΝΟΣ. οἱ διδάσκαλοι ὑμῶν, οἱ ταῦτα διαταξάμενοι, ἐναντία δοκοῦσι διορίσασθαι τοῖς τ.ι.η. ἁγίοις θεοφόροις πατράσι, τοῖς ἐν Νικαίᾳ συνεληλυθόσιν. ἐκεῖνοι γὰρ ἐν δεκάτῳ κανόνι οὕτω φασὶ κατὰ λέξιν· περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ· εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν οἱ πιστοί, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν. ὁρᾷς, ὅτι τοὺς τηλικούτῳ περιπεσόντας πτώματι, τρία μόνα ἔτη ἀκροᾶσθαι διακελεύεται ὁ κανών, ἤγουν ἔξω τῆς ἐκκλησίας ἵστασθαι ἐν τῷ νάρθηκι, καὶ τῶν θείων ἀκούειν γραφῶν. οἱ δὲ σοὶ ἱερεῖς ἀεὶ ἐν ἀκροωμένοις εἰσίν. εἶτα τί φησιν ὁ κανών; καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται. τοῦτο δέ ἐστιν, ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι, ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἄμβωνος ἵστασθαι,

A eodem modo statuendum de oleo, & oleo sesamino. Quapropter oleum absque adpendice dicentes, ex oliua factum significant. GENERALIS. Hoc quoque correctu facillimum fuerit.

His ita dictis, sacerdotes eius psallere ceperunt hymni vespertini seriem extra ecclesiam, de more ipsorum: Et THEORIANVS. Cur extra ecclesiam sacerdotes tui stant, ait, quum psallunt? GENERALIS. Scriptum est: In omni loco dominij eius. THEORIANVS. Similiter scriptum est: En celebrate dominum omnes serui B Domini, stantes in domo Domini. Et rursus: In ecclesiis Deum celebrate. & alia sunt infinita eiusmodi. Sed interrogo, vnde hoc accepistis? GENERALIS. Doctores nostri, qui seriem & ordinem rerum ecclesiasticarum nobis tradiderunt, solam diuinam administrationem intra sacrum templum perficiendam statuerunt, ingrediente solo Pontifice reliquo populo foris stante: cetera fieri extra templum debere, nec id citra rationem, ordinarunt. Nam valde veteribus noua præstant, vt vmbræ veritas. quippe * mactatur intus C Dei filius pro totius mundi salute, maioremque reuerentiam exhibere nos templo nostro, quàm illi apud Hebræos, par est. Etenim illi, si puri essent, in id sanctum ingrediebantur, quod mundi vocabant: non tamen in tabernaculum, quod sanctum sanctorum dicebatur, & vmbra sacri apud nos templi erat. Nos vero toti coinquinati sordibus, quo pacto sanctissimum Dei templum ingrediamur? quod quum doctores nostri non ignorarent, ita fieri debere statuerunt. THEORIANVS. Doctores vestri, qui hæc ordinarunt, contraria statuisse videntur illis CCCXVIII sanD ctis ac diuinitus gubernatis patribus, qui Nicææ conuenerunt. Etenim illi sic in X canone ad verbum aiunt: De iis, qui fidem Christianam citra coactionem, & facultatum ademptionem deseruerunt, aut absque periculo, vel eiusmodi quopiam, quod durante Licinij tyrannide contigit; visum est sanctæ synodo: vt, tametsi humanitatem nullam mereantur, benignè tamen cum eis agatur. Quotquot ergo vere pœnitentiam agunt, tres annos inter auE dientes exigent fideles, & annos septem inferioris erunt ordinis, & biennio citra * oblationem cum populo precabuntur. Vides tam fœde lapsis à canone præscribi, tres tantum vt annos auditores sint, hoc est, extra ecclesiam stent in * Ferula, sacrásque litteras audiant. Tui vero sacerdotes semper inter auditores hærent. Quid deinde canon vlterius? Et septem, inquit, annis erũt ordinis inferioris: hoc est, ecclesiam quidem ingrediẽtur, sed in parte * ambonis postica stabunt,

De statione intra Ecclesiam.

Disputatio nobilissima de loco ad orandum idoneo.

Cur Græci extra templum non in templo orandum existimauerint.

** hoc est, repræsentatur in sacra cœna mactatio Christi.*

Nicæna synodus.

** id est, perceptionem sacramentorũ.*

** locus, vbi stabant qui erant veluti sub ferula.*

** hoc est suggesti.*

& cum catechumenis exibunt. Annos de- A nique duos fidelibus adstabunt, & cum eis precabuntur: non tamen sacramentorum quoque perceptionem impetrabunt, donec biennium præterierit. Si ergo constricti excommunicationis pœna, templum tamen ingrediuntur: quare tui sacerdotes non ingrediuntur? GENERALIS. Numquam animum isti canoni hactenus aduerti. tuæ quidem orationi plurimum momenti adfert. Sed de his esse solliciti non debemus, modo circa fidem, vt dixi, consenserimus. THEORIANVS. His igitur in præsentia dimissis, definitionem quartæ synodi, si B placet, inspiciamus: quam hesterna die tibi obtulimus. GENERALIS. Ita fiat. Lubet enim de vocibus quibusdam, in ea positis, interrogare. Sed prius vtrumque librum inter se conferamus, & videamus, an sibi respondeant: deinde quæramus de iis in quibus hæremus.

SANCTI IV. CONCILII * definitio.

*Rectiùs, decretum.

Sufficeret quidem ad perfectam pietatis cognitionem & confirmationem, hoc eruditum ac salubre diuinæ gratiæ symbolum, C quod & perfectam de patre, & filio, & spiritu sancto doctrinam tradit, & incarnationem Domini fideliter excipientibus exhibet: sed quando illi, qui prædicationem veritatis abolere conantur, per suas hæreses nouas quasdam doctrinas pepererunt, aliis susceptæ propter nos administrationis dominicæ mysterium corrumpere audentibus, & Deiparæ vocem virgini tribuendam negantibus; aliis confusionem & commistionem introducentibus, & vnam esse carnis diuinitatisque naturam stultè commini- D scentibus, adeoque per hanc confusionem monstrose statuentibus, diuinam vnigeniti naturam esse passibilem: eapropter hæc sancta, magna, & vniuersalis synodus, eos ab omni contra veritatem machinatione volens excludere, doctrinámque traditam antiquitus immotam adserens, ante omnia statuit, vt sanctorum CCCXIIX patrum fides inconuulsa permaneat. Ac propter eos quidem, qui spiritum sanctum oppugnant, doctrinam de substantia spiritus à sanctis illis CL patribus, aliquot post an- E nis in Augusta * vrbe congressis, traditam confirmat; quam illi vniuersis notam fecerunt, non quasi quiddam * adferentes, quod prioribus deesset; sed suam de spiritu sancto sententiam aduersus illos, qui potestatem eius abolere conabantur, sacrarum litterarum testimoniis illustrantes: propter eos verò qui sacramentum dominicæ dispensationis falsariorum more corrumpere tentant, & imprudenter purum hominem esse nugantur eum qui de sancta Virgine Maria procreatus fuit;

* idest, Constant.

* λεῖπον

καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων. ἐνιαυτοὺς δὲ δύο συνίστασθαι καὶ συνεύχεσθαι μετὰ τῶν πιστῶν· μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ. Εἰ οὖν οἱ ἐπιτιμίῳ ἀκοινωνησίας δεδεμένοι εἰς τὴν ἐκκλησίαν εἰσέρχονται, διὰ τί οἱ ἱερεῖς σου οὐκ εἰσέρχονται; Ο ΚΑΘΟΛΙΚΟΣ. οὐδέποτε μέχρι τοῦ νῦν ἐπέστησα τῷ κανόνι τούτῳ τὸν νοῦν· συμβάλλεται δέ σου τῷ λόγῳ σφόδρα. ἀλλὰ περὶ τῶν τοιούτων οὐ δεῖ φροντίζειν, εἰ μόνον περὶ τὴν πίστιν, ὡς εἶπον, ὁμοφρονήσομεν. Ο ΘΕΩΡΙΑΝΟΣ. ἀφέντες οὖν ταῦτα πρὸς τὸ παρόν, ἴδωμεν, εἰ δοκεῖ, τὸν ὅρον τῆς τετάρτης συνόδου, ὅν σοι τῇ προτεραίᾳ δεδώκαμεν. Ο ΚΑΘΟΛΙΚΟΣ. οὕτω γινέσθω. βούλομαι γὰρ ἐρωτῆσαι περί τινων λέξεων ἐκεῖ κειμένων. ἀλλὰ πρότερον ἀντιβάλλωμεν ἀμφότερα τὰ βιβλία, καὶ ἴδωμεν, εἰ ἐξισάζει· εἶτα τότε περὶ ὧν ἀμφιβαλλόμεθα, ἐρωτήσομεν.

ΟΡΟΣ ΤΗΣ ΑΓΙΑΣ δ'. συνόδου.

Ηρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν, τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον. περί τε γὰρ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα, διὰ τῶν οἰκείων αἱρέσεων τὰς καινοφωνίας ἀπέτεκον, οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ Κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμῶντες, καὶ τὴν ΘΕΟΘΟΚΟΣ ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι· οἱ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες, καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀναπλάττοντες ἀνοήτως, καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῇ συγχύσει τερατευόμενοι· διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἡ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως, τ. ι. η. ἁγίων πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον. καὶ διὰ μὲν τοὺς τῷ πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνοις ὕστερον περὶ, τῶν τῆς βασιλευούσης πόλεως συνελθόντων ἁγίων ρ. ν. πατέρων περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ, ἣν ἐκεῖνοι τοῖς πᾶσιν ἐγνώρισαν· οὐχ ὥς τι * λειπὸν τοῖς προλαβοῦσιν ἐπεισάγοντες, ἀλλὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν, κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθετεῖν πειρωμένων, γραφικαῖς μαρτυρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας μυστήριον, καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας παρθένου τεχθέντα Μαρίας, ἀναιδῶς ληρῳδοῦντας,

τὰς τοῦ μακαρίου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος συνοδικὰς ἐπιστολὰς πρός τε Νεστόριον, καὶ τοὺς τῆς ἀνατολῆς, ἁρμοδίους οὔσας ἐδέξατο· εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν εὐσεβεῖ ζήλῳ τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης Ῥώμης προέδρου, τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἀρχιεπίσκοπον Φλαβιανὸν, ἐπ' ἀναιρέσει τῆς Εὐτυχοῦς κακονοίας, ἅτε δὴ τῇ τοῦ μεγάλου Πέτρου ὁμολογίᾳ συμβαίνουσαν· καὶ κοινήν τινα στήλην ὀρθοδοξίας κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρμοσε, πρὸς τὴν τῶν ὀρθοδόξων δογμάτων βεβαίωσιν. Τοῖς τε γὰρ εἰς * υἱῶν δυάδα, τὸ τῆς οἰκονομίας διασπᾶν ἐπιχειροῦσι μυστήριον, παρατάττεται. καὶ τοὺς παθητὴν λέγειν τολμῶντας τοῦ μονογενοῦς τὴν θεότητα, τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου· καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται. καὶ τοὺς οὐράνιον, ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῷ τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει. καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας, ἀναθεματίζει.

beati Cyrilli qui Alexandrinæ pastor ecclesiæ fuit, synodales ad Nestorium & Orientales episcopos litteras sibi consentientes amplexa est; tum ad Nestorianæ dementiæ confutationem, tum ad interpretationem pro iis institutam, qui pio zelo symboli salubris intellectum desideraot. atque his epistolam quoque beatissimi sanctissimique Archiepiscopi Leonis, illius maximæ Romæ præsidis, ad sanctæ memoriæ Flauianum archiepiscopum, euertendæ prauationis Eutychianæ causa scriptam, veluti magni illius Petri confessiooi conuenientem, & columnam quamdam rectæ sententiæ publicam, aduersus malarum opinionum auctores, ad orthodoxa dogmata stabilienda, meritò coniunxit. Nam & iis hæc oppooit * sese, qui sacramentum dispensationis in duos filios distrahere nituntur; & eos cœtu sanctorum expellit, qui passibilem dicere diuinitatem vnigeniti audent; & iis resistit, qui in duabus Christi naturis commistionem vel consusiooem excogitant; & eos extermioat, qui sumptam de nobis seruilem formam, cœlestem esse, vel alterius cuiusdam substantiæ delirant; & eos, qui duas quidem Domini naturas ante vnionem fabulantur, vnam vero post vnionem fingunt, anathematizat.

* υἱῶν

Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, συμφώνως ἅπαντες ἐκδιδάσκομεν· τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας. πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, * ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστόν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ὁ κύριος Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῶν παραδέδωκε σύμβολον. Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν,

Sequentes ergo sanctos illos patres, vniuersi consooa voce vnum & eumdem filium dominum nostrum Iesum Cbristum, confitendum esse docemus: eumdem in diuinitate perfectum, & eumdem perfectum in humanitate: vere Deum, & eumdem vere hominem, ex participe rationis anima corporéque constantem: eiusdem cum patre substantiæ, secundum diuinitatem; & eumdem nobiscum eiusdem substaotiæ, secundum humanitatẽ: similitet nobis per omnia, excepto peccato: ante sæcula quidem ex patre genitum, quoad diuinitatem; extremis vero diebus eumdem propter nos, & salurem nostram, natum ex Maria Virgine Deipara, secundum humanitatem: vnum & eumdem Christum filium, Dominum, voigenitum, qui duabus * ex naturis citra coofusionem, * mutarionem, diuisinnem, separationem, agnoscitur; oequaquam naturarum discrimine propter vnionem sublato, sed vtriusque naturæ proprietate salua potius, & in vnam personam vnámque hypostasin coeunte: oon in duas personas discerptum, vel diuisum, sed vnum & eumdem filium voigenam, Deum sermonem, Dominum Iesum Christum: sicut olim vates de ipso, & ipse nos Dominus Iesus Christus erudiit, & symbolum illud patrum nostrorum tradidit. His ergo cum omni vndique accuratione diligentiáque à nobis sancitis, sacra & vniuersalis synodus decreuit, nemini fas esse fidem aliam proferre, vel in litteras referre,

* ἐν δύο φύσεσιν
* al. in naturis.

πατρὸς λόγος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος κατὰ γε τὸν τῆς ἀνθρωπότητος λόγον· οὐκ ἄψυχον σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον λογικῇ ψυχῇ.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν, ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα, χωρὶς ἁμαρτίας πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα, κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ενα καὶ τὸν αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον α΄. ἐπιστολῆς.

Εννοοῦντες τοίνυν, ὡς ἔφην, τὸν τῆς ἐνανθρωπήσεως τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν * ἀδιάσπαστον, ἀσυγχύτως, ἀτρέπτως. ἡ γὰρ σὰρξ, σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ. ὁμοίως δὲ ὁ λόγος Θεός ἐστι, καὶ οὐ σάρξ. εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Δύο τὰς φύσεις εἶναι φαμὲν, ἕνα δὲ Χριστὸν Ἰησοῦν, Κύριον, τὸν τοῦ Θεοῦ λόγον σεσαρκωμένον.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὔτε δὴ τὴν σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν, οὔτε μὴν εἰς σαρκὸς τὴν ἀπόρρητον τοῦ Θεοῦ λόγου παρενεχθῆναι φύσιν. ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος, ὁ αὐτὸς ἀεὶ μένων, κατὰ τὰς γραφάς.

ΤΟΥ ΑΥΤΟΥ, ἐν τῇ πρὸς ΕΥλόγιον ἐπιστολῇ.

Οὕτω καὶ ἐπὶ Νεστορίου. κἂν λέγῃ δύο φύσεις, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τῆς θεότητος· ἀλλ' οὐχὶ καὶ τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτας, ἕνα Χριστὸν, ἕνα υἱὸν τὸν αὐτὸν, ἕνα κύριον ὁμολογοῦμεν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

*Οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν.

A patre sermo, sic & in humanitate perfectus est, secundum ipsius humanitatis rationem: nec expers animæ corpus adsumpsit, sed animatum potius per animam rationis participem.

EX DECRETO.

Verè Deum, & eũdem verè hominem, ex participe rationis anima corporéque constantem: eiusdem cum patre substantiæ, secundum diuinitatem; & eumdem nobiscum eiusdem substantiæ, secũdum humanitatem: similem nobis per omnia, excepto peccato: B ante sæcula quidem ex patre genitum, quo ad diuinitatem; extremis vero diebus eũdem propter nos, & salutẽ nostrã, natum ex Maria virgine deipara, secundum humanitatem.

CYRILLI, ex epistola ad Ioannem.

Deum perfectum, & perfectum hominem, ex anima participe rationis & corpore constantem: ante sæcula quidem ex patre genitum, quo ad diuinitatem; extremis vero diebus eumdem propter nos, & salutem nostrã, natum ex Maria virgine, secundum humanitatem: eiusdem cum patre substantiæ secundum diuinitatem; & eumdem nobiscum eius- C dem substantiæ, secundum humanitatem.

EX DECRETO.

Vnum & eumdem Christum, filium, Dominum, vnigenitum, qui duabus in naturis citra confusionem, mutationem, diuisionem, separationem, adgnoscitur.

CYRILLI ex I. ad Successum epistola.

Itaque modum adsumptionis humanæ naturæ animo considerantes, naturas duas coiuisse per vnionem videmus, citra diuisionem, confusionem, & mutationem. Caro enim caro est, non diuinitas, licet Dei caro facta sit: similiter & sermo Deus est; non caro; licet D dispensatione quadam carnem proprie suam fecerit. * ἀδιασπάστως

EIVSDEM, ex eadem epistola

Duas naturas esse dicimus, vnum vero Christum Iesum, Dominum, Dei sermonem incarnatum.

EIVSDEM, ex epistola ad Nestorium.

Nec carnem dicimus in diuinitatis naturam esse conuersam, nec ineffabilem Dei sermonem in naturam carnis translatum. Est enim incommutabilis, & inalterabilis, semper idem manens, secundum scri- E pturas.

EIVSDEM, in epistola ad Eulogium.

Sic & in caussa Nestorij. quamuis duas naturas, discrimen carnis & sermonis significans, dicat: (nam alia natura sermonis est, alia carnis) vnionem tamen nobiscum non confitetur. Nos enim his vnitis, vnum Christum, vnum filium, vnum Dominum confitemur.

EX DECRETO.

Nequaquam naturarum discrimine propter vnionem sublato. * Οὐδαμοῦ

CYRILLI, ex epistola ad Nestorium.

Non tamquam naturarum discrimine sublato propter vnionem.

EX DECRETO.

Sed vtriusque naturæ proprietate potius salua.

CYRILLI, ex II. ad Successum epistola.

Licet enim vnus à nobis dicatur vnigenitus Dei filius incarnatus, & homo factus: non tamen ideo commistus est, de ipsorum opinione; nec vel natura sermonis in naturam carnis transiit, nec carnis natura in naturam sermonis; sed vtroque in sua proprietate manente simul ac intellectu, secundum expositam à nobis modò rationem.

EX DECRETO.

Et in vnam personam vnámque hypostasin coeunte.

CYRILLI, ex epistola ad Ioannem.

Et tamquam in vna persona vnitus. Vnus enim Dominus Iesus Christus, tametsi naturarum discrimen non ignoratur.

EIVSDEM, ex II. ad Nestorium epistola.

Vni ergo personæ omnes in Euangelio voces adtribuendæ sunt, vnique hypostasi sermonis incarnatæ. Christus enim Iesus vnus dominus est, secundùm scripturas.

EX DECRETO.

Non in duas personas discerptum, vel diuisum: sed vnum & eumdem filium vnigenam, Deum sermonem, Dominum Iesum Christum.

CYRILLI, ex epistola ad Successum.

Non in duas personas & filios discerpetur: sed mansit vnus & idem Dominus Iesus Christus.

EX DECRETO.

Sicut olim vates de ipso, & ipse nos Dominus Iesus Christus erudiit, & symbolum illud patrum nostrorum tradidit.

CYRILLI, ex epistola ad Nestorium.

Sic sanctos sensisse patres inueniemus.

EX DECRETO.

His ergo cum omni vndique accuratione diligentiáque à nobis sancitis, decreuit sacra synodus, nemini fas esse, fidem aliam proferre, vel in litteras referre: & cætera.

CYRILLI, ex Ephesina synodo.

His ergo recitatis, decreuit sacra synodus nemini fas esse, fidem aliam proferre: & cetera. THEORIANVS. Vides, sanctissime Domine, sacram hanc synodum Chalcedone habitam, à recta patrum sententia ne paullum quidem recessisse: sed ipsa verba cum mente verborum retinuisse?

A ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς β'.

Εἰ γὰρ καὶ εἷς λέγοιτο παρ' ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας· οὐ πέφυρται διὰ τοῦτο κατὰ τὸ ἐκείνοις δοκοῦν· οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου, ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ· ἀλλ' ἐν ἰδιότητι ἑκατέρου
B μένοντός τε ὁμοῦ, καὶ νοουμένου, κατά γε τὸν ἄρτι ἡμῖν ἀποδοθέντα λόγον.

ΤΟΥ ΟΡΟΥ.

Καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Καὶ ὡς ἐν ἑνὶ προσώπῳ ἑνούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά.

ΤΟΥ ΑΥΤΟΥ, ἐκ τῆς πρὸς Νεστόριον β'. ἐπιστολῆς.

C Ἑνὶ τοιγαροῦν προσώπῳ τὰς ἐν τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνάς, καὶ ὑποστάσει μιᾷ τῇ τοῦ λόγου σεσαρκωμένῃ. κύριος γὰρ εἷς ἐστιν ὁ Χριστὸς Ἰησοῦς, κατὰ τὰς γραφάς.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Οὐκ εἰς δύο πρόσωπα μεριζόμενον, ἢ διαιρούμενον· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, Θεὸν λόγον, καὶ κύριον Ἰησοῦν Χριστόν.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς.

D Καὶ οὐκ εἰς δύο μερισθήσεται πρόσωπα καὶ υἱούς. ἀλλὰ μεμένηκεν εἷς καὶ ὁ αὐτὸς κύριος Ἰησοῦς Χριστός.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῶν παραδέδωκε σύμβολον.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας
E τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφειν καὶ τὰ λοιπά.

ΚΥΡΙΛΛΟΥ, ἐκ τῆς κατ' Ἔφεσον συνόδου.

Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν καὶ τὰ λοιπά. Ο ΘΕΩΡΙΑΝΟΣ. ὁρᾷς ἁγιώτατε δέσποτα, ὅτι οὐδὲ κἂν μικρὸν ἐκβέβηκε τῆς ὀρθῆς τῶν πατέρων δόξης ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος γενομένη· ἀλλὰ μετὰ τῆς διανοίας καὶ αὐτὰ τὰ ῥήματα ἐφύλαξεν;

GENER.

Ο ΚΑΘΟΛΙΚΟΣ. ἐγὼ οὐδὲν ἐναντίον τῇ ὀρθοδόξῳ πίστει οὐδὲν εὑρίσκω ἐν τούτῳ τῷ ὅρῳ· καὶ θαυμάζω, πῶς οἱ πρὸ ἡμῶν ἀναιδῶς εἰς συκοφαντίαν ἐχώρησαν κατ' αὐτοῦ. Ο ΘΕΩΡΙΑΝΟΣ. παραθῶμεν, εἰ δοκεῖ, καὶ τὰς παρὰ τοῦ ἁγίου Κυρίλλου, καὶ τῶν μετ' αὐτὸν διαλαμψάντων ἁγίων πατέρων χρήσεις, αὐταῖς λέξεσι καὶ νοήμασι τῇ ἐν Χαλκηδόνι ἁγίᾳ συνόδῳ συνῳδούσας. Ο ΚΑΘ. περιττόν ἐστι τοῦτο. ἀρκοῦσι γὰρ αἱ τοῦ ἁγίου Κυρίλλου προεκτεθεῖσαι χρήσεις. Ο ΘΕΩΡ. ἴδωμεν λοιπὸν, εἰ δοκεῖ, πόσαις καὶ οἵαις αἱρέσεσιν ὁ θεῖος οὗτος ὅρος ἀντιπαρατάττεται. Ο ΚΑΘΟΛ. καλὸν ἐστι τοῦτο ἰδεῖν, ἵνα μηδὲν ἡμῖν ἐλλείπῃ εἰς σύστασιν αὐτοῦ λεχθῆναι ὀφειλόντων ἐς ὕστερον.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν. Ο ΘΕΩΡ. ἐν τούτοις τὸν Σαμοσατέα Παῦλον, καὶ Νεστόριον, τοὺς ἀνθρωπολάτρας ἐπιστομίζει, τοὺς εἰς υἱῶν δυάδα τολμῶντας αὐτὸν διαιρεῖν· καὶ ἄλλον μὲν λέγοντας υἱὸν φύσει τὸν λόγον, ἄλλον δὲ πάλιν υἱὸν χάριτι τὸν Χριστὸν Ἰησοῦν, ἑνώσει καὶ συναφείᾳ τῇ πρὸς τὸν κατὰ φύσιν υἱὸν τὴν υἱότητα κεκτημένον· καὶ οὐχ ὁμολογοῦντας ἕνα καὶ τὸν αὐτὸν υἱὸν, ἄσαρκον μὲν πρὸ τῆς καταβάσεως καὶ ἐνανθρωπήσεως· σεσαρκωμένον δὲ τὸν αὐτὸν μετὰ τὴν δι' ἡμᾶς κατάβασίν τε καὶ ἐνανθρώπησιν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι. Τέλειον ἐν θεότητι εἰπὼν, τὴν Ἀρειανῶν ἀπωθεῖται βλασφημίαν. οὗτοι γὰρ Θεὸν μὲν εἶναι λέγουσι τὸν Χριστὸν, ἀτελῆ δὲ, καὶ ἐλάττονα τοῦ πατρὸς Θεὸν αὐτὸν δογματίζουσιν. ἐν δὲ τῷ εἰπεῖν καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι οὐ μόνον τὴν Ἀρειανῶν, ἀλλὰ καὶ τὴν Ἀπολιναριανῶν διελέγχει ἄνοιαν. ὁ μὲν γὰρ Ἄρειος ἄψυχον παντελῶς σάρκα ἀνειληφέναι τὸν λόγον ληρωδεῖ· ὁ δὲ Ἀπολινάριος ἔμψυχον μὲν, ἄνουν δέ· ὡς ἀμφοτέρους ἀτελῆ τὴν ἀνθρωπότητα τοῦ Κυρίου ἀμαθῶς δογματίζειν.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν. ταῦτα διὰ Μάνεντα, ὃς Θεὸν ψιλὸν αὐτὸν ὁμολογεῖ, καὶ οὐκ ἄνθρωπον· καὶ διὰ Παῦλον τὸν Σαμοσατέα, καὶ Ἀρτεμᾶν, οἵτινες ἀρνοῦνται αὐτοῦ τὴν θεότητα, ψιλὸν αὐτὸν ἄνθρωπον ὁμολογοῦντες.

ΕΚ ΤΟΥ ΟΡΟΥ.

Ἐκ ψυχῆς λογικῆς, καὶ σώματος. ἐν τούτῳ πάλιν Ἀπολιναρίῳ πολεμεῖ, λέγοντι μὴ ἐσχηκέναι νοερὰν ψυχὴν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ ζωτικὴν μόνον· καὶ διὰ Μάνεντα καὶ Οὐαλεντῖνον, τοὺς ἀρνουμένους αὐτοῦ τὴν σάρκωσιν. ΕΚ ΤΟΥ ΟΡΟΥ.

A GENERALIS. equidem in hoc decreto nihil inuenio, quod orthodoxæ fidei aduersetur: adeóque miror, quî factum sit vt nostri maiores impudenter ad id calumniandum progrederentur. THEORIANVS. Adponamus, si placet, eorum quoque patrum auctoritates, qui partim ante Cyrillum, partim post eum illustres exstiterunt, tam verbis quàm sententiis sanctæ Chalcedonensi synodo respondentes. GENERALIS. Id vero superuacaneum fuerit. quippe Cyrilli supra recitatæ auctoritates sufficiunt. THEO- B RIANVS. Videamus ergo, si placet, quot & qualibus sectis diuinum hoc decretum sese obiiciat. GENERALIS. Id vero præclarum fuerit intueri, ne quid eorum nobis desit, quæ deinceps eius stabiliendi causa proferri debent.

EX DECRETO.

Vnum & eumdem filium, Dominum nostrum Iesum Christum, esse confitendum, vniuersi consona voce docemus.

THEORIANVS. In his obthurat os Paulo Samosateno, & Nestorio, qui hominem adorabant, & in duos filios ausi sunt eum diuide- C re, aliúmque dicere filium natura sermonem, & alium rursus filium per gratiam Christum Iesum, qui nomen filij per vnionem & coniunctionem cum naturali filio sit adeptus: qui denique non confitebantur vnum & eundem filium, carnis quidem expertem ante descensum & hominis adsumptionem: incarnatum verò eumdem post descensum & hominis adsumptionem nostri causa factam.

EX DECRETO.

Eumdem in diuinitate perfectum, & eumdem perfectum in humanitate. Quum in diuinitate perfectum dicit, Arianorum bla- D sphemiam reiicit. Nam illi Deum quidem esse Christum dicunt, sed imperfectum & patre minorem Deum tradunt. Quum autem inquit, Et eumdem perfectum, in humanitate: non Arianorum modò, sed Apollinaristarum quoque dementiam refutat. Arius enim nugatur, sermonem adsumpsisse carnem omnino inanimam: Apollinaris autem, animatam quidem carnem, sed mentis expertem: quo fit, vt imperitè ambo imperfectam Domini humanitatem tradant.

EX DECRETO.

Verè Deum, & eũdem verè hominem. Hæc E propter Manem posita sunt, qui eum purum fatetur Deũ, non etiam hominem: & propter Paulum Samosatenũ, & Artemam, qui diuinitatem eius pernegant, purum hominẽ confitentes. *EX DECRETO.* Ex participe rationis anima, corporéque constantem. Hic rursus Apollinarim oppugnat, qui Dominum nostrũ Iesum Christum non dicebat animam habuisse mente præditam, sed dumtaxat vitalem: itemque Manem & Valentinum, incarnationẽ eius negantes. *EX DECRETO.*

Eiusdem cum patre substantiæ, secundum diuinitatem. Hoc propter Eunomium & Arium qui vnigenam illum sermonem diuersæ à paterna substantiæ, & creaturam & mancipium, impiè prædicabant. *EX DECRETO.* Et eumdem nobiscum eiusdem substantiæ, secundum humanitatem. Hoc propter Marcionẽ, & Manem, & Valentinũ, qui eum per opinionem ac phantasiam dũtaxat aiebant hominem adparuisse; non reipsa, & naturaliter hominem factum confitebantur. *EX DECRETO.* Ante sæcula quidem ex patre genitum, quoad diuinitatem. Hoc propter Simonem, & Eunomium, & Arium, qui generationem ipsius ex patre, factam ante sæcula, negabant. *EX DECRETO.* Extremis vero diebus eumdem propter nos, & salutem nostram, natum ex Maria Virgine Deipara, secundum humanitatem. Hoc propter Photinum, & Theodorum, & Diodorum, & Nestorium, qui existendi principium ei dant ex virgine, ac tradunt eum hominem esse, qui ob virtutem profectu quodam & incremento sit deificatus; non Deum de Deo, qui amore generis humani citra mutationem homo factus sit. *EX DECRETO.* Qui duabus in naturis citra confusionem, mutationem, diuisionem, separationem adgnoscitur; nequaquam naturarum discrimine propter vnionem sublato, sed vtriusque naturæ proprietate potius salua, & in vnam personam vnámque hypostasin coeunte. Ista propter Nestorium, & Apollinarim, & Eutychem, qui naturas diuersas, Sermonis, inquam, & carnis eius, vnam naturam absoluisse dicunt, amissa scilicet singularum proprietate: quo fit vt secundum ipsorum doctrinam, non amplius in Christo vel esse passibile quidquam statuere possimus, propter diuinitatem ipsius, passionis expertem; vel quidquam impassibile, propter ipsius humanitatem, passioni obnoxiam. His ita recitatis & declaratis, Generalis ad Theorianum inquit: Equidem post recitationem huius decreti nihil in eo deprehendi, quod orthodoxæ fidei repugnet, sicut & pridem fassus sum. miror etiam, qui factum sit vt nostri maiores impudenter ad id calumniandum progrederẽtur. Sed arbitror propterea, quod hæc sancta, vniuersalis, magnáque synodus, aduersus plures se sectas obiiciat, vt indicatum est; multos aduersus eam ab hoste salutis humanæ calumniatores fuisse suscitatos, pro multis illis vulneribus, quæ ad cor ipsum ei sunt à synodo inflicta. Rectissimum sanè decretum est, vti quod à spiritu sancto per tot talésque sanctos patres dictatũ fuerit. quippe nulla synodus tam frequentem sanctorũ patrum collectorum numerũ habuit. Ceterum modo tibi quiddam aperiam, quod hactenus vulgo proditũ non fuit. Ante cc annos quidam Generalis Armeniorum fuit, cui nomen Ioannes,

A ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, δι' Εὐνόμιον καὶ Ἄρειον, τοὺς τὸν μονογενῆ λόγον ἑτεροούσιον τοῦ πατρὸς, καὶ κτίσμα, καὶ δοῦλον ἀσεβῶς αὐτὸν καταγγέλλοντας. ΕΚ ΤΟΥ ΟΡΟΥ. καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα· διὰ Μαρκίωνα, καὶ Μάνεντα, καὶ Οὐαλεντῖνον, τοὺς δοκήσει καὶ φαντασίᾳ ψιλῇ λέγοντας αὐτὸν ἄνθρωπον ὀφθῆναι, οὐ μὴν ἀληθείᾳ, καὶ κατὰ φύσιν ἄνθρωπον ὁμολογοῦντας αὐτὸν γεγενῆσθαι. ΕΚ ΤΟΥ ΟΡΟΥ. πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα, κατὰ τὴν θεότητα· διὰ Σίμωνα, καὶ Εὐνόμιον, καὶ Ἄρειον, τοὺς ἀρνουμένους αὐτοῦ τὴν
B ἐκ πατρὸς πρὸ αἰώνων γέννησιν. ΕΚ ΤΟΥ ΟΡΟΥ. ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου καὶ θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα· διὰ Φωτεινὸν καὶ Θεόδωρον, καὶ Διόδωρον, καὶ Νεστόριον, τοὺς διδόντας αὐτῷ τὴν ἀρχὴν τῆς ὑπάρξεως ἐκ τῆς παρθένου, καὶ λέγοντας αὐτὸν ἄνθρωπον ἐξ ἀρετῆς κατὰ προκοπὴν θεοποιηθέντα, καὶ οὐχὶ Θεὸν ἐκ Θεοῦ ὄντα, καὶ διὰ φιλανθρωπίαν ἀτρέπτως ἄνθρωπον γεγενημένον.
C ΕΚ ΤΟΥ ΑΥΤΟΥ. ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν συντρεχούσης. Ταῦτα διὰ Νεστόριον, καὶ Ἀπολινάριον, καὶ Εὐτυχῆ, οἳ τὰς διαφόρους φύσεις, τοῦ λόγου λέγω καὶ τῆς σαρκὸς αὐτοῦ, μίαν φύσιν ἀποτετελεκέναι φασὶν, ἐκστάσας δηλονότι τῆς ἑαυτῶν ἰδιότητος· ὡς κατὰ τὸν ἐκείνων λόγον μηκέτι δύνασθαι σώζεσθαι τοῦ Χριστοῦ μήτε τὸ παθητὸν, διὰ τὸ ἀπα-
D θὲς αὐτοῦ τῆς θεότητος, μήτε τὸ ἀπαθὲς, διὰ τὸ παθητὸν αὐτοῦ τῆς ἀνθρωπότητος. Τούτων οὕτως ἀναγνωσθέντων καὶ ἑρμηνευθέντων, εἶπεν ὁ Καθολικὸς πρὸς τὸν Θεωριανόν· ἐγὼ τοῦτον ἀναγνοὺς τὸν ὅρον, οὐδὲν ἐναντίον τῇ ὀρθοδόξῳ πίστει ἐν αὐτῷ διέγνων, ὥς σοι καὶ πρώην ἐξεῖπον. καὶ θαυμάζω, πῶς οἱ πρὸ ἡμῶν ἀναιδῶς κατ' αὐτοῦ εἰς συκοφαντίαν ἐχώρησαν. ἀλλ' οἶμαι, ἐπεὶ κατὰ πολλῶν αἱρέσεων παρατάττεται ἡ ἁγία αὕτη Καθολικὴ μεγάλη σύνοδος, ὡς δεδήλωται, πολλοὺς κατ' αὐτῆς ὁ τῆς σωτηρίας
E τῶν ἀνθρώπων πολέμιος τοὺς συκοφάντας ἐξήγειρεν ἀντὶ πολλῶν, ὧν κατὰ καρδίας ἐδέξατο πληγῶν παρ' αὐτῆς. ὀρθότατός ἐστιν ὁ ὅρος, ὡς ὑπὸ τοῦ παναγίου πνεύματος διὰ τοσούτων καὶ τηλικούτων ἁγίων θεοφόρων πατέρων ὑπαγορευθείς. οὐδεμία γὰρ ἁγία σύνοδος τοσούτους ἔσχε συνειλεγμένους ἁγίους πατέρας. νυνὶ δέ σοι καί τι τῶν μέχρι τοῦ νῦν ἀπορρήτων ἀποκαλύψω. πρὸ διακοσίων ἐτῶν ἐγένετό τις Καθολικὸς τῶν Ἀρμενίων, ᾧ ὄνομα Ἰωάννης,

βίῳ καὶ λόγῳ τοῖς μεγάλοις ἁγίοις πατράσιν ἡμιλλημένος, παιδείας τε τῆς ἔξω πάσης, καὶ δὴ καὶ αὐτῆς φιλοσοφίας οὐκ * ἀκροθιγῶς ἥψατο· βίῳ δ' ἐνθέῳ οὐκ οἶδα εἰ πάντας, τοὺς πλείστους πῶς ὑπερηκόντισεν· ὃς ἄξιον τὸν βίον, ἄξιόν τε τὸν λόγον, τοῦ θείου τούτου βαθμοῦ καὶ τοῦ θρόνου, τῶν Καθολικῶν λέγω, ἠξίωτο. οὗτος ζήλου θείου πλησθεὶς, κατὰ τῶν μονοφυσιτῶν ὥρμητο· καὶ δὴ καὶ γραφαῖς, καὶ γλώττῃ τούτους καταπραυματίζειν, τὸν ὅλον τῆς ἐπισκοπῆς αὐτοῦ χρόνον σχεδὸν οὐκ ἐπαύσατο. οὗ τὴν θείαν μνήμην ἐντίμως καὶ θεοσεβῶς ἑορτάζομεν. τούτου τοῦ θείου καὶ μακαρίου ἀνδρός ἐστι παρ' ἐμοὶ συγγραφὴ, ἣν κατὰ τῶν μονοφυσιτῶν συνεγράψατο, πολλαῖς γραφικαῖς μαρτυρίαις, καὶ ἐνθυμήμασι, καὶ συλλογισμοῖς ἰσχυροῖς, καὶ κοιναῖς ἐννοίαις καὶ ἀποδείξεσιν ἐμπεπυκνωμένην. ταύτην ὁ ἐν μακαρίᾳ τῇ μνήμῃ ὀλίγον πρὸ ἐμοῦ τοῦ θρόνῳ τούτῳ διαπρέψας Γρηγόριος ὁ Καθολικὸς ἐπεκύρωσε, γράψας πρὸς τῷ τέλει αὐτῆς, ὅτι οὕτω πιστεύω κἀγὼ, ὡς ὁ ἁγιώτατος Καθολικὸς Ἰωάννης ἐνταυθοῖ γέγραφε, καὶ τοὺς μὴ οὕτω πιστεύοντας ἀναθεματίζω. καὶ εἰ κελεύεις, ἀναγνώσομεν ἐκ ταύτης ὀλίγον, ἵνα γνῷς τὸν ἄνδρα, ὡς ἐξ ὀνύχων τὸν λέοντα. Ο ΘΕΩΡΙΑΝΟΣ. ἥδιστα ἀκούσαιμι τῆς γραφῆς.

Ὡς οὖν ἀνέγνωμεν τὸ προοίμιον, εἶπεν ὁ Θεωριανὸς πρὸς τὸν Καθολικόν· παρακαλῶ τὴν μεγάλην ἁγιωσύνην σου μεταγραφῆναι τὴν συγγραφὴν ταύτην, καὶ δοθῆναί μοι, ἵνα ἐξελληνισθεῖσαν ἐν Ῥωμανίᾳ ἔχοιμεν αὐτὴν, εἰς τιμὴν τοῦ πατρὸς αὐτοῦ, καὶ τιμῶμεν δι' αὐτῆς τὸν γεννήτορα. Ο ΚΑΘΟΛΙΚΟΣ. ἀποδέχομαι τοῦτο σφόδρα.

Καὶ δὴ μεταγραφεῖσα ἐδόθη ἡμῖν, ἣν καὶ ἀπεκομισάμεθα πρὸς τὴν βασιλεύουσαν.

Τούτων οὕτω γενομένων, εἶπεν ὁ Καθολικὸς πρὸς ἡμᾶς· ὁ μακάριος Παῦλος ἔφη· ἐβουλόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου, τῶν κατὰ σάρκα, μόνον ἵνα σωθῶσι. τοῦτο φημὶ κἀγὼ ὑπὲρ τοῦ ἐμοῦ γένους· ἐπεὶ καὶ ἀποθανεῖν ὀφείλει ὁ ποιμὴν ὁ καλὸς ὑπὲρ τῶν προβάτων αὐτοῦ· πᾶσαν μηχανὴν καὶ σπουδὴν ποιήσω, καὶ πάντα πᾶσι γενήσομαι, ἵνα πάντας, ἢ τινας πάντως, σώσω· ὡς ἂν κἀγὼ δυνηθῶ εἰπεῖν, ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. πῶς δὲ τοῦτο ποιήσω, ἄκουσον. ἀπὸ τῆς σήμερον ἄρξομαι γράφειν ἐπιστολὰς πρὸς τοὺς ἁπανταχοῦ γῆς Ἀρμενίων ἐπισκόπους, καλῶν αὐτοὺς εἰς τὴν σύνοδον. καὶ μετὰ τὸ κροτηθῆναι τὴν σύνοδον, προθήσω εἰς μέσον ὅσας χρήσεις ἔχουσιν οἱ Ἀρμένιοι, δοκούσας αὐτοῖς βοηθεῖν. προθήσω δὲ καὶ ὅσας αὐτὸς μοι παρήγαγες γραφικὰς μαρτυρίας. καὶ πρῶτον μὲν ἔσομαι ἐκ τοῦ μέρους τῶν Ἀρμενίων,

A vita doctrináque magnis sanctisque patribus par, & qui disciplinas exteras vniuersas, adeóque philosophiam ipsam non * summatim adtigisset; vita quidem diuina haud scio an omnibus, plurimis certè præiuit; dignus habitus, tam vitæ quàm doctrinæ gratia, qui hoc sacro gradu solióque Generalium potiretur. Hic diuino repletus zelo, contra * Monophysitas ruebat, & toto eis propemodum episcopatus sui tempore tam scriptis quàm lingua infligere vulnera non desiit: cuius & sacram memoriam honorificè piéque celebramus.

*ἀκροθιγῶς

* Qui vnã in Christo naturam credunt.

B Huius diuini beatique viri commentarius est apud me, quem contra Monophysitas scripsit, pluribus scripturarum testimoniis, & enthymematis, & valentibus syllogismis, & notionibus communibus, & demonstrationibus refertus. Eum beatæ memoriæ Generalis Gregorius, qui non multo ante me illustris in hoc solio fuit, ita confirmauit; vt eius in extremo hæc verba perscriberet: Sic & ego credo, quemadmodum sanctissimus Generalis Ioannes hîc scripsit; & ita non credentes, anathematizo. Ac legamus

C sane paululum ex eo, si placet, vt hunc virum adgnoscas, veluti leonem ex vnguibus. THEORIANVS. Equidem hoc scriptum libentissimè audiam.

Quum ergo recitatum fuisset procemium, Theorianus ad Generalem: Obsecro, inquit, eximiam sanctitatem tuam, vt hic liber describatur, ac mihi tradatur: quo Græcum factum habere in * Romania possimus, ad honorem patris ipsius, vtque per eum auctor à nobis ipse celebretur. GENERALIS. Perplacet.

* sic adpellebãt imperium Orientale.

D Itaque descriptus & nobis traditus est, qui eum ad vrbem * Augustam deportauimus.

*Constantinopolim.

Secundum hæc Generalis ita nos compellabat. Beatus Paulus inquit: Optarem ipsemet esse à Christo anathema, pro fratribus meis, cognatis mihi, quod carnem adtinet, duntaxat vt ipsi salutem adipiscerentur. Idem ego de mea gente dico. & quandoquidem bonus pastor etiam mori debet pro suis ouibus, omnem machinationem atque studium adhibebo, & omnibus omnia fiam; vt

Rom. 10.

E omnes, aut aliquos omnino seruem: quo & ipse dicere possim: En ego, & liberi, quos Deus mihi dedit. Quo autem modo sim id facturus, audi. Ab hodierno die scribere litteras ad Armeniorum episcopos vbique gentium incipiam, quibus eos ad synodum inuitabo. Ea quum habita fuerit, in medium proponam auctoritates omnes, quotquot Armenij habent, & pro ipsis esse videntur. Proponam & illa sacrarum litterarum testimonia, quæcumque tu mihi protulisti. Ac primum quidem ero ex parte Armeniorum,

contra vos differendo contendens: deinde paulatim, ac pedetentim, nec fine multo consilio, conuenienti & tempore & modo; detegere incipiam Armeniorum errorem, qui hactenus obtinuit. Redarguam eos & de libro sanctæ memoriæ Ioannis illius Generalis episcopi, quem librum tibi descriptum obtuli: de omnibus illis denique demonstrationibus, quas eruditio tua mihi suppeditauit. Ad summum, Romanus ero, próque Romanis, immo pro veritate, aduersus Armenios decertabo: ac spe infallibili fretus erga Deum, futurum mihi polliceor, vt oues meæ vocem meam audiant, ac me sequantur: & erimus, Deo iuuante, vnum ouile, vnus pastor. Quod si ad me vniuersi accesserint, bene erit; ac benigno Deo gratias agere non desinam: sin autem, (quod euenire nolim) cum iis qui me sequentur, & mecum consentient, veritatis doctrinam confirmabo, & ad præpotentem sanctúmque nostrum imperatorem, & sanctissimum ac vniuersalem patriarcham, meos auctoritatis præcipuæ pontifices mittam, qui fidem orthodoxam scripto comprehensam adferent, manu mea subnotatam, & omnium mihi subiectorum recte sentientium episcoporum subscriptiones continentem; quique tam voce propria quàm per scripturam, nostro nomine pariter, & amplexorum veram sententiam Armeniorum, eam confirmabunt. Atque huic comprehensæ scripto fidei hoc quoque, præter alia, insertum erit: Nos habitam Chalcedone magnam, vniuersalem, quartam illam sacram synodum recipere cum iis sanctis patribus, quos ea recipit: quos autem è diuerso anathemati subiicit, eos nos quoque anathematizare; nimirum Eutychem, & Dioscorum, & præter hos Seuerum, & Timotheum Ælurum, & omnes, qui aduersus eam nugas meras effutiuerunt. Quotquot autem cordis oculos ad veritatis lucem clauserint, & se viris illis sanctis doctiores existimabunt, æterno anathemati tradam. Deinde quum hæc omnia in vrbe Augusta, synodo interueniente, corroborata fuerint, ac reuersi mei pontifices: si quidem piissimus Imperator iusserit, & ipse vrbem Augustam ingrediar, adoraturus & res ibidem sanctas ac veneratione dignas, & Apostolis parem ac sanctum imperatorem, & sanctissimum patriarcham. Quibus dictis, è cœnaculo expulit vniuersos, & animo dolorem præ se ferente; plenisque lacrumarum oculis, ita nos adfari cœpit:

Obsecro benignum & sanctum imperatorem nostrum, vt, posteaquam mei Pontifices Constantinopolim ingressi, & hæc, quæ diximus, omnia confirmata fuerint: iubeat sanctissimum & vniuersalem Patriarcham, ornatum pontificalibus suis, quæ gestare consueuit,

A καθ' ὑμῶν γυμνάζων τὸν λόγον· εἶτα ἠρέμα, καὶ κατ' ὀλίγον, καὶ μετὰ πολλῆς τῆς οἰκονομίας, καὶ κατὰ καιρὸν καὶ τρόπον προσήκοντα, ἄρξομαι ἀποκαλύπτειν τὴν μέχρι τοῦ νῦν κρατήσασαν πλάνην τῶν Αρμενίων. ἐλέγξω δὲ καὶ αὖθις καὶ ἀπὸ συγγραφῆς τοῦ ἐν ἁγίοις Ιωάννου καὶ Καθολικοῦ, ἣν σοι δέδωκα μεταγράψας. καὶ ἀπὸ πασῶν τῶν ἀποδείξεων, ἅς μοι πεποίηκεν ἡ σὴ λογιότης. καὶ τὸ ὅλον εἰπεῖν, ἔσομαι Ρωμαῖος, ὑπὲρ Ρωμαίων, μᾶλλον δὲ ὑπὲρ τῆς ἀληθείας κατὰ τῶν Αρμενίων ἀγωνιζόμενος· καί μοι ἀψευδὴς ἐλπίς ἐστιν εἰς Θεὸν, ὅτι τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς
B μου ἀκούσει, καὶ ἀκολουθήσει μοι· καὶ ἐσόμεθα τῷ Θεῷ μία ποίμνη, εἷς ποιμήν. καὶ εἰ μὲν πάντες συνέλθοιεν ἐμοὶ, εὖ ἂν ἔχοι· τῷ φιλανθρώπῳ Θεῷ οὐ παύσομαι εὐχαριστῶν. εἰ δέ γε καὶ μὴ, (ὅπερ ἀπεύχομαι) μετὰ τῶν ἑπομένων μοι, καὶ συγχωρούντων, καὶ ὁμοφρονούντων κυρώσω τὸ δόγμα τῆς ἀληθείας. καὶ ἀποστείλω πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα, καὶ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην τοὺς ἀξιολόγους τῶν ἀρχιερέων μου, φέροντας τὴν ὀρθόδοξον πίστιν ἔγγραφον, καὶ ὑπογεγραμμένην οἰκείᾳ ἐμῇ
C χειρὶ, ἔχουσαν καὶ ὑπογραφὰς πάντων τῶν ὑπ' ἐμὲ ὄντων ὀρθοδόξων ἐπισκόπων, βεβαιώσοντας, καὶ δι' οἰκείας φωνῆς, καὶ γραφῆς λόγῳ ἡμῶν καὶ τῶν ὀρθοδοξησάντων Αρμενίων ταύτην. ἔσται δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἐν τῇ τοιαύτῃ ἐγγράφῳ πίστει ἐγκείμενον, ὅτι δεχόμεθα τὴν ἐν Χαλκηδόνι μεγάλην καὶ οἰκουμενικὴν τετάρτην ἁγίαν σύνοδον, καὶ οὓς αὐτὴ δέχεται ἁγίους πατέρας. οὓς δὲ πάλιν αὐτὴ ἀναθεματίζει, καὶ ἡμεῖς ἀναθεματίζομεν· Εὐτυ-
D χέα τε καὶ Διόσκορον, πρὸς δὲ καὶ Σέβηρον, καὶ Τιμόθεον τὸν Αἴλουρον, καὶ πάντας τοὺς αὐτῆς καταφλυαρήσαντας· τοὺς δὲ πρὸς τὸ φῶς τῆς ἀληθείας τοὺς ὀφθαλμοὺς μύσαντας τῆς καρδίας, καὶ σοφωτέρους ἑαυτοὺς τῶν ἁγίων ὑπολαμβάνοντας, αἰωνίῳ ἀναθέματι παραπέμψω. εἶτα μετὰ τὸ κυρωθῆναι συνοδικῶς ἐν τῇ βασιλευούσῃ ταῦτα πάντα, καὶ ὑποστρέψαι τοὺς ἐμοὺς ἀρχιερεῖς, εἴγε κελεύσει ὁ θεοφιλέστατος βασιλεὺς, εἰσελθὼ καὶ αὐτὸς εἰς τὴν βασιλεύουσαν, προσκυνήσων τὰ ἐκεῖσε ἅγια προσκυνήματα,
E καὶ τὸν ἰσαπόστολον καὶ ἅγιον βασιλέα, καὶ τὸν ἁγιώτατον πατριάρχην. καὶ ταῦτα εἰπὼν, ἐξέβαλε πάντας τοῦ ὑπερῴου, καὶ μετὰ πενθούσης ψυχῆς, ἔχων καὶ τοὺς ὀφθαλμοὺς δακρύων μεστοὺς, ἤρξατο λέγειν πρὸς ἡμᾶς.

Παρακαλῶ τὸν φιλόστοργον καὶ ἅγιον ἡμῶν βασιλέα, ἵνα μετὰ τὸ εἰσελθεῖν τοὺς ἐμοὺς ἀρχιερεῖς εἰς τὴν Κωνσταντινούπολιν, καὶ * βεβαιῶσαι ταῦτα πάντα, ἃ εἴπομεν, πορήσῃ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην φορέσαι τὰ ἱερατικὰ αὐτοῦ, ὅσα φορεῖν εἴωθε,

* βεβαιοῦσθαι

τὴν θείαν ἐκτελεῖ λειτουργίαν, καὶ ἀναβαίνει ἐπὶ τοῦ ἄμβωνος, ἢ ἐπὶ τοῦ θείου καὶ ἱεροῦ θρόνου, τοῦ ὄπισθεν τῆς ἁγίας τραπέζης, κρατοῦντα ταῖς χερσὶ τὸν ἅγιον σταυρὸν, ἔχοντα τὰ τίμια ξύλα, καὶ ἐν ἀκροάσει παντὸς τοῦ τε πληρώματος τῆς ἐκκλησίας καὶ τοῦ λαοῦ, εὐλογῆσαι δὲ γένος τῶν Ἀρμενίων, ὃ σχεδὸν ὅλον αἰῶνα ὑπὸ κατάραν ἦν· εἶτα ποιῆσαι εὐχὴν ἐκτενῆ καὶ ὑπὲρ τῶν κεκοιμημένων Ἀρμενίων, ἵνα ὁ θέλων πάντων ἀνθρώπων τὴν σωτηρίαν Θεὸς, ἀφήσει αὐτοῖς τοῦτο τὸ ἐξ ἀγνοίας, οὐ κακουργίας ἁμάρτημα. ὡς οὖν ἑωράκαμεν αὐτὸν μετὰ συντετριμμένης καρδίας καὶ στεναγμῶν, ταῦτα πρὸς ἡμᾶς λέγοντα· κεκινήμεθα καὶ ἡμεῖς πρὸς οἶκτον, καὶ ὅλοι δακρύων καὶ θρήνων γεγόναμεν. ὥρας δὲ ὀλίγης παρελθούσης, καὶ οἷον τοῦ θρήνου κατηρεμήσαντος, εἶπεν ὁ Θεωριανός.

Ταύτην σου τὴν παράκλησιν, δέσποτα, εἴπομεν τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ. καὶ δοὺς ἡμῖν γραφὴν αὐτοῦ πρὸς τὸν εὐσεβέστατον, καὶ ἅγιον, καὶ φιλόχριστον ἡμῶν αὐτοκράτορα, περιέχουσαν τὸ ὅτι δέχομαι τὴν τετάρτην μεγάλην καὶ οἰκουμενικὴν ἁγίαν σύνοδον τὴν ἐν Χαλκηδόνι· ἀπέλυσεν ἡμᾶς ἐν εἰρήνῃ· καὶ ἁψάμενος τῆς κεφαλῆς ἡμῶν, εὐλόγησεν ἡμᾶς. ἡμεῖς δὲ ἐπὶ πᾶσι τούτοις εὐχαριστήσαντες τῷ Θεῷ, τῆς πρὸς Κωνσταντινούπολιν φερούσης οἰχόμεθα, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

quoties sacrum ministerium peragit, in * ambonem conscendere, vel in sacrum sanctum illud solium post sacram mensam collocatum, crucem sanctam manibus suis tenentem, & venerabilia ligna; audientéque toto ecclesiæ corpore ac populo, genti Armeniorum bene precari, quæ totum prope sæculum execrationi subiecta fuit: deinde curet ferias concipi preces etiam pro iis Armeniis, qui obdormierunt; vt Deus, qui omnium vult salutem, profectum hoc ex ignoratione, non malitia, delictum eis remittat. Quum ergo videremus eum, hæc corde contrito, & cum gemitibus ad nos proferentem: nos quoque moti sumus ad commiserationem, totique meras in lacrymas & lamentationes soluti. Deinde quum paululum temporis intercessisset, quasique ploratus conquieuisset, Theorianus dixit:

* suggestum

Has preces tuas, Domine, præpotenti & sancto imperatori nostro exponemus. Inde tradita nobis epistola ad piissimum, & sanctum, & Christianum imperatorem nostrũ, qua & illud cõplexus erat, se magnam illam, & vniuersalem, sanctámque synodum quartam, Chalcedone habitam, recipere: pacificè nos dimisit, tactóque capite nostro, bene nobis est precatus. Nos autem actis Deo pro his omnibus gratiis, Constantinopolim continuis itineribus proficiscebamur, Deum interim & collaudantes, & prædicantes: cui quidem omnis maiestas, honos, adoratio, & magnificentia, sæculis infinitis competit. Amen.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΠΑ ΡΩΜΗΣ ΛΕΟΝΤΟΣ

ἐπιστολὴ, πεμφθεῖσα τῷ ἐν ἁγίοις Φλαβιανῷ πατριάρχῃ Κωνσταντινουπόλεως, κατὰ Εὐτυχοῦς τοῦ ματαιόφρονος, καὶ τῶν ὁμοφρόνων αὐτοῦ· ἥν τινα στήλην τῆς ὀρθοδοξίας * καλοῦσιν.

EPISTOLA BEATISSIMI PAPÆ ROMANI LEONIS,

missa ad sanctum Flauianum, Patriarcham Constantinopolitanum, aduersus auctorem vanæ opinionis Eutychem, eíque consentientes: quam rectæ fidei columnam * vocant.

* nimirum patres Concilij Chalcedonensis. vide sup. in definitione Concilii.

Ἀναγνόντες τὰ γράμματα τῆς ἀγάπης τῆς σῆς, ἅπερ οὕτω βραδύτατα γεγενῆσθαι θαυμάζομεν, καὶ τῇ τάξει τῶν ὑπομνημάτων ἐπικύψαντες, ἥτις ἐπὶ τῶν ἐπισκόπων ἐπράχθη· μόλις ποτὲ, τί παρ' ὑμῖν σκάνδαλον ἀνεφύη κατὰ τῆς ὑγιοῦς πίστεως, ἔγνωμεν· καὶ τὰ πρότερον λεληθέναι δοκοῦντα, νῦν ἡμῖν δῆλα γεγένηται· δι' ὧν Εὐτυχὴς, τῇ τοῦ πρεσβυτέρου προση-

Lectis dilectionis tuæ litteris, quas miramur fuisse tam seras, & gestorum episcopalium ordine recensito, tandem quid apud vos scandali contigerit, atque contra integritatem fidei exortum fuerit, agnouimus: & quæ prius videbantur occulta, nunc nobis reserata patuerunt. quibus Eutyches, qui presbyterij nomine

honorabilis videbatur, multum * imprudens & nimis imperitus ostenditur; vt etiam de ipso dictum sit à Propheta: Noluit intelligere, vt bene ageret, iniquitatem meditatus est in cubiculi suo. Quid autem iniquius, quàm impia sapere, & sapientioribus doctioribúsque non credere? Sed in hanc insipientiam cadunt, qui quum ad cognoscendam veritatem aliquo impediuntur * obstaculo, non ad propheticas voces, non ad Apostolicas litteras, nec ad euangelicas auctoritates; sed ad semet ipsos * recurrunt, & ideo magistri erroris existunt, quia veritatis discipuli non fuere. Quam enim eruditionem de sacris noui & veteris testamenti paginis adquisiuit, qui nec ipsius quidem symboli initia comprǽhendit? & quod per totum mundum omnium regeneratorum voce depromitur, istius adhuc senis corde non capitur? Nesciens igitur, quid deberet de Verbi Dei incarnatione sentire; nec volens ad promerendum intelligentiæ lumen, in sanctarum scripturarum latitudine laborare, illam saltem communem & indiscretam confessionem sollicito adprehendisset auditu, qua fidelium vniuersitas profitetur, credere se in Deum Patrem omnipotentem, & in Iesum Christum, filium eius vnicum, Dominum nostrum, qui natus est de Spiritu sancto, * ex Maria Virgine. quibus tribus sententiis omnium fere hæreticorum machinæ destruuntur. Quum enim Deus & omnipotens, & æternus pater creditur, consempiternus eidem filius demonstratur, in nullo à patre differens: quia de Deo Deus, de omnipotente omnipotens, de æterno natus est coæternus; non posterior tempore, non inferior potestate, non dissimilis gloria, non diuisus essentia. Idem vero sempiterni genitoris vnigenitus sempiternus, natus est de spiritu sancto, * ex Maria virgine: quæ natiuitas temporalis illi natiuitati diuinæ & sempiternæ nihil minuit, nihil contulit; sed totam se reparando homini, qui erat deceptus, impendit; vt & mortem vinceret, & diabolum, qui mortis habebat imperium, sua virtute destrueret. non enim superare possemus peccati & mortis auctorem, nisi naturam nostram ille susciperet, & suam faceret; quem nec peccatum contaminare, nec mors potuit detinere. Conceptus quippe est de spiritu sancto intra vterum matris virginis, quæ ita illum salua virginitate edidit, quemadmodum salua virginitate concepit. Sed si de hoc Christianæ fidei fonte purissimo sincerum intellectum haurire non poterat, quia splendorem perspicuæ

* malè alij, impudens.

Psal. 35.

* legendum, obscuri obstaculo.

* alii malè, Sed ideo

* Græci, & Maria.

* & Maria.

A γεῖα τιμῆς εἶναι ἄξιος νομισθεὶς, πολύ τις ἀσύνετος καὶ λίαν ἀμαθὴς ἀποδείκνυται· ὡς περὶ αὐτοῦ καὶ ὑπὸ τοῦ προφήτου εἰρῆσθαι· οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι, ἀδικίαν ἐμελέτησεν ἐπὶ τῆς κοίτης αὐτοῦ. τί δ' ἂν ἀδικώτερον εἴη τοῦ τὰ ἀσεβῆ φρονεῖν, καὶ τοῖς εὖ φρονοῦσι καὶ σοφωτέροις μὴ εἴκειν; εἰς τὴν ἄνοιαν δὲ ταύτην ἐμπίπτουσιν, οἱ κατά τι μὲν ἐμπόδιον ἀσαφείας γνῶναι τὸ ἀληθὲς κωλυόμενοι, οὐκ ἐπὶ τὰς προφητικὰς φωνὰς, οὐκ ἐπὶ τὰς ἀποστολικὰς γραφὰς, οὐκ ἐπὶ τὰς εὐαγγελικὰς αὐθεντίας, ἀλλ' ἐφ' ἑαυτοὺς ἀνατρέχουσι· καὶ διὰ τοῦτο διδάσκαλοι πλάνης ἀναδεικνύμενοι,

B ἐπειδὴ τῆς ἀληθείας μαθηταὶ μὴ γεγόνασι. ποίαν γὰρ ἀπὸ τῶν θείων βίβλων παιδείαν τῆς τε παλαιᾶς καὶ καινῆς διαθήκης προσέλαβεν, ὃς οὐδὲ αὐτοῦ τοῦ συμβόλου τῶν προοιμίων ἐδράξατο; καὶ ὅπερ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τῇ φωνῇ πάντων τῶν ἀναγεννωμένων προφέρεται, τοῦτο κατὰ νοῦν ἔτι τούτου τοῦ γέροντος οὐ λαμβάνεται; ἀγνοῶν τοίνυν, τί δέοι περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου νοεῖν, καὶ τῶν θείων γραφῶν ἐν τῷ πλάτει πονεῖν οὐ βουλόμενος, ὅπως ἂν τοῦ φωτὸς τῆς ἐντεῦθεν γνώσεως ἄξιος γένηται· ἐκείνην γοῦν ὤφελεν τὴν κοινὴν καὶ μὴ διαφωνοῦσαν ὁμολογίαν ἐν ἀκροάσει πε-

C ριμερίμνῳ ποιήσασθαι, ἣν τῶν πιστῶν ἅπαν τὸ πλῆθος ὁμολογεῖ, πιστεύειν ἑαυτὸν εἰς Θεὸν πατέρα παντοκράτορα, καὶ εἰς Χριστὸν Ἰησοῦν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν κύριον ἡμῶν, τὸν τεχθέντα ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου. δι' ὧν τριῶν ἀποφάσεων τὰ πάντα σχεδὸν αἱρετικῶν καταλύεται μηχανήματα. ὁπότε γὰρ Θεὸς καὶ παντοκράτωρ, καὶ πατὴρ εἶναι πιστεύεται, συναΐδιος αὐτῷ καὶ υἱὸς ἀποδείκνυται, ἐν οὐδενὶ τοῦ πατρὸς διαφέρων. ἐπειδήπερ ἐκ Θεοῦ Θεὸς, ἐκ παντοκράτορος παντοκράτωρ, ἐξ ἀϊδίου γεννηθεὶς συναΐδιος· οὔτε μεταγενέ-

D στερος χρόνῳ, οὔτε ἐλάσσων δυνάμει, οὐδὲ ἀνόμοιος δόξῃ, οὐ κεχωρισμένος οὐσίᾳ. ὁ δὲ αὐτὸς τοῦ ἀϊδίου πατρὸς μονογενὴς ἀΐδιος, ἐτέχθη ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου· ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτοῦ καὶ ἀϊδίου γεννήσεως οὔτε τι ἀπεμείωσεν, οὔτε μὴν τι ταύτῃ προσέθηκεν, ἀλλ' ὅλον ἑαυτὸν εἰς τὸ σῶσαι τὸν ἄνθρωπον πεπλανημένον ἐκένωσεν· ἵνα καὶ τὸν θάνατον νικήσῃ, καὶ τὸν διάβολον, τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τῇ οἰκείᾳ καταβάλῃ δυνάμει. οὐ γὰρ ἂν ἠδυνήθημεν νικῆσαι τὸν ἁμαρτίας καὶ τοῦ θανάτου τὸν ἀρχηγὸν, εἰ μὴ τὴν ἡμετέραν αὐτὸς

E φύσιν ἀνέλαβε, καὶ οἰκείαν εἰργάσατο· ὃν οὔτε ἁμαρτία μολῦναι, οὔτε θάνατος κατασχεῖν ἠδυνήθη. συνελήφθη μὲν οὖν δηλονότι ἐκ πνεύματος ἁγίου ἐν γαστρὶ παρθένου μητρὸς, ἥτις οὕτω φυλαχθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν, ὥσπερ οὖν καὶ ἀκεραίου μεινάσης τῆς παρθενίας συνέλαβεν. ἀλλ' εἴπερ ἐκ ταύτης ἵνα τὸ ἐν τῇ πίστει τῶν Χριστιανῶν διὰ καθαρωτάτης πηγῆς καθαρὰν ἀρύσασθαι διάνοιαν οὐκ ἠδύνατο, διὰ τὸ τῆς τηλαυγοῦς ἀληθείας

ἑαυτῷ τὸ φέγγος ἐκ τῆς οἰκείας ἐπισκοτίζων τυφλώσεως· τῇ διδασκαλίᾳ γοῦν τῇ τῶν εὐαγγελίων ἑαυτὸν ὑπήγαγεν ἄν, τοῦ λέγοντος Ματθαίου· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ· καὶ τοῦ ἀποστολικοῦ δὲ κηρύγματος τὴν εἰσήγησιν ἂν ἐπεζήτησε, καὶ ἀναγινώσκων ἐν τῇ πρὸς Ῥωμαίους· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα· ἔπειτα ταῖς προφητικαῖς οὕτως ἂν βίβλοις εἰς τὴν εὐσεβῆ φροντίδα μετήγαγε, καὶ εὑρίσκων τὴν ἐπαγγελίαν τοῦ Θεοῦ πρὸς τὸν Ἀβραὰμ λέγοντος· ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη· ὅπως ἂν περὶ τῆς κυριότητος τούτου μὴ ἀμφιβάλλοι τοῦ σπέρματος, ἠκολούθησεν ἂν καὶ τῷ ἀποστόλῳ λέγοντι· τῷ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐκ εἶπε, καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν· ἀλλ' ὡς ἐφ' ἑνὸς δέ, τῷ σπέρματί σου, ὅπερ ἐστὶν ὁ Χριστός· καὶ τὸ Ἡσαΐου δὲ κήρυγμα διὰ τῆς ἐνδοτέρας κατέχει ἀκροάσεως, λέγοντος· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅπερ ἐστὶ μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. καὶ τοῦ αὐτοῦ δὲ προφήτου πιστῶς ἂν ἐπέγνω τὰ ῥήματα, παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, Θεὸς ἰσχυρός, * [ἐξουσιαστής] ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. οὐδὲ ματαίως λαλῶν οὕτως ἂν εἶπε σάρκα γεγενῆσθαι τὸν λόγον, ὡς ὅτιπερ ὁ τεχθεὶς ἀπὸ τῆς παρθένου Χριστός, εἶχε μὲν ἀνθρώπου μορφήν, οὐκ εἶχε δὲ τοῦ μητρῴου σώματος τὴν ἀλήθειαν. ἢ τάχα διὰ τοῦτο τὸν δεσπότην Χριστὸν οὐκ εἶναι τῆς ἡμετέρας φύσεως, ὅτι πρὸς τὴν μακαρίαν Μαρίαν ὁ πεμφθεὶς ἄγγελος εἶπε· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς Θεοῦ· ὅπως ἄν, ἐπειδήπερ ἡ σύλληψις τῆς παρθένου θείας ἔργον γέγονε δημιουργίας, ἐκ τῆς φύσεως τῆς συλλαβούσης ἡ σὰρξ τοῦ συλληφθέντος μὴ γένηται. ἀλλ' οὐχ οὕτω νοητέον ἐκείνην τὴν γέννησιν, ἥτις μονογενῶς ἐστὶ καὶ θαυμαστή, καὶ θαυμαστῶς ἐστὶ μονογενής, ὥστε διὰ τῆς καινοπρεποῦς γεννήσεως, τὴν τοῦ γένους ἐκβάλλεσθαι κυριότητα. τὸ μὲν γὰρ γόνιμον τῇ παρθένῳ τὸ ἅγιον πνεῦμα παρέσχεν, ἡ δὲ τοῦ σώματος ἀλήθεια προσελήφθη ἐκ τοῦ σώματος· καὶ τῆς σοφίας οἰκοδομούσης ἑαυτῇ οἶκον, ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τοῦτ' ἔστιν ἐν * τούτῳ τῷ σώματι, ὅπερ ἔλαβεν ἐξ ἀνθρώπου, καὶ πνεύματι ζωῆς λογικῆς ἐνεψύχωσε. σωζομένης τοίνυν τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον συνιούσης, ἀνελήφθη ἀπὸ μὲν * τῆς θεότητος ἡ ταπεινότης, ἀπὸ δὲ τῆς δυνάμεως τὸ ἀδύνατον, ἀπὸ τοῦ Θεοῦ ἀθανάτου τὸ θνητόν· καὶ πρὸς τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτῖσαι, ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ·

A veritatis obcæcatione sibi propria tenebrarat: doctrinæ se euangelicæ subdidisset, dicente Matthæo: Liber generationis Iesu Christi, filij Dauid, filij Abraham: Apostolicæ quoque prædicationis expetisset * instructum, & legens epistolam ad Romanos; Paulus seruus Iesu Christi, vocatus Apostolus, segregatus in Euangelium Dei, quod antè promiserat per Prophetas suos in scripturis sanctis, de filio suo, qui factus est ei ex semine Dauid secundum carnem: Ad propheticas paginas piam sollicitudinem contulisset, & inuenisset promissionem Dei ad Abra- B ham dicentis: In semine tuo benedicentur omnes gentes. Et ne de huius seminis proprietate dubitaret, secutus fuisset Apostolum dicentem: Abrahæ dictæ sunt promissiones m semini eius. Non dicit, Et seminibus, quasi in multis; sed quasi in vno, Et semini tuo, quod est Christus. Esaiæ quoque prædicationem interiore adprehendisset auditu, dicentis: Ecce virgo in vtero concipiet, & pariet filium, & vocabitur nomen eius Emmanuel, quod est interpretatum, Nobiscum Deus. eiusdémque Prophetæ fideliter C verba legisset: Puer natus est nobis, filius datus est nobis, cuius potestas super humerum eius, & vocabitur nomen eius magni consilij angelus * [admirabilis consiliarius] Deus fortis, princeps pacis, pater futuri sæculi. Nec frustratoriè loquens, ita verbum diceret carnem factum, vt editus vtero virginis Christus, haberet formam hominis, & non haberet materni corporis veritatem. An forte ideo putauit Dominum nostrum Iesum Christum non nostræ esse naturæ, quia missus ad beatam D Mariam Angelus ait: Spiritus sanctus superueniet in te, & virtus Altissimi obumbrabit tibi: ideoque & quod nascetur ex te sanctum, vocabitur filius Dei? vt, quia conceptus Virginis diuini fuit operis, non de natura concipientis * fuerit caro concepti? sed non ita intelligenda est illa generatio singulariter mirabilis, & mirabiliter singularis, vt per nouitatem creationis proprietas remota sit generis. Fœcunditatem enim virgini spiritus sanctus de- E dit, veritas autem corporis sumpta de corpore est: & ædificante sibi sapientia domum, Verbum caro factum est, & habitauit in nobis, hoc est, in ea carne, quam sumpsit ex homine, & quam * spiritu vitæ rationalis animauit. Salua igitur proprietate vtriusque naturæ, & in vnam coeunte personam, suscepta est * à maiestate humilitas, à virtute infirmitas, ab æternitate mortalitas; & ad resoluendum conditionis nostræ debitum, natura inuiolabilis naturæ est vnita passibili:

Matth.1.
* malè alii, instrumẽtum.
Rom.1.
Gen.22.
Gal.3.
Esa.7.
Esa.9.
* desunt in Græco.
Luc.1.
* fieret
Prou.9.
Ioan.1.
* Latina sic, ταύτῃ τῇ σαρκί, ἣν γάρ
* malè alii, spiritus
* Aliter Latina.

vt quod nostris remediis congruebat, vnus atque idem, mediator Dei & hominum, homo Christus Iesus, & mori posset ex vno, & mori non posset ex altero. In integra ergo veri hominis perfectáque natura, verus natus est Deus, totus in suis, totus in nostris. Nostra autem dicimus, quæ in nobis ab initio creator condidit, & quæ reparanda suscepit. nam illa, quæ deceptor intulit, & homo deceptus admisit, nullum habuere in Saluatore vestigium: nec quia communionem humanarum subiit infirmitatum, ideo nostrorum fuit particeps delictorum. adsumpsit formam serui sine sorte peccati, humana augens, diuina non minuens: quia exinanitio illa, qua se inuisibilis visibilem præbuit, & creator ac Dominus omnium rerum vnus voluit esse mortalium: inclinatio fuit miserationis, non defectio potestatis. Proinde qui manens in forma Dei, fecit hominem; idem in forma serui, factus est homo. tenet enim sine defectu proprietatem suam vtraque natura, & sicut formam serui, Dei forma non adimit: ita formam Dei, serui forma non minuit. nam quia gloriabatur diabolus, hominem sua fraude deceptum, diuinis caruisse muneribus; & immortalitatis dote nudatum, duram mortis subiisse sententiam; seque in malis suis quoddam de præuaricatoris consortio inuenisse solatium; Deum quoque, iustitiæ exigente ratione, erga hominem, quem in tanto honore condiderat, propriam mutasse sententiam: opus fuit secreti dispensatione consilij, vt incommutabilis Deus, cuius voluntas non potest sua benignitate priuari, primam erga nos pietatis suæ dispensationem sacramento occultiore compleret; & homo, diabolicæ iniquitatis versutia actus in culpam, contra Dei propositum non periret. Ingreditur ergo hæc mundi infima filius Dei, de cœlesti sede descendens, & à paterna gloria non recedens; nouo ordine, quia inuisibilis in suis, visibilis factus est in nostris: incomprehensibilis, voluit comprehendi: ante tempora manens, esse cœpit ex tempore: vniuersitatis Dominus seruilem formam, obumbrata maiestatis suæ immensitate, suscepit: impassibilis Deus, non dedignatus est esse homo passibilis; & immortalis, mortis legibus subiacere. Noua autem natiuitate generatus, quia inuiolata virginitas concupiscentiam nesciuit, carnis materiam ministrauit. Adsumpta est igitur de matre Domini natura, non culpa; nec in Domino Iesu Christo,

* ἐν μόρφῃ

* γέγονεν ἄνθρωπος.

A ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ἐπαρκοῦν ἁρμόδιον, ὁ εἷς καὶ αὐτὸς, ὢν μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς δυνηθῇ, καὶ πάλιν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῇ. ἐν ἀκεραίᾳ τοιγαροῦν ἀληθοῦς ἀνθρώπου καὶ τελείᾳ φύσει, Θεὸς ἀληθὴς ἐτέχθη, ὅλος ἐν τοῖς ἑαυτοῦ, καὶ ὅλος ἐν τοῖς ἡμῶν. ἡμέτερα δὲ λέγομεν, ἅπερ ἐν ἡμῖν ἐξ ἀρχῆς ὁ δημιουργὸς ἐναπέθετο, καὶ ἅπερ ἀναχαριστέα πάλιν ἐδέξατο. ἐκεῖνα γὰρ ἅπερ ὁ ἀπατεὼν ἐπεισήγαγε, καὶ ὁ ἀπατηθεὶς ἄνθρωπος ἥμαρτε, τὸ τυχὸν ἐπὶ τοῦ σωτῆρος ἴχνος οὐκ ἔσχηκεν· οὐδὲ ἐπειδὴ κοινωνίαν τῆς ἀνθρωπίνης ὑπεισελήλυθεν
B ἀσθενείας, διὰ τοῦτο καὶ κοινωνὸς τῶν ἡμετέρων γέγονεν ἁμαρτημάτων. προσείληφε γὰρ δούλου μορφὴν δίχα ῥύπου τινὸς ἁμαρτήματος, καὶ τὸ ἀνθρώπινον αὔξων, καὶ τὸ θεῖον οὐ μειῶν· ἐπειδήπερ ἡ κένωσις ἐκείνη, δι᾽ ἧς ἑαυτὸν ὁρατὸν ὁ ἀόρατος παρεσκεύασε, καὶ ὁ ποιητὴς καὶ δεσπότης τῶν ὅλων εἷς τῶν ἀνθρώπων ἐβουλήθη γενέσθαι, συγκατάβασις ἦν φιλανθρωπίας, οὐκ ἀσθένεια τῆς δυνάμεως. τοιγαροῦν * ὡς μένων ἐν μορφῇ Θεοῦ, πεποίηκεν ἄνθρωπον, αὐτὸς ἐν μορφῇ δούλου * γέγονε. φυλάττει γὰρ ἑκατέρα
C φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα· καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ Θεοῦ, οὕτως οὐδὲ τὴν μορφὴν τοῦ Θεοῦ ἡ τοῦ δούλου μόρφωσις ἐμείωσεν. ἐπειδὴ γὰρ κατεκαυχᾶτο ὁ διάβολος τὸν ἄνθρωπον τὸν ἡμαρτημένον ἐκ τῆς πλάνης αὐτοῦ, τῶν θείων δωρεῶν ἐστερημένον, καὶ τῶν τῆς ἀφθαρσίας ἀγαθῶν γεγυμνωμένον, ὑπὸ τοῦ θανάτου χαλεπὴν ἀπόφασιν γεγενῆσθαι· καὶ ἐν τοῖς ἰδίοις κακοῖς παραμυθίαν αὐτὸν εὑρηκέναι τινὰ ἐκ τῆς αὐτοῦ τοῦ γεγονότος προδότου κοινωνίας· ὡς καὶ τὸν Θεὸν, τοῦτο τῆς αὐτοῦ δικαιοσύνης ἀπαιτούσης, ἀμείψαι περὶ τὸν ἄνθρωπον τὴν οἰκείαν ἀπόφασιν· χρεία τῆς οἰκονομίας τοῦ ἀπορρήτου μυστηρίου
D γεγόνηται, ἵνα ὁ ἀναλλοίωτος Θεὸς, οὗτινος ἡ βούλησις τῆς ἐμφύτου χρηστότητος στερηθῆναι μὴ δύναται, τὸ πρῶτον περὶ ἡμᾶς τῆς οἰκείας εὐσεβείας ἀπορρήτῳ μυστηρίῳ πληρώσῃ διοίκησιν· καὶ ἵνα ὁ ἄνθρωπος, ὁ τῇ κακουργίᾳ τῆς διαβολικῆς κακίας πρὸς ἁμαρτίας συνελαθεὶς, μὴ παρὰ τὴν βούλησιν ἀπόληται τοῦ Θεοῦ. προσέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ υἱὸς τοῦ Θεοῦ, ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων, καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος, καινῇ τινι τῇ τάξει, καὶ καινῇ τῇ γεννήσει γεννώμενος. καινῇ μὲν τῇ τάξει, ὅτιπερ ἀόρατος ὢν ἐν τοῖς
E ἑαυτοῦ, ὁρατὸς γέγονεν ἐν τοῖς παρ᾽ ἡμῖν· καὶ ἀκατάληπτος ὢν, ἠβουλήθη καταλαμβάνεσθαι· καὶ προαιώνιος μένων, εἶναι ἤρξατο κατὰ χρόνον· καὶ ὁ τοῦ παντὸς ὢν δεσπότης, τὴν δουλικὴν μορφὴν ἀνεδέξατο, τῆς οἰκείας θεότητος ἐπισκιάσας τὸ μέγεθος· καὶ ὁ ἀπαθὴς Θεὸς, οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. καινῇ δὲ τῇ γεννήσει τεχθεὶς, ἐπείπερ ἡ ἄχραντος παρθένος ἐπιθυμίας μὲν ἠγνόησε, τὴν δὲ τῆς σαρκὸς ἐχορήγησεν ὕλην. καὶ προσελήφθη ἐκ τῆς μητρὸς τοῦ δεσπότου φύσις, οὐχ ἁμαρτία· καὶ ἐπειδήπερ ἐν τῷ δεσπότῃ Ἰησοῦ Χριστῷ,

A τῷ τεχθέντι ἐκ τῆς γαστρὸς τῆς παρθένου, θαυμαστή ἐστιν ἡ γέννησις, διὰ τοῦτο ἡμῖν οὐχ ὁμοία ἡ φύσις. ὁ γὰρ ὢν Θεὸς ἀληθὴς, αὐτός ἐστι καὶ ἄνθρωπος ἀληθής· καὶ ψεῦδος οὐδὲν ἐν ταύτῃ τῇ ἑνώσει τυγχάνει, ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστὶ, καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν, καὶ τὸ μέγεθος τῆς θεότητος. ὥσπερ γὰρ τῷ ἐλέει ὁ Θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς θείας ἀξίας οὐκ ἀναλίσκεται. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ λόγου· τοῦ δὲ * σώματος ἐκτελοῦντος, ὅπερ ἐστὶ τοῦ σώματος· καὶ τὸ μὲν αὐτῶν, B διαλάμπει τοῖς θαύμασι· τὸ δὲ, ταῖς ὕβρεσιν ὑποπέπτωκεν· καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπέλιπεν. εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς Θεοῦ υἱὸς, καὶ ἀληθῶς υἱὸς ἀνθρώπου τυγχάνει· Θεὸς μὲν κατὰ τοῦτο, καθὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· ἄνθρωπος δὲ κατὰ τοῦτο, καθὸ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ Θεὸς μὲν κατὰ τοῦτο, καθὸ δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἄνθρωπος δὲ κατὰ τοῦτο, καθὸ γέγονεν ἐκ γυναικὸς, γέγονεν C ὑπὸ νόμον. καὶ ἡ μὲν * τῆς σαρκὸς γέννησις, ἀνθρωπίνης ἐστὶ δήλωσις φύσεως· ὁ δὲ τόκος τῆς παρθένου, μήνυμα τῆς θείας ὑπάρχει δυνάμεως. καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους διὰ τῆς τῶν σπαργάνων γνωρίζεται εὐτελείας, τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης διὰ τῶν ἀγγελικῶν φωνῶν ἀποδείκνυται. καὶ ὁμοιοῦται μὲν τοῖς νεωστὶ ἐκτρεφομένοις ἀνθρώποις ἐκεῖνος, ὃν Ἡρώδης ἀσεβῶς φονεῦσαι βούλεται. ἀλλ' ἔστι δεσπότης τῶν ὅλων, ὃν μάγοι χαίρουσιν ἱκετευτικῶς προσκυνοῦσιν. ἐπεὶ δὲ πρὸς τὸ τοῦ προδρόμου αὐτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ὅπως ἂν μὴ λάθῃ, ὅτι ὑπὸ τῷ προκαλύμματι τῆς σαρκὸς [ἡ θεότης] D ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ ἐξ οὐρανοῦ ἐπιβοῶσα φησίν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. τοιγαροῦν ὃν ὡς ἄνθρωπον ἡ τοῦ διαβόλου πειράζει πανουργία, τούτῳ ἅτε δὴ Θεῷ, ἡ τῶν ἀγγέλων τάξις διακονεῖ· τὸ μὲν γὰρ πεινῆν, καὶ διψῆν, καὶ κοπιᾶν, καὶ ὑπνοῦν, ὁμολογουμένως ἐστὶν ἀνθρώπου· ἀλλὰ τὸ πέντε ἄρτοις πεντακισχιλίους κορέσαι, καὶ χαρίσασθαι τῇ Σαμαρείτιδι ὕδωρ ζῶν, ὅθεν ἀρυσαμένῃ αὐτῇ ὑπάρχει τὸ μηκέτι διψῆν· καὶ ἐπὶ νώτων θαλάσσης περιπατεῖν, τῶν ποδῶν οὐ βαπτιζομένων· καὶ τὸ τὰς τῶν ὑδάτων οἰδήσεις ἐπι- E τιμωμένου τοῦ κλύδωνος κατευνάζειν, ἐστὶν ἀναμφιβόλως Θεοῦ. ὥσπερ οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστι φύσεως, τὸ κλαίειν ἐκ διαθέσεως οἴκτου τὸν τεθνηκότα φίλον, καὶ τὸ [τὸν αὐτὸν ἀναζῆν μέλλοντα] διασκεδασθέντος τοῦ προσχώματος τῆς τεταρταίας ταφῆς ἤδη ἀναστῆναι τὸν ἀναζήσαντα, πρὸς τὸ κέλευσμα τῆς φωνῆς· ἢ τὸ ἐπὶ τοῦ ξύλου ἠρτῆσθαι, * καὶ τὴν ἡμέραν εἰς νύκτα μεταβληθέντα τὰ στοιχεῖα πάντα συσεῖσαι·

A ex vtero virginis genito, quia natiuitas est mirabilis, ideo * nostræ est natura dissimilis. qui enim verus est Deus, idem verus est homo: & nullum est, in hac vnitate mendacium, dum inuicem sunt & humilitas hominis, & altitudo Deitatis. Sicut enim Deus non mutatur miseratione; ita homo non consumitur dignitate. Agit enim vtraque forma cum alterius communione, quod proprium est; verbo scilicet operante, quod verbi est, & * carne exsequente, quod carnis est. B Vnum horum coruscat miraculis, aliud succumbit iniuriis: & sicut Verbum ab æqualitate paternæ gloriæ non recessit, ita caro naturam nostri generis non reliquit. Vnus enim, idemque est, [quod sæpe dicendum est,] verè * Dei filius, & verè hominis filius; Deus per id; quod in principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum: homo per id, quod Verbum caro factum est, & habitauit in nobis: Deus per id, quod omnia per ipsum facta sunt, & sine ipso C factum est nihil: homo per id, quod * factus est ex muliere, factus est sub lege. Natiuitas carnis, manifestatio est humanæ naturæ: partus virginis, diuinæ virtutis est indicium: infantia paruuli, ostenditur humilitate cunarum: magnitudo Altissimi, declaratur & demonstratur vocibus Angelorum. Similis est rudimentis hominum, quem Herodes * impius molitur occidere: sed Dominus est omnium, quem magi gaudentes veniunt suppliciter adorare. D Iam quum ad præcursoris sui Ioannis baptismum veniret, ne lateret, quod carnis velamine tegeretur, vox patris de cœlo intonans dixit: Hic est filius * meus, in quo mihi bene * complacuit. Quem itaque sicut hominem diabolica tentat astutia, eidem sicut Deo Angelica famulantur officia. Esurire, sitire, lassescere, atque dormire, euidenter humanum est: sed & de quinque panibus quinque millia hominum satiare, & largiri Samaritanæ aquam viuam, cuius haustus bibenti præstat, ne vltra E iam sitiat; supra dorsum maris, plantis non subsistentibus, ambulare; & elationes fluctuum, increpata tempestate, consternere; sine ambiguitate diuinum est. Sicut ergo, vt multa prætercam, non eiusdem naturæ est, flere miserationis adfectu amicum mortuum, & eundem remoto quatriduanæ aggere sepulturæ, ad vocis imperium excitare rediuiuum: aut ligno pendere, & in noctem luce conuersa, omnia elementa tremefacere;

* malè alii, nostra est natura

* Latina, carne

* Inclusa desunt in Græc.

* Latina, τῆς σαρκὸς

* Græci, impiè

Matth. 2.

Matth. 3.

* Inclusa Latino desunt.

* complacuit.

Ioan 6.

Ioan. 4.

Ioan 11.

* Inclusa Latino desunt

* Rectiùs, καὶ ἡμέρας εἰς νύκτα μεταβληθείσης

aut clauis transfixum esse, & paradisi portam fidei latronis aperire: ita non eiusdem naturæ est, dicere, Ego & pater vnum sumus, & dicere, Pater maior me est. Quamuis enim in Domino Iesu Christo, Dei & hominis vna persona sit, aliud tamen est: vnde in vtroque communis est contumelia: aliud, vnde communis est gloria: de nostro enim, illi est minor patre humanitas: de patre, illi est æqualis cum patre diuinitas. Propter hanc ergo vnitatem personæ, in vtraque natura intelligendam, & filius hominis legitur descendisse de cœlo, quum filius Dei carnem de ea virgine, de qua est natus, adsumpserit; & rursus filius Dei crucifixus dicitur, ac sepultus: quum hæc non in diuinitate ipsa, qua vnigenitus, consempiternus, & consubstantialis est patris, sed in naturæ humanæ sit infirmitate perpessus. Vnde vnigenitum filium Dei crucifixum & sepultum, omnes etiam in symbolo confitemur, secundum illud Apostoli dictum: Si enim cognouissent, numquam Dominum maiestatis crucifixissent. Quum autem ipse Dominus noster atque saluator fidem discipulorum suis interrogationibus erudiret; Quem, inquit, dicunt homines esse filium hominis? quúmque illi diuersas aliorum opiniones retexuissent: Vos autem, ait, quem me esse dicitis? me vtique, qui sum filius hominis, & quem in forma serui, atque in veritate carnis adspicitis, quem me esse dicitis? * Ibi beatus Petrus, diuinitus inspiratus, & confessione sua omnibus gentibus profuturus: Tu es, inquit, Christus filius Dei viui. Nec immerito beatus est pronuntiatus à Domino, & à principali petra soliditatem & virtutis traxit, & nominis, qui per reuelationem patris eumdem & filium Dei est confessus, & Christum: quia vnum horum sine alio receptum, non proderat ad salutem, sed æqualis erat periculi, Dominum Iesum Christum aut Deum tantummodo sine homine, aut sine Deo solum hominem credidisse. Post resurrectionem vero Domini, quæ vtique veri * corporis fuit, quia alter non est resuscitatus quàm qui fuerat crucifixus & mortuus, quid aliud quadraginta dierum mora gestum est, quàm vt fidei nostræ integritas ab omni caligine mundaretur? colloquens enim cum discipulis suis, & cohabitans, atque conuescens, & pertrectari se diligenti curiosóque contactu ab eis quos dubietas perstringebat, admittens: ideo & clausis ad discipulos ianuis introibat, & flatu suo dabat spiritum sanctum,

Ioan. 10.
Ioan. 14.
* τὸ πρόσωπον
1. Cor. 2.
Matth. 16.
*malè legitur, vbi
*malè legitur, hominis
Ioan. 10.
Act. 1.

A ... ὃ διαρρήγνυσθαι τοῖς ἥλοις, καὶ τὰς τοῦ παραδείσου πύλας ἀνοῖξαι τῇ πίστει τοῦ λῃστοῦ· οὕτως οὐ τῆς αὐτῆς ἐστι φύσεως, τὸ λέγειν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ τὸ λέγειν· ὁ πατήρ μου μείζων μου ἐστίν. εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῷ δεσπότῃ Ἰησοῦ Χριστῷ τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου ἕν ἐστι τὸ πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο, ἐξ οὗ καὶ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως· καὶ ἕτερον, ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. ἐξ ἡμῶν γάρ ἐστιν αὐτῷ ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρωπότης, ἀπὸ δὲ τοῦ πατρός ἐστιν αὐτῷ ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης. διὰ ταύτην τοίνυν * τὴν
B προσώπων τὴν ἕνωσιν τὴν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν, καὶ υἱὸν ἀναγινώσκομεν ἀνθρώπου καταληλυθέναι ἐξ οὐρανοῦ, ὁπότε ὁ υἱὸς τοῦ Θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς παρθένου, ἐξ ἧς ἐτέχθη, προσέλαβε· καὶ πάλιν ὁ υἱὸς τοῦ Θεοῦ ὁ σταυρωθεὶς λέγεται καὶ ταφείς, ὁπότε ταῦτα οὐκ ἐν αὐτῇ τῇ θεότητι, ἐν ᾗ μονογενής, καὶ συναΐδιος, καὶ ὁμοούσιός ἐστι τῷ πατρί, ἀλλ' ἐν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης ὑπομεμένηκε φύσεως. ὅθεν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ τὸν σταυρωθέντα καὶ ταφέντα πάντες ἐν τῷ συμβόλῳ συνομολογοῦμεν, κατ' ἐκεῖ-
C νο τὸ ἀποστολικόν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὅτε δὲ αὐτὸς ὁ κύριος ἡμῶν καὶ σωτὴρ τὴν πίστιν τῶν μαθητῶν διὰ τῶν οἰκείων ἐξεπαίδευσεν ἐρωτήσεων· τίνα με, φησίν, οἱ ἄνθρωποι λέγουσιν εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; κἀκείνων ἀποκριναμένων ἄλλας ἄλλων εἶναι δόξας· ὑμεῖς, φησί, τίνα με λέγετε εἶναι; ἐμὲ δηλαδὴ τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ ὃν ἐν μορφῇ δούλου καὶ ἀληθείᾳ σώματος θεωρεῖτε, τίνα με λέγετε; ἔνθεν ὁ μακάριος Πέτρος θεόθεν ἐμπνευσθείς, καὶ διὰ τῆς οἰκείας ὁμολογίας μέλλων πᾶσι γενέσθαι σωτηρία τοῖς ἔθνεσι· σὺ εἶ, φησίν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ζῶντος. καὶ ἀξίως μα-
D κάριος ἀπεφάνθη παρὰ τοῦ Κυρίου, καὶ ἀπὸ τῆς πρωτοτύπου πέτρας τὸ στερρὸν ἐπεσπάσατο τῆς ἀρετῆς καὶ τῆς προσηγορίας, ὅστις δι' ἀποκαλύψεως τοῦ πατρός, τὸν αὐτὸν καὶ υἱὸν Θεοῦ ὡμολόγησε, καὶ Χριστόν· ἐπειδὴ τὸ ἓν τούτων δίχα θατέρου λαμβανόμενον, ἀνόνητον τυγχάνει εἰς σωτηρίαν· καὶ τοῦ αὐτοῦ ὑπῆρχε κινδύνου τὸ τὸν κύριον Ἰησοῦν Χριστὸν ἢ Θεὸν μόνον ἄνευ ἀνθρώπου, ἢ δίχα Θεοῦ πιστεύειν ἄνθρωπον μόνον. μετὰ δὲ τὴν ἀνάστασιν τοῦ Κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθοῦς σώμα-
E τος αὐτοῦ γέγονεν, ἐπειδήπερ οὐκ ἄλλος ἀνέστη εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών, τί ἕτερον τῇ τῶν τεσσαράκοντα ἡμερῶν διαγωγῇ αὐτοῦ γέγονεν, ἢ ἵνα ἐκ πάσης ἀχλύος τὰ τῆς πίστεως ἡμῶν καθαρθῇ; διαλεγόμενος γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ συνδιατρίβων, καὶ συναλιζόμενος, ἀκριβέστερόν τε καὶ πολυπραγμονικώτερον διὰ τῆς ἁφῆς αὐτὸν ψηλαφᾶσθαι παρὰ τούτων, οὓς ἔπληττε τὸ ἀμφίβολον, ἐνεδίδου· διὰ τοῦτο καὶ κεκλεισμένων τῶν θυρῶν εἰσῄει πρὸς τοὺς μαθητάς, καὶ τῷ φυσήματι τῷ ἑαυτοῦ παρεῖχεν ἅγιον πνεῦμα,

A καὶ χαριζόμενος τὸ φῶς τῆς γνώσεως, τῶν θείων γραφῶν ἀνεκάλυπτε τὰ ἀπόρρητα. καὶ πάλιν ὁ αὐτὸς τὰ τραύματα τῆς πλευρᾶς, καὶ τὰς διατρήσεις τῶν ἥλων, καὶ πάντα τὰ τοῦ νεαροῦ πάθους ἐπεδείκνυε σημεῖα λέγων· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· ὅπως ἂν ἐν αὐτῷ μεμενηκέναι γνωσθῇ ἡ ἰδιότης τῆς θείας καὶ ἀνθρωπίνης φύσεως ἀδιαίρετος· οὕτω τε μάθωμεν, τὸν λόγον μὴ τοῦτο εἶναι, ὅπερ ἐστὶν ἡ σάρξ, ἀλλ' ἕνα υἱὸν τοῦ Θεοῦ, καὶ τὸν λόγον ὁμολογήσωμεν, καὶ τὴν σάρκα. τῆς τοίνυν πίστεως τοῦ μυστηρίου κοῦφος ὢν Εὐτυχής, οὗτος καὶ ἀμέτοχος ὀφείλει νομίζεσθαι, ὃς τὴν φύσιν τὴν B ἡμετέραν ἐν τῷ μονογενεῖ τοῦ Θεοῦ υἱῷ οὔτε διὰ τῆς ταπεινότητος τῆς ἀνθρωπότητος, οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστάσεως· οὔτε τὴν ἀπόφασιν ἐφοβήθη τοῦ μακαρίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου λέγοντος· ὅτι πᾶν πνεῦμα τὸ ὁμολογοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἀπὸ Θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα, τὸ διαιροῦν Ἰησοῦν Χριστὸν, ἀπὸ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστιν ὁ ἀντίχριστος. τί δέ ἐστι τὸ διαιρεῖν τὸν Ἰησοῦν, εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν; καὶ τὸ μυστήριον, δι' οὗπερ ἐσώθημεν μόνου, πειρᾶσθαι ματαίοις διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι; C ὁ δὲ ἀχλὺν ὑφιστάμενος περὶ τὴν φύσιν τοῦ σώματος τοῦ Χριστοῦ, ἀναγκαίως καὶ περὶ τὸ πάθος αὐτοῦ τῇ παραπλησίᾳ τυφλώσει παραφέρεται. καὶ γὰρ εἰ τὸν σταυρὸν τοῦ δεσπότου ψευδῆ μὴ νενόμικε, καὶ τὸ πάθος τὸ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀναδεχθὲν, ἀληθῶς γενόμενον οὐδαμῶς ἀμφιβάλλει· οὗτινος οἶδεν ἐπιγινώσκει τὸν θάνατον, ἐπιγινωσκέτω καὶ τὴν σάρκα· καὶ μηδὲ τὸν ἡμετέρας αὐτὸν σαρκὸς ἄνθρωπον ἀρνείσθω, ὃν παθητὸν ἔγνω γενόμενον· ἐπειδήπερ ἡ ἄρνησις τοῦ ἀληθοῦς σώματος, ἄρνησίς ἐστι καὶ τοῦ πάθους τοῦ σώματος. εἰ τοίνυν δέχεται πίστιν Χριστιανῶν, καὶ ἀπὸ τοῦ κηρύγματος τοῦ Εὐαγγελικοῦ μὴ τὴν οἰκείαν ἀκοὴν ἀποστρέφει, σκοπείτω ποία φύσις διαπεπαρ- D μένη τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ ἐκρέματο, καὶ νυγείσης τῆς πλευρᾶς τοῦ προσπαγέντος τῷ σταυρῷ διὰ τοῦ δόρατος τοῦ στρατιώτου, νοείτω πόθεν τὸ αἷμα καὶ τὸ ὕδωρ ἐρρύη, ὥστε τὴν ἐκκλησίαν τοῦ Θεοῦ τῷ τε λουτρῷ καταρδεύεσθαι, καὶ τῷ πόματι. ἀκουέτω δὲ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου κηρύσσοντος, ὅτι ὁ καθαρισμὸς τοῦ πνεύματος διὰ τοῦ ῥαντισμοῦ γίνεται τοῦ αἵματος τοῦ Χριστοῦ· μηδὲ παροδικῶς ἀναγινωσκέτω τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα, λέγοντος· εἰδότες, ὅτι οὐ φθαρτοῖς, E ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Ἰησοῦ Χριστοῦ. καὶ τοῦ μακαρίου Ἰωάννου τοῦ ἀποστόλου τῇ μαρτυρίᾳ μὴ ἀνθιστάσθω, λέγοντος, καὶ τὸ αἷμα Ἰησοῦ υἱοῦ τοῦ Θεοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. καὶ πάλιν· αὕτη ἐστὶν ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. τίς ἐστιν ὁ νικήσας τὸν κόσμον; εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ;

& donato intelligentiæ lumine, sanctarum scripturarum occulta pandebat; & rursus idem vulnus lateris, fixuras clauorum, & omnia recentissimæ passionis signa monstrabat, dicens; Videte manus meas & pedes, quia ego sum; palpate & videte, quia spiritus carnem & ossa non habet, sicut me videtis habere: vt agnosceretur in eo proprietas diuinæ humanæque naturæ indiuidua permanere: & ita sciremus, verbum hoc esse, quod carnem; & vnum Dei filium, & verbum confiteremur, & carnem. Quo fidei sacramento Eutyches ille nimium æstimandus est vacuus, qui naturam nostram in vnigenito Dei nec per humilitatem mortalitatis, nec per gloriam resurrectionis agnouit; nec sententiam beati Apostoli & Euangelistæ Ioannis expauit, dicentis: Omnis spiritus, qui confitetur Iesum Christum in carne venisse, ex Deo est; & omnis spiritus, qui soluit Iesum, ex Deo non est, & hic est antichristus. Quid autem est soluere Iesum, nisi humanam ab eo separare naturam, & sacramentum fidei, per quod vnum saluati sumus, impudentissimis euacuare figmentis? Caligans vero circa naturam corporis Christi, necesse est, vt etiam in passione eius eadem obcæcatione desipiat. Nam si crucem Domini non putat falsam, & * susceptum oro mundi salute supplicium verum fuisse non dubitat; cuius credit mortem, agnoscat & carnem: nec diffiteatur nostri corporis hominem, quem cognoscit fuisse passibilem, quoniam negatio veræ carnis, negatio est etiam corporeæ passionis. Si enim Christianam suscipit fidem, & à prædicatione euangelij suum non auertit auditum; videat, quæ natura transfixa clauis pependerit in crucis ligno, & aperto per militis lanceam latere crucifixi, intelligat, vnde sanguis & aqua effluxerint, vt ecclesia Dei & lauacro * rigaretur, & poculo. Audiat & beatum Petrum Apostolum prædicantem, * quod sanctificatio spiritus per adspersionem fiat sanguinis Christi. Nec transitoriè legat eiusdem Apostoli verba, dicentis: Scientes, quod non corruptibilibus, argento & auro, redempti estis de vana vestra conuersatione paternæ traditionis; sed pretioso sanguine, quasi agni incontaminati & immaculati, Iesu Christi. Beati quoque Ioannis Apostoli testimonio non resistat, dicentis: * Sed sanguis Iesu filij Dei emundat nos ab omni peccato. & iterum: Hæc est victoria, quæ vincit mundum, fides nostra. & quis est, qui vincit mundum, nisi qui credit, quoniã Iesus est filius Dei?

Luc.14.
* Græci, secus.
1. Ioan. 4.
* ἀναδεχθὲν
Ioan. 19.
* malè legitur, regeneretur.
* 1. Pet. 2.
* Et sanguis
1. Ioan. 1.
1. Ioan. 5.

uiuun vi nomen r. hie est qui venit per aquam, & sanguinem, Iesus Christus: non in aqua solum, sed in aqua & sanguine. Et spiritus est, qui testificatur, quooiam * spiritus est vetitas. quia tres sunt, qui testimonium dant; spiritus, aqua & sanguis: & hi tres voum sunt, spiritus vtique sanctificationis, & sanguis redemptionis, & aqua baptismatis; quæ tria vnum suot, & indiuidua manent, nihilque eorum à sui connexione seiungitur. quia Catholica Ecclesia hac fide viuit ac profieit, vt in Christo Iesu nec sine vera diuinitate humanitas, nec sine vera credatur humanitate diuinitas.

*male legitur, Christus.

*οἱ τρεῖς τὸ ἕν

B Quum autem ad interloquutionem examinis vestri Eutyches responderit, dicens; Confiteor ex duabus naturis fuisse Dominum nostrum ante adunationem, post adunationem vero vnam naturam confiteor: miror tam absurdam, támque peruersam eius professionem, nulla iudicantium increpatione reprehensam, & sermonem nimis insipientem, nimisque blasphemum, ita omissum, quasi nihil, quod offenderet, esset auditum: quum tam impiè duarum naturarum ante incarnationem vnigenitus Dei filius fuisse dicatur, quàm nefariè, postquam verbum caro factum est, natura in eo singularis adsetitur. quod ne Eutyches ideo vel recte, vel tolerabiliter æstimet dictum, quia nulla vestra est sententia confutatum: dilectionis tuæ diligentiam commonemus, frater carissime, vt si per inspirationem misericordiæ Dei, ad satisfactionem caussa perducitur; imprudentia hominis imperiti etiam ab hac sensus sui macula per te purgetur. qui quidem, sicut gestorum ordo patefecit, bene cœperat à sua persuasiooe discedere, quum vestra sententia coarctatus, profiteretur se dicere, quod antè non dixerat; & ei fidei adquiescere, cuius ptius fuisset alienus. sed quum anathematizando impio dogmati * voluisset præbere consensum, intellexit eum fraternitas vestra in sua manere perfidia, dignúmque esse, qui iudicium condemnationis exciperet. de quo si fideliter atque vtiliter dolet, & quàm rectè mota sit episcopalis auctoritas, vel sero cognoscit; vel si ad satisfactionis plenitudioem omnia, quæ ab eo male sunt sensa, viua voce & præsenti subscriptione damnauerit: non erit reprehensibilis erga correctum quantacumque miseratio. Dominus noster, verus & bonus pastor, qui animam suam posuit pro ouibus suis, & qui venit animas homioum saluare, non perdere, imitatores nos vult esse suæ pietatis: vt peccantes quidem iustitia coerceat, conuersos autẽ misericordia non repellat.

* ἀνεπιλήψιμον

* Rectius, noluisset

A οὗτός ἐστιν ὁ ἐρχόμενος δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν ὕδατι καὶ αἵματι. καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ἐπειδὴ τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. τρεῖς γάρ εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ * οἱ τρεῖς εἰς τὸ ἕν εἰσι, τὸ πνεῦμα δηλονότι τοῦ ἁγιασμοῦ, καὶ τὸ αἷμα τῆς λυτρώσεως, καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος· ἅπερ τὰ τρία ἕν εἰσι, καὶ ἀμέριστα μένει, καὶ οὐδὲν αὐτῶν ἀπὸ τῆς ἑαυτῶν χωρίζεται συναφείας· ἐπειδήπερ ἡ Καθολικὴ ἐκκλησία ἐν ταύτῃ ζῇ καὶ προκόπτει τῇ πίστει, ἵνα μήτε δίχα τῆς ἀληθοῦς θεότητος ἡ ἀνθρωπότης, μήτε δίχα τῆς ἀληθοῦς ἀνθρωπό-
B τητος ἡ θεότης πιστεύηται. πρὸς μέντοι τὴν διαλαλιὰν τῆς ὑμετέρας ἀκροάσεως, ὡς Εὐτυχὴς ἀπεκρίνατο λέγων· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ· θαυμάζω τὴν οὕτως ἀλλόκοτον καὶ οὕτω διεστραμμένην ὁμολογίαν μηδεμιᾷ τῶν δικαζόντων ἐπιτιμήσει δέξασθαι * ἀνεπιλήψιμον, καὶ τὸ οὕτως ἄφρονα λόγον ἐν παραδρομῇ γεγονότα, ὡς τῶν ἀκουσθέντων οὐδενὶ προσκρουσάντων· ὁπότε τοσοῦτον ἔσχατόν ἐστιν ἀσεβές, τὸ λέγειν ὡς ἐκ δύο φύσεων πρὸ τῆς ἐνανθρωπήσεως ὁ μονογενὴς ἐστὶν υἱὸς τοῦ Θεοῦ, ὥσπερ ἐστὶν ἀθέμιτον διαβεβαιοῦσθαι,
C ὡς μετὰ τὸ τὸν λόγον σάρκα γενέσθαι, μία ἐν αὐτῷ φύσις ἐστίν. ὅπερ ὅπως ἂν μὴ Εὐτυχὴς ὀρθῶς εἰπεῖν ἀνεκτῶς ὑπολάβοι ῥηθέν, ἐπειδήπερ οὐδεμιᾶς ὑμῶν ἐπεστομίσθη ψήφου, τὴν τῆς σῆς ἀγάπης ὑπομιμνήσκομεν ἀκρίβειαν, ἀδελφὲ τιμιώτατε, ἵνα εἰ διὰ τὸν τοῦ Θεοῦ οἰκτιρμὸν εἰς ἀπολογίαν περιίσταται τὰ τοῦ πράγματος, ἡ ἀγνωσία τοῦ ἀμαθοῦς ἀνθρώπου καὶ ἀπὸ ταύτης τῆς φθορᾶς τῆς κατὰ τὴν ἰδίαν διάνοιαν καθαρθῇ. ὅστις μὲν οὖν, ὡς ἡ τάξις τῶν πεπραγμένων δηλοῖ, καλῶς ἀναχωρεῖν ἀρξάμενος ἀπὸ τῆς ἰδίας ἐνστάσεως, ὁπηνίκα τῇ ὑμῶν
D ἀποφάσει συνεχόμενος ὡμολόγει λέγειν ἑαυτὸν ὅπερ πρότερον οὐκ εἰρήκει, καὶ ταύτῃ ἐφησυχάζειν τῇ πίστει, ἧς ἐτύγχανε πρότερον ἀλλότριος· ἀλλ' ὅτιπερ ἐν τῷ ἀναθεματίζειν ἀσεβεῖ δόγματι συναινεῖν οὐκ ἠβούλετο, ἔγνω αὐτὸν ἡ ὑμῶν ἀδελφότης ἐν τῇ οἰκείᾳ διαμένοντα κακοδοξίᾳ, καὶ ἄξιον εἶναι δέξασθαι τὴν κρίσιν τῆς καθαιρέσεως. ἐφ' ᾧπερ εἰ πιστῶς καὶ συμφερόντως ἀλγεῖ, καὶ εἰ βραδέως γοῦν, ὅμως ἐπιγινώσκει, ὅπως εἰς δέον ἡ τῶν ἐπισκόπων ἐπ' αὐτῷ αὐθεντία κεκίνηται· ἢ εἰ πρὸς τὸ τέλειον ἀπολογίας
E ἴδοι, ὥστε πάντα τὰ παρ' αὐτοῦ φρονηθέντα ἐναργεῖ τῇ φωνῇ καὶ οἰκείᾳ δὲ καὶ παρούσῃ καταδικάσαι ὑπογραφῇ, οὐκ ἔσται δίκης καταγνώσεως ἄξιον περὶ τὸν διορθωθέντα ὁποσονοῦν ἔλεος. ἐπειδήπερ ὁ κύριος ἡμῶν, ὁ ἀληθινὸς καὶ ἀγαθὸς ποιμήν, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων τῶν ἑαυτοῦ, καὶ ὃς ἦλθε τὰς ψυχὰς τῶν ἀνθρώπων σῶσαι, οὐκ ἀπολέσαι, μιμητὰς ἡμᾶς τῆς οἰκείας ἀγαθότητος εἶναι βούλεται· ἵνα τοὺς μὲν ἁμαρτάνοντας σωφρονίσῃ τὸ δίκαιον, τοὺς δὲ ἐπιστρέψαντας ὁ τῆς συμπαθείας οἶκτος μηδαμῶς ἀπώσῃ.

Tunc

πότε γὰρ ὄντως ἐστὶ σπουδὴ ἀγαθῶν περὶ καρπῶν τῆς πίστεως ἀληθὲς ἐκδικεῖται, ὅτε καὶ παρὰ τῶν τῆς δυσσεβείας ἐξάρχων ἡ οἰκεία κακοδοξία καταδικάζεται.

A Tunc enim demum fructuosissimè fides vera * defenditur, quando etiam à sectatoribus suis opinio falsa damnatur.

* Quidam deprehêditur, sed malè.

ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΒΙΖΑΝΤΙΟΥ ΣΧΟΛΙΑ,
ἀπὸ φωνῆς ΘΕΟΔΩΡΟΥ, τοῦ Θεοφιλεστάτου ἀββᾶ, καὶ σοφωτάτου φιλοσόφου, τῶν τε θείας καὶ ἐξωτικῶν φιλοσοφήσαντος γραφῶν.

LEONTII ADVOCATI BYZANTINI, SCHOLÆ, EX
ore THEODORI, religiosissimi abbatis, doctissimique philosophi, diuinis pariter externisque litteris eruditi, exceptæ.

ΠΡΑΞΙΣ α΄.

ΑΝΑΓΚΑΙΟΝ ἐστὶ, μέλλοντας ἡμᾶς αἱρέσεων ἐπιμνησθῆναι, πρότερον περὶ τεσσάρων τινῶν ἐν ταῖς τῶν πατέρων χρήσεσι διαλαβεῖν. εἰσὶ δὲ αὗται, οὐσία, φύσις, ὑπόστασις, πρόσωπον. ἰστέον οὖν ὅτι οὐσία καὶ φύσις ταυτόν ἐστι παρ᾽ αὐτοῖς· καὶ πάλιν, ὑπόστασις καὶ πρόσωπον ταυτόν. οὐσία δέ ἐστιν, ἤτοι φύσις, παρ᾽ αὐτοῖς, ὅπερ οἱ φιλόσοφοι λέγουσιν εἶδος. εἶδος δὲ, τὸ κατὰ πολλῶν καὶ διαφερόντων τῷ ἀριθμῷ λεγόμενον. ὑπόστασιν δὲ, ἤτοι πρόσωπον καλοῦσιν, ὅπερ οἱ φιλόσοφοι ἄτομον οὐσίαν λέγουσι. καλῶς δὲ προσετεθείκαμεν ἄτομον οὐσίαν. οἱ γὰρ ἐκκλησιαστικοὶ τὰ ἄτομα τῶν συμβεβηκότων, οὔτε πρόσωπον καλοῦσιν, οὔτε ὑπόστασιν. τούτων οὕτως προεγνωσμένων, ἡ ἡμετέρα πίστις ἐστὶν, ὅτι μία ἐστὶ θεότης ἐν τρισὶν ὑποστάσεσι νοουμένη. ἔστι δὲ μία ὑπόστασις ἡ τοῦ πατρὸς, καὶ μία ἡ τοῦ υἱοῦ, καὶ μία ἡ τοῦ ἁγίου πνεύματος. ταῦτα δὲ τὰ τρία, οὐδὲν ἀλλήλων διαφέρουσιν, εἰ μὴ μόνον κατὰ τὰ ἰδιώματα· κατὰ τὸ, τὸν μὲν, εἶναι πατέρα· τὸν δὲ, υἱόν· τὸν δὲ, πνεῦμα ἅγιον. ἐπεὶ μία οὐσία ἡ τῶν τριῶν, καὶ μία δύναμις, καὶ μία βούλησις. τοῦτο μόνον διαφέρουσιν, ὅτι ὁ μὲν υἱὸς γεννᾶται ἐκ τοῦ πατρὸς, τὸ δὲ πνεῦμα ἐκπορεύεται ἐξ αὐτοῦ. πῶς δὲ γεννᾶται ὁ υἱὸς ἐξ αὐτοῦ, ἢ πῶς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, οὐ δεῖ περιεργάζεσθαι. ἰστέον δὲ, ὅτι οὐχ ὡς ἐπὶ τοῦ ἀνθρώπου δεῖ νοεῖν τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα. ἡ γὰρ ἁγία γραφὴ οὕτως ἁπλῶς ταῦτα ὠνόμασεν, ὡς ἂν ηὐπόρησε περὶ αὐτῶν διδάξαι καὶ εἰπεῖν, καὶ ἡμεῖς δυνηθείημεν ἀκοῦσαι. αὕτη τοίνυν ἡ ἁγία τριὰς, μία θεότης, ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος, ἐποίησε τὰ πάντα, τά τε ὁρατὰ, καὶ ἀόρατα.

B

ACTIO I.

QVVM ex antiquitatis memoria sectarum historiam repetituri simus, necessarium est, de quatuor vt vocabulis, quæ in patrum dictis reperiuntur, paucis disseramus. Ea vocabula sunt, Substantia, natura, hypostasis, persona. Sciendum ergo, substantiam & C naturam apud ipsos idem esse: ac rursus idem, hypostasin & personam. Substantia siue natura, est apud eos, quod philosophi speciem vocant. Et species est, quæ de pluribus ac numero diuersis dicitur. Hypostasin vero, siue personam vocant, quod indiuiduam philosophi substantiam dicunt. ac rectè quidem adiecimus, indiuiduam substantiam. nam Ecclesiastici scriptores accidentium indiuidua nec personam vocant, nec hypostasin. His ita præcognitis, fidem hanc profiteamur, vnam D scilicet esse diuinitatem, quæ tribus in hypostasibus intelligatur. Vna patris est hypostasis, altera filij, tertia spiritus sancti. atque hæc tria, nihil inter se differunt, nisi solo proprietatum respectu; quatenus hic pater est, alter filius, tertius spiritus sanctus. nam horum trium vna est substantia, & vna potestas, vna voluntas. In hoc tantum differunt, quod filius ex patre gignitur, spiritus procedit. Quo autem modo vel filius ex eo gignatur, vel E spiritus sanctus procedat; curiosius inuestigandum non est. Sciendum vero, non humano more, patris, & filij, & sancti spiritus voces accipiendas. Quippe sacræ litteræ sic istis simpliciter adpellationibus vsæ sunt, prout de rebus iis docere ac loqui licuit, nósque auditu percipere potuimus. Hæc ergo sancta Trinitas, vnáque diuinitas, prorsus ex nihilo condidit vniuersa, tam adspectabilia quam inadspectabilia.

Hæc quatuor nomina, Substantia, natura, persona, hypostasis, qua in significatione à Theologis sumantur.

Ecclesiasticæ historiæ summa.

Num verò inadspectabilia priùs facta fuerint, ex sequentibus intelligamus. Hoc quidem sciendum, Deum sex diebus vniuersa condidisse, hominem vltimo die creasse, creatum in paradiso collocasse. Quid paradisus sit, deinceps cognoscemus. Hinc Deus carne de hominis costa quadam sumpta, fœminam condidit; cui quidem ab Adamo Euæ nomen est inditum. Præscripsit autem ipsis mandatum Deus, cui si obtemperarent, saluos fore; sin autem, morituros aiebat. quod quum illi non præstitissent, eiecti de paradiso fuerunt: simul Deus humanum genus est exsecratus. Eiectis autem ipsis, Adamus cum Eua rem habuit, eisque nati sunt tres filij, Cainus, Abelus, Sethus. His procreatis, augeri genus humanum cœpit, ac dominum offendere: qui quidem ira commotus, eis diluuium immisit, è quo solus Noa, cum vxore, tribus filiis, & eorum vxoribus, octo scilicet homines, salui euaserunt. His seruatis, iterum gens humana excreuit, cœperéque rursus adorare simulacra. Tunc Deus in Abrahamum coniecit oculos, hominem Chaldæum, habitantem in Mesopotamia. Discede, inquit, eum adpellans, à cognatis tuis, & patria tua, in eam regionem, quam ego tibi monstrabo. Quo inde digresso, Deus ei terram Chananæam siue Palæstinam ostendit, inquiens: Huius ego te possessorem constituam. In hac igitur regione Abrahamus Isaacum genuit, Isaacus Iacobum, Iacobus XII filios, quorum vnus erat Iudas. Hi sunt illi XII patriarchæ, quibus hoc nomen ex eo datum, quòd XII tribubus adpellationes dederint. Vocabantur autem Israëlitæ, & Hebræi, & Iudæi. quorum nominum primùm à Iacobo nacti sunt; cui Deus aliquando dixit: Non Iacobus adpellabere, sed Israëlus, id est, mens Deum adspiciens. itaque ab Iacobo, cui cognomentum Israëli datum, Israëlitæ dicti. Hebræi vero, ab vno de Abrahami proauis Hebero. Iudæi denique dicebantur, non propriè vniuersi: sed quotquot ex Iudæ tribu originem ducebant. nihilominus & aliis hoc nomen abusiue tribuebatur ex ea caussa, quòd ex illa tribu reges creabantur. In horum XII numero Iosephus erat, quem cæteri fratres æmulatione quadam persequebantur, donec eum tamdem viris quibusdam in Ægyptum proficiscentibus, venderent. In Ægyptum delatus, apud Pharaonem regem, & alios ibidem gratiosus esse cœpit. quumque annonæ caritas exstitisset in Palæstina, Iacobus cum filiis nepotibusque suis, capitibus omnino LXXV, in Ægyptum venit, vbi copiam esse magnam annonæ inaudisset. atque hic à Iosepho adgniti, manserunt. Ibidem extinctis Iacobo & Iosepho, ab Ægyptus Israëlitæ adfligebatur.

A εἰ δὲ τὰ ἀόρατα πρότερον ἐγένοντο, ἐν τοῖς ἐφεξῆς μαθησόμεθα. τοῦτο δὲ δεῖ γνῶναι, ὅτι ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὰ πάντα· ἐν τῇ ὑστέρᾳ δὲ, ἐποίησε τὸν ἄνθρωπον· καὶ ποιήσας αὐτὸν, ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. τί δέ ἐστιν ὁ παράδεισος, ἐν τοῖς ἐφεξῆς γνωσόμεθα. λαβὼν δὲ ὁ Θεὸς ἐκ τῆς μιᾶς τῶν πλευρῶν αὐτοῦ σάρκα, ἐποίησε γυναῖκα, ἥτις ὠνομάσθη ἀπὸ τοῦ Ἀδὰμ ΕΥα. ἐνετείλατο δὲ αὐτοῖς ἐντολὴν, εἰπὼν, ὅτι εἰ μὲν φυλάξητε αὐτὴν, σωθήσεσθε· εἰ δὲ μήγε, ἀποθανεῖσθε. καὶ μὴ φυλάξαντες, ἐξεβλήθησαν ἐκ τοῦ παραδείσου· καὶ ἐκατηράσατο ὁ

B Θεὸς τὸ ἀνθρώπινον γένος. ἐκβληθέντων δὲ αὐτῶν, ἔγνω Ἀδὰμ τὴν ΕΥαν, καὶ ἐγένοντο αὐτοῖς τρεῖς υἱοί, Κάϊν, καὶ Ἄβελ, καὶ Σήθ. τούτων γεννηθέντων, ἐπλεόνασε τὸ γένος τῶν ἀνθρώπων· καὶ ἤρξαντο παραπικραίνειν τὸν Κύριον. ὁ δὲ ὀργισθεὶς, ἔπεμψεν αὐτοῖς τὸν κατακλυσμὸν, ἐξ οὗ μόνος ἐσώθη ὁ Νῶε, καὶ ἡ γυνὴ, καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ, καὶ αἱ γυναῖκες αὐτῶν, οἱ πάντες ὀκτώ. τούτων σωθέντων, πάλιν ἐπλεόνασεν ἡ ἀνθρωπίνη γενεὰ, καὶ ἤρξαντο πάλιν εἰδώλοις προσκυνεῖν. καὶ τότε ἐπιβλέψας ὁ Θεὸς εἰς τὸν Ἀβραὰμ, ἄνδρα Χαλδαῖον, τῆς Μεσοποταμίας χώρας, καὶ εἶπεν

C αὐτῷ, ἔξελθε ἐκ τῆς συγγενείας σου, καὶ τῆς γῆς σου, καὶ δεῦρο εἰς γῆν ἣν ἐγώ σοι δείξω. καὶ ἐξῆλθε, καὶ ἔδειξεν αὐτῷ ὁ Θεὸς τὴν γῆν τῆς Χαναναίας ἤτοι Παλαιστίνης, εἰπὼν αὐτῷ ταύτης σε καταστήσω κληρονόμον. ἐγέννησεν οὖν ἐν τῇ γῇ ὁ Ἀβραὰμ τὸν Ἰσαὰκ, ὁ δὲ Ἰσαὰκ, τὸν Ἰακώβ· ὁ δὲ Ἰακὼβ ἐγέννησε ιβ. τέκνα, ὧν εἷς ἦν ὁ Ἰούδας. οὗτοι εἰσὶν οἱ ιβ. πατριάρχαι. πατριάρχαι δὲ ἐκλήθησαν, ἐπειδὴ αἱ δώδεκα φυλαὶ ἐξ αὐτῶν ὠνομάσθησαν. ἐκαλοῦντο δὲ οὗτοι Ἰσραηλῖται, καὶ Ἑβραῖοι, καὶ Ἰουδαῖοι. καὶ Ἰσραηλῖται μὲν ἐκαλοῦντο, ὡς ἀπὸ τοῦ Ἰακώβ.

D τούτῳ γὰρ εἶπεν ὁ Θεὸς, ὅτι οὐ κληθήσῃ Ἰακὼβ, ἀλλ' Ἰσραὴλ, τοῦτ' ἔστι νοῦς ὁρῶν Θεόν. ἀπὸ τοῦ Ἰακὼβ οὖν, τοῦ ὀνομασθέντος Ἰσραὴλ, ἐλέγοντο Ἰσραηλῖται. Ἑβραῖοι δὲ, ἀπὸ τοῦ Ἔβερ τοῦ προπάτορος Ἀβραάμ. Ἰουδαῖοι δὲ ἐλέγοντο, οὐ κυρίως πάντες, ἀλλ' οἱ καταγόμενοι ἀπὸ τῆς φυλῆς τοῦ Ἰούδα. καταχρηστικῶς δὲ ἐλέγοντο Ἰουδαῖοι, διὰ τὸ ἐκ τῆς φυλῆς ταύτης γίνεσθαι τοὺς βασιλεῖς· καὶ ἐκ τούτου ἐπεκράτησε τὸ ὄνομα ἐπὶ πάντων. τούτων τῶν ιβ'. ἦν ὁ Ἰωσὴφ, ὃν παρεζήλωσαν

E οἱ ἄλλοι ἀδελφοὶ, ἕως οὗ ἐπώλησαν αὐτὸν ἀνθρώποις ἀπιοῦσιν εἰς Αἴγυπτον. ὅστις ἐλθὼν εἰς Αἴγυπτον, ἔσχε χάριν ἐνώπιον Φαραὼ τοῦ βασιλέως, καὶ τῶν ἐκεῖσε. λιμοῦ δὲ γενομένου ἐν Παλαιστίνῃ, μετὰ τῶν υἱῶν αὐτοῦ, καὶ τῶν παίδων τῶν υἱῶν αὐτοῦ, πάντων ο. ε. ἦλθεν ὁ Ἰακὼβ εἰς Αἴγυπτον, ἀκούσας εἶναι σῖτον πολύν. καὶ γνωρισθέντες ὑπὸ τοῦ Ἰωσὴφ, ἔμειναν ἐκεῖσε. τελευτησάντων δὲ ἐκεῖσε τοῦ Ἰακὼβ καὶ τοῦ Ἰωσὴφ, κατεπονοῦντο ὑπὸ τῶν Αἰγυπτίων οἱ Ἰσραηλῖται.

καὶ ὅτε ἐμνήσθη ὁ Θεὸς τῆς ἐντολῆς, ἧς ἐνετείλατο τῷ Ἀβραάμ. καὶ ἐξήγαγεν αὐτοὺς ἀπὸ Αἰγύπτου διὰ Μωσέως τοῦ προφήτου, ὄντας χʹ. χιλιάδας, χωρὶς παίδων καὶ γυναικῶν. ἔμειναν δὲ ἐν τῇ ἐρήμῳ ἔτη μʹ. ὅτε καὶ τὸν νόμον δέδωκεν αὐτοῖς ὁ Θεὸς διὰ Μωσέως. ἦσαν δὲ πάντα ποιοῦντες κατέναντι τοῦ νόμου, ὡς φησιν ἡ γραφή. καὶ μετὰ μʹ. ἔτη ἐξῆλθον ἐκ τῆς ἐρήμου εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοῦ Μωσέως ἀποθανόντος. ἐλθόντες δὲ εἰς τὴν γῆν ταύτην, οὐδὲ οὕτως ἐπεστράφησαν, προφητῶν πολλῶν ἀναφαινομένων, καὶ πολλὰ αὐτοῖς παραινούντων· ἀλλ' ἔμειναν οἱ αὐτοί. καὶ τότε ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ἐνοικήσας δι' ἡμᾶς ἐν τῇ θεοτόκῳ, σῶμα ἐνδυσάμενος ἔμψυχον, νοερόν, λογικόν, καὶ ἁπλῶς εἰπεῖν ἀνθρώπινον, ἡνώθη τῷ ἀνθρωπίνῳ σώματι, ἀσυγχύτως, ἀληθινῶς, ἀδιαιρέτως. ἀληθινῶς μέν, ὅτι μία ὑπόστασις ἐκ τοῦ Θεοῦ λόγου καὶ τοῦ ἀνθρωπίνου σώματος ἀπετελέσθη· ἀσυγχύτως δέ, ὅτι μετὰ τὴν ἕνωσιν ἐφυλάχθη τὰ ἑνωθέντα, μηδὲν τῶν κατ' οὐσίαν μεταλλαξάντων· ἀδιαιρέτως δέ, ὅτι μία ἐστὶν ἡ αὐτῶν ὑπόστασις. ταῦτα δὲ πάντα ἀπὸ τῆς ἁγίας γραφῆς πιστούμεθα. ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ ὡς ἀπὸ διαφόρων φύσεων λέγει ἔργα γινόμενα, ποτὲ μὲν Θεοῦ, ποτὲ δὲ ἀνθρώπου. πάντα γάρ, ὅσα δεῖ ἄνθρωπον ὑπομεῖναι, ὑπέμεινεν. ἐτέχθη γάρ, καὶ ἐγαλακτοτροφήθη, καὶ ἐτράφη, καὶ ηὔξησε, καὶ γενόμενος ἐτῶν λʹ. ἐβαπτίσθη, καὶ μετὰ τὸ βάπτισμα ἤρξατο σημεῖα ποιεῖν, καὶ διδάσκειν τοὺς Ἰουδαίους· καὶ τῷ λγʹ. ἔτει ἐσταυρώθη, καὶ σταυρωθεὶς ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελήφθη εἰς τοὺς οὐρανοὺς μετὰ τοῦ σώματος, καὶ νῦν καθέζεται μετ' αὐτοῦ ἐν δεξιᾷ τοῦ πατρός, καὶ αὐτός ἐστιν ὁ μέλλων εἰς τὴν ἀνάστασιν κρῖναι ζῶντας καὶ νεκρούς. αὕτη ἐστὶν ἡ πίστις τῶν Χριστιανῶν. τούτων οὖν οὕτως ἐχόντων, ἐν τῇ παρούσῃ θεωρίᾳ τεσσάρων αἱρέσεων ἡμεῖς ἐπιμνησθῶμεν. ὧν αἱ μὲν δύο, περὶ θεολογίας εἰσίν, ἐκ διαμέτρου μαχόμεναι ἀλλήλαις. Σαβέλλιος γὰρ μίαν φύσιν ἔλεγε τῆς ἁγίας τριάδος, καὶ μίαν ὑπόστασιν πολυώνυμον· ὁ δὲ Ἄρειος τρεῖς ὑποστάσεις ἔλεγε, καὶ τρεῖς φύσεις ἐκφύλους. πρῶτον γὰρ ἔλεγεν εἶναι τὸν πατέρα, ποιήματα δὲ αὐτοῦ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, γενόμενα ἐξ αὐτοῦ πρὸς ὑπουργίαν τῶν ἐξ αὐτοῦ κτισθησομένων. τούτων οὕτως ἀλλήλοις μαχομένων, ἡ ἐκκλησία μέσον χωροῦσα, οὔτε ὡς ὁ Σαβέλλιος μίαν φύσιν δοξάζουσα, ὥστε καὶ μίαν ὑπόστασιν δοξάζειν· οὔτε ὡς ὁ Ἄρειος τρεῖς ὑποστάσεις, ἵνα καὶ τρεῖς δοξάσῃ φύσεις· (ὁ μὲν γὰρ Σαβέλλιος ἀπὸ τῆς μιᾶς φύσεως πλανώμενος, καὶ μίαν ὑπόστασιν ἐδόξασεν· ὁ δὲ Ἄρειος διὰ τὰς τρεῖς ὑποστάσεις, καὶ τρεῖς φύσεις ἔλεγε) χωροῦσα οὖν μέσον τούτων ἡ ἐκκλησία, μίαν φύσιν λέγει τοῦ Θεοῦ ἐν τρισὶν ὑποστάσεσι.

itaque recordatus est Deus, quid Abrahamũ facere iussisset: eosque per Mosem vatem eduxit ex Ægypto, sexcenta scilicet hominũ millia, absque pueris & mulierculis. Manserunt autem in solitudine annis XL; quo tempore legem quoque Deus eis per Mosem dedit: cui quidem legi omnia, ceu sacræ litteræ loquuntur, aduersa faciebant. Post annum XL. egressi sunt de solitudine in terram promissam, Mose rebus humanis exempto. In hanc traducti, ne sic quidem conuersi sunt, licet multi vates existerent, eosque plurimum cohortarentur ac instruerent; sed ijdem mã-

B serunt. Tandem filius & sermo Dei, constituto propter nos in deipara virgine domicilio, quum corpus animatum, mente præditũ, rationis particeps, & simpliciter vt loquar, humanum induisset, eidem humano corpori vnitus est citra confusionem, & verè citráq; diuisionem. Verè, quoniam ex Deo sermone humanóque corpore, hypostasis absoluta est vna: citra confusionem, quoniam post vnionem nilhominus vnitæ res saluæ atque integræ manent, nõ mutatis substantialibus proprietatibus: citra diuisionem, quoniã vna est

Incarnationis mysterium.

Idiematum communicatio.

C earum hypostasis. Horum omnium fidem sacræ nobis litteræ faciunt. Sic enim loquuntur de vno & eodem, ac si diuersis à naturis actiones ipsæ prouenirent; nũc quidem à Deo, nũc autem ab homine. Nam omnia, quæcunque sustinere hominem oportet, sustinuit: in lucem est editus, lacte nutritus, educatus, auctus statura corporis, & annos natus XXX. baptizatus fuit, ac post baptismum prodigia facere cœpit, & Iudæos docere: annóq; XXXIII. in crucem actus: quo facto, tertio die resurrexit in cœlos adsumptus cũ corpore: cum quo

D iam patris ad dextrã sedet; éstq; is, qui viuos & mortuos in resurrectione iudicabit. Hæc Christianorũ fides est. atq; his ita declaratis, in hac cõsideratione nostra de quatuor sectis commemorandũ erit: quarum duæ quidem, ad doctrinam de Deo spectant, ex diametro secum inuicem pugnãtes. Quippe Sabellius vnam sanctæ Trinitatis naturam dicebat, & vnam hypostasin, habentem plura nomina. Arius autem esse tres aiebat hypostases, ac tres diuersi generis naturas. Nam primum dicebat esse patrem, eiúsq; creata filium & spiritum sanctũ, ab ipso facta ad seruiendũ ei in

IV. sectæ principales.

Primum per hæreticorum.

Sabellij hæresis.

Hæresis Arij.

E creatione rerum condendarum. His in hunc modum à se inuicem dissidentibus, ecclesia medio incedens itinere, nec more Sabellij sic vnam naturam tradens, vt vna quoq; statuatur hypostasis; nec ita tres hypostases, de Arij sententia, vt tres idem naturæ statuantur: (quippe Sabellius propter vnitatem naturæ in errorem actus, vnam quoque tradebat hypostasin: Arius vero, propter hypostases tres, tres quoque naturas esse dicebat) medio igitur inter hos ecclesia incedens itinere, vnam esse Dei naturã dicit in tribus hypostasibus.

atque hæc est in Trinitate vnitas, & in vnitate Trinitas. Deinde similiter ex diametro quasi pugnabant inter se, de incarnatione Dei sermonis, Nestorius & Eutyches. Quippe Nestorius, duas ille quidē naturas fatebatur; sed non dicebat earum factā vnionem. Magnam volebat esse huius hominis ad filiū adfectionem, adeo quidem, vt per eum, quæcumque velit, efficiat: eámque ob caussam aiebat hūc hominem, filium quoque adpellari. Quod si quis obiiceret, Cur vnum filium dicis esse, nō duos? respondisset Nestorius, tantū esse amorem & adfectionem Dei sermonis erga hunc hominem, vt duo, filius vnus adpellati fuerint. Eutyches vero perhibebat vnam esse hypostasim, & tam arctam aiebat vnionem Dei sermonis cum homine factam: vt etiam de duabus, vna fuerit effecta natura. Rursus autem ecclesia medio pergens inter hos itinere, nec duas naturas ita cum Nestorio fatetur, vt non & vnionem factam dicat: nec vicissim talem dicit vnionem factā, qualem Eutyches, vt vnam quoque naturam adserat. Nestorius enim propterea, quod duæ naturæ sint, vnionem factam negabat: Eutyches propter vnionem, naturam dicebat vnam. Verum ecclesia tradit vnam esse hypostasin, duabus in naturis. Atque hæc doctrina de incarnatione filij, doctrinæ de Trinitate vice versa respondet, sicut diuus ille Gregorius ait. Nam istic vnitatem naturæ tribuimus, discrimen hypostasibus: hic autem è contrario, vnitatem hypostasi, discrimen naturis. Ac de his quidem heic agere modò lubuit.

Alterum par hæreticorum. Nestorij hæresis.

Eutychis hæresis.

A καὶ αὕτη ἐστὶν ἡ ἐν τριάδι μονάς, καὶ ἡ ἐν μονάδι τριάς. εἶτα καὶ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου ὥσπερ ἐκ διαμέτρου ἐμάχοντο πρὸς ἀλλήλους ὅ, τε Νεστόριος καὶ Εὐτυχής. ὁ μὲν γὰρ Νεστόριος ἔλεγε δύο φύσεις, οὐκ ἔλεγε δὲ αὐτὰς δέξασθαι ἕνωσιν· ἀλλὰ σχέσιν πολλὴν ἔχειν τὸν ἄνθρωπον ἐκεῖνον πρὸς τὸν υἱόν, ὥστε καὶ δι' αὐτοῦ ἐνεργεῖν, ὅσα βούλεται· καὶ δι' αὐτὸ ἔλεγε καὶ τὸν ἄνθρωπον ἐκεῖνον, υἱὸν λέγεσθαι. εἴ τις δὲ εἴποι πρὸς αὐτόν, καὶ διατί ἕνα λέγεις υἱόν, καὶ μὴ δύο; ἀπεκρίνατο ἂν ὁ Νεστόριος· τοσαύτη ἦν ἡ φιλία καὶ ἡ σχέσις τοῦ Θεοῦ λόγου πρὸς τὸν ἄνθρωπον, B ὅτι οἱ δύο εἷς υἱὸς ἐλέγοντο· ὁ δὲ Εὐτυχὴς μίαν ὑπόστασιν ἔλεγεν, καὶ τοσαύτην ἔλεγε γενέσθαι ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸν ἄνθρωπον, ὥστε καὶ μίαν φύσιν ἀποτελεσθῆναι ἐκ τῶν δύο. πάλιν δὲ ἐκκλησία μέσον χωροῦσα τούτων, οὔτε δύο φύσεις ἔλεγεν ὡς ὁ Νεστόριος, ὥστε μηδὲ ἕνωσιν εἰπεῖν γεγενῆσθαι. ἀλλ' οὔτε τοιαύτην ἕνωσίν φησιν, ὡς ὁ Εὐτυχής, γεγενῆσθαι. ὥστε καὶ μίαν φύσιν εἰπεῖν. ὁ μὲν γὰρ Νεστόριος διὰ τὰς δύο φύσεις, οὐκ ἔλεγε γεγενῆσθαι ἕνωσιν. ὁ δὲ Εὐτυ- C χὴς διὰ τὴν ἕνωσιν, καὶ μίαν φύσιν ἔλεγεν. ἀλλὰ δοξάζει ἡ ἐκκλησία μίαν ὑπόστασιν ἐν δύο φύσεσι. καὶ ἔστι τὸ περὶ τῆς ἐνανθρωπήσεως δόγμα ἀντίστροφον τῷ περὶ τῆς θεολογίας, ὥς φησιν ὁ θεῖος Γρηγόριος. ἐκεῖ μὲν γὰρ τὸ ἓν περιέχομεν τῇ φύσει, τὸ δὲ διάφορον ταῖς ὑποστάσεσιν· ἐνταῦθα δὲ ἐκ τοῦ ἐναντίου, τὸ μὲν ἕν, τῇ ὑποστάσει· τὸ δὲ διάφορον, ταῖς φύσεσιν, ἐν τούτοις ἡ πρᾶξις.

Hac secunda actione quid sacri libri vtriusque Testamenti complectantur, paucis, dilucidè tamen declaratur. Hebræorum & Samaritanorum hæreses explicantur & refelluntur.

ACTIO II.

SEQVITVR, vt post illa iam præmissa de sectis quibusdam breuiter agamus. Vniuersæ quidem numero LXXXIIII sunt; quas Epiphanius, Cypri antistes, enumerat. Prius tamen quàm eas adtingamus, libros ab Ecclesia receptos recenseamus. Igitur ex libris Ecclesiasticis, alij scripturæ veteris sunt, alij nouæ. Veterem scripturam vocamus eam, quæ ante Christi aduentum litteris prodita fuit: nouam, quæ post ipsius aduentum. Veteris, libri sunt XXII, partim historici, partim Prophetici, partim præcepta continentes, partim ad concinendum facti. Quod si alterum in altero alicubi reperitur, à potiore tamen parte singulis adpellationes datæ. Historici libri sunt XII. Primus, est Genesis; résque gestas à condito cœlo ac terra, vsque ad Iosephi mortem continet. Alter, Exodus;

Hæres. 84.

Quæ noua, & quæ vetus scriptura.

Catalogus sacrorum librorum, & partitio.

Quinam historici libri.

Quid agatur in Genesi.

Quid in Exodo.

D

ΠΡΑΞΙΣ β΄.

ΑΚΟΛΟΥΘΟΝ ἐστὶ μετὰ τὰ προλαβόντα, περὶ αἱρέσεών τινων διαλαβεῖν. εἰσὶ δὲ αἱ πᾶσαι, πδ΄. ἃς ἀπαριθμεῖται Ἐπιφάνιος ὁ Κύπρου ἐπίσκοπος. ἀλλὰ πρὸ τοῦ ἅψασθαι ἡμᾶς αὐτῶν, τέως ἀπαριθμησώμεθα τὰ ἐκκλησιαστικὰ βιβλία. τῶν τοίνυν ἐκκλησιαστικῶν βιβλίων, τὰ μὲν τῆς παλαιᾶς εἰσι γραφῆς. τὰ δέ, τῆς Νέας. παλαιὰν δὲ λέγομεν γραφήν, τὴν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ. Νέαν δέ, τὴν μετὰ τὴν παρουσίαν. τῆς μὲν οὖν παλαιᾶς βιβλία εἰσὶν κβ΄· ὧν τὰ μέν εἰσιν ἱστορικά. τὰ δέ, προφη- E τικά· τὰ δέ, παραινετικά· τὰ δέ, πρὸς τὸ ψάλλειν γενόμενα. εἰ δὲ καὶ ἕκαστον ἐν ἑκάστῳ εὑρίσκεται, ἀλλ' οὖν ἀπὸ τοῦ πλεονάζοντος ἕκαστον κέκληται. τὰ τοίνυν ἱστορικὰ βιβλία εἰσὶ ιβ΄. ὧν πρῶτόν ἐστιν ἡ γένεσις. περιέχει δὲ τοῦτο τὸ βιβλίον τὰ ἀπὸ τῆς ποιήσεως τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἕως τῆς τελευτῆς τοῦ Ἰωσήφ. δεύτερόν ἐστιν ἡ ἔξοδος.

περιέχει δὲ καὶ τοῦτο ἀπὸ τῆς τελευτῆς τοῦ Ἰωσὴφ, καὶ τῆς ἐξόδου τῶν Ἰσραηλιτῶν, ἕως τῶν γενομένων ἄχρι τοῦ φθάσαι αὐτοὺς τὸ ὄρος τοῦ Σινᾶ. ταῦτα δέ ἐστι, πῶς τὴν ἐρυθρὰν θάλασσαν διεπέρασαν, καὶ τί ἐν τῷ μεταξὺ γέγονε, καὶ πῶς τὸν νόμον διὰ Μωσέως ἔλαβον ἀπὸ τοῦ Θεοῦ. τρίτον ἐστὶ βιβλίον, οἱ λεγόμενοι ἀριθμοὶ, ἐν οἷς ἀπαριθμεῖται τὰς φυλὰς τῶν Ἰσραηλιτῶν, καὶ τοὺς ἄρχοντας αὐτῶν. τέταρτόν ἐστι τὸ Λευιτικὸν, ἐν ᾧ προστάττει, πῶς δεῖ λατρεύειν τοὺς ἱερεῖς. ὅθεν καὶ ἐκλήθη Λευιτικόν· ἀπὸ γὰρ τῆς φυλῆς τῶν Λευιτῶν ἐγένοντο οἱ ἱερεῖς. πέμπτον ἐστὶ, τὸ δευτερονόμιον, ἐν ᾧ ὡς ἐν συνόψει διηγεῖται τὰ ἀπὸ τῆς ἐξόδου γενόμενα, μέχρι τοῦ ὄρους τοῦ Σινᾶ. καὶ ὅτι, τὸν νόμον πλατέως ἐκτίθεται, ὅθεν καὶ δευτερονόμιον ἐκλήθη. ἃ γὰρ ἐν τῇ ἐξόδῳ ὡς ἐν συντόμῳ γέγραπται περὶ τοῦ νόμου, ταῦτα πλατύτερον ἐν τῷ δευτερονομίῳ παραδίδωσι μετὰ καὶ ἑτέρων ἄλλων. ταῦτα δὲ τὰ πέντε βιβλία, πάντες τοῦ Μωσέως μαρτυροῦσιν εἶναι. τὰ γὰρ ἐφεξῆς, οὐδεὶς οἶδε τίνος εἰσί. λέγονται δὲ ταῦτα, ἡ πεντάτευχος. ἕκτον μετὰ τὸ δευτερονόμιόν ἐστιν, Ἰησοῦς τοῦ Ναυῆ, ἐν ᾧ λέγεται, πῶς ἐξήγαγε τοὺς Ἰσραηλίτας ἀπὸ τῆς ἐρήμου εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὁ Ἰησοῦς, μαθητὴς γενόμενος τοῦ Μωσέως, καὶ ἰσοδυνάμως αὐτῷ. ἕβδομόν ἐστιν, οἱ λεγόμενοι κριταί. ἐλθόντες γὰρ οἱ Ἰσραηλῖται εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἐποίησαν ἑαυτοῖς κριτὰς, ἵνα κρίνωσι τὸν λαόν. βασιλεῖς γὰρ οὐκ εἶχον, μόνον τὸν Θεὸν βασιλέα ὀνομάζοντες. ἐπειδὴ οὖν ἐν τούτῳ τῷ βιβλίῳ διηγεῖται, ὅτε ἐποίησαν οἱ κριταὶ μέχρι τῶν βασιλέων, διὰ τοῦτο ἐκλήθη, οἱ κριταί. ὄγδοόν ἐστι βιβλίον ἡ Ῥούθ. Ῥοὺθ δὲ λέγεται, ἐπειδὴ ἐν αὐτῷ διηγεῖται, πῶς ἡ Ῥοὺθ γυνὴ οὖσα Μωαβῖτις, εἰς τοὺς Ἰσραηλίτας μετέστη. ἦν δὲ αὕτη γυνὴ τοῦ προπάτορος Δαβίδ. μετὰ ταῦτά ἐστι δύο βιβλία, καὶ περιέχει τὰς βασιλείας. τέσσαρες γάρ εἰσι λόγοι τῶν βασιλειῶν, ἐν δύο βιβλίοις φερόμενοι. ἐβασίλευσαν δὲ οἱ Ἰουδαῖοι, ἀπὸ τοιαύτης αἰτίας. ὁ Σαμουὴλ, ὃς ἐγένετο ὕστερος τῶν κριτῶν, ἀνὴρ ἐγένετο προφήτης καὶ μέγας, ὅστις μετὰ πάσης δικαιοσύνης ἔκρινε τὸν λαὸν Ἰσραήλ. οὗτος ἔσχε δύο παῖδας, οἵτινες γηράσαντος τοῦ Σαμουὴλ γενόμενοι κριταὶ, οὐκ ἔκρινον τὸν λαὸν κατὰ τὰ δικαιώματα τοῦ πατρός· ἀλλὰ δῶρα λαμβάνοντες, προεδίδουν τὰς κρίσεις. γέροντος οὖν ὄντος τοῦ πατρὸς αὐτῶν, συνήχθησαν οἱ Ἰσραηλῖται, αἰτοῦντες αὐτὸν μεταστεῖλαι αὐτοῖς βασιλέα. ὁ δὲ ἀναθέμενος τῷ Θεῷ περὶ τούτου, ἤκουσεν ὅτι, ποίησον αὐτοῖς βασιλέα. οὐ γάρ σε ἐξουδενώκασιν, ἀλλ' ἐμὲ, αἰτήσαντες ἑαυτοῖς βασιλέα. ὁ δὲ ἀκούσας τοῦ Θεοῦ, ἐποίησεν αὐτοῖς βασιλέα τὸν Σαοὺλ, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν, ὅστις ἄρξας ἔτη μ'. οὐκ ἐφύλαξε τὰς ἐντολὰς τοῦ Θεοῦ.

A & à morte Iosephi, & exitu Israëlitarum gesta complectitur ad illud vsque tempus, quo ad montem Sinam peruenerunt. Ea vero sunt, quomodo mare rubrum transierint, quid interea factum, quomodo legem à Deo per Mosem acceperint. Tertius liber est, quem Numeros vocant; quo tribus Israëlitarum, eorumque principes recensentur. Quartus, Leuiticus est; quo præcipitur, quo ritu Deo seruire sacerdotes debeant: vnde & Leuitici nomen inuenit. Nam de Leuitarum tribu sacerdotes creabantur. Quintus, est Deuteronomium; in quo velut in synopsi, ab exitu B facta narrat, vsque ad montem Sinam. Item, latiùs exponit legem. Vnde Deuteronomium vocarunt, quasi legem iteratam. Nam quæ de lege breuiter in Exodo perscripta sunt, ea latiùs in Deuteronomio, cum pluribus aliis, traduntur. Atque hos quinque libros, vniuersi Mosis esse testantur. qui enim sequuntur proximi, cuius sint, nemo nouit. Isti quidem Pentateuchus vocantur. Sextus Deuteronomium sequitur liber, Iesus Naue filius; eóque narratur, quo pacto Iesus, qui Mosis discipulus fuerat, & potestate post ipsum C pari præerat, Israëlitas è solitudine promissam in terram deduxerit. Septimus est, qui Iudicum nomen habet. nam quum in terram promissam Israëlitæ venissent, iudices sibi constituerunt, qui populo ius dicerent. Regibus enim carebant, solúmque Deum regem suum adpellabant. Itaque liber hic Iudicum nomen accepit, quod in eo commemorentur res ab iudicibus ad reges vsque gestæ. Octauus Ruthæ liber est, propterea sic dictus, quod in eo narretur, quo pacto Rutha, mulier natione Moabitis, ad Israë- D litas accesserit. Erat autem hæc aui Dauidis vxor. Secundum hos libri duo sunt, qui regnorum historiam continent. quippe libri sunt de regnis omnino quatuor, libris duobus comprehensi. Regnum Iudæorum hanc originem habuit. Samuelis, iudicum postremus, & vates, & magnus vir exstitit; qui iustissimè populo Israëlitico cum potestate iudicis præfuit. Erant huic duo filij, qui Samuelo iam senio confecto iudices declarati, patris in iure dicundo iustitiam E & æquitatem non imitabantur: sed munera capientes iudiciarias caussas prodebant. Quapropter in ista Samueli senecta collectus Israëlitarum populus, ab eo petebat, regem sibi designaret. Ille votis ob hanc caussam ad Deum conceptis, responsum tulit, quo regem eis constituere iubebatur. Non enim, inquit Deus, te nihili fecerunt rege postulato; sed meipsum. Samuelus accepto Dei responso, Saulum eis regem dedit; virum Beniamineæ tribus: qui regno annis XL potitus, mādatis Dei non est obsequutus.

Quid in libro Numerorum.

Quid in Leuitico.

Quid in Deuteronomio.

Quid in Iosue.

Quid in libro Iudicum.

Quid in lib. Ruth.

Quid in libris Regum. Regni Iudaici origo.

A Quare Deus ipsius loco Dauidem, è tribu Iudæa, regem fecit: à quo tempore Iudæa tribus in possessione regni mansit, filiis, parentum in potestatem succedentibus; donec Nabuchodonosor eò cum copiis profectus, in seruitutem Hierosolyma capta redegit. Nonus ergo decimúsque liber regna continent. Vndecimus est, Paralipomena; quod nomen inuenit ex eo, quod commemorando persequatur, quæ librorum de regnis auctores omiserant. Duodecimus inter historicos libros Esdras est, quo facta post Iudæorum captiuitatem exponuntur, vsque ad eorum B ex Assyria terra reditum, qui regnante Cyro accidit. Et hi quidem sunt historici libri. Prophetici quinque sunt. Primus, Esaias; alter, Ieremias; tertius, Iezechielus; quartus, Danielus; quintus à Prophetis XII dicitur, quo scilicet oracula XII vatum continentur. Qui præcepta continent, quatuor libri sunt. Primus Iobi, quem nonnulli conscriptum ab Iosepho putarunt. Alter, Prouerbia Salomonis. Tertius, Ecclesiastes siue Concionator. Quartus, Canticum canticorum. Et post libros, qui præcepta continent, hoc cãticum C canticorum ordine proximum collocatum esse dico: propterea quod ipsarum rerum consideratio sublimior sit. hi vero tres libri, Solomonis sunt. Sequitur psalterium. Habes scripturæ veteris libros XXII. Nouæ, sex libri sunt; quorum duo, quatuor euangelistas continent: primus Matthæum & Marcum, alter Lucam & Ioannem. Tertius est acta Apostolorum. quartus, epistolæ Catholicæ, numero septem. prima, Iacobi; secunda, & tertia, Petri; quarta, quinta, sexta, Ioannis; septima, Iudæ. Catholicæ siue generales dictæ sunt, quod non ad vnam scriptæ sint gentem, vti Paulinæ; sed generaliter ad D omnes. Quintus liber, XIIII sancti Pauli epistolæ. Sextus, sancti Ioannis reuelatio. Hi sunt libri, tam prisci, quàm recentes, qui in ecclesia pro canonicis habentur. ac priscos quidẽ omnes Hebræi recipiunt. Quæ quum ita sint, operæpretium fuerit, Hebræorum dogmata primo loco exponi; & primùm, quæ ad doctrinam de Deo pertinent. Igitur Hebræi vnam dicunt hypostasin (siue personam) vnamque naturam Dei; nullam planè E Trinitatem admittentes, ac neque patrem, neque filium, neque spiritum sanctum dicentes: nisi forte sic Deum, inquiunt, adpellemus patrem: vt qui omnium sit hominum pater. Vnam ex eo probant esse hypostasin Dei, quia Moses dixerit: Audi Israëlitica natio, Dominus Deus tuus, Dominus vnus est. Nos autem respondemus eis, hoc à Mose dictum, respiciente substantiã, non hypostases. quippe nos etiam Deum vnum dicimus, in tribus hypostasibus. Et esse Trinitatem, pluribus ostẽdi argumẽtis potest. Primũ ex Dei verbis, in Genesi dicẽtis: Faciamus hominẽ,

Liber Paralipomenon.
Libri Esdra.
Libri Prophetici quinque maiores & minores Prophetas comprehendentes.
Psalterium.
Libri sex noua scriptura omnia comprehendunt qua noue testamento continentur.
Cur epistola D. Iacob. Ioan. & Petri dicuntur Catholica.
Diuinitus catalogus librorum diuinorũ texit. Nam Tobiam, Iudith, Esther, Sapientiam, Ecclesiasticũ & Machabaeos perperam omisit.
Hebraeorum secta.
Haresis Hebraeorum Trinitatis mysterium condemnabat.
Ratio qua Hebraos mouebat vt vnitam Dei hypostasin dicerent.
Argumentis contra Hebraeos probat Trinitatem.

A καὶ τότε ὁ Θεὸς ἀντ' αὐτοῦ τὸν Δαβὶδ ἐποίησε βασιλέα τῆς φυλῆς τοῦ Ἰούδα. καὶ ἀπ' ἐκείνου ἔμεινεν ἡ φυλὴ τοῦ Ἰούδα βασιλεύουσα, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν βασιλείαν· ἕως οὗ Ναβουχοδονόσορ ἐλθὼν ἠνδραποδίσατο τὰ Ἱεροσόλυμα. τὸ οὖν ἔνατον καὶ δέκατον βιβλίον περιέχει τὰς βασιλείας. ἑνδέκατόν ἐστιν, αἱ παραλειπόμεναι. παραλειπόμεναι δὲ ἐκλήθησαν, ἐπειδὴ ἐν αὐταῖς διεξέρχεται, ἃ παρέλειπον οἱ συγγραψάμενοι τὰς βασιλείας· δωδέκατόν ἐστι τῶν ἱστορικῶν βιβλίων ὁ Ἔσδρας, ἐν ᾧ B ἐστὶ τὰ μετὰ τὴν αἰχμαλωσίαν τῶν Ἰουδαίων γενόμενα, ἕως τῆς ἐπανόδου αὐτῶν, τῆς ἀπὸ τῶν Ἀσσυρίων, ἐπὶ Κύρου γενομένης. καὶ ταῦτα μὲν ἱστορικά. προφητικὰ δέ εἰσι πέντε. ὧν πρῶτόν ἐστιν ὁ Ἠσαΐας· δεύτερον ὁ Ἱερεμίας· τρίτον ὁ Ἰεζεκιήλ· τέταρτον, ὁ Δανιήλ· πέμπτον, τὸ δωδεκαπρόφητον λεγόμενον, ἐν ᾧ δώδεκα προφητῶν κεῖται προφητεία. παραινετικά εἰσι βιβλία δʹ. ὧν πρῶτον ὁ Ἰώβ. τοῦτο δέ τινες ἐνόμισαν Ἰωσήπου εἶναι σύγγραμμα. δεύτερόν ἐστιν, αἱ παροιμίαι Σολομῶντος. τρίτον, ὁ Ἐκκλησιαστής· C τέταρτον, τὸ ᾆσμα τῶν ᾀσμάτων. τετάχθαι δὲ νῦν μετὰ τὰ παραινετικὰ τὸ ᾆσμα τῶν ᾀσμάτων λέγω, ἐπειδὴ ἡ τούτων θεωρία ὑψηλοτέρα ἐστίν. εἰσὶ δὲ ταῦτα τὰ τρία βιβλία τοῦ Σολομῶντος. μετὰ ταῦτά ἐστι τὸ ψαλτήριον. καὶ ταῦτα μέν εἰσι τὰ κβʹ. βιβλία τῆς παλαιᾶς. τῆς δὲ Νέας, ἕξ εἰσι βιβλία. ὧν δύο περιέχει τοὺς τέσσαρας εὐαγγελιστάς. τὸ μὲν γὰρ ἔχει Ματθαῖον καὶ Μάρκον, τὸ δὲ ἕτερον, Λουκᾶν καὶ Ἰωάννην. τρίτον ἐστίν, αἱ πράξεις τῶν ἀποστόλων. τέταρτον, αἱ Καθολικαὶ ἐπιστολαί, οὖσαι ἑπτά. ὧν πρώτη τοῦ Ἰακώβου ἐστίν. ἡ βʹ. καὶ ἡ γʹ. Πέτρου, ἡ δʹ. καὶ εʹ. καὶ ϛʹ. τοῦ Ἰωάννου. ἡ δὲ ζʹ. τοῦ Ἰούδα. D Καθολικαὶ δὲ ἐκλήθησαν, ἐπειδὴ οὐ πρὸς ἓν ἔθνος ἐγράφησαν, ὡς αἱ τοῦ Παύλου. ἀλλὰ καθόλου πρὸς πάντας. πέμπτον βιβλίον, αἱ ιδʹ. τοῦ ἁγίου Παύλου ἐπιστολαί. ἕκτον ἐστίν, ἡ ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου. ταῦτά ἐστι τὰ κανονιζόμενα βιβλία ἐν τῇ ἐκκλησίᾳ, καὶ παλαιά, καὶ νέα· ὧν τὰ παλαιὰ πάντα δέχονται οἱ Ἑβραῖοι. τούτων οὕτως ἐχόντων, ἄξιον ἐκθέσθαι πρῶτον τὰ τῶν Ἑβραίων δόγματα, καὶ πρῶτον τὰ περὶ θεολογίας. οἱ τοίνυν Ἑβραῖοι μίαν ὑπόστασιν λέγουσι τοῦ Θεοῦ, καὶ μίαν φύσιν. τριάδα E δὲ οὐδαμοῦ δεξάζουσιν, οὐδὲ λέγουσιν οὔτε πατέρα, οὔτε υἱόν, οὔτε ἅγιον πνεῦμα. εἰ μὴ ἄρα πατέρα εἴπωμεν, φασί, τὸν Θεὸν ὡς πατέρα πάντων ἀνθρώπων ὄντα. ἰσχυρίζονται δὲ μίαν ὑπόστασιν εἶναι τοῦ Θεοῦ, ἀπὸ τοῦ εἰπεῖν τὸν Μωσέα· ἄκουε Ἰσραήλ, κύριος ὁ Θεός σου, κύριος εἷς ἐστιν. ἡμεῖς δὲ λέγομεν πρὸς αὐτούς, ὅτι τοῦτο εἶπεν ὁ Μωσῆς, ἀποβλέπων πρὸς τὴν οὐσίαν, οὐ πρὸς τὰς ὑποστάσεις. καὶ ἡμεῖς γὰρ ἕνα Θεὸν λέγομεν, ἐν τρισὶν ὑποστάσεσιν. ἐπεὶ δὲ ὅτι τριάς ἐστιν, ἀπὸ πολλῶν ἐστι δεῖξαι. πρῶτον ἀφ' ὧν λέγει Θεὸς ἐν τῇ γενέσει, ὅτι ποιήσωμεν ἄνθρωπον

οὐκ ἂν γὰρ ἔλεγε πληθυντικῶς, ποιήσωμεν· εἰ μὴ καὶ ἄλλοι αὐτῷ τῆς δυνάμεως ἐκοινώνουν. δεύτερον, ἀφ' ὧν πάλιν ἐν τῇ γενέσει λέγει· ὅτι ἰδοὺ ἐγένετο Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν. ὅτι μὲν οὖν ἁγία τριάς, ἀπὸ πολλῶν ἐστὶ δεῖξαι. μετέλθωμεν δὲ νῦν, καὶ δείξωμεν, πῶς δοξάζουσι περὶ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ. τριῶν τοίνυν ζητουμένων περὶ τοῦ Χριστοῦ, εἰ ἔρχεται, εἰ ἤδη ἦλθε, καὶ τρίτον, εἰ Θεὸς ὁ ἐλθών· περὶ μὲν τοῦ πρώτου, εἰ ἔρχεται, οὐδὲν δεῖ λέγειν. καὶ αὐτοὶ γὰρ ὁμολογοῦσιν, ὅτι ἥξει. περὶ δὲ τῶν ἄλλων δύο, δέον ἐστὶ, δεῖξαι αὐτοὺς κακῶς λέγοντας. ἡμῶν τοίνυν λεγόντων, ὅτι ἦλθε, καὶ τοῦτο δεικνυόντων ἀπὸ πολλῶν, πρῶτον μὲν ἀπὸ τῶν σημείων, ὧν ἐποίησε, δεύτερον δὲ, ἀπὸ τοῦ ἐξ αὐτοῦ καταλυθῆναι τὰ εἴδωλα· (ὁ γὰρ Ἡσαΐας λέγει, ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσονται τὰ χειροποίητα Αἰγύπτου, ἀπὸ προσώπου αὐτοῦ) τρίτον, ἀφ' ὧν λέγει ὁ Δανιήλ· (αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες τῶν ἐτῶν, ἃς λέγει αὐτῷ ὁ ἄγγελος, ἀφ' οὗ χρόνου δεῖ καὶ ἐκβάλλειν αὐτάς, εἰς τοὺς χρόνους τοῦ Χριστοῦ καταλήγουσι. ἔστι δὲ ἡ ἀρχὴ τῆς ἐκβολῆς, ἀπὸ τοῦ κ'. δ'. ἔτους Ἀρταξέρξου τοῦ Μακρόχειρος) ἡμῶν οὖν ταῦτα δεικνυόντων αὐτοῖς, διισχυρίζονται λέγοντες, ὅτι οὐκ ἦλθε. λέγει γάρ, φασιν, ὁ ψαλμός, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνατελεῖ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης. καὶ ἕτερα τοιαῦτα παραφέρουσιν ἀπὸ τῆς ἁγίας γραφῆς. νῦν δέ, φασιν, οὐδὲν τούτων ὁρῶμεν. ἀλλὰ τοὐναντίον, πλεονάσασαν ἀδικίαν καὶ ἁμαρτίας πολλὰς γινομένας. ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι διττή ἐστιν ἡ παρουσία τοῦ Χριστοῦ. ἡ μὲν μετὰ δόξης, ἣν ὁ Δανιὴλ διεξέρχεται λέγων· ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενος ἦν, καὶ ἄχρι τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχή, καὶ ἡ τιμή, καὶ ἡ ἐξουσία, καὶ πάντα τὰ ἔθνη αὐτῷ δουλεύσουσι. καὶ τὰ ἑξῆς. ἡ δέ, μετὰ ταπεινώσεως, περὶ ἧς λέγει ὁ Ἡσαΐας· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς ἀνθρώπους. ὅταν μὲν οὖν εἴπῃ ὁ ψαλμός, ὅτι ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, τοῦτο λέγει ὡς πρὸς τὴν ἔνδοξον μέλλουσαν παρουσίαν. ἐπεὶ ὅτι πάντως ἀνάγκη ἁμαρτίας γενέσθαι ἐπὶ τῆς πρώτης παρουσίας τοῦ Χριστοῦ, εὔδηλον ἐντεῦθεν. ἐρωτῶ γὰρ αὐτούς. ἰδίῳ θανάτῳ ἀποθανεῖται ὁ ἐρχόμενος Χριστός, ἢ ἄλλοι αὐτὸν ἀποκτενοῦσιν; ἀποκρίνονται δηλονότι, ὡς ἄλλοι αὐτὸν φονεύσουσι. τί δέ; ὁ τὸν τοιοῦτον μέγαν ἄνθρωπον ἀποκτείνων, οὐ μεγάλως ἁμαρτήσει; πάντως φήσουσιν ὅτι ναί. οὐκοῦν εἰ ταῦτα οὕτως ἔχει, ἀνάγκη πάντως ἁμαρτίας γενέσθαι ἐπὶ τῆς τοῦ Χριστοῦ πρώτης παρουσίας. ὥστε ὁ

A Non enim plurium numero dixisset: Faciamus: si non & alios potestatis consortes haberet. Secundo ex iis quæ rursus in Genesi profert: Ecce factus est Adamus, velut vnus ex nobis. Pluribus itaque probari potest, esse sanctam Trinitatem. Sed progrediamur, & quid de incarnatione Christi sentiant, ostendamus. Quum ergo tria de Christo in quæstionem venire soleant, an veniat, an venerit, & tertio loco, sitne qui venit, Deus: de primo, cùm scilicet veniat, nihil opus est dici. Nam ipsimet venturum fatentur. de duobus ceteris probandum, eos malè loqui. Quippe dicentibus nobis, eum venisse, atque hoc ipsum multis argumentis ostendentibus: primum ex signis, quæ facit: deinde ex eo, quob ab ipso sublata sint è medio simulacra: (nam Esaias inquit, Ecce Dominus in leui nube consider, ac in Ægyptum veniet, & Ægypti simulacra manu facta quatientur ab ipsius conspectu) tertio, de verbis Danieli vatis: (etenim illæ annorum septuaginta septimanæ, de quibus ad eum angelus loquitur, ab illo tempore, quo inchoandæ sunt, in annos Christi desinunt. Estque principium computationis ab Artaxerxis Longimani anno XXIIII) nobis igitur hæc eis ostendentibus, ipsi non venisse Christum adfirmant. In psalmo dicitur, inquiunt, ipsius tempore iustitiam & pacis copiam exorituram. aliaque talia de sacris litteris male proferunt. Nunc autem, inquiunt, nihil horum cernimus: sed è contrario, creuisse iniurias, multaque peccata designari. Ad hoc nos respondemus, aduentum Christi duplicem esse: vnum cum maiestate, de quo Danielus commemorat, inquiens: Offerebat se mihi visum nocturnum, & ecce quidam quasi filius hominis in nubibus cœli veniebat, & vsque ad antiquum dierum accessit, eique datum est imperium, & honor, & potestas, & omnes gentes ei seruient. & cetera. Alterum eum humilitate, de quo loqnitur Esaias: Et vidimus eum, nec speciem habebat vllam, nec pulchritudinem. immo species eius erat turpis, & infra omnes hnmines. Quum ergo psalmus ait, exorituram ipsius temporibus iustitiam, hoc ipsum dicit respectu futuri aliquando gloriosi aduentus. Nam in primo Christi aduentu necessario futurum, vt peccata fiant, vel hinc planè manifestum est. Hebræos enim interrogo: Morieturne Christus ille, qui veniet, à seipso: an eum occident alij? Respondent scilicet, ab aliis occidendum. Quid autem? qui talem tantúmque necabit hominem, an non peccabit grauiter? omnino peccaturum dicent. Ergo si hoc conceditur, omnino necesse est, in primo Christi aduentu peccata fieri. adeo

Tria de Christo quæruntur an veniat, an venerit, an qui venit sit Deus.

Quod Christus venerit, contra Hebr.

Septimanæ Danieli.

Duplex Christi aduentus.

Interrogatione vehementissimè vrget Hebraos.

que dictum illud Psalmi de aduentu secundo erit accipiendum: præsertim quum & alibi psalmus dicat, Dixit Dominus Domino meo, sede à dextris meis, donec posuero inimicos tuos scabellum pedum tuorum. Indicat enim, Christum habuisse inimicos. Vbi vero inimicitia est, ibi non est pax. Christum denique non esse Deum, de quo tertiò loco quæritur, ex iis quæ Moses dixit, adfirmant: Vatem vobis suscitabit Dominus Deus, ex fratribus nostris, mei similem. Ecce, inquiunt, non Deum adpellauit, sed vatem. Nos autem ad hoc respondemus, Christum omnia fuisse. nam & homo erat, & vates, & Deus. itaque quouis adpellari nomine poterat. Etenim quod Deus erat, demonstrata quæstione, an venerit, ex noui fœderis scriptura probari facilè posset. Verùm & illud ostendemus è scriptura veteri. Nam manifesto Hieremias id alicubi dicit his verbis: Hic Deus noster est, alius cum eo non comparabitur. Omnem scientiæ viam inuenit, eámque Iacobo, pucro suo dedit; & dilecto ab se Israëlo. Secundum hæc in terra conspectus est, & inter homines versatus. Hæc igitur Hebræorum dogmata sunt, & eorundem refutationes. Nunc ad Samaritanorum quoque dogmata transeamus. sed cognoscenda prius historia quædam, vnde scilicet hæc Samaritanorum orta sit hæresis. Postquam ergo Saulus annis XL regnasset, Dauidem Deus, è Iudæa tribu prognatum, eius loco regem Israëlitarum constituit: ac Dauidis posteritas in possessione regni mansit, filiis parentum imperium excipientibus, vsque ad Sedeciam. Ceterum mortuo Dauide rege, Solomo filius eius regnum suscepit. Hic iuste agebat omnia. quapropter ei Deus magnam sapientiam potestatemque largitus est. Verum vbi consenuisset, adorauit simulacra, vxoribus suis obtemperans. quam ob causam iratus Deus, Hieroboamo Solomonis seruo dixit, se decem Domini sui sceptris eum præfecturum regem, si voluntati diuinæ pariturus esset. reliqua quidem duo sceptra Solomoni se relicturum, propter patrem ipsius Dauidem. atque hæc post mortem Solomonis primum euentura. Quum autem mortuus fuisset Solomo, filius ipsius Roboamus in regni possessione successurus erat. itaq; collecti ad ipsum Israëlitæ, sic eum compellauere: Nimis graui nos iugo pater tuus oppressit. tu fac tolerabilius leuiúsque sit, & seruiemus tibi. Ad ea Roboamus: Triduum mihi cōcedite, meúmque consilium verbis exponam. Ac digressus ab eis, primo rem cū natu maioribus amicis paternis cōmunicabat: qui delniendos Israëlitarum animos aiebant, quō facto lubenter illos ipsi seruituros. Hinc etiam ad adolescētulos retulit. Illi respondēdum dixere, gracilitatem Roboami solidiorem esse lūbo paterno.

Vnde Hebræi probent Christum non esse Deum.

Responsio ad rationem Hebræorum.

Probat sacris testimoniis Christum Deum esse.

Hæresis Samaritanorū.

Propter idololatriam Solomonis, regnū Iudaicum translatum est ad Hieroboamum Solomonis seruum. Per Solomonē hoc in loco intellige eius filium Roboamum.

A ψαλμὸς λέγει, ὅτι τῆς δευτέρας. ἄλλως τε καὶ ἀλλαχοῦ φησιν ὁ ψαλμός. εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. δηλοῖ γὰρ, ὅτι εἶχεν ἐχθρούς. ὅπου δὲ ἔχθρα, οὐκ ἔστιν εἰρήνη. περὶ δὲ τοῦ μὴ εἶναι Θεὸν τὸν Χριστὸν, ὅπερ ἦν τρίτον ζητούμενον, ἰσχυρίζονται ἀφ᾽ ὧν εἶπεν ὁ Μωσῆς· προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν, ὡς ἐμέ. ἰδοὺ γάρ, φασιν, οὐ Θεὸν αὐτὸν εἶπεν, ἀλλὰ προφήτην. ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι πάντα ἦν ὁ Χριστός· καὶ ἄνθρωπος γὰρ ἦν, καὶ προφήτης, καὶ
B Θεός. ὅθεν ἡνδήποτε ἐξῆν αὐτὸν ὀνομάσαι. ὅτι γὰρ Θεὸς ἦν, δειχθέντος τοῦ, εἰ ἦλθε, ῥᾴδιον ἦν ἀπὸ τῆς νέας γραφῆς ἀποδεῖξαι. πλὴν καὶ ἀπὸ τῆς παλαιᾶς δείξομεν τοῦτο. φησὶ γάρ που λέγων τοῦτο Ἱερεμίας ἀναφανδόν· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ταῦτα μὲν οὖν εἰσι τὰ τῶν Ἑβραίων, καὶ αἱ πρὸς αὐτὰ
C ἀντιλογίαι. μετέλθωμεν δὲ καὶ ἐπὶ τὰ δόγματα τῶν Σαμαρειτῶν. ἀλλὰ πρότερον ἱστορίαν τινὰ μάθωμεν, πόθεν κατάγεται ἡ αἵρεσις τῶν Σαμαρειτῶν. μετὰ οὖν τὸ βασιλεῦσαι τὸν Σαοὺλ ἔτη μ΄. κατέστησεν ἀντ᾽ αὐτοῦ ὁ Θεὸς τὸν Δαβὶδ βασιλέα τῶν Ἰσραηλιτῶν, ἄνδρα τῆς φυλῆς Ἰούδα. καὶ ἔμεινεν ἡ σπορὰ τοῦ Δαβὶδ βασιλεύουσα, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν ἀρχὴν, μέχρι Σεδεκίου. ἀποθανόντος δὲ τοῦ βασιλέως Δαβὶδ, ὁ Σολομὼν ὁ υἱὸς αὐτοῦ ἐδέξατο τὴν βασιλείαν. οὗτος μὲν οὖν πάντα μετὰ δικαιο-
D σύνης ἔπραττεν, ὅθεν ὁ Θεὸς πολλὴν αὐτῷ σοφίαν καὶ δυναστείαν ἐχαρίσατο. γηράσας δὲ, προσεκύνησεν εἰδώλοις, πειθόμενος ταῖς ἑαυτοῦ γυναιξίν. ὅθεν ὀργισθεὶς ὁ Θεὸς, εἶπεν Ἱεροβοὰμ τῷ δούλῳ αὐτοῦ· ὅτι ἐὰν ποιήσῃς τὸ θέλημά μου, ἐπὶ δέκα σκήπτρων τοῦ δεσπότου σου καταστήσω σε βασιλέα. τὰ γὰρ ἄλλα δύο ἐάσω, διὰ τὸν Δαβὶδ, τὸν πατέρα αὐτοῦ. ἔσται δὲ ταῦτα μετὰ τὸ ἀποθανεῖν αὐτόν. ἀποθανόντος δὲ Σολομῶντος, ἤμελλε τῆς βασιλείας κληρονομεῖν ὁ υἱὸς αὐτοῦ
E Ῥοβοάμ. καὶ συλλεγέντες οἱ Ἰσραηλῖται, εἶπον πρὸς αὐτόν. ὁ πατήρ σου ἐβάρυνε τὸν ζυγὸν ἡμῶν, ἀλλ᾽ ἐλάφρυνον σὺ αὐτὸν ἀφ᾽ ἡμῶν, καὶ δουλεύσομέν σοι. ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο· ἐνδότε μοι τρεῖς ἡμέρας, καὶ λέξω ὑμῖν τὴν βουλήν μου. ἀπελθὼν δὲ, πρότερον τοῖς πρεσβυτέροις τῶν πατρῴων αὐτοῦ φίλων ἀνεκοινώσατο. οἱ δὲ πρὸς αὐτὸν εἶπον· θεράπευσον τὸν Ἰσραὴλ, καὶ δουλεύσουσί σοι. ἀνέθετο δὲ καὶ παιδαρίοις. οἱ δὲ εἶπον αὐτῷ, ὅτι εἰπὲ πρὸς αὐτούς· ὅτι ἡ σμικρότης μου, στερεωτέρα ἐστὶ τῆς ὀσφύος τοῦ πατρός μου·

ἐκεῖνος ὑμᾶς μάστιξιν ἐπαίδευσεν, ἐγὼ σκορπίοις παιδεύσω. τούτοις πεισθεὶς Ροβοάμ, ταῦτα τοῖς Ισραηλίταις ἀπεκρίνατο. οἱ δὲ Ισραηλῖται ἀπεκρίναντο· βόσκε τὸν οἶκόν σου Δαβίδ, ὁ δὲ Ισραὴλ ἕκαστος ἀποχωρείτω εἰς τὰ σκηνώματα αὐτοῦ. καὶ ταῦτα εἰπόντες, ἀπεχωρίσθησαν αὐτοῦ πάντες, πλὴν δύο φυλῶν, τῆς τε Βενιαμὶν, καὶ τῆς τοῦ Ιούδα. αὗται μὲν αἱ δύο τὰ Ιεροσόλυμα εἶχον, καὶ τὰ πέριξ αὐτῆς· αἱ δὲ ἀποχωρισθεῖσαι δέκα, τὰ περὶ Νεάπολιν εἶχον. ἐκαλοῦντο δὲ αἱ μὲν δέκα φυλαὶ, Ισραηλῖται, ἀπὸ τοῦ πλεονάζοντος λαμβάνοντες τὸ ὄνομα· αἱ δὲ δύο, Ιουδαῖοι. αἱ οὖν δέκα προστησάμεναι αὐτῶν Ιεροβοὰμ τὸν δοῦλον τοῦ Σολομῶντος, συνεχῶς ἐπολέμουν πρὸς Ιουδαίους. ἐπειδὴ δὲ νόμος ἦν ἑκάστῳ ἔτει προσκυνεῖν τοὺς Εβραίους ἐν Ιεροσολύμοις τῇ κιβωτῷ, φοβηθεὶς ὁ Ιεροβοὰμ, μὴ αὐτομολήσωσι, συνεχῶς ἀπιόντες ἐκεῖ· ἐποίησε δύο δαμάλεις χρυσᾶς, καὶ εἶπεν αὐτοῖς ὅτι οὗτοί εἰσιν οἱ θεοὶ, οἱ ἐξαγαγόντες ὑμᾶς ἐξ Αἰγύπτου· τούτοις προσκυνεῖτε· καὶ οἱ Ισραηλῖται οὖν, καὶ οἱ Ιουδαῖοι, ἀπὸ τοῦ Ιεροβοὰμ εἰδωλολάτρουν, ἐπὶ πολλοὺς βασιλέας· ἕως οὗ ὁ Θεὸς ὀργισθεὶς ἤγαγεν ἐπ᾽ αὐτοὺς τὸν βασιλέα τῶν Ασσυρίων τὸν Σαλμανασάρ· καὶ ἠχμαλώτισε τὰς δέκα φυλὰς τῶν Ισραηλιτῶν. τοὺς γὰρ Ιουδαίους οὐδὲ ἐπολέμησεν. αἰχμαλωτίσας δὲ τοὺς Ισραηλίτας, ἀντ᾽ αὐτῶν ἄλλους ἐκεῖσε κατέστησε, πρὸς φυλακὴν τῆς χώρας· οἵτινες ἐκλήθησαν Σαμαρεῖται· ἐπειδὴ Σαμαρείτης λέγεται ὁ φύλαξ παρὰ Εβραίοις. τούτους δὲ αὐτοὶ τῶν Ισραηλιτῶν οἰκοῦντας, λέοντες ἀπέκτεινον πυκνῶς· ἕως οὗ ἔπεμψαν, λέγοντες τῷ βασιλεῖ τῶν Ασσυρίων· ὅτι λέοντες ἡμᾶς ἀπολλοῦσιν, ἐπειδὴ οὐκ ἴσμεν λατρεῦσαι τῷ Θεῷ τῆς γῆς ταύτης. ταῦτα ἀκούσας ὁ βασιλεὺς, ἔπεμψεν αὐτοῖς ἕνα τῶν αἰχμαλωτισθέντων ἱερέων, ἐπὶ τὸ διδάξαι αὐτοὺς, πῶς δεῖ προσκυνεῖν τῷ Θεῷ τῆς γῆς ἐκείνης. ὁ δὲ ἐλθὼν, οὐδὲν ἄλλο ἐδίδαξεν αὐτοὺς, ὥς φασιν οἱ ἔξωθεν ἱστοροῦντες, εἰ μὴ μόνον τὴν πεντάτευχον, ὅθεν καὶ μόνην αὐτὴν δέχονται οἱ Σαμαρεῖται. μέχρις οὖν τῶν ἐνταῦθα λέγει ἡ γραφή. καὶ ἀπὸ τούτων λέγουσι γεγενῆσθαι τοὺς Σαμαρείτας. ἡ δὲ αἵρεσις αὐτῶν, τοιαύτη ἐστί. περὶ μὲν τὴν θεολογίαν, τὰ αὐτὰ δοξάζουσι τοῖς Εβραίοις. μίαν γὰρ ὑπόστασιν, καὶ μίαν φύσιν δοξάζουσι. περὶ δὲ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ, οὕτως ἔχουσιν· οὐ πιστεύουσιν, ὅτι ἦλθεν, ἀλλ᾽ ὅτι μέλλει ἐλθεῖν, οὐδὲ ὅτι Θεὸς, ὁ ἐρχόμενος, ἀλλὰ προφήτης. οὔτε δὲ ἄγγελον δοξάζουσιν εἶναι, οὔτε ψυχὴν ἀθάνατον, οὔτε ἀνάστασιν. οὐ συγκατατίθενται γὰρ τοῖς Εβραίοις, ὅτι Χριστὸς μέλλει κρίνειν ζῶντας καὶ νεκρούς. καὶ ὅτι μὲν εἰσὶν ἄγγελοι, ἐλέγχονται ἀπὸ τῆς πεντατεύχου. ἐκεῖ γάρ φησιν·

A Patrem flagris eos castigasse, se castigaturum scorpionibus. His adsensus Roboamus, in eam sententiam Israëlitis respondit. Illi vero vicissim dixere: Tu Dauidis patris tui familiam administrato: & Israëlici quisque suas ad domos ac tabernacula reuertuntor. quibus prolatis, ab eo diuerterunt vniuersi duabus exceptis tribubus Benjaminea scilicet, & Iudæa; quarum erant in ditione tam Hierosolyma quàm loca continentia: decem vero tribus illæ, quæ secessionem fecerant, vicinam Neapoli regionem occupabant. Et adpellabantur
B hæ decem tribus, Israëlitæ: nomen à maiori parte consequuti: reliquæ vero duæ, Iudæi. Tribus igitur decem Hieroboamo, Solomonis seruo, sibi præfecto; continua cum Iudæis bella gerebant. & quia lex erat, vt Hebræi quotannis arcam Hierosolymis adorarent, veritus Hieroboamus, ne frequenter eò commeantes, transfugium facerent: duas iuuencas aureas fecit, suisque dixit, hos illos esse Deos, qui ex Ægypto Israëliticos eduxissent: eos adorarent. Quo factum est, vt pariter & Israëlitæ, & Iu-
C dæi, ab Hieroboam temporibus simulacra sub multorum regum imperio colerent: donec iratus Deus, Salmanasarum Assyriorum regem in eos duxit. Is decem Israëlitarum tribus in seruitutem redegit: Iudæis ne bellum quidem intulit. Quumque captiuos Israëlitas abduxisset, alios ibidem eorum loco, regionis custodiendæ causa, constituit; qui Samaritani sunt vocati, quippe Samarita, custos Hebræis dicitur. Eos autem incolentes Israëlitarum terras, sæpenumero leones interficiebant; donec missis legatis, Assyriorum
D regi significarent, ab leonibus ad internecionem se deleri, propterea quòd ritum colendi Deum illius regionis ignorarent. quibus rex auditis, vnum ex abductis in captiuitatem sacerdotibus ad eos misit, qui doceret, quo pacto regionis illius Deus esset adorandus. Is vbi aduenisset, nihil aliud eos docuit, vt extranei scriptores aiunt, nisi Pentateuchum. quamobrem illam solam Samaritani recipiunt. Hactenus scriptura sacra. Perhibent autem, ab his ortos Samaritanos: quorum est huiusmodi secta. In doctrina de Deo, cum Hebræis
E eadem statuunt: vnam hypostasin, & vnam esse naturam tradentes. quod ad incarnationem Christi adtinet, hoc modo sentiunt: Christum venisse non credunt, venturum existimant: nec Deum esse, qui veniat, sed vatem. Præterea nec Angelum opinantur esse, nec animam immortalem, nec resurrectionem. Non enim Hebræis adsentiuntur, credentibus Christum viuos atque mortuos iudicaturũ. Ceterũ angelos esse, de Pentateucho conuincuntur, ex hisce verbis:

Neapolis eadẽ quæ Samaria.

Hieroboam suos ad falsos Deos conuertit, & idcirco decem tribus Dominus iratus ad regem Assyriorum transtulit.

Vnde Samaritani.

Samaritani quòd Deum non colerent in Iudæa, more Iudaico, à leonibus dilaniabantur.

Missus ad Samaritas sacerdos Iudæus quum Pentateuchum tantum docuisset, idcirco hunc solum librum admiserunt, cæteros vt extraneos reiecerunt.

Capita doctrinæ Samaritanorum.

Angelos, cum animæ immortalitate & resurrectione corporũ tollebant.

Angelos esse probatur.

Quomodo probabant Samaritani animæ immortalitatem.

Ecce angelus meus ante faciem tuam præit. Item, Angelus domini compellauit Agarem. Item, Angelus domini compellauit Abrahamum. Item, Ingressi sunt angeli Sodomorum oppidum, aliaque talia. Mortalem vero animam esse, non immortalem; testatur, inquiunt ipsi, verbis hisce Moses: Sanguinem ne comederitis, sed eum in terram effundite. Nam cuiusuis animalis sanguis, ipsius est anima. Sed nos ad hoc respondemus, primum non esse sanguinem animalium animam; sed quooiam effuso sanguine, anima quoque interit: iccirco de sanguine iumentorum sic loquitur, quæ nos quoque morti obnoxia fatemur esse; non de hominibus Quin & animam esse immortalem, & iudicium fore mortuorum; ex historia probamus. Cainus & Abelus, duo fratres erant; vnus agricolæ, pastor alter: quibus ambobus rem Deo sacram factitantibus, Abelum Deus, vt iustum, acceptauit, neglecto Caino. Is hanc ob caussam aduersus Abelum æmulatione concepta, tandem eum occidit. Quum ergo Samaritani dicant, in hac vita compensari facti cuiusvis; quid de Abelo dicere possumus? cuius iustitiæ Deus ipse testimonium perhibuit. Nimirum, quod ad hanc vitam adtinet, mala pro bonis recepit. Vnde manifesto patet, & immortalem esse animam, & resurrectionem esse, statui debere. nam nisi vita restaret, in qua suarum actionum ille fructum capiet; nequaquam vir talis immerito fuisset interemptus. Et hæc quidem Samaritanorum est secta. Sciendum vero, regem Assyriorum Nabuchodonosorem, quum regnante Sedecia cum copijs Hierosolyma venisset, Iudæos in captiuitatem abduxisse, atque in Persidem transtulisse. quorum in numero Ananias, Azarias, Misaelus, Iezechielus, & Esdras. Post annos LXX, regnante Cyro, rursus Hierosolyma profecti sunt, quum Cyrus eis reditum propterea concessisset, quòd ei pleraque per ipsum gerenda prædixissent. Hunc reditum descripsit Esdras, qui quum Hierosolyma venisset, omnésque libros id temporis, quo in captiuitatem abducti fuerant, reperisset exustos: ex memoria depromptos illos XXII libros, quos suprà recensuimus, in litteras retulisse perhibetur. Hæc considerare libuit.

Ad rationem responsio.

Probat immortalitatem cum resurrectione, historia Abelis & Caini.

A ἰδοὺ ὁ ἄγγελός μου προπορεύεται πρὸ προσώπου σου· καί, ὅτι ἄγγελος Κυρίου ἐκάλεσε τὴν Ἄγαρ. καί, ὅτι ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραάμ. καί, ὅτι εἰσῆλθον οἱ ἄγγελοι εἰς Σόδομα. καὶ ἕτερα τοιαῦτα. καὶ ὅτι ἡ ψυχὴ θνητή ἐστι, φασί, καὶ οὐκ ἀθάνατος· μαρτυρεῖ ὁ Μωϋσῆς, εἰπών, μὴ φάγεσθε αἷμα, ἀλλ' ἐκχεῖτε αὐτὸ κατὰ τῆς γῆς. παντὸς γὰρ ζώου τὸ αἷμα, ἡ ψυχὴ αὐτοῦ. ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι πρῶτον μὲν οὐκ ἔστι τὸ αἷμα ἡ ψυχὴ τῶν ζώων, ἀλλ' ἐπειδὴ τοῦ αἵματος ἐκχεομένου καὶ ἡ ψυχὴ ἀπόλλυται· ἐκ τούτου B περὶ τῶν αἱμάτων κτηνωδῶν λέγει αὐτὸς ὁ λόγος, ἃ καὶ ἡμεῖς θνητὰ ὁμολογοῦμεν εἶναι· οὐ περὶ ἀνθρώπων. καὶ ἀπὸ ἱστορίας δὲ δείκνυομεν, ὅτι καὶ ἀθάνατός ἐστιν ἡ ψυχή, καὶ κρίσις ἐστὶ νεκρῶν. ὁ Κάϊν καὶ Ἄβελ, δύο ἦσαν ἀδελφοί· καὶ ὁ μὲν ἦν γεωργός, ὁ δὲ ποιμήν. καὶ ἔθυσαν ἀμφότεροι τῷ Θεῷ· καὶ τὸν Ἄβελ, ὡς δίκαιον, προσεδέξατο· τὸν δὲ Κάϊν, οὐκέτι. ἐκεῖθεν οὖν παρεζήλου τὸν Ἄβελ, ἕως αὐτὸν ἀπέκτεινε. τῶν οὖν Σαμαρειτῶν λεγόντων, ἐν τῷ νῦν βίῳ ἀπολαμβάνειν πρὸς τὰς ἑαυτοῦ πράξεις ἕκαστον· τί ἔχομεν εἰπεῖν περὶ τοῦ Ἄβελ; C ᾧ δικαιοσύνην ἐμαρτύρησεν ὁ Θεός; ὅσον γὰρ ἀπὸ τοῦ νῦν βίου, κακὰ ἀντὶ καλῶν ἀπέλαβεν. ἐκ τούτου οὖν δῆλον, ὅτι καὶ ἡ ψυχὴ ἀθάνατός ἐστι, καὶ ἀνάστασιν δεῖ δοξάζειν. εἰ μὴ γὰρ ἦν, ἐν ᾗ τῶν οἰκείων ἔμελλεν ἀπολαβέσθαι πράξεων, οὐκ ἂν ὁ τοιοῦτος ἀδίκως ἀπέθανεν. αὕτη ἐστὶν ἡ αἵρεσις τῶν Σαμαρειτῶν. ἰστέον δέ, ὅτι Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐλθὼν εἰς τὰ Ἱεροσόλυμα ἐπὶ Σεδεκίου τοῦ βασιλέως, καὶ τοὺς Ἰουδαίους ᾐχμαλώτευσε, καὶ ἔλαβεν εἰς Περσίδα. ἐν οἷς ἦν Ἀνανίας, Ἀζαρίας, Μισαήλ, καὶ Ἰεζεκιήλ, καὶ Ἔσδρας. D μετὰ οὖν ο΄. ἔτη, ἐπὶ Κύρου τοῦ βασιλέως, ἐπανέλυσαν εἰς τὰ Ἱεροσόλυμα, τοῦ Κύρου αὐτοῖς συγχωρήσαντος τὴν ἐπάνοδον, διὰ τὸ πολλὰ αὐτῷ προειλέγειν, ὧν ἤμελλε ποιεῖν. ὁ δὲ Ἔσδρας συνεγράψατο τὴν ἐπάνοδον αὐτῶν. καὶ ἐλθὼν εἰς τὰ Ἱεροσόλυμα, καὶ εὑρών, ὅτι πάντα τὰ βιβλία ἦσαν καυθέντα, ὁπόταν ᾐχμαλωτίσθησαν, ἀπὸ μνήμης λέγεται συγγράψασθαι τὰ κβ΄. βιβλία· ἅπερ ἐν τοῖς ἄνω ἀπηριθμησάμεθα. ἐν τούτοις ἡ θεωρία.

Hac tertia actione diuiduntur tempora quæ à natiuitate Christi ad imperium Constantini effluxerunt: enumerantur patres Ecclesiastici, qui toto illo interstitio temporis floruerunt.

A

ΠΡΑΞΙΣ γ.

ΕΠΕΙΔΗ περὶ Χριστιανῶν δογμάτων ὁ λόγος, ἀναγκαῖόν ἐστι τὴν χρόνων διαίρεσιν ἵνα ποιήσασθαι, ἵνα ἐκ τούτου γνῶμεν, τίνες διδάσκαλοι, καὶ ποίας αἱρέσεις, ὧν ἑκάστη τοὺς μὲν πρὸ αὐτῆς δέχεται πατέρας, τοὺς δὲ μετ' αὐτὴν ἐκκλίνει. τῶν τοίνυν χρόνων, οἱ μέν εἰσι πρὸ Χριστοῦ, ὧν ἤδη ἐν τοῖς προλαβοῦσιν ἐμνήσθημεν· οἱ δὲ, μετὰ τὸν Χριστόν. καὶ ἔστι τῶν μετὰ τὸν Χριστὸν ἡ διαίρεσις τοιαύτη. οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄχρι τῆς βασιλείας Κωνσταντίνου. οἱ δὲ ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τοῦ νῦν. B διαιροῦνται δὲ πάλιν οἱ ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἄχρι τῆς βασιλείας τοῦ Κωνσταντίνου, εἰς τρεῖς. οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ ἄχρι τῆς ἀναλήψεως αὐτοῦ· οἱ δὲ ἀπὸ τῆς ἀναλήψεως, περὶ ὧν διαλαμβάνουσιν αἱ πράξεις τῶν ἀποστόλων· οἱ δὲ ἀπὸ τῆς περιόδου καὶ τελευτῆς τῶν ἀποστόλων, ἄχρι τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου. περὶ ὧν διαλαμβάνουσί τινες ἐκκλησιαστικοὶ ἱστορικοὶ, Εὐσέβιος ὁ Παμφίλου, καὶ Θεοδώρητος, οὓς ἐξ ἀνάγκης οὐ δεχόμεθα. μέχρι γὰρ τῶν πράξεων τῶν ἀποστόλων κεκανόνισται δέχεσθαι ἡμᾶς. οἱ δὲ ἀπ' ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου ἄ- C χρι τοῦ νῦν, διαιροῦνται οὕτως. οἱ μὲν γάρ εἰσιν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τῆς ἀρχῆς τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου· οἱ δὲ, ἀπὸ τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου, μέχρι τοῦ νῦν. ἐγένοντο δὲ ἐν τοῖς χρόνοις τοῖς ἀπὸ τῆς γεννήσεως τοῦ Χριστοῦ μέχρι τῆς βασιλείας Κωνσταντίνου, διδάσκαλοι καὶ πατέρες οἵδε· Ἰγνάτιος ὁ Θεοφόρος, Εἰρηναῖος, Ἰουστῖνος φιλόσοφος καὶ μάρτυς, Κλήμης καὶ Ἱππόλυτος ἐπίσκοποι Ῥώμης, Διονύσιος ὁ Ἀρεοπαγίτης, Μεθόδιος ἐπίσκοπος D Πατάρων, Γρηγόριος ὁ θαυματουργὸς, Πέτρος ὁ Ἀλεξανδρείας ἐπίσκοπος καὶ μάρτυς. τούτους ἅπαντας αἱ μετὰ ταῦτα γενόμεναι αἱρέσεις δέχονται. αἱρέσεις δὲ ἐν τοῖς χρόνοις τούτοις ἐγένοντο μὲν πολλαί, πλὴν μόνων τῶν ἐπισήμων δέον μνησθῆναι. ἐγένετο τοίνυν πρῶτον, ἡ τῶν Μοντανῶν, περὶ ἧς ἐν ἄλλοις διαληψόμεθα· εἶτα τῶν Μανιχαίων, ἥτις ἐξ ἑκάστης αἱρέσεως ἐκλεξαμένη τὰ χείριστα, οὐδὲν ἀγαθὸν ἔχει. περὶ ἧς οὐ δύναταί τις εἰπεῖν ἀκριβῶς, εἰ μὴ τῆς αὐτῶν γένηται πολιτείας. οὐ E φείδονται δὲ οὐδὲ εἰδωλολατρείας, οὐ παντὸς εἴδους κακοῦ. ἃ δὲ περὶ τὴν θεότητα ἀφειδῶς ἁμαρτάνουσι, καὶ περὶ τὴν * ἀνθρωπότητα, ταῦτά ἐστι. περὶ μὲν γὰρ τὴν θεότητα, οὕτως ὑπειλήφασι· δύο ἀρχὰς, καὶ δύο Θεοὺς λέγουσιν, ἕνα ἀγαθὸν καὶ ἕνα κακόν. καὶ τὰ μὲν κρείττονα τῶν πραγμάτων ἀνατιθέασι τῷ ἀγαθῷ, τὰ δὲ χείρονα, τῷ κακῷ. οἷον, τὸ μὲν φῶς ἀνατιθέασι τῷ ἀγαθῷ Θεῷ· τὸ δὲ σκότος, τῷ κακῷ. καὶ πάλιν, ἐπὶ τῶν συνθέτων ζώων, τὴν ὕλην τῷ κακῷ Θεῷ.

ACTIO III.

QVONIAM de Christianis dogmatibus habenda erit oratio, necessarium est, temporum partitionem quamdam instituì, vt hinc cognoscamus, qui doctores, quæ sectæ fuerint; quarum quælibet patres se priores admittit, posteriores reijcit. Temporum igitur alia Christi natiuitatem præcedunt, quorum suprà mentionem fecimus: alia Christum sequuntur. Horum post Christum temporum hæc est diuisio. Partim à natiuitate Christi ad imperium Constantini pertinent, partim ab imperij Constantiani principio ad nostram memoriam. Rursus anni à natiuitate Christi, vsque ad imperium Constantini, triplices sunt. Nam ex eis alij numerantur à natiuitate Christi, vsque ad ipsius adsumptionem; alij ab adsumptione, de quibus Apostolorum acta pertractant: alij à periodo & obitu Apostolorum, vsque ad principium imperij Constantiani: de quibus historici quidam ecclesiastici memoriæ prodiderunt, Eusebius Pamphili, & Theodoritus; quorum scripta necessario non recipimus. Nam extra Apostolorum acta nihil horum vt admittamus, patrum regulis sancitum est. Anni vero ab initio Constantiniani regni, ad nostram ætatem vsque, sic diuiduntur. Alij à Constantini imperio numerantur, vsque ad initium coactæ synodi Chalcedonensis: alij à coacta Chalcedonensi synodo, ad nostra vsque tempora. Cęterum temporibus illis, qui à Christi natiuitate vsque ad imperium Constantini numerantur, hi doctores & patres exstiterunt: Ignatius ille Theophorus, Irenæus, Iustinus philosophus & martyr, Clemens & Hippolytus episcopi Romani, Dionysius Areopagita, Methodius Patarensis episcopus, Gregorius miraculorum effector, Petrus Alexandrinus episcopus & martyr. Hos omnes sequutæ deinceps hæreses recipiunt. Et exstiterunt iisdem temporibus sectæ complures, sed claræ dumtaxat commemorandæ. Primum ergo secta Montanorum est orta, de qua tractabimus alibi: deinde Manichæorum, quæ quia de sectis singulis pessima quæque selegit, nihil omnino boni continet. Nec potest quisquam accuratè de hac loqui, nisi eorum se conuersationi adiungat. Non de astrorum cultu, non mali specie quavis abstinet. Quæ circa doctrinam de Deo, deque incarnatione Christi, magna cum licentia delinquunt, hæc sunt. De diuinitate sic opinantur, vt esse duo principia, duosque Deos dicant, vnum bonum, & vnum malum. Si qua meliora sunt, in rebus, ea Deo bono adsignant; tenebras, malo. Rursus in compositis animalibus, materiem ad malum Deum;

Quinque hæreses; Montanorum, Manichæorum, Samosatenorum, Sabellianorum & Arrianorum declarantur.

Temporum partitio.

Diuisio temporum post Christum.

Assumptione Christi ex iis quæ scripta sunt tantum acta Apostolorum probantur.

Primus patrum gradus.

Hæreses sub iisdem.

* *ἐνανθρώπησιν, infrà.*

A formam ad bonum Deum referunt. Iidem & veteris scripturæ libros quosdam Deo malo attribuerunt. vt eum, qui de Israëlitarum ex Ægypto discessu narrat. Aiunt enim, non esse Dei boni, eos Ægypto eiicere, multáque mala deinceps irrogare. Præterea nouos quosdam sibi libros excogitant. Quippe commemorant Euangelium scriptum à Thoma, & alterum à Philippo; quæ nos ignoramus. Atque horum gratia sancti patres expressere nominatim, quos libros recipere debeamus. De incarnatione sic sentiunt: Non verè factam incarnationem Christi fatentur, sed specie tenus: & in ipsis B cruciatibus Christum pro se hominem alium subiecisse, ac fuga euasisse. Huic de specie opinioni ex quibusdam dictis, quæ in euangeliis reperiuntur, fidem adstruebant: vnde perhibent, Christum in monte transformatum fuisse, ac inadspectabilem factum. Rursus, quum magna eum multitudo circumstetisset, Iesus deflexit. Hoc vero non satis est ad probandum incarnationem specie tenus esse factam. Nam & homines transformati fuerunt, & inadspectabiles facti. Quippe Moses transformatus C fuit, vultu adeo maiestate referto, vt oculos in eum Iudæi dirigere nequirent; sed obvelato vultu ad eos loqueretur. Itidem & Philippus inadspectabilis factus est, & ex regione montana subitò peruenit Azotum. Alia quoque secta, nimirum Pauli Samosatensis, his temporibus exstitit: qui & circa diuinitatem & incarnationem errabat. Circa diuinitatem, quia patrem solum fatebatur: circa incarnationem, quia purum solúmque hominem esse Christum dicebat: in quo fuisse Dei sermonem, non arbitrabatur; nec ea sentiens, quæ Nestorius. Quip- D pe Nestorius, licet Christum diceret purum hominem esse: tamen subsistentem per se Dei sermonem, ac filium, in homine illo fuisse fatebatur. Non enim circa Trinitatem aliquod Nestorij fuit erratum. Paulus autem Samosatensis subsistentem per se Dei sermonem in Christo fuisse non dicebat, sed volebat sermonem esse iussum quemdam, ac mandatum: hoc est, iussit Deus (vt ipse loquebatur) fieri per illum hominem, quod volebat; idemque per illum condebat. E Nec erat eadem Pauli de diuinitate sententia, quæ Sabellij. Nam Sabellius eumdem dicebat esse patrem, & filium, & spiritum sanctum, Deúmque rem trini nominis adpellabat, nullam prorsus esse Trinitatem statuens. Paulus vero, non eumdem dicebat esse patrem, & filium, & spiritum sanctum: sed patrem aiebat illum esse Deum qui omnia creasset; filium, purum illum hominem; spiritum, illam gratiam, quæ super Apostolos venerit. His temporibus exstitit & Sabellij secta, de qua paullo antè loquuti sumus.

Euangelia Thomæ & Philippi.

Samosateni, siue Pauliana secta tertia.

Sabellii secta quarta.

A τὸ εἶδος, τῷ ἀγαθῷ Θεῷ. οὗτοι καὶ τινὰ βιβλία τῆς παλαιᾶς γραφῆς τῷ κακῷ Θεῷ ἀνατιθέασι. ὥσπερ τὴν ἀπὸ Αἰγύπτου ἔξοδον τῶν Ἰσραηλιτῶν. οὐκ ἔστι γάρ, φασι, τοῦ ἀγαθοῦ Θεοῦ, τὸ ἐκβαλεῖν αὐτοὺς ἀπὸ Αἰγύπτου, καὶ πολλὰ κακὰ αὐτοῖς ὕστερον ποιῆσαι. οὗτοι καὶ βιβλία τινὰ ἑαυτοῖς καινοτομοῦσι. λέγουσι γὰρ εὐαγγέλιον κατὰ Θωμᾶν καὶ Φίλιππον, ἅπερ ἡμεῖς οὐκ ἴσμεν. δι' οὓς καὶ ἐξεδόσαν οἱ ἅγιοι πατέρες, ποῖα βιβλία δεῖ δέχεσθαι ἡμᾶς. περὶ δὲ τὴν ἐνανθρώπησιν οὕτως δοξάζουσιν· οὐχ ὁμολογοῦσιν ἀληθῶς γενέσθαι τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ, ἀλλὰ κατὰ B φαντασίαν. καὶ ἐν τοῖς πάθεσιν ὅτι ἄλλον ἄνθρωπον ὑπέβαλεν ἀντ' αὐτοῦ, καὶ αὐτὸς ἔφυγεν. ἐπιστοῦντο δὲ τὸ τῆς φαντασίας, ἀπό τινων ῥημάτων ἐν τοῖς εὐαγγελίοις κειμένων, ἐξ ὧν λέγουσιν, ὅτι ἐν τῷ ὄρει ὢν μετεμορφώθη καὶ ἄφαντος γέγονε. καὶ πάλιν, ὄχλου πολλοῦ περιεστηκότος, ἐξένευσεν ὁ Ἰησοῦς. τοῦτο δὲ οὐκ ἔστιν ἱκανὸν παραστῆσαι, ὅτι κατὰ φαντασίαν γέγονεν ἡ ἐνανθρώπησις. καὶ ἄνθρωποι γὰρ μετεμορφώθησαν, καὶ γεγόνασιν ἄφαντοι. μετεμορφώθη γὰρ Μωϋσῆς εἰς ἔνδοξον πρόσωπον, ὥστε μὴ C δύνασθαι τοὺς Ἰουδαίους ἀτενίσαι εἰς αὐτόν, ἀλλὰ κεκαλυμμένος τὴν ὄψιν ἐλάλει αὐτοῖς. ἠφανώθη δὲ καὶ ὁ Φίλιππος, καὶ ἀπὸ τῆς ὀρεινῆς ἐξαίφνης ἐγένετο εἰς Ἄζωτον. ἐγένετο δὲ καὶ ἄλλη αἵρεσις κατὰ τοὺς χρόνους τούτους, ἡ Παύλου τοῦ Σαμοσατέως. ὅστις καὶ περὶ τὴν θεότητα ἐσφάλλετο, καὶ περὶ τὴν ἐνανθρώπησιν. περὶ μὲν γὰρ τὴν θεότητα, ὅτι πατέρα μόνον ἔλεγε· περὶ δὲ τὴν ἐνανθρώπησιν, ὅτι ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστόν, γενέσθαι δὲ ἐν αὐτῷ τὸν λόγον τοῦ Θεοῦ, μὴ νομιζόμενος· καὶ μὴ δοξά- D ζων τὰ αὐτὰ τῷ Νεστορίῳ. ὁ μὲν γὰρ Νεστόριος, εἰ καὶ ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστόν, ἀλλ' οὖν τὸν αὐθυπόστατον λόγον τοῦ Θεοῦ, καὶ υἱὸν ἔλεγε γενέσθαι ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ. περὶ γὰρ τὴν τριάδα οὐχ ἡμάρτανεν ὁ Νεστόριος. ὁ δὲ Παῦλος ὁ Σαμοσατεὺς οὐκ ἔλεγε τὸν αὐθυπόστατον λόγον γενέσθαι ἐν τῷ Χριστῷ, ἀλλὰ λόγον ἔλεγε τὴν κέλευσιν καὶ τὸ πρόσταγμα· τουτέστιν, ἐκέλευσεν ὁ Θεὸς διὰ ἐκείνου τοῦ ἀνθρώπου, ὃ ἐβούλετο, καὶ ἐποίει. ἀλλ' E οὐδὲ περὶ τὴν θεότητα τὰ αὐτὰ ἐδόξαζε τῷ Σαβελλίῳ· ὁ μὲν γὰρ Σαβέλλιος, τὸν αὐτὸν ἔλεγε πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα, καὶ τριώνυμον πρᾶγμα ἔλεγε τὸν Θεόν· οὐκέτι τριάδα δοξάζων. ὁ δὲ Παῦλος, οὐ τὸν αὐτὸν ἔλεγε πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα. ἀλλὰ πατέρα μὲν ἔλεγε τὸν Θεόν, τὸν πάντα δημιουργήσαντα· υἱὸν δέ, τὸν ἄνθρωπον τὸν ψιλόν. πνεῦμα δέ, τὴν ἐπιφοιτήσασαν χάριν τοῖς ἀποστόλοις. Ἐν τοῖς χρόνοις δὲ τούτοις καὶ ἡ Σαβελλίου αἵρεσις ἐγένετο, περὶ ἧς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν.

Ceterum

Ἐν δὲ τοῖς χρόνοις τοῖς ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας Κωνσταντίνου, ἄχρι τοῦ κινήματος τῆς ἐν Χαλκηδόνι συνόδου, ἐγένοντο διδάσκαλοι καὶ πατέρες οἵδε· Σίλβεστρος Ῥώμης ἐπίσκοπος, Ἀλέξανδρος ἐπίσκοπος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, Ἀθανάσιος Ἀλεξανδρείας, Ἰούλιος Ῥώμης, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἱλάριος Πικτάβων, πόλεως τῆς Γαλατίας, Ἀμβρόσιος Μεδιολάνων, Βασίλειος Καισαρείας τῆς Καππαδοκίας, Γρηγόριος Νύσσης, Γρηγόριος ὁ Ναζιανζοῦ, Ἀμφιλόχιος Ἰκονίου, Ἀντίοχος Πτολεμαΐδος, τῆς κατὰ Φοινίκην, Γελάσιος Καισαρείας Παλαιστίνης, Νεκτάριος, Ἀττικός, Ἰωάννης, Πρόκλος, καὶ Φλαβιανός, Κωνσταντινουπόλεως· Σεβηριανὸς Γαβάλων, Ἐπιφάνιος Κύπρου, Αὐγουστῖνος * Ἱππῶνος πόλεως τῆς Ἀφρικῆς, Θεόφιλος καὶ Κύριλλος, Ἀλεξανδρείας. τούτους οὖν πάντας τοὺς ἐπισκόπους αἱ μετ' αὐτοὺς αἱρέσεις δέχονται, αἱ δὲ πρὸ αὐτῶν, οὐκέτι. ἐγένετο δὲ εὐθέως ἐν αὐτῇ τῇ βασιλείᾳ Κωνσταντίνου, ἡ τοῦ Ἀρείου αἵρεσις· ὅστις καὶ περὶ τὴν θεότητα, καὶ περὶ τὴν ἀνθρωπότητα ἐσφάλλετο· περὶ μὲν τὴν θεότητα, ὅτι ἔλεγε κτίσμα εἶναι τοῦ Θεοῦ τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα· περὶ δὲ τὴν ἐνανθρώπησιν, ὅτι τὸ σῶμα τοῦ Χριστοῦ ἔλεγεν ἄψυχον εἶναι. ἀρχὴν γὰρ ἔλεγεν ἐν αὐτῷ ἀντὶ ψυχῆς τὸν λόγον. τοῦτο δὲ ἔλεγεν, ἐπειδὴ συνεβάλλετο αὐτῷ εἰς δόγμα τῆς τριάδος, ὡς ἔχομεν δεῖξαι. ἐπιστοῦτο δέ, ὅτι κτίσματά εἰσι Θεοῦ, ἤτοι ποιήματα, ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, ἀπὸ χρήσεων τινῶν τῆς ἁγίας γραφῆς. λέγει γάρ, ὥς φησιν, ὁ Πέτρος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων· ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεὸς τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε. καὶ πάλιν ὁ ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὅθεν ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. καὶ αὐτὸς δὲ ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν· ὁ ἀποστείλας με πατήρ, μείζων μού ἐστι. τοῦτον δὲ ἀνατρέπουσιν οἱ ἅγιοι πατέρες, καὶ πρότερον μέν, ἐναντίας τούτων τῶν χρήσεων προφέρουσιν. ἔπειτα δὲ καὶ ταύτας τὰς προενεχθείσας ἐξ αὐτῶν θεραπεύοντες. ἐναντίας μέν, ὅτι φησὶν Ἰωάννης· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. καὶ πάλιν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ περὶ τοῦ υἱοῦ λέγει ὁ ἀπόστολος· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. εἰ δὲ ἦν κτίσμα, ἀλλὰ μὴ γέννημα τοῦ Θεοῦ ὁ Χριστός, οὐκ ἂν εἶχεν εἶναι χαρακτὴρ καὶ ἀπαύγασμα τοῦ Θεοῦ. καὶ αὐτὸς δὲ ὁ κύριος φησίν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ οὕτω μὲν ἀπὸ τῶν ἐναντίων χρήσεων ἀνατρέπουσι τὸν Ἄρειον. θεραπεύουσι δὲ τὰς ἐξ αὐτῶν προενεχθείσας, τούτῳ τῷ λόγῳ· ὅτι ὁ υἱὸς τοῦ Θεοῦ πάντα ὑπομεῖναι ἀξιώσας,

Ceterum temporibus illis, quæ numerantur ab imperij Constantini principio, vsque ad collectionem synodi Chalcedonensis; hi doctores & patres vixerunt: Siluester episcopus Romanus, Alexander Episcopus Alexandrinus, Eustathius Antiochenus, Athanasius Alexandrinus, Iulius Romanus, Alexander Constantinopolitanus, Hilarius Pictauorum, Galliæ ciuitatis, Ambrosius Mediolanensis, Basilius Cæsareæ Cappadociæ, Gregorius Nyssenus, Gregorius Nazianzenus, Amphilochius Iconiensis, Antiochus Ptolemaidis, oppidi Phœniciæ, Gelasius Cæsareæ Palæstinæ, Nectarius, Atticus, * Ioannes, Proclus, & Flauianus, Constantinopolitani: Seuerianus Gabalorum, Epiphanius Cypri, Augustinus Hipponis, ciuitatis Africæ, Theophilus & Cyrillus, Alexandrini. Hos igitur omnes episcopos sectæ posteriores ipsis recipiunt, at non itidem priores. Exstitit autem statim ipso Constantino imperante Arij hæresis, qui quidem & circa diuinitatem, & circa naturam humanam errabat. Circa diuinitatem, quia filium dicebat esse Dei creatum, itidémque spiritum sanctum: circa incarnationem, quia Christi corpus aiebat inanimum esse, in quo animæ loco sermo principatum obtinuerit. Hoc autem propterea dicebat, quoniam conduceret ad stabiliendum ipsius de Trinitate dogma; sicut ostendere possumus. Probabat autem, filium spiritúmque sanctum esse Dei creata, siue opificia; de sacrarum litterarum quibusdam auctoritatibus. Ait enim Petrum in actis Apostolorum dicere: Certo sciat vniuersa Israëlicorum familia, quod Deus hunc Iesum, quem vos in crucem egistis, Dominum Christúmque fecerit. Et rursus Apostolum in epistola ad Hebræos scripsisse: Quapropter sancti fratres, consortes vocationis cœlestis, considerate Apostolum illum Pontificémque confessionis nostræ Iesum, fidelem ei, qui fecit eum. Præterea Dominum ipsum in euangeliis dicere: Qui me misit pater, maior me est. Sed refutant eum sancti patres, ac primo quidem, auctoritates hisce contrarias proferunt: deinde has ipsas quoque productas ab Arianis sanant. Contrarias, quod Ioannes dixerit: In principio erat sermo, & sermo erat apud Deum, & sermo ille Deus erat. Ac rursus in epistola ad Hebræos de filio dicit Apostolus: Qui radius est maiestatis, & effigies substantiæ patris. Quod si creatum, non soboles Dei Christus esset; non caderet in eum, esse Dei tum effigiem, tum radium. Quin & ipse Dominus ait: Ego & pater vnum sumus. Et hoc quidem modo per auctoritates contrarias Arium refutant. Productis autem per Arianos, opem hac ratione ferunt; quod filius Dei scilicet, omnia sustinere dignatus,

Alter Patrũ gradus.

** Hic Chrysostomus est dictus.*

* Ἱππῶνος

Hæresis Ariana.

Probationes quibus Arius confirmabat filium & spiritum sanctũ esse Dei creaturas.

Arii opinio reprehenditur sacris testimoniis.

Loca scripturæ quibus Arij hæresis nitebatur, à patribus explicantur.

vt homo, non etiam dedignatus sit, patrem A se maiorem dicere. Quum Apostolus Factum dicit, non ad diuinitatem respiciens, ita loquitur; sed ad naturam humanam. Quatenus enim Deus est, soboles Dei, non creatum est: quatenus autem homo, tam creatum, quàm Apostolus, & quæcumque nomina sunt huius generis alia. Et quidem sciendum, hoc ipsum esse dogma Ecclesiæ nostræ, quod Arium euertat. Nam nisi duas in Christo naturas esse dixerimus, & humanæ quidem humiles hasce voces adtribuerimus; diuinitati vero, diuersas: nequaquam confutatus euertitur. Iccirco Arianum dogma, Christi corpus inanimum esse, tradebat: vt humiles eiusmodi voces Christo, non vt homini, adtribueremus; sed vt Dei filio: déque ipsius sententia, filius patre minor deprehenderetur. Quod autem Christi corpus anima præditum fuerit, Christus ipse verbis hisce testatur; Turbata est anima mea: déque pluribus aliis probatur. Aduersus hunc Arium, presbyterum Alexãdrinum, eximiorum CCCXVIII Episcoporum synodus Nicææ, Constantino imperante, coacta fuit: qui & officio remouerunt eum, & symbolum siue doctrinæ formulam aduersus ipsum exposuerunt, quæ vulgo habetur, & possunt eam, qui cupiunt, consequi. Hæc tractare voluimus.

* ἐν

Ariani per doctrinam de idiomatum communicatione refutandi.

Christus anima humana praeditus.

ὡς ἄνθρωπος, οὐκ ἀπηξίωσε καὶ μείζονα αὐτοῦ εἰπεῖν τὸν πατέρα. ὅταν μὲν οὖν ποίημα αὐτὸν καλεῖ ὁ ἀπόστολος, οὐ πρὸς τὴν θεότητα ἀποβλέπων, οὕτως αὐτὸν καλεῖ, ἀλλὰ πρὸς τὴν ἀνθρωπότητα. καθὸ μὲν γὰρ Θεός, γέννημά ἐστι Θεοῦ, οὐ ποίημα· καθὸ δὲ ἄνθρωπος, ποίημα, καὶ ἀπόστολος, καὶ ὅσα τοιαῦτα. καὶ ἰστέον, ὅτι τὸ δόγμα τῆς ἡμετέρας ἐκκλησίας ἐστί, τὸ ἀνατρέπον τὸν Ἄρειον. εἰ μὴ γὰρ δύο φύσεις εἴπωμεν * περὶ Χριστοῦ, καὶ τῇ μὲν ἀνθρωπίνῃ τὰς ταπεινὰς ταύτας φωνὰς ἀναθήσωμεν, τῇ δὲ θεότητι τὰς ἄλλας, B οὐκ ἀνατρέπεται. διὰ τοῦτο τὸ δόγμα τοῦ Ἀρείου, τὸ σῶμα τοῦ Χριστοῦ ἔλεγεν ἄψυχον εἶναι· ἵνα τὰς τοιαύτας ταπεινὰς φωνὰς μηκέτι ὡς ἀνθρώπῳ ἀναθῶμεν τῷ Χριστῷ, ἀλλ᾽ ὡς υἱῷ τοῦ Θεοῦ καὶ εὑρεθῇ, κατὰ τὸ δόγμα αὐτοῦ, ὁ υἱὸς ἐλάττων τοῦ πατρός. ὅτι δὲ καὶ ψυχὴν εἶχε τὸ σῶμα τοῦ Χριστοῦ, μαρτυρεῖ αὐτὸς ὁ Χριστὸς λέγων, ὅτι ἡ ψυχή μου τετάρακται· καὶ ἀπὸ ἄλλων πολλῶν. κατὰ τούτου δὲ τοῦ Ἀρείου, πρεσβυτέρου ὄντος Ἀλεξανδρείας, ἐκεροτήθη σύνοδος ἐν Νικαίᾳ, ἐπισκόπων ἐκκρίτων τιη´. βασιλεύοντος Κωνσταντίνου ἣ C καθεῖλον αὐτόν, καὶ σύμβολον, ἤτοι μάθημα κατ᾽ αὐτοῦ ἐξέθεντο, ὅπερ φέρεται, καὶ τοῖς βουλομένοις ἔξεστιν αὐτῷ ἐντυχεῖν. ἐν τούτοις ἡ πρᾶξις.

Hac quarta actione Macedonij, Apollinaris, Nestorij, Eutychis hereses deteguntur & examinantur, Dioscorus quod Eutychi hæretico fauisset, in insulam relegatur.

ACTIO IV.

POST Arij sectam, vel ea potius adhuc D vigente, (nam longo tempore durauit) exortæ sunt aliæ duæ sectæ, Macedonij Constantinopolitani Episcopi, & Apollinaris presbyteri. Macedonij quidem hæresis huiusmodi fuit: Circa diuinitatem delinquebat, & ex semisse particeps erat impietatis Arianæ. nam filium ex Deo genitum tradens, spiritum creaturam esse dicebat. atque hoc dogma suum ex eo confirmabat, quod apertus sacris in litteris, vt ipse quidem aiebat, textus non exstet, qui spiritum sanctum esse Deum tradat. Sed multis auctoritatibus conuincitur. E Nam & spiritus sancti, tamquam Dei, mentionem sacra scriptura fecit. Primum in Actis Apostolorum, ad Ananiam sanctus Petrus ait: Cur Satanas, Anania, cor tuum impleuit, vt spiritui sancto imponeres, partémque de pretio fundi defraudares? Nonne tuum manebat, & in potestate tua distractum erat? Non hominibus, sed Deo mentitus es. En apertè spiritum sanctum adpellauit Deum. Deinde rursus in actis Apostolorum dicitur,

Hæresis Macedonis sexta.

Error Macedonii confutatur testimoniis Ecclesiasticis.

ΠΡΑΞΙΣ Δ´.

ΜΕΤΑ τὴν αἵρεσιν Ἀρείου, μᾶλλον δὲ αὐτῆς D ἔτι συνισταμένης (ἐκράτησε γὰρ πολὺν χρόνον) ἀνεφύησαν καὶ ἄλλαι δύο αἱρέσεις, ἥ τε Μακεδονίου ἐπισκόπου ὄντος Κωνσταντινουπόλεως, καὶ ἡ τοῦ Ἀπολιναρίου πρεσβυτέρου ὄντος. ἦν δὲ ἡ μὲν τοῦ Μακεδονίου αἵρεσις τοιαύτη. ἡμάρτανε περὶ τὴν θεότητα, ἐξ ἡμισείας συνασεβῶν τῷ Ἀρείῳ. τὸν μὲν γὰρ υἱὸν λέγων γέννημα τοῦ Θεοῦ, τὸ πνεῦμα ποίημα ἔλεγε, καὶ ἰσχυρίζετο τὸ δόγμα αὐτοῦ ἀπὸ τοῦ μὴ φανερῶς, φησι, κεῖσθαι ἐν τῇ ἁγίᾳ γραφῇ, ὅτι Θεός ἐστι τὸ πνεῦμα τὸ ἅγιον. ἐλέγχεται δὲ ἀπὸ πολλῶν χρήσεων. καὶ περὶ τοῦ πνεύματος γὰρ τοῦ ἁγίου ὡς Θεοῦ, ἐμνήσθη ἡ ἁγία γραφή. πρῶτον μὲν γὰρ E ἐν ταῖς πράξεσι τῶν ἀποστόλων πρὸς Ἀνανίαν φησὶν ὁ ἅγιος Πέτρος· Ἀνανία, ἵνα τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ Θεῷ. ἰδοὺ γὰρ φανερῶς Θεὸν ἐκάλεσε τὸ πνεῦμα τὸ ἅγιον. εἶτα πάλιν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων λέγεται,

ὅτι νηστευόντων αὐτῶν, καὶ λειτουργούντων τῷ Κυρίῳ, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατέ μοι τόν τε Παῦλον, καὶ τὸν Βαρνάβαν, εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. ἔδειξε γὰρ διὰ τοῦ, ἀφορίσατε, τὴν οἰκείαν ἐξουσίαν, ὅτι ὡς αὐτὸς ὢν Θεὸς διαλέγεται. εἰ γὰρ κτίσμα ἦν Θεοῦ, καὶ ἀπ' αὐτοῦ ἀπεσταλμένον, εἶχεν ἂν εἰπεῖν· ὅτι εἶπεν ὁ Κύριος, ἀφορίσατέ μοι τόν τε Παῦλον καὶ Βαρνάβαν. οὕτω γὰρ ἡ ἁγία γραφὴ εἴωθε λέγειν, ὅτε διά τινος ἐλάττονος ποιεῖται ὁ Κύριος τὸν λόγον· καὶ ὁ Κύριος δέ φησιν ἐν τοῖς εὐαγγελίοις· τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· ὃ γέννημά ἐστι τῆς οὐσίας τοῦ Θεοῦ. οὐδαμοῦ γὰρ ἐπὶ κτίσματος φαίνεται τοῦτο τὸ ῥῆμα λέγουσα ἡ ἁγία γραφή. πάλιν ἐν ἑτέροις λέγει, ὁ Κύριος· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. εἰ γὰρ ἦν κτίσμα τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν συνηριθμήθη αὐτὸ τοῖς ἀκτίστοις, ἵνα σὺν αὐτοῖς προσκυνῆται καὶ συνδοξάζηται. ὁ δὲ Ἀπολινάριος περὶ μὲν τὴν θεολογίαν οὐ φαίνεται ἁμαρτάνων, πλὴν διελέγχουσι καὶ τοῦτον οἱ Γρηγόριοι περὶ ταύτην ἁμαρτάνοντα. κτίσμα μὲν γὰρ, φασιν, οὐ λέγει· ὑπόβασιν δὲ μικρὰν λέγει τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, πρὸς τὸν πατέρα. περὶ δὲ τὴν οἰκονομίαν φανερῶς διεσφάλετο. ἔλεγε γὰρ, τὸ σῶμα, ὃ ἐνεδύσατο ὁ Θεὸς λόγος, ψυχὴν μὲν ἔχειν, νοῦν δὲ οὐδαμῶς. ἀλλ' ὥσπερ ἄλογον ψυχὴν οὕτως ἔλεγεν ἔχειν. διϊσχυρίζετο δὲ τὸ δόγμα αὐτοῦ, οὐκ ἀπὸ ῥητοῦ τινος, ἀλλ' ἀπὸ περινοίας. ἔλεγε γὰρ, ὅτι ὁ νοῦς ἁμαρτητικόν τι ἐστίν. ἄτοπον δέ ἐστιν ὅλως, ὑπονοῆσαι περὶ τοῦ λόγου τοῦ Θεοῦ, ὅτι συνήφθη τινὶ ἁμαρτητικῷ. ἡμεῖς δὲ λέγομεν, ὅτι τοὐναντίον τῷ ἁμαρτητικῷ δεῖ μᾶλλον αὐτὸν ὑπονοῆσαι συναφθῆναι, τῷ καὶ σωτηρίας δεομένῳ. ἐκεῖνον γὰρ ἔσωσεν, ᾧ καὶ συνήφθη. τούτων τῶν δογμάτων κινουμένων, συνέρχεται ἡ ἐν Κωνσταντινουπόλει σύνοδος ἀνδρῶν ρ΄. ν΄. ἥτις ἄνδρας εἶχε μεγάλους, τοὺς Γρηγορίους, καὶ Ἀμφιλόχιον. καὶ συναχθέντες, καθαιροῦσι τὸν Μακεδόνιον καὶ Ἀπολινάριον· καὶ ἐκτίθενται ὅρον ἤτοι μάθημα πίστεως, ὅπερ λέγομεν. περὶ δὲ τοὺς χρόνους ἐκείνους ἐγένοντο δύο ἄνδρες μεγάλοι, Διόδωρος ὁ Ταρσοῦ ἐπίσκοπος, καὶ Θεόδωρος ὁ Μοψουεστίας· οἵτινες ἀντηγωνίσαντο πρὸς Ἀρειανοὺς, καὶ Μακεδόνιον, καὶ Ἀπολινάριον, καὶ τὴν ἄλλην γραφὴν ὑπεμνημάτισαν, καὶ ἐν τιμῇ ὄντες μεγάλῃ, ἀπέθανον· καὶ οὐδεὶς ἐν τῇ ζωῇ αὐτῶν ἐπελάβετό τινος αὐτῶν· ἀλλ' ἐγκώμια ἔγραψαν εἰς αὐτοὺς πολλοί. καὶ Βασίλειος γὰρ αὐτοὺς ἐγκωμιάζει, καὶ Ἰωάννης ὁ Χρυσόστομος. ὕστερον δὲ κινουμένου τοῦ Νεστοριανοῦ δόγματος, ἠναγκάσθη Κύριλλος,

ὅθεν καὶ τοῦτο πρότερον μᾶλλον ἐγκαλέσαι τῷ ἁγίῳ Κυρίλλῳ ὤφειλον, ἤπερ τῇ συνόδῳ. αὐτὸς γοῦν ὁ ἐν ἁγίοις Κύριλλος, ζητησάντων τινῶν ἤδη ἀναθεματίσαι τὸν Θεόδωρον, φαίνεται γράφων πρὸς Πρόκλον, ὅτι οὐ δεῖ ἀναθεματίζειν. οἱ γὰρ ἀνατολικοὶ πάντες, φησὶ, μέγαν ἔχουσι διδάσκαλον τὸν Θεόδωρον, καὶ ἐὰν αὐτὸν ἀναθεματίσωμεν, μέγα σχίσμα ποιοῦμεν ἐν τῇ ἐκκλησίᾳ τῶν ἀνατολικῶν. ὧν εἷς καὶ Ἴβας, μὴ ἀνεχόμενος αὐτὸν ἀναθεματίσαι. ὃ γοῦν ὁ ἅγιος Κύριλλος ἐκώλυε, τοῦτο πῶς εἶχε ποιῆσαι ἡ σύνοδος; εἰ δὲ καὶ θῶμεν, ὅτι φανερῶς ἦσαν αἱρετικοὶ οὗτοι, οὐδὲ οὕτως ὤφειλον ἀποβάλλεσθαι τῆς συνόδου. ἰδοὺ γὰρ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἐδέξατο ἑπτὰ αἱρετικοὺς, καὶ πρὸ τούτου Ἀρειανίζοντας, καὶ μετὰ ταῦτα ἐπιμείναντας. καὶ ὅμως οὐ διὰ τοῦτο λέγομεν τὴν σύνοδον τιη΄. καὶ Ἰουβενάλιος δὲ, ὁ Ἱεροσολύμων ἐπίσκοπος, καὶ ἄλλοι τινὲς τῶν γενομένων ἐν τῇ ἐν Ἐφέσῳ δευτέρᾳ συνόδῳ, ἣν κατεδέχοντο, εὑρέθησαν ἐν Χαλκηδόνι. τούτων δὲ οὕτως ἐχόντων, ἄλλη ἀπορία ἡμῖν ἀνεφύη ἀπὸ τῶν χρόνων Ἰουστινιανοῦ. ἐπεὶ γὰρ ὁ Ἰουστινιανὸς, θεωρῶν τοὺς διακρινομένους καταβοῶντας Θεοδωρήτου καὶ Ἴβα, καὶ ὥσπερ δι᾽ αὐτοὺς ἀποστρεφομένους τὴν σύνοδον, ἀνεθεμάτισεν αὐτοὺς, ἀποροῦσιν ἡμῖν, ὅτι διατί αὐτοὺς ἀναθεματίζετε; ἢ καλοὶ ἦσαν, ἢ κακοί. καὶ εἰ μὲν καλοὶ, διατί αὐτοὺς ἀναθεματίζετε; εἰ δὲ κακοὶ, διατί αὐτοὺς ἐδέξατο ἡ σύνοδος; εἰ γὰρ καὶ ὑμεῖς νῦν αὐτοὺς ἀναθεματίζετε ὡς κακοὺς, τί πρὸς τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δεξαμένην αὐτοὺς, ἣν ὑμεῖς καταδέχεσθε; πρὸς τοῦτο λέγομεν, ὅτι κατ᾽ οἰκονομίαν τινὰ τοῦτο ἐποίησε Ἰουστινιανός. ἐπειδὴ γὰρ ἑώρα, ὥσπερ εἴπομεν, τοὺς διακρινομένους διὰ τούτους ἀποστρεφομένους τὴν σύνοδον, ἐνόμισεν ὅτι ἐὰν ἀναθεματίσῃ αὐτοὺς, ποιεῖ δέξασθαι τὴν σύνοδον. ἡγήσατο γοῦν δύο τινὰς ἀναθεματίσαι, (εἰ καὶ μὴ ἔδει αὐτοὺς ἀναθεματισθῆναι) ἵνα πάντων ἕνωσιν ποιήσῃ. καὶ διὰ τοῦτο ἀνεθεμάτισεν αὐτούς. καὶ ὅμως οὐδὲ οὕτως ἐδέξαντο οἱ διακρινόμενοι τὴν σύνοδον.

A mirum & hoc potiùs de sancto Cyrillo queri debebant, quàm de synodo. Nam sanctæ memoriæ Cyrillum, quum nonnulli hoc ipsum quærerent, vt Theodorus anathemati subiiceretur, ad Proelum scripsisse constat; minimè Theodorum anathematizari debere. Nam orientales, inquit, vniuersi Theodorum pro magno doctore habent. quem si anathemati subiecerimus, in orientalium Ecclesia dissidium ingens excitabimus: quorum vnus est Ibas, qui eum anathematizari non patietur. Quod ergo sanctus Cyrillus fieri prohibebat, quo pacto B synodus facere poterat? Iam si maximè ponamus, hos duos palam fuisse sectarios; tamen ne sic quidem à synodo reiici debebant. Etenim ecce Nicæna quoque synodus septem hæreticos admisit, qui & antea partes Arianas fouebant, & in sententia deinceps perseuerarunt. Nec tamen iccirco vocamus eam cccxi patrum synodum, sed cccxviii. Itidem Iuuenalis, Hierosolymorum episcopus, & alij quidam, qui secundæ synodo Ephesinæ interfuerant, eámque probauerant; C Chalcedone quoque reperti fuerunt. Quæ quum ita sint, alia nobis oritur de Iustiniani temporibus difficultas. Nam quia Iustinianus, qui videret Hæsitantes occlamare Theodoreto & Ibæ, quasique propter ipsos auersari synodum, anathemati eos subiecit: obiiciunt nobis, quamobrem illos anathematizemus? Aut boni scilicet erant, aut mali. Si boni, cur eos anathematizatis? sin mali, cur à synodo recepti sunt? Quod si vos iam ipsos, vt malos anathematizatis, quid hoc ad Chalcedonense Concilium, à vobis probatum, quod eos recepit? Ad hoc respondemus, D Iustinianum hoc certo quodam consilio fecisse. Nam quia videbat, vt diximus, horum caussâ Hæsitantes synodum auersari: persectuturum se putabat: vt iis anathematizatis, synodus reciperetur. ideóque duos anathematizandos duxit, (quamquam minimè anathematizatos oportuit) vt omnes ad vnionem redigeret. hanc igitur ob caussam illos anathemati subiecit. Verùm ne sic quidem adducti sunt Hæsitantes, vt synodum reciperent.

Theodoretus & Ibas à Iustiniano anathematizati.

Philosophicis respondetur rationibus, quas Hæsitantes adferebant, vt reprehenderent quæ fuerant de Christi naturâ decreta.

ΠΡΑΞΙΣ ζ.

ΜΕΤΑ τὰ ἀπὸ τῶν πραχθέντων ἐπιχειρήματα, μετέλθωμεν καὶ ἐπὶ ἐπιχειρήματα, ἅπερ ἡμῖν ἀπὸ συλλογισμῶν προβάλλονται.

ACTIO VII.

POST expositionem argumentorum, ex ipsis actis petitorum; ad ea transeamus, quæ ratiocinando nobis obiiciunt.

Primum illud est: Si duas naturas, inquiunt, in Christo dicitis; omnino duas etiam hypostases traditis. Si duas hypostases, etiam duas personas, & duos Christos, & duos filios. adeóque reperiemini eadem sentire quæ Nestorius. Hanc obiectionem & instando & opponendo dissoluimus. Instando, quia malè obiicitis, & adeo quidem, vt eadem absurditas vobis quoque colligatur. Si enim Christum ex duabus naturis dicitis, erunt nimirũ & hypostases duæ, & duæ personæ seorsum, ac peculiariter circumscriptæ, sequetúrque, de opinione vestra, quòd erat humanitas aliquando absque diuinitate: quod absurdum est, ac ne vos quidem fateri sustinetis. Nam quod vos dicitis vnitũ esse, hoc nos dicimus post vnionem. Enimvero si non hypostaticas naturas vnitas esse dicitis, idem nos quoque dicimus: sin hypostaticas, absurdum id quidẽ fateri, sed dicemus tamen; vobis hanc absurditatem exorsis. Vt autem & opponendo soluamus obiectum, aliam quoque difficultatem adferunt, priori similem, sed quæ diuerso quodam modo texitur; qua soluta, soluta quoque superior erit. Est autem huiusmodi: Si duas naturas dicitis, inquiunt, aut hypostaticæ sunt, aut non hypostaticæ. Si hypostaticæ, personas duas introducitis, & Christos duos, & duos filios. Si non hypostaticæ, rerum in natura non sunt. At vero dicere, naturas Christi non esse in natura rerum, absurdum est. Ad hanc obiectionem rursus & instando & opponendo pugnamus. Instando, quia malè obiicitis. Nam si Christum ex naturis duabus dicitis, hæ quoque naturæ vel hypostaticæ sunt, vel non hypostaticæ. Si quidem hypostaticæ, duas personas introducitis, & duos Christos & filios duos. Si non hypostaticæ, de naturis non existentibus Christum esse dicitis. Vt autem non pergamus rem inexplicabilem per aliud inexplicabile dissoluere, (nihil enim in eo præclari) age vicissim eis opponendo nostra, obiectionem eorum male comparatam redarguamus. Sciendum igitur, hypostaticum & hypostasin duo significare. Nam & significat id quod simpliciter existit. quo significato dicimus & accidentia hypostasin habere, licèt in aliis esse suum habeant. Significat & id quod seorsum & per se existit, qualia sunt indiuidua substantiarum: quo fit vt hypostaticum per se, duplici modo dicatur hypostaticum: tum quatenus est quiddam existens, tum quatenus seorsum ac per se existit, vt Petrus & Paulus. Itidem & non hypostaticum duplex est. nam expers hypostasis dicitur, quod prorsus non existit; vt tragelaphus & hippocentaurus. Rursus expers hypostasis dicitur, non id quidem, quod non existit; sed quod hypostasin habet in alio, ac non per se subsistit: qualia sunt accidentia. His ita constitutis, quoties nos interrogauerint,

Hypostaticum & hypostasis duo significãt.

Non hypostaticũ duplex.

A ὧν πρῶτόν ἐστι τοῦτο· Εἰ δύο φύσεις, φασὶ, λέγετε ἐν τῷ Χριστῷ, πάντως καὶ δύο ὑποστάσεις λέγετε. Εἰ δύο ὑποστάσεις, καὶ δύο πρόσωπα, καὶ δύο Χριστοὺς, καὶ δύο υἱούς. καὶ εὑρεθήσεσθε τὰ αὐτὰ φρονοῦντες τῷ Νεστορίῳ. Ταύτην τὴν ἀπορίαν ἐπιλυόμεθα ἐνστάσει καὶ ἀντιστάσει. ἐνστάσει μὲν, ὅτι κακῶς ἀπορεῖτε, καὶ τοσοῦτον, ὅτι καὶ ὑμῖν τὸ αὐτὸ συνάγεται ἄτοπον. Εἰ γὰρ ἐκ δύο φύσεων λέγετε τὸν Χριστὸν, οὐκοῦν δύο ὑποστάσεις, καὶ δύο πρόσωπα καθ᾽ ἑαυτὰ, καὶ ἰδιοπεριόριστα· καὶ ἦν ποτε καθ᾽ ὑμᾶς ἡ ἀνθρωπότης χωρὶς τῆς θεότητος, ὅπερ ἄτοπον, καὶ οὐδ᾽ ὑμεῖς ἀνέχεσθε ὁμολογῆσαι. ὃ γὰρ ὑμεῖς λέγετε ἡνῶσθαι, τοῦτο λέγομεν ἡμεῖς μετὰ τὴν ἕνωσιν. Εἰ μὲν οὖν ἀνυποστάτους τὰς φύσεις λέγετε ἡνῶσθαι, καὶ ἡμεῖς τοῦτο λέγομεν· Εἰ δὲ ἐνυποστάτους, ἄτοπον μὲν ὁμολογῆσαι, ὅμως δὲ λέγομεν, ὑμῶν δὲ προεξαρξαμένων τῆς ἀτοπίας. ἵνα δὲ καὶ τῇ ἀντιστάσει λύσωμεν τὴν ἀπορίαν, ἑτέραν τινὰ ἐπαγάγουσιν ἀπορίαν, ὁμοίαν μὲν τῇ προτέρᾳ, ἄλλως δέ πως πλεκομένην· ἧς λυομένης, καὶ ἡ ἀνωτέρα λυθήσεται· ἔστι γοῦν τοιαύτη· εἰ δύο φύσεις λέγετε, φασὶν, ἢ ἐνυπόστατοί εἰσιν, ἢ ἀνυπόστατοι. εἰ μὲν οὖν ἐνυπόστατοί εἰσι, δύο πρόσωπα εἰσάγετε, καὶ δύο Χριστοὺς, καὶ δύο υἱούς. εἰ δὲ ἀνυπόστατοι, οὐκ ἄρα τῶν ὄντων εἰσίν. εἰπεῖν δὲ τὰς φύσεις τοῦ Χριστοῦ μὴ εἶναι τῶν ὄντων, ἄτοπον. πρὸς ταύτην πάλιν τὴν ἀπορίαν ἐνστάσει τε καὶ ἀντιπαραστάσει μαχόμεθα· ἐνστάσει μὲν, ὅτι κακῶς ἀπορεῖτε. εἰ γὰρ ἐκ δύο φύσεων λέγετε τὸν Χριστὸν, αὗται αἱ φύσεις ἢ ἐνυπόστατοί εἰσιν, ἢ ἀνυπόστατοι. D Εἰ μὲν οὖν ἐνυπόστατοι, δύο πρόσωπα εἰσάγετε, καὶ δύο Χριστοὺς καὶ δύο υἱούς· Εἰ δὲ ἀνυπόστατοι, ἐκ μὴ οὐσῶν φύσεων λέγετε εἶναι τὸν Χριστόν. ἵνα δὲ μὴ ἀπόρῳ τὸ ἄπορον μείνωμεν ἐπιλυόμενοι, (τοῦτο γὰρ οὐδὲν γενναῖον) φέρε ἀντιπαραστάσει χρησάμενοι, τὴν ἀπορίαν κακῶς ἔχουσαν διελέγξομεν. ἰστέον οὖν, ὅτι τὸ ἐνυπόστατον ἤτοι ἡ ὑπόστασις δύο σημαίνει. σημαίνει γὰρ τὸ ἁπλῶς ὄν. καθ᾽ ὃ σημαινόμενον λέγομεν καὶ τὰ συμβεβηκότα ἐνυπόστατα, εἰ καὶ E ἐν ἑτέροις ἔχουσι τὸ εἶναι. σημαίνει τε τὸ καθ᾽ ἑαυτὸ ὂν, ὡς τὰ ἄτομα τῶν οὐσιῶν. ὥστε συμβαίνει τὸ καθ᾽ ἑαυτὸ ἐνυπόστατον, διχῶς λέγεσθαι ἐνυπόστατον. καθ᾽ ὃ ὄν ἐστι, καὶ καθ᾽ ἑαυτὸ, τοῦτ᾽ ἔστι Πέτρος καὶ Παῦλος. ἀλλὰ καὶ τὸ ἀνυπόστατον διττόν. λέγεται γὰρ ἀνυπόστατον, καὶ τὸ μηδαμῶς ὄν, ὡς τραγέλαφος καὶ ἱπποκένταυρος. λέγεται πάλιν ἀνυπόστατον, οὐ τὸ μὴ ὂν μὲν, τὸ ἔχον δὲ ἐν ἑτέρῳ τὴν ὑπόστασιν, καὶ μὴ καθ᾽ ἑαυτὸ ὑφιστάμενον· ὡς τὰ συμβεβηκότα. Τούτων οὕτως ἐχόντων, ὅταν ἐρωτήσωσιν ἡμᾶς,

ὅτι εἰ δύο φύσεις λέγετε τοῦ Χριστοῦ, ἐνυποστάτους αὐτὰς λέγετε, ἢ ἀνυποστάτους; ἀντερωτήσομεν αὐτοὺς, ὅτι πῶς λέγετε ἐνταῦθα τὸ ἐνυπόστατον; ἐὰν μὲν εἴπωσιν, ὅτι περὶ τοῦ σημαίνοντος τὸ ὂν ἁπλῶς λέγομεν, ὅτι δύο φύσεις λέγομεν τοῦ Χριστοῦ κατὰ τοῦτο τὸ σημαινόμενον, καὶ οὐδὲν ἄτοπον συνάγεται ἡμῖν, ὥστε καὶ δύο πρόσωπα εἰσαγαγεῖν. οὐ γὰρ περὶ τούτου τοῦ σημαινομένου ἐλάβομεν τὴν ὑπόστασιν. ἵνα δὲ σαφὲς εἴη τὸ λεγόμενον, μεταβαλόντες τὰ ὀνόματα, συλλογιστικῶς προσαγάγωμεν τὸν λόγον, καὶ εἴπωμεν οὕτως· Εἰ δύο φύσεις τοῦ Χριστοῦ, πρέπεται τὸ ἐνυποστάτους αὐτὰς εἶναι· τὸ δὲ ἐνυπόστατον, τὸ ὂν σημαίνει. αἱ δύο φύσεις ἄρα τοῦ Χριστοῦ, τῶν ὄντων εἰσίν. ἐὰν δὲ εἴπωσιν, ὅτι τὸ ἐνυπόστατον λέγομεν περὶ τοῦ καθ' ἑαυτὸ ὑπάρχοντος· λέγομεν ἡμεῖς, ὅτι κατὰ τοῦτο αἱ δύο φύσεις τοῦ Χριστοῦ οὐκ εἰσὶν ἐνυπόστατοι, ἀλλ' ἀνυπόστατοι. καὶ οὐ συνάγεται ἡμῖν ἄτοπον. ἀνυποστάτους γὰρ λέγομεν αὐτὰς, οὐ καθὸ μὴ εἰσὶν ἀλλ' ὅτι τῶν μὴ καθ' ἑαυτὰ ὄντων εἰσίν. καὶ ἵνα πάλιν σαφὲς εἴη τὸ λεγόμενον, μεταβαλόντες τὰ ὀνόματα, συλλογιστικῶς προσαγάγωμεν τὸν λόγον. Εἰ δύο φύσεις τοῦ Χριστοῦ, πρέπεται τὸ ἀνυποστάτους αὐτὰς εἶναι. τὸ δὲ ἀνυπόστατον σημαίνει οὐ τὸ μὴ ὂν, ἀλλὰ τὸ καθ' ἑαυτὸ μὴ ὄν. αἱ δύο φύσεις ἄρα τοῦ Χριστοῦ, καθ' ἑαυτὰς οὐκ εἰσί. καὶ οὕτως ἐὰν εἴπωμεν, οὐ δύο πρόσωπα εἰσάγομεν, οὔτε μὴν τῶν μὴ ὄντων * αὐτὰ ποιοῦμεν. ἀνυπόστατον γὰρ ἐλάβομεν ἐνταῦθα τὸ σημαῖνον τὸ μὴ καθ' ἑαυτὸ, οὐκέτι τὸ μὴ ὄν. ὅτι δὲ δύο σημαινόμενα οἶδε τῆς ὑποστάσεως ἡ ἐκκλησιαστικὴ συνήθεια, τότε σημαῖνον τὸ ἁπλῶς ὂν, καὶ τὸ σημαῖνον τὸ πρόσωπον καὶ καθ' ἑαυτὸ ὄν, δηλοῖ ὁ ἅγιος Κύριλλος. καὶ πάλιν, εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις, πῆ μὲν περὶ τοῦ ἁπλῶς ὄντος λέγων, πῆ δὲ ἐπὶ τοῦ καθ' ἑαυτὸ, ὅτι δὲ ἀσύγχυτοι μεμενήκασι τοιγαροῦν αἱ ὑποστάσεις, ἐντεῦθεν εἰσόμεθα. ὅστις δὲ δυσὶ προσώποις, ἤγουν ὑποστάσεσι, τὰς ἐν τοῖς εὐαγγελίοις ἀπονέμει φωνὰς, ἀνάθεμα ἔστω. ὥστε δέδεικται, ὡς ἀπὸ τῆς ὁμωνυμίας βούλονται ἡμᾶς παραλογίσασθαι. ἄλλην δὲ ἡμῖν ἀπορίαν ἀποροῦσι, ἥ ἐστι τοιαύτη· ὅτι, εἰ δύο φύσεις λέγετε, διαίρεσιν εἰσάγετε. ἀριθμὸν γὰρ εἰσάγετε. ὁ δὲ ἀριθμὸς τοῦ διωρισμένου ἐστὶ ποσοῦ. πρὸς τοῦτο πάλιν τὸ ἀνωτέρω εἰρημένον ἐστὶν εἰπεῖν· ὅτι καὶ ὑμῖν τὸ αὐτὸ ἄτοπον συνάγεται. Εἰ γὰρ ἐκ δύο φύσεων λέγετε εἶναι τὸν Χριστὸν, ἐπεὶ τὸ δύο ἀριθμὸν εἰσάγει, ὁ δὲ ἀριθμὸς ὑπὸ τὸ διωρισμένον ἀνάγεται· εὑρεθήσεσθε διαίρεσιν εἰσάγοντες. ἵνα δὲ ὥσπερ καὶ αὐτοὶ ἐμφιλοσόφως ἐπιχειρήσωμεν, δεῖ γνῶναι, ὡς οὐδὲ πάντως

A Si duas Christi naturas dicitis, num eas dicitis hypostaticas, an expertes hypostasis? nos vicissim ex eis quæramus, quomodo hypostatici vocem accipiant. Si dixerint, accipere se de eo, quod significet rem simpliciter existentem; fatebimur, duas nos Christi naturas hoc significato dicere, nec absurdi quicquam à nobis colligi, duas vti scilicet personas introducamus. Non enim isto significato vocem hypostasis cepimus. Vt autem perspicuum sit, quod à nobis dicitur, permutatis nominibus, syllogisticè rem proferamus, hoc modo: Si duæ sunt naturæ Christi, sequitur eas hy- B postaticas esse. Hypostatici vero vox significat id quod existit. Ergo duæ Christi naturæ sunt earum in rerum numero, quæ existunt. Sin dixerint, hypostaticum accipere se de eo, quod per se subsistit, inferemus nos, ea ratione duas Christi naturas non hypostaticas esse, sed expertes hypostasis nec absurdi quidquam à nobis colligitur. nam expertes hypostasis eas dicimus, non ideo quòd non sint: sed quòd eorum è numero sint, quæ seorsum ac per se non existunt. Rursus vti perspicuum sit quod dicimus, permutatis nominibus, C syllogisticè rem proferamus. Si duæ sunt Christi naturæ, sequitur eas expertes hypostasis esse. Quod autem hypostasis expers est, non id significat, quod non existit: sed quod seorsum ac per se non existit. Ergo duæ Christi naturæ seorsum ac per se non existunt. quo pacto si loquamur, non duas personas introducimus, nec Christi naturas ad * αὐτὰ ea referimus, quæ non existunt. nam expers hypostasis ita cepimus, vt significet id quod seorsum per se non existit; non autem, quod non existit. Agnoscere vero Ecclesiæ scriptores hæc duo hypostasis significata, tum D de eo quod simpliciter existit; tum de persona, réque seorsum, ac per se existente: sanctus etiam Cyrillus indicat. Et rursus, si quis in vno Christo diuidit hypostases, partim dicens de eo quod simpliciter existit, partim de eo quod seorsum existit; inconfusas mansisse scilicet hypostases, hinc cognoscemus. Quisquis autem duabus personis, siue hypostasibus exstantes in Euangeliis voces attribuit, anathema sit. Col. 2. Probatum igitur, quod ex æquiuocatione nobis imponere velint. Aliam nobis obiectio- E nem huiusmodi proferunt. Si duas naturas dicitis, diuisionem introducitis. quippe numerum introducitis. numerus autem discretæ quantitatis est. Ad hoc respōdere licet, quod & superius dictum fuit; Vobis eamdem absurditatem colligi. Quippe si Christum duabus ex naturis esse dicitis, quum vox duarum, numerum introducat, & numerus ad quantitatem discretam referatur, reprehendemini diuisionem introducere. Vt autem philosophicè, quemadmodum & ipsi faciunt, argumentemur: sciendum ne quidem omnis

Philosophica, de numero, tractatio.

Numerus, in quantitate discreta & continua reperitur.

discretæ quantitatis dumtaxat esse numerum, sed eum reperiri de continuis quoque dictum: quemadmodum lignum quinque cubitorum dicimus, &, vt Aristoteles tradit, tempus esse numerum motus. Quippe tempus adpellat numerum, quod citra controuersiam est continuum. Duplex igitur numerus est, tum discretæ, tum continuæ, ceu loqui solemus, quantitatis. Quod si subtilitatibus vtendum erit, non necesse est, nos binarium de quantitate continua dicere, quum de Christo loquimur. quippe continuum est, cuius partes communis terminus coniungit. at vero in diuinitate cogitare partes, vt communis terminus eas cum corpore coniungat: ne fingendo quidem facile. nam continuum de solis magnitudinibus dicitur. Nimirum de quantitate discreta numerus heic accipi debet. Etenim discretum non omnino dicitur id quod prorsus est separatum; sed etiam coniunctum & vnitum, quod tamen suam quamdam rationem, qua secernitur, retinet. veluti corpus continuum dicimus, & discretum: continuum quidem, quatenus dimensiones simpliciter habet; discretum vero; quatenus tres sunt dimensiones. atqui non inuicem à se diuulsæ sunt dimensiones, sed iccirco discretas dicimus, quoniam quælibet earum suam rationem habet. At quia nonnullis omnino discreti nomen audire molestum est, age omissa solutione hac, cæteroqui bona, subiiciamus aliam. Sciendum ergo, pluribus modis vnum dici. quippe dicitur vnum numero, vt Socrates: & vnum specie, vt homo: & vnum genere, vt animal. Similiter & duo pluribus modis efferuntur. nam dicuntur duo, numero; vt Socrates, & Plato: & specie duo, vt homo & equus: & genere duo, vt substantia & album. His ita constitutis, quum duo de Christo dicimus, non eum duo dicimus esse numero: sed vnum numero, specie duo. Quod autem ita loqui possimus, etiam ipse ostendit Aristoteles, apertè de materie ac forma dicens, esse illa vnum quidem numero, sed specie duo: itémque sanctus ille Gregorius, de Christo dicēs: Vtraque natura copulata, vnum quid est; non tamen natura, sed coitione. Verum heic rursum nobis obiiciunt: Si vnum & duo de eodem dicitis, contradictionem introducitis: adeoque deprehendetur, vel id quod dicitis, esse falsum; vel contradictionem pariter esse veram. Ad hoc respondemus, non eodem respectu veram esse, sed diuerso; quod minimè absurdum est. Sciendum autem, vniuersas obiectiones hasce, non esse proprias Hæsitantium, sed quòd eas Nestorianis suffurati, nobis proponant. Nam illi duas personas, & duos Christos dicentes, communiter hæc omnibus, duas naturas vel vnitas, vel post vnionem, confitentibus obiiciebant:

Vt tribus modis accipitur vnum, sic & duo.

A τοῦ διωρισμένου ποσοῦ ἐστὶν ὁ ἀριθμός, ἀλλὰ ἐπὶ τῶν συνεχῶν ἐστὶν εὑρεῖν αὐτὸν λεγόμενον. ὥσπερ λέγομεν πεντάπηχυ ξύλον, καί, ὥς φησιν Ἀριστοτέλης, ὅτι χρόνος ἐστὶν ἀριθμὸς κινήσεως. ἀριθμὸν γὰρ ἐκάλεσε τὸν χρόνον συνεχῆ ὄντα ὁμολογημένον. διττὸς οὖν ὁ ἀριθμός, καὶ ἐπὶ τοῦ διωρισμένου, καὶ ἐπὶ τοῦ συνεχοῦς λεγομένου ποσοῦ. εἰ δὲ δεῖ καὶ ἀκριβείας ἀντέχεσθαι, οὐ δέον ἐστὶν ἡμᾶς τὴν δυάδα ἐπὶ τοῦ συνεχοῦς ἀριθμοῦ λέγειν ἐπὶ τοῦ Χριστοῦ. συνεχὲς γάρ ἐστιν, οὗ τὰ μόρια κοινὸς ὅρος συνάπτει. μόρια δὲ ἐννοῆσαι ἐπὶ θεότητος, ἵνα καὶ κοινὸς ὅρος B αὐτὰ πρὸς τὸ σῶμα συνάψῃ, οὐδὲ πλάσαι ῥᾴδιον. τὸ γὰρ συνεχές, ἐπὶ μόνων μεγεθῶν λέγεται, ἀλλ' ἐπὶ τοῦ διωρισμένου ποσοῦ δέον παραλαμβάνειν ἐνταῦθα τὸν ἀριθμόν. διωρισμένον γάρ ἐστιν οὐ πάντως τὸ καθάπαξ διῃρημένον, ἀλλὰ καὶ ἡνωμένον, τὸν οἰκεῖον λόγον διακρινόμενον ἀποσώζοντα· ὥσπερ τὸ σῶμα συνεχὲς λέγομεν, καὶ διωρισμένον· συνεχὲς μέν, καθὸ διαστάσεις ἁπλῶς ἔχει· διωρισμένον δὲ καθὸ τρεῖς εἰσι διαστάσεις. καίτοι οὐκ εἰσὶ διεσπασμέναι ἀπ' ἀλλήλων αἱ διαστάσεις, ἀλλὰ C διὰ τοῦτο διωρισμένας αὐτὰς λέγομεν, ἐπεὶ ἑκάστη αὐτῶν ἴδιον λόγον ἔχει. ἐπεὶ δέ τινες δυσχεραίνουσιν ὅλως τοῦ διωρισμένου ἀκούοντες, φέρε αὐτὴν τὴν λύσιν εὖ ἔχουσαν ἐάσαντες, ἄλλην ἐπαγάγωμεν. ἰστέον οὖν, ὅτι ὥσπερ τὸ ἓν πολλαχῶς λεγόμενόν ἐστι. λέγεται γὰρ ἓν τῷ ἀριθμῷ, ὡς ὁ Σωκράτης· καὶ ἓν τῷ εἴδει, ὡς ἄνθρωπος· καὶ ἓν τῷ γένει, ὡς τὸ ζῶον· ἀλλὰ καὶ τὰ δύο ὁμοίως. λέγονται γὰρ δύο τῷ ἀριθμῷ, ὡς ὁ Σωκράτης καὶ Πλάτων· καὶ δύο τῷ εἴδει, ὡς ἄνθρωπος καὶ ἵππος· καὶ δύο D τῷ γένει, ὡς οὐσία καὶ λευκόν. τούτων οὖν οὕτως ἐχόντων, ὅταν εἴπωμεν τὰ δύο ἐπὶ τοῦ Χριστοῦ, οὐ τῷ ἀριθμῷ λέγομεν αὐτὸν δύο, ἀλλ' ἕνα μὲν τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. ὅτι δὲ δυνάμεθα οὕτως εἰπεῖν, δηλοῖ καὶ ὁ Ἀριστοτέλης, περὶ τῆς ὕλης καὶ τοῦ εἴδους φανερῶς εἰπών, ὅτι ταῦτα ἓν μέν εἰσι τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει. ὁ δὲ ἅγιος Γρηγόριος, περὶ τοῦ Χριστοῦ λέγων· ὥστε τὸ συναμφότερον ἕν, οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. πρὸς τοῦτο πάλιν ἐπαποροῦσιν ἡμῖν, ὅτι ἐπὶ τοῦ αὐτοῦ τὸ ἓν λέγοντες, E καὶ τὰ δύο, ἀντίφασιν εἰσάγετε· καὶ εὑρεθήσεται ἢ ὃ λέγετε, ψευδές· ἢ ἀντίφασις συναληθεύουσα. πρὸς τοῦτο λέγομεν, ὅτι οὐ κατὰ τὸ αὐτὸ ἀληθεύει, ἀλλὰ κατ' ἄλλο, ὅπερ οὐκ ἄτοπον. ἰστέον δέ, ὅτι πᾶσαι αἱ ἀπορίαι αὗται οὐκ εἰσὶ τῶν διακρινομένων ἴδιαι, ἀλλ' ἀπὸ τῶν Νεστοριανῶν κλέψαντες, ἀποροῦσιν ἡμῖν αὐτάς. ἐκεῖνοι γὰρ δύο πρόσωπα καὶ δύο Χριστοὺς δοξάζοντες, κοινῶς πρὸς πάντας τοὺς λέγοντας δύο φύσεις, εἴτε ἑνωθείσας, εἴτε μετὰ τὴν ἕνωσιν, ἠπόρουν αὐτάς

ὅτι εἰ δύο φύσεις λέγετε, καὶ δύο πρόσωπα εἰσάγετε. ἀμέλει δι' αὐτὸ καὶ τὸ ἄτοπον συνήχθη ἡμῖν τε καὶ τοῖς διακρινομένοις ἐκ τούτων τὴν ἀπορίαν. τοῖς Νεστοριανοῖς δὲ οὐκέτι τὸ ὅμοιον συνάγεται. ἀλλὰ καὶ τοὐναντίον ἰσχυρίζεσθαι τὰ αὐτῶν ὅσον ἀπὸ τούτων. ἀπορεῦσι δὲ ἡμῖν καὶ ἄλλην τινὰ ἀπορίαν, ἥτις ἰδία μὲν αὐτῶν ἐστιν, εἰς Νεστοριανῶν δὲ δόγμα καταλήγει. ἐπεὶ γὰρ λέγει πρὸς αὐτοὺς ἡ ἐκκλησία, ὅτι εἰ λέγετε ἀσύγχυτα τὰ ἑνωθέντα, καὶ τὸ μὲν παθητὸν, τὸ δὲ ἀπαθὲς, καὶ ὁρατὸν, καὶ ἀόρατον, καὶ περίγραπτον, καὶ ἀπερίγραπτον, καὶ θνητὸν, καὶ ἀθάνατον, καὶ ὅσα τοιαῦτα, ἐξ ἀνάγκης δύο φύσεις εἰσάγετε· ἀντιλέγουσι πρὸς ταῦτα, ὅτι οὐδὲν ἄτοπον, καὶ ἀσύγχυτα ὁμολογῆσαι τὰ ἑνωθέντα· καὶ τὸ μὲν παθητὸν, τὸ δὲ ἀπαθὲς, καὶ μίαν φύσιν ἐπ' αὐτῶν· καὶ λοιπὸν παραφέρουσι πρὸς πίστιν τὸ παράδειγμα τοῦ ἀνθρώπου. ἰδοὺ γὰρ, φασιν, ἡ ψυχὴ καὶ τὸ σῶμα ἀσυγχύτως ἡνώθη ἐπὶ τοῦ ἀνθρώπου. καὶ τὸ μὲν ὁρατὸν, τὸ δὲ ἀόρατον· καὶ θνητὸν, καὶ ἀθάνατον, καὶ τὰ ἄλλα· καὶ ὅμως οὐ λέγομεν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ ἀνθρώπου. πρὸς ταῦτα πάλιν λέγουσιν οἱ ἀπὸ τῆς συνόδου, ὅτι ὃν τρόπον λέγετε σώζεσθαι ἐπὶ τοῦ ἀνθρώπου τὰ ἑνωθέντα μετὰ τὴν ἕνωσιν, καὶ τὸ μὲν θνητὸν, τὸ δὲ ἀθάνατον, καὶ τὰ ἄλλα πάντα· οὕτω λέγομεν ἐπὶ τοῦ Χριστοῦ. ταῦτα δὲ πάντα δύο φύσεών εἰσι γνωριστικά. πρὸς ταῦτα οἱ μὲν ἀπὸ Γαϊανοῦ οὐδὲν εὑρίσκουσιν εἰπεῖν. ὁμολογοῦντες γὰρ ἀσύγχυτα εἶναι τὰ ἑνωθέντα, οὐκ ἀνέχονται ὅλως οὐδὲ διαφορὰν εἰπεῖν, οὐδὲ ὅλως τὸ δύο ὀνομάσαι, ἀλλ' ἕν τι τὰ ἑνωθέντα μετὰ τὴν ἕνωσιν λέγουσιν. οἱ δὲ Θεοδοσιανοὶ, ἤτοι ἀπὸ Σευήρου, εὑρήκασιν ἑαυτοῖς ἀπολογίαν, καὶ λέγουσιν, ὅτι ἡμεῖς ὁμολογοῦμεν διάφορα εἶναι τὰ μέρη, τὸ δὲ ἀποτέλεσμα ἕν. ὥσπερ οὖν καὶ ἐπὶ τοῦ ἀνθρώπου διάφορά εἰσι τὰ μέρη, ἥτε ψυχὴ καὶ τὸ σῶμα, τὸ δὲ ἀποτέλεσμα ἕν. βούλονται γὰρ κατὰ πάντα μεθαρμόζειν τὸ παράδειγμα τοῦ ἀνθρώπου ἐπὶ τοῦ Χριστοῦ· εἶτα ἐπειδὴ συνῄσθοντο ἑαυτοὺς εἰς τὸ δόγμα τῆς συνόδου ἐμπεσόντας, ἐπὶ ἕτερόν τι μεταβιβάζουσι τὸν λόγον, καὶ φασὶν, ὅτι διαφόρους φύσεις φαμὲν ἡμεῖς τῶν μερῶν· τοῦ δὲ ἀποτελέσματος, μίαν. τῇ μέντοι συνόδῳ περὶ τοῦ ἀποτελέσματος ἦν ὁ λόγος. πρὸς οὓς λέγομεν, ὅτι ψεύδεσθε. οὐ γὰρ περὶ τοῦ ἀποτελέσματος ἦν ὁ λόγος τῇ συνόδῳ, ἀλλὰ περὶ τῶν μερῶν. καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν ἐστι. πρῶτον ἀπὸ τῶν Γαϊανιτῶν. ἐκεῖνοι γὰρ τὸ ἀρχαῖον δόγμα φυλάττοντες, οὕτω μάχονται τῇ συνόδῳ, ὡς δύο λεγούσῃ τὰ μέρη. αὐτοὶ γὰρ καὶ τὰ μέρη ἕν τι βούλονται εἶναι μετὰ τὴν ἕνωσιν. ἀλλ' ἴσως λέγουσι πρὸς τοῦτο οἱ Θεοδοσιανοὶ, ὅτι οὐχί. οὐ γὰρ οἱ Γαϊανῖται εἰσὶν οἱ φυλάττοντες τὸ ἀρχαῖον δόγμα, ἀλλὰ μᾶλλον ἡμεῖς. ἀλλὰ πάλιν πρὸς τοῦτο λέγομεν, ὅτι εἰ καὶ μὴ ἀπὸ τῶν Γαϊανιτῶν πιστοῦσθε τοῦτο,

A Si duas esse naturas dicitis, etiam duas personas introducitis. Nempe iccirco & absurdum illud tam nobis quàm Hæsitantibus per has obiectiones colligitur: quum nihil tale Nestorianis accidat, sed è diuerso ipsorum sententia, quod hæc adtinet, confirmetur. Obiiciunt nobis & aliam difficultatem, quæ peculiariter ipsorum quidem est; sed in Nestorianorum dogma desinit. Quum enim ad ipsos ait Ecclesia, si vnita dicant inconfusa, & vnum passibile, alterum passionis expers; vnum adspectabile, alterum inadspectabile; B vnum circumscriptum, alterum non circumscriptum; vnum mortale, alterũ immortale; quæque alia sunt huiusmodi duas necessario naturas eos introducere: respondent illi vicissim, nullam absurditatem esse, inconfusa confiteri vnita, nihilóque minus vnum passibile, alterum passionis expers; & vnam in eis naturam. quod vti probent, hominis exemplum proferunt. En, inquiunt, corpus & anima citra confusionem in homine vnita sunt, vnum adspectabile, alterum inadspectabile; vnum mortale, alterum immortale; aliáque talia: non tamen naturas duas dici- C mus, sed vnam hominis naturam. Ad ea synodi sectatores vicissim respõdent, quemadmodum ipsi saluas esse res in homine vnitas, post vnionem factam, dicant; nihilóque minus vnum esse mortale, alterum immortale, aliáque omnia: sic de Christo se quoque loqui. at hæc omnia duarum naturarum esse indicia. Nihil ad hæc Gaianitæ quod dicant, habent. Quum enim vnita fateantur inconfusa, omnino ne discrimen quidem aliquod dicere sustinent, nullóve modo duum vocem admittere: sed vnum quiddam vnita, post vnionem, facta dicunt. At Theodosia- D ni, vel qui à Seuero sunt, satisfactionem sibi quamdam inuenerunt, séque dicunt fateri, partes esse diuersas; at vnum effectum: quemadmodum & in homine partes diuersæ sint, anima & corpus: at vnum effectum. Nam per omnia hominis exemplum ad Christum accommodare volunt, deinde semet animaduertentes in synodi dogma prolapsos, ad aliud orationem transferunt, séque diuersas dicere partium naturas aiunt, effecti vnam: quum synodus de effecto loquuta sit. Nos autem respondemus eos mentiri. Non enim synodus de effecto lo- E quebatur, sed de partibus: quod quidem ex pluribus constat. Primum indicant hoc ipsi Gaianitæ. Nam antiquum illi dogma retinentes, ita nunc synodum oppugnant, quasi quæ partes duas dicat: quum ipsi post vnionem partes quoque velint vnum quiddam esse. Fortassis ad hoc Theodosiani respondebunt, nequaquam Gaianitas, sed se potius illos esse, qui antiquum dogma retineãt. Nos verò rursum respondemus, si maximè non à Gaianitis ipsi fidem illam sumpserint,

A tamen esse necesse, vt ab Acephalis acceperint. Nam illi manifesto Theodosianis & Gaianitis antiquiores, ita synodum oppugnant, quasi quæ partes duas tradat. Idem & per Eutychem docere possumus. Etenim aduersus Eutychem synodus illa verba proferebat, cuius erat de partibus controuersia, dicentis, corpus non esse nobiscum vnius substantiæ. ideoque verbis ad illum directis, & ipsa scilicet de partibus loquebatur; non de effecto. Præterea nisi hoc admiseritis, omnes expositas hactenus obiectiones vestras euertetis. Sic enim nobis eas opponebatis, quasi duorum vox nullo modo post vnio- B nem proferri possit, nisi ab iis qui diuisionem introducant. Verùm nobis ipsi fortasse respondent, dare se, de partibus loquutam synodum. Vos autem, cur modò non dicitis vnam effecti naturam? Primum dicimus, nusquam hoc dictum à patribus constare. Deinde ne quidem effecti, si quis subtiliter rem consideret, vna natura est; sed duæ. Fortasse dixerit aliquis: Et quonam fieri pacto potest, vt hominis exemplum nobis non aduersetur? qui ex anima corporéque C constans, vnam naturam habet, non duas; quas Christum habere dicimus? Ad hoc respondemus, id ipsum in causa esse, quòd vnam hominis naturam, Christi duas dicamus. Quam enim rationem habet vna natura in hominis hypostasi, eamdem & duæ in hypostasi Christi habent. Atque vti perspicuum sit, quod à nobis dicitur; obiectiones prius expositas repetamus. Quum dicebat Ecclesia, si vos inconfusa dicitis ea quæ vnita sunt, & saluas eorum naturas esse post vnionem; vnúmque mortale, alterum immortale; quæque sunt huiusmodi alia; duas necessario na- D turas introducitis: illi vicissim respondebant, nihil esse absurdi, & inconfusa dicere, quæ vnita sint; & post vnionem, saluas esse naturas eorum; & vnam profiteri naturam. Nam ecce, inquiunt, vnam hominis naturam dicimus, & in eo tamen inconfusæ sunt partes vnitæ. Hoc exemplo in angustum quasi coacti defensores synodi, se in homine quoque naturas fateri duas aiebant. Mox Theodosiani: Si duas hominis naturas dicitis, necesse E est Christi tres esse fateamini. Vicissim synoditæ: Si nos cogitis dicere Christum tribus in naturis, etiam vos eum ex tribus naturis dicetis. Nam dicitis eum ex humanitate diuinitatéque constare. Diuinitatis autem vna natura est, humanitatis duæ. Sciendum tamen, ex assertione synodi quidem colligi, tres naturas dici: sed non à Theodosianis illud, ex tribus. Etenim hi tradentes, Christum ex humanitate diuinitatéque constare, naturam hominis vnam dicunt: nos autem, duas.

A ἀλλ' οὖν ἀπὸ τῶν Ἀκεφάλων ἀνάγκη ὑμᾶς τοῦτο πιστώσασθαι. ἐκεῖνοι γὰρ ἀρχαιότεροι ὑμῶν καὶ τῶν Γαϊανιτῶν φανερῶς ὄντες, οὕτω μάχονται τῇ συνόδῳ, ὡς δύο λεγούσῃ τὰ μέρη. ἔπειτα καὶ ἀπὸ Εὐτυχοῦς πιστούμεθα τοῦτο. πρὸς γὰρ τὸν Εὐτυχῆ ἐποιεῖτο τὸν λόγον ἡ σύνοδος, ὅστις περὶ τῶν μερῶν ἠμφισβήτει, μὴ λέγων ἡμῖν ὁμοούσιον εἶναι τὸ σῶμα. ὡς οὖν πρὸς ἐκεῖνον ποιουμένη τὸν λόγον, δηλονότι καὶ αὐτὴ περὶ τῶν μερῶν ἐποιεῖτο τὸν λόγον, οὐκέτι δὲ περὶ τοῦ ἀποτελέσματος. ἔτι δὲ εἰ μὴ τοῦτο δέξησθε, πάσας τὰς προειρημένας ἀπορίας ἐξ ὑμῶν ἀνατρέψετε. οὕτω γὰρ αὐτὰς ἡμῖν B ἠπορεῖτε, ὡς τὸ δύο οὐκ ἂν οἱωσδήποτε λεχθῇ μετὰ τὴν ἕνωσιν, εἰ μὴ διαίρεσιν εἰσάγουσιν. ἀλλ' ἴσως λέγουσιν ἡμῖν καὶ αὐτοὶ πρὸς ταῦτα, ὅτι δώσομεν τῇ συνόδῳ τὸν λόγον εἶναι περὶ τῶν μερῶν, ὑμεῖς διατί οὐ λέγετε νῦν τοῦ ἀποτελέσματος μίαν φύσιν; λέγομεν πρὸς αὐτούς, ὅτι πρῶτον μὲν οὐδαμοῦ φαίνονται τοῦτο λέγοντες οἱ πατέρες. ἔπειτα δέ, οὐδὲ τοῦ ἀποτελέσματος, εἴ τις ἀκριβῶς σκοποίη, μία ἐστὶν ἡ φύσις, ἀλλὰ δύο. ἀλλ' εἴποι τις ἄν, καὶ πῶς οὐκ ἀντίκειται ἡ- C μῖν τὸ παράδειγμα τοῦ ἀνθρώπου, ὅστις ἐκ ψυχῆς καὶ σώματος ὤν, μίαν ἔχει τὴν φύσιν, οὐκέτι δὲ δύο, ὡς λέγομεν ἔχειν τὸν Χριστόν; πρὸς τοῦτο λέγομεν, ὅτι αὐτὸ γὰρ τοῦτο, ἐπεὶ μίαν φύσιν λέγομεν τοῦ ἀνθρώπου, δύο δὲ τοῦ Χριστοῦ. ὃν γὰρ λόγον ἔχει ἡ μία φύσις ἐπὶ τῆς ὑποστάσεως τοῦ ἀνθρώπου, τὸν αὐτὸν ἔχουσιν αἱ δύο ἐπὶ τῆς ὑποστάσεως τοῦ Χριστοῦ. καὶ ἵνα σαφὲς εἴη τὸ λεγόμενον, ἐπαναληπτέον τὰς προλεχθείσας ἀπορίας τῆς ἐκκλησίας λεγούσης, ὅτι εἰ ἀσύγχυτα λέγετε τὰ ἑνωθέντα, καὶ σώζεσθαι τὰς φύσεις αὐτῶν μετὰ τὴν ἕνωσιν, καὶ τὸ μὲν θνητόν, τὸ δὲ ἀθάνατον, καὶ D ὅσα τοιαῦτα, ἐξ ἀνάγκης δύο φύσεις εἰσάγετε· ἀντέλεγον ἐκεῖνοι, ὅτι οὐδὲν ἄτοπον, καὶ ἀσύγχυτα λέγειν τὰ ἑνωθέντα, καὶ σώζεσθαι τὰς φύσεις αὐτῶν μετὰ τὴν ἕνωσιν, καὶ μίαν φύσιν εἰπεῖν. ἰδοὺ γὰρ λέγομεν, φασί, μίαν φύσιν τοῦ ἀνθρώπου· καὶ ὅμως ἀσύγχυτά εἰσιν ἐπ' αὐτοῦ τὰ ἑνωθέντα. πρὸς τοῦτο τὸ παράδειγμα στενοχωρούμενοι οἱ ἀπὸ τῆς συνόδου, εἶπον, ὅτι καὶ ἐπὶ τοῦ ἀνθρώπου δύο φύσεις λέγομεν. εἶτα οἱ Θεοδοσιανοί· οὐκοῦν εἰ δύο φύσεις τοῦ ἀνθρώπου λέγετε, ἀναγκαῖον ὑμᾶς τοῦ Χριστοῦ τρεῖς εἰπεῖν. εἶτα πρὸς αὐ- E τοὺς πάλιν οἱ συνοδῖται· εἰ ἀναγκάζετε ἡμᾶς εἰπεῖν τὸν Χριστὸν ἐν τρισὶ φύσεσιν, οὐκοῦν καὶ ὑμεῖς ἐκ τριῶν αὐτὸν λέγετε; λέγετε γὰρ αὐτὸν ἐξ ἀνθρωπότητος, καὶ θεότητος. καὶ ἔστι μὲν τῆς ἀνθρωπότητος δύο φύσεις, καὶ τῆς θεότητος μία. ἐπιστῆσαι δέον, ὅτι τῇ μὲν συνόδῳ συνάγεται, τὸ λέγειν τρεῖς φύσεις· οὐκέτι δὲ τοῖς Θεοδοσιανοῖς, ἐκ τριῶν. ἐκεῖνοι μὲν γὰρ ἐξ ἀνθρωπότητος καὶ θεότητος Χριστὸν λέγοντες, μίαν φύσιν λέγουσι τοῦ ἀνθρώπου, ἡμεῖς δὲ δύο.

ὥστε ἡμῖν συνάγεται τὸ λέγειν τρεῖς φύσεις, οὐκ ἐκείνοις. δύο γὰρ λέγομεν τοῦ ἀνθρώπου, καὶ μίαν τοῦ λόγου. ἁπλῶς δὲ οὐ λέγομεν, ἀλλ᾽ ὅτι μία φύσις ἐστὶ τοῦ ἀνθρώπου, δύο δὲ αἱ τοῦ Χριστοῦ. καὶ πόθεν τοῦτο, γνωστέον. λέγομεν, ὅτι εἰσὶν ἀρχαί τινες παρὰ τῇ ἁγίᾳ γραφῇ, παρὰ πᾶσιν ὁμολογούμεναι, ἃς καὶ ἡμεῖς καὶ αὐτοὶ δεχόμεθα. ἐξετάσωμεν οὖν ἐπὶ ταύταις ἑκάτερον δόγμα, καὶ ὅπερ ἂν εὕρωμεν συμφωνοῦν ταῖς ἀρχαῖς, ἐκεῖνο δηλονότι καλῶς ἔχει· τὸ δὲ ἐναντιούμενον, ἐκεῖνο ὡς κακῶς ἔχον πρόδηλον ὡς δεῖ ἀποβάλλεσθαι. ὡμολόγηται τοίνυν, ὅτι αὐτὸς ἦν Θεὸς καὶ ἄνθρωπος, καὶ ὅτι αὐτὸς κυρίως Θεός, καὶ κυρίως ἄνθρωπος· καὶ ὅτι αὐτὸς φύσει Θεός, καὶ φύσει ἄνθρωπος. καὶ ὅτι αὐτὸς ὁμοούσιος τῷ πατρί, καὶ ὁμοούσιος ἡμῖν· καὶ ὅτι αὐτὸς εἷς τῆς ἁγίας τριάδος, καὶ εἷς ἐξ ἡμῶν· καὶ ὅτι ὁ Θεὸς λόγος ἠξίωσεν ἄνθρωπος γενέσθαι, καὶ ἄλλα πολλὰ τοιαῦτα εὑρήσομεν ἐν τῇ ἁγίᾳ γραφῇ. ἐξετάσωμεν οὖν ἐπὶ ταύταις ἑκάτερον δόγμα, καὶ πρότερον ἐπὶ τῆς μιᾶς φύσεως, καὶ εἰ μὲν καλῶς ἔχει, δεξόμεθα· εἰ δὲ κακῶς, ἀποβαλώμεθα. ὑποκείσθωσαν οὖν τρία τινά, ψυχαὶ ἁπλῶς, καὶ σώματα ἁπλῶς, καὶ ἄνθρωποι ἀποτελεσθέντες. λαβόντες οὖν ἡμεῖς ἐκ τούτων μίαν ψυχήν, καὶ ἓν σῶμα, ἀποτελέσωμεν τὸν τινὰ ἄνθρωπον, τυχὸν τὸν Πέτρον· καὶ οὗτος ἂν εὑρεθείη ἔχων τὴν φύσιν ἐκείνων, δηλονότι ὁμοούσιός ἐστιν ἀνθρώποις. ὁ τοίνυν Πέτρος ἀποτελεσθείς, οὐδὲ ταῖς ψυχαῖς ἐστιν ὁμοούσιος, οὐδὲ τοῖς σώμασιν· οὐδὲ κυρίως ψυχή, οὐδὲ κυρίως σῶμα. οὐδὲ γὰρ ὃν ἂν λόγον ἀποδῷ τις τῆς ψυχῆς, ἢ τοῦ σώματος, τὸν αὐτὸν ἀποδίδωσι Πέτρου. ἀλλά τινι ἐστὶν ὁμοούσιος τοῖς ἀνθρώποις, (ἐκείνων γὰρ τὸν ὅρον ἐπιδέχεται) καὶ ἄλλο τι ἐστὶ παρὰ τὴν ψυχήν, καὶ τὸ σῶμα. ἔλθωμεν ἐπὶ τοῦ Χριστοῦ. ἀναλογεῖ γὰρ παρ᾽ αὐτοῖς ἡ μὲν θεότης τῇ ψυχῇ, ἡ δὲ ἀνθρωπότης τῷ σώματι. οὐκοῦν ὁ Χριστὸς οὐδὲ ὁμοούσιος τῷ πατρί, οὐδὲ ὁμοούσιος ἡμῖν. ὥσπερ οὖν καὶ ὁ Πέτρος· οὐδὲ ὁμοούσιός ἐστι τῇ ψυχῇ, οὐδὲ ὁμοούσιος τῷ σώματι· οὐκοῦν καὶ ὁ Χριστὸς οὐδὲ κυρίως Θεός, οὐδὲ κυρίως ἄνθρωπος, οὐδὲ φύσει Θεός, οὐδὲ φύσει ἄνθρωπος· οὔτε εἷς τῆς ἁγίας τριάδος, οὔτε εἷς ἐξ ἡμῶν. ὥσπερ οὖν καὶ ὁ Πέτρος οὐδὲ εἷς ἐστι τῶν ψυχῶν, οὐδὲ εἷς τῶν σωμάτων. τὸ δὲ τοιαῦτα λέγειν ἐπὶ τοῦ Χριστοῦ, ἀνελεῖν ἐστιν ἃς ἔχομεν ὡμολογημένας ἀρχάς, ὅπερ ἄτοπον. εἰ δὲ δύο φύσεις ὑποθώμεθα ἔχειν τὸν Χριστόν, οὐδὲν τούτων ἀναιροῦμεν τῶν ἀρχῶν, ἀλλὰ πάντα συμφωνοῦντα εὑρίσκομεν. ὁ αὐτὸς γὰρ καὶ Θεός ἐστι, καὶ ἄνθρωπος. καὶ ὁ αὐτὸς ὁμοούσιος τῷ πατρί, καὶ ὁμοούσιος ἡμῖν· καὶ κυρίως Θεός, καὶ κυρίως ἄνθρωπος, καὶ φύσει Θεός, καὶ φύσει ἄνθρωπος.

A quo fit vt ex doctrina nostra, non illorum, colligatur, tres naturas dici. Nos enim duas hominis naturas dicimus, & vnam Sermonis. Non tamen hoc simpliciter dicimus, sed vnam esse naturam hominis, duas Christi & hoc quidem vnde, cognoscendum. Principia quædam sacris in litteris esse dicimus, quæ apud omnes in confesso sint, quæque pariter à nobis & ipsis recipiantur. Ad hæc vtrumque dogma examinemus, quodque principiis conuenire deprehenderimus, id rectè comparatum scilicet erit: quod iisdem B aduersabitur, ceu malè comparatum reiici debere, manifesto patet. Est igitur in confesso, Christum fuisse Deum & hominem; propriè Deum eumdem, & propriè hominem; natura Deum eumdem, & natura hominem: vnius eundem cum patre naturæ, & eiusdem naturæ nobiscum vnum de sancta Trinitate, ac vnum de nobis: quódque Deus sermo dignatus sit homo fieri: alia denique plura talia sacris in litteris reperiemus. Examinemus igitur ad ista principia vtrumque dogma, & primum adeo de vna natura; quod si bellè habebit, acceptabimus: sin autem, reijC ciemus. Sint igitur tria quædam posita, simpliciter animæ, & corpora simpliciter, & homines absoluti: nósque sumpta de his anima vna, & vno corpore, quemdam hominem efficiamus, puta Petrum. Is vero, tametsi naturam eorum habere deprehendatur, eiusdem tamen substantiæ cum hominibus non erit. Petrus enim absolutus, nec eiusdem est cum animis naturæ, nec eiusdē cum corporibus: nec anima propriè, nec propriè corpus. Non enim quæ corporis aut animæ tradi definitio potest: eadem & Petri traditur: sed D aliquo tenus eiusdem est substantiæ cum hominibus, (nam illorum definitionem quoque recipit) & diuersum quiddam est tam ab anima quàm corpore. Nunc ad Christum veniamus. quippe respondet apud ipsos diuinitas animæ, humanitas corpori. Christus ergo nec eiusdem cum patre, nec eiusdem nobiscum est substantiæ: quemadmodum & Petrus nec eiusdem est cum anima, nec eiusdem cum corpore substantiæ. quamobrem & Christus nec propriè Deus est, nec propriè homo; nec Deus natura, nec natura homo; nec vnus sanctæ Trinitatis, E nec vnus ex nobis: sicut & Petrus nec vnus ex animis est, nec vnus ex corporibus. At huiusmodi de Christo dicere, nihil est aliud quàm indubitata principia, quæ habemus, subuertere: quod absurdum fuerit. At vero si Christum duas habere naturas dabimus, nullum ex hisce principiis euertimus, sed omnia consonantia reperimus. Idem enim & Deus est, & homo: idem eiusdem cum patre substantiæ, & eiusdem substantiæ nobiscum: propriè Deus, & propriè homo: natura Deus, & natura homo:

Vnde fiat, vt Catholici, in homine vnã, in Christo duas naturas fateantur.

A vnus sanctæ Trinitatis, & vnus ex nobis. Nam eadem hypostasis duarum oaturarum definitiones recipit: & quodcumque de diuinitate quis protulerit, idem & in Chtisto inuenit: ac viciſſim quidquid de humanitate dixerit, idem & in ſubſtantia Chriſti inuenit, eidem ſubſtantialiter competens. quo fit, vt oeceſſario duæ ſiot vnius hypoſtaſis Chriſti naturæ: Verum heic iſti Hæſitaotes: Quo pacto, inquiunt, in vno indiuiduo reperiri duo poſſunt? Hoc ipſum, quo pacto, per rem abhorrentem ab opinioo e ſoluimus. Quippe non abſurdum eſt, accidiſſe quid in Chriſto præter opinionem hominũ: ſed abſurdum eſt mentiri, ac principiis aduerſari. Sciendum autem, ab iis qui vnam in B Chriſto naturam ſtatuũt, neceſſario colligi, vel duas vt hypoſtaſes diuinitatis dicant, vel quatuor; non tres, quod omnes confitentur. Nam ſi vnam nobis in Chriſto naturam tradunt, vnde tres nobis hypoſtaſes diuinitatis depromẽt? Habemus eoim patris vnam, & voam ſancti ſpiritus: reliquam dicere nullam poterunt, vnam in Chriſto naturam ſtaruentes. quippe ſi vna natura eſt, non iam natura Deus erit, vti modò probauimus. Si non eſt natura Deus, quomodo diuinitatis hypoſtaſin habere dici poterit? quo fit vt C ipſos duas hypoſtaſes dicere colligatur. Sio dixerint, tertiam hypoſtaſin eſſe Dei ſermonis, vt vna ſit patris, altera ſpiritus ſancti, tertia Dei ſermoois: oeceſſario quatuor hypoſtaſes introducunt, vnam patris, vnam ſpiritus ſaocti, vnam Dei ſermonis, & vnam Chriſti Modis omnibus probatum eſt, duas naturas ſtatuendas, non vnam.

Noua quaſtione, Haſitantes, vt ſolutionem ſuperiorem infurgunt.

A καὶ εἷς τῆς ἁγίας τριάδος, καὶ εἷς ἐξ ἡμῶν. ἡ αὐτὴ γὰρ ὑπόστασις τοὺς ὅρους τῶν δύο φύσεων ἐπιδέχεται· καὶ ὅσα δή τις ἂν λόγον ἀποδῷ τῆς θεότητος, τὸν αὐτὸν εὑρήσει καὶ ἐπὶ τοῦ Χριστοῦ. καὶ ὅσα δή τις ἂν ἀποδῷ τῆς ἀνθρωπότητος, τὸν αὐτὸν εὑρήσει καὶ ἐπὶ τῆς οὐσίας τοῦ Χριστοῦ κατ' οὐσίαν ἁρμόζοντα. ὥστε ἐξ ἀνάγκης δύο φύσεις εἶναι τῆς μιᾶς ὑποστάσεως τοῦ Χριστοῦ. ἀπορεῖν δέ, λέγοντες· καὶ πῶς ἐπὶ ἑνὸς ἀτόμου δύο ἐστὶν εὑρεῖν; πῶς ἐπιλυόμεθα τῷ παραδόξῳ· ὅτι οὐ τὸ γεγενῆσθαι τι παράδοξον ἐπὶ τοῦ Χριστοῦ, ἄτοπον· ἀλλὰ τὸ ψεύδεσθαι καὶ ταῖς ἀρχαῖς ἐναντιοῦσθαι, τοῦτο ἄτοπόν ἐστιν. ἰστέον B δέ, ὅτι τοῖς μίαν φύσιν δοξάζουσιν ἐπὶ Χριστοῦ, ἐξ ἀνάγκης συνάγεται, ἢ δύο ὑποστάσεις εἰπεῖν τῆς θεότητος, ἢ τέσσαρας, οὐκέτι δὲ τρεῖς, ὡς παρὰ πᾶσιν ὁμολογεῖται. εἰ γὰρ μίαν φύσιν λέγουσιν ἡμῖν ἐπὶ Χριστοῦ, πόθεν παρέχουσιν ἡμῖν τὰς τρεῖς ὑποστάσεις τῆς θεότητος; ἔχομεν γὰρ μίαν τοῦ πατρός, καὶ μίαν τοῦ ἁγίου πνεύματος· τὴν δὲ ἄλλην, οὐκέτι δυνάμεθα εἰπεῖν, ἐπὶ τοῦ Χριστοῦ μίαν φύσιν λέγοντες. εἰ γὰρ μία φύσις ἐστίν, οὐκέτι φύσει Θεός, ὡς ἤδη δέδεικται ἡμῖν. μὴ ὢν δὲ φύσει Θεός, πῶς λεχθείη ὑπόστασιν ἔχειν θεότητος; ὥστε δύο ὑποστάσεις αὐτοῖς συνάγεται λέγειν. ἐὰν δὴ οὕτως C εἴπωσιν, ὅτι ἡ τρίτη ὑπόστασίς ἐστι τοῦ Θεοῦ λόγου· ἵνα ἡ μία μὲν τοῦ πατρός, δευτέρα δὲ τοῦ ἁγίου πνεύματος, τρίτη δὲ τοῦ Θεοῦ λόγου· τέσσαρας ἐξ ἀνάγκης εἰσάγουσι, μίαν τοῦ πατρός, καὶ μίαν τοῦ ἁγίου πνεύματος, καὶ μίαν τοῦ Θεοῦ λόγου, καὶ μίαν τοῦ Χριστοῦ. πανταχόθεν δέδεικται, ὅτι δύο φύσεις δεῖ δοξάζειν, οὐ μίαν.

Syncerè explicantur loci quos Hæſitantes hæretici aſſumebant ad confirmationem ſuæ hæreſeωs contra duas Chriſti naturas.

ACTIO VIII. D

Restat, vt de iis argumẽtis quæ de ſanctorum parrum dictis nobis proferunt, agamus. Ea verò partim petita ſunt ex iis quæ ſynodus oon dixerit; partim ad conciliandam ipſorũ dogmati fidem proferuntur; partim denique ſtruuntur ex ipſis ſynodi verbis. Ob ea, quæ non dixerit, tribus modis ſynodum reprehẽdunt: quod nimirum non vnionem hypoſtaticam, nec vnam Dei ſermonis naturam incarnatam, nec iſtud loquendi genus vſurpauerit, Ex duabus naturis. At iſthæc (inquiunt) omoia ſanctus ille Cyrillus protulit. Eſt autẽ par indicari, quamobrẽ hypoſtaticam voionem ille dixerit. Duplex ſcilicet huius eſt intellectus. Nã quia Neſtorius diceret, vnionẽ Dei ſermonis cum catne

De vnione hypoſtatica.

ΠΡΑΞΙΣ η'.

ΥΠΟΛΟΙΠΟΝ ἐστὶ περὶ τῶν ἐπιχειρημάτων ὧν ἀπὸ χρήσεων τῶν ἁγίων πατέρων προφέρουσιν ἡμῖν, διεξελθεῖν. τούτων δέ, τὰ μέν εἰσιν, ἀφ' ὧν οὐκ εἶπεν ἡ σύνοδος. τὰ δὲ προφέρουσι πρὸς πίστιν τοῦ οἰκείου δόγματος· τὰ δέ, ἀφ' ὧν εἶπεν. ἀφ' ὧν μὲν οὐκ εἶπεν, ἐπιλαμβάνονται αὐτῆς ἐν τρισίν· ὅτι οὐκ εἶπεν ἡ σύνοδος τὴν καθ' ὑπόστασιν ἕνωσιν, οὐδὲ μίαν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην. οὐδὲ τὸ ἐκ δύο φύσεων. ταῦτα δὲ πάντα ὁ ἅγιος Κύριλλος εἶπεν. ἄξιον δὲ εἰπεῖν, διατί λέγει τὴν καθ' ὑπόστασιν ἕνωσιν. διττὴ τοίνυν ἐστὶν αὐτῆς ἡ ἔννοια. τοῦ γὰρ Νεστορίου λέγοντος, ὅτι κατὰ σχέσιν γέγονεν ἡ ἕνωσις τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα,

καὶ σχετικῶς λέγοντος ἓν πρόσωπον τοῦ Θεοῦ λόγου καὶ τῆς σαρκός, ὁ ἅγιος Κύριλλος ἀντιλέγων πρὸς αὐτόν φησιν, ὅτι καθ' ὑπόστασιν γέγονεν ἡ ἕνωσις, τουτέστι καθ' ὕπαρξιν, καὶ αὐτῶν πραγμάτων· καὶ οὐκέτι λέγει κατὰ σχέσιν. καὶ σημειωτέον πάλιν ἐνταῦθα τὴν ὑπόστασιν καὶ ἐπὶ τῶν ὄντων ἁπλῶς. δευτέρα δὲ ἔννοιά ἐστιν, ὅτι καθ' ὑπόστασιν ἕνωσιν εἶπε γεγενῆσθαι, τουτέστιν ἐν μιᾷ ὑποστάσει. καὶ ἑκατέρα μὲν ἔννοια ἀντίκειται Νεστορίῳ, πλὴν ἀληθινωτέρα ἡ προτέρα. λέγουσιν οὖν, τοῦ ἁγίου Κυρίλλου ταῦτα εἰπόντος, ἡ σύνοδος ἀπεβάλλετο αὐτά, καὶ οὐδὲν περὶ αὐτῶν εἶπεν. ἑνὶ δὲ λόγῳ ταῦτα πάντα ἀνατρέπομεν, ὅτι ὡς κοινὰ ὄντα καὶ ὁμολογούμενα παρείασεν αὐτὰ ἡ σύνοδος. πρὸς Εὐτυχῆ γὰρ τὸν λόγον ἐποιεῖτο, ὅστις ἐκ διαμέτρου τῷ Νεστορίῳ μαχόμενος, δηλονότι καὶ ταῦτα ὡμολόγει. καὶ οὐκ ἐξ ἀνάγκης δεῖ τὰ ὁμολογούμενα πάντως τιθέναι· ἀλλ' ἔστιν ἐνίοτε παραλιμπάνειν. καὶ δηλοῦσιν αἱ πρότεραι σύνοδοι, πολλὰ τῶν ὁμολογουμένων ἐν πολλοῖς παραλείψασαι. ἔπειτα εὑρίσκομεν ἐν πολλοῖς τόποις τὴν σύνοδον εἰποῦσαν, μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον. ὅπερ οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν, εἰ μὴ τὴν καθ' ὑπόστασιν ἕνωσιν. καὶ ταῦτα μέν εἰσιν, ἀφ' ὧν οὐκ εἶπε. πρὸς πίστιν δὲ τοῦ οἰκείου δόγματος προφέρουσι χρήσεις πολλάς. καὶ πρώτη μέν, ὅτι ὁ ἅγιος Κύριλλος φανερῶς εἶπε μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην. πρὸς τοῦτο λέγομεν, ὅτι ὁμολογοῦμεν τὸν ἅγιον Κύριλλον τοῦτο εἰρηκέναι· ἀλλ' οὐδὲν ἐναντιοῦται τοῦτο τῷ δόγματι. οὐ γὰρ εἶπε τοῦ Χριστοῦ μίαν φύσιν σεσαρκωμένην, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, τὴν ἄλλην φύσιν δηλῶν. καὶ ὅτι τὴν ἄλλην βούλεται δηλῶσαι φύσιν, τῷ εἰπεῖν σεσαρκωμένην· δῆλον ἀφ' ὧν ἑαυτὸν ἐπεξηγεῖται ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ λέγων· Εἰ μὲν γὰρ μίαν φύσιν εἰπόντες τοῦ Θεοῦ λόγου, σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, σεσαρκωμένην· ἀλλ' οἷον ἔξω θέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾶν, ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; ἐπεὶ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην· παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. τοὺς γὰρ ἐκβάλλοντας τὴν οἰκονομίαν, καὶ ἀρνουμένους τὴν σάρκωσιν, ἦν τὸ ἐγκαλεῖσθαι δικαίως, ἀφαιρουμένοις τὸν υἱὸν τῆς τελείας ἀνθρωπότητος. εἰ δὲ ἔφην, ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτόν, σαφής ἐστι καὶ ἀναμφίλογος ἡ ὁμολογία τοῦ, ὅτι γέγονεν ἄνθρωπος· οὐδὲν ἔτι κωλύει νοεῖν, ὡς εἷς ὑπάρχων καὶ μόνος ὁ Χριστός, αὐτὸς Θεός ἐστι καὶ ἄνθρωπος·

per adfectionem quandam esse factam, adeoque personam Dei sermonis & carnis vnam ratione mutui adfectus esse traderet: iccirco sanctus vir Cyrillus ei contradicens, vnionem hypostaticam esse factam ait, hoc est, ratione subsistentiæ, ipsarúmque adeo rerum vnionem; non adfectionis respectu. Ac notandum heic rursus, hypostasin dici de iis quæ simpliciter existunt. Alter intellectus est, quod hypostaticam vnionem factam dixerit, hoc est, in vnam hypostasin. Ac sententia quidem vtraque refragatur Nestorio, prima tamen verior est. Obiiciunt igitur, synodum hæc à sancto Cyrillo tradita reiecisse, nec eorum mentionem vllam fecisse. Verum vno verbo isthæc omnia subuertimus, synodum illa, quasi communia & in confesso essent, omisisse. nam aduersus Eutychem disserebat, qui ex diametro cum Nestorio pugnās, & ista citra controuersiam fatebatur. Non est autē necessarium, vt quæ confessa sunt, omnino ponantur: sed licet ea nonnunquam omittere. Satis hoc synodi priores ostendunt, quæ pleraque confessa in pluribus omiserunt. Deinde synodum multis in locis vnam hypostasin, & vnam personam dixisse deprehendimus: quod nihil est aliud dicere, quàm vnionem hypostaticam. Et hæc quidem sunt de iis quæ synodus omiserit. Ad faciendum vero fidem dogmati suo plures auctoritates producunt, quarum est prima, quòd sanctus ille Cyrillus vnam naturam Dei sermonis incarnatam apertè dixerit. Ad hoc respondemus, fateri nos, id à sancto Cyrillo dictū: sed idem nihil omnino sentētiæ nostræ refragari. Non enim Christi naturam vnam incarnatam dixit, sed vnam naturam Dei sermonis incarnatam; videlicet alteram illam naturam denotans. Et quòd alteram illam significare voluerit, dum incarnatam ait, ex iis manifestum est, quibus seipsum in secunda ad Successum epistola declarat, inquiens: Quod si vnam Dei sermonis naturam dicētes obticuissemus: nec verbum illud, Incarnatam, subiecissemus; adeóque dispensationem ipsam velut omisissemus: fortasse probabilis esset ipsorum oratio, quærere de nobis præ se ferentium, vbi sit illa perfectio in humanitate, vel quomodo substantia, quam nos tradimus, subsistat. Sed quoniam & ipsa in humanitate perfectio, & substantiæ, quam nos tradimus, significatio per verbum istud, Incarnatum, comprehensa est: initi arundineo baculo desinant. Nam dispensationem reiicietes, & incarnationem negantes, merito accusaremur; ceu filium perfecta humanitate spoliantes. At verò si dicam, in eo, quod incarnatum dixi, perspicuam minimeque ambiguam esse confessionem, quòd homo factus sit: nihil est amplius, quod cogitare vetet, Christum vnum & vnicum, pariter & Deum & hominem esse:

Hæsitantes, & suam hæresim tuentur, & Cyrilli nituntur authoritate.

Cyrillo respōdetur per Cyrillum.

A vt perfectum in diuinitate, sic etiam perfectum in humanitate. Rectissimè verò, & admodum eruditè perfectio tua doctrinam de passione salutari exponit, quum non ipsum vnigenam Dei filium, quateous intelligitur & est Deus, passum in natura sua, quæ cadunt in corpus, adfirmas: sed potius eum natura terrena passum. Oportebat enim, oportebat vtraque manifesto salua esse vni reapse filio; tum vt diuinitatis respectu non pateretur, tum vt humanitus esse passus diceretur. quippe caro ipsius passa fuit. Sciendum autem, * primum inter orthodoxos Cyrillum protulisse verbum illud; vnam naturam Dei sermonis incarnatam. Inter orthodoxos dicimus, quoniam sæpius hoc Apollinaris repetebat, vnde factum, vt sanctus Cyrillus pro Apollinarista sit habitus ab orientalibus, quum talis non esset. Nec enim necesse est omnia, quæcumque dicunt hæretici, omnino non admitti; mala quidem reiici debent. Adferunt aliud quoque dictum, velut à beato Iulio profectum, quod existat in epistola scripta ad Dionysium Corinthi episcopum, cuius initium est: Miror de quibusdam audiens. estque dictum huiusmodi: Necesse est eos, quum duas naturas dicunt; vnam adorare, alteram non adorare: ac in diuinam quidem baptizari, at in humanam non baptizari. aliaque plura isthæc epistola continet. Sed nos argumentis pluribus conuincimus, non illam epistolam esse beati illius Iulij; sed Apollinaris. Primum ex eo, quòd si quis eam subtiliter consideret, nihil Iuliano dignum nomine habeat. quin & septem illæ epistolæ, quas eius esse dicunt, Apollinaris sunt. Deinde, quod in eadem epistola corporis mentione facta, nusquam id mente præditum vel animatum dixerit. Erat autem in more patribus illius sæculi, vt sicubi corporis mentionem facerent, idipsum mente præditum animatúmque dicerent. quod quidem vsque adeo verum est, vt reformidantibus eis hoc crimen, ideoque deinceps illas voces, Mente præditum & animatum, adiicientibus, nulli posteriorum libri reperiantur, qui hanc veterum adpendicem non habeant. Præterea de hoc quoque non beati Iulij, sed Apollinaris esse redarguitur: quod Nyssenus ille Gregorius in opere contra Apolinarim apertè multa recitet, quæ hac epistola continentur: eáque ceu praua, refutet. Potest & aliunde conuinci, quòd beati Iulij non sit. Aiunt enim actis synodi Ephesinæ sub beato Cyrillo insertam: quod quidem apertè mentiuntur. Nam ibi nihil in textu tale reperitur, sed alia quædam inserta est epistola, velut à Iulio scripta: nec ipsa Iulij, sed Timothei: quemadmodum de multis exemplaribus intelligi potest.

** Theorianus suprà demonstrat Cyrillum hoc ab Athanasio sūpsisse.*

Non quicquid ab hæretico dicitur, semper est improbandum.

Supposititia Iulij Romani Pontificis epistola. Pluribus coniecturis probat, epistolam ab hæreticis sub nomine Iulij allegatam, non esse Iulij sed Apollinaris.

A ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. ὀρθότατα δὲ, καὶ πάνυ σοφῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ τοῦ σώματος διϊσχυριζομένη· παθεῖν δὲ αὐτὸν μᾶλλον τῇ χοϊκῇ φύσει· ἔδει γὰρ, ἔδει σαφῶς ἀμφότερα σώζεσθαι τῷ ἑνὶ κατ' ἀλήθειαν υἱῷ, καὶ τὸ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως. ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ. ἰστέον δὲ, ὅτι πρῶ-
B τος ἐν ὀρθοδόξοις τὸ, μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, εἶπεν ὁ ἅγιος Κύριλλος. ἐν ὀρθοδόξοις δὲ εἴπομεν, ἐπειδὴ ὁ Ἀπολινάριος πολλάκις ἔλεγε τοῦτο. ὅθεν καὶ ἐνομίσθη ὁ ἅγιος Κύριλλος παρὰ τῶν ἀνατολικῶν Ἀπολιναριστὴς εἶναι, οὐκ ὢν δέ. οὐδὲ γὰρ δέον ἐστὶ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, πάντως μὴ δέχεσθαι· τὰ δὲ κακὰ ἀποβάλλεσθαι. προφέρουσι δὲ καὶ ἑτέραν χρῆσιν ὡς ἀπὸ τοῦ μακαρίου Ἰουλίου, κειμένην ἐν τῇ πρὸς Διονύσιον τὸν Κορίνθου ἐπίσκοπον ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, θαυμάζω
C πυνθανόμενος περί τινων. καὶ ἔστιν ἡ χρῆσις τοιαύτη. ἀνάγκη γὰρ δύο λέγοντας αὐτοὺς φύσεις, τὴν μὲν προσκυνεῖν, τὴν δὲ μὴ προσκυνεῖν. καὶ εἰς μὲν θείαν βαπτίζεσθαι. εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. καὶ ἕτερα δὲ πολλὰ κεῖται ἐν τῇ ἐπιστολῇ ταύτῃ. ἡμεῖς δὲ ἀπὸ πολλῶν διελέγξομεν, μὴ εἶναι τὴν ἐπιστολὴν ταύτην τοῦ μακαρίου Ἰουλίου, ἀλλὰ τοῦ Ἀπολιναρίου. πρῶτον μὲν, ὅτι εἴ τις ἀκριβῶς σκοπήσοι, οὐδὲν φέρεται τοῦ μακαρίου Ἰουλίου. ἀλλὰ καὶ αἱ ἑπτὰ ἐπιστολαὶ, ἃς λέγουσιν εἶναι αὐτοῦ, τοῦ Ἀπολιναρίου εἰσίν. ἔπει-
D τα, ὅτι μνησθεὶς ἐν αὐτῇ τῇ ἐπιστολῇ τοῦ σώματος, οὐδαμοῦ νοερὸν εἶπεν, ἢ ἔμψυχον. ἔθος δὲ εἶχον οἱ κατ' ἐκεῖνον τὸν καιρὸν πατέρες, ἔνθα ἂν μνησθῶσι τοῦ σώματος, τὸ νοερὸν λέγειν καὶ ἔμψυχον. καὶ τοσοῦτόν ἐστι τοῦτο ἀληθὲς, ὅτι ὑφορώμενοι τοῦτο τὸ ἔγκλημα, προσετέθηκαν ὕστερον, τὸ νοερὸν καὶ τὸ ἔμψυχον. καὶ οὐκ ἔστιν εὑρεῖν τινα τῶν μεταγενεστέρων βιβλία, μὴ ἔχοντα τὴν προσθήκην τῶν παλαιῶν. ἔτι δὲ καὶ ἐκ τούτου ἐλέγχεται τοῦ Ἀπολιναρίου οὖσα, καὶ οὐκ αὐτοῦ τοῦ μακαρίου Ἰουλίου. Γρηγόριος γὰρ ὁ Νύσ-
E σης ἐν τῇ πρὸς Ἀπολινάριον πραγματείᾳ φαίνεται μεμνημένος πολλῶν τῶν ἐν τῇ ἐπιστολῇ ταύτῃ, καὶ ἀνατρέπων αὐτὰ, ὡς κακῶς ἔχοντα. ἔστι δὲ καὶ ἀπὸ ἄλλου αὐτὴν διελέγξαι μὴ οὖσαν τοῦ μακαρίου Ἰουλίου. φασὶ γὰρ κεῖσθαι αὐτὴν ἐν τοῖς πραχθεῖσιν ἐν Ἐφέσῳ ἐπὶ τοῦ μακαρίου Κυρίλλου· καὶ ψεύδονται φανερῶς. οὐδὲν γὰρ τοιοῦτον κεῖται ἐκεῖ, ἀλλὰ ἄλλη ἐστὶν ἡ κειμένη ἐκεῖ, ὡς ἀπὸ τοῦ Ἰουλίου, ἥτις οὐδὲ Ἰουλίου ἐστὶν, ἀλλὰ Τιμοθέου, ὡς ἔστιν ἀπὸ πολλῶν ἀντιγράφων καταμαθεῖν.

ἀλλ' ἐπειδὴ κατὰ μηδὲν ἡμῖν ἐναντιοῦται, εἴτε Ἰουλίου ταύτην εἴπωσιν, οὐ φροντιστέον. ἀλλὰ καὶ ἄλλην ἡμῖν χρῆσιν παραφέρουσιν, ὡς ἀπὸ τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, ἐκ τῆς κατὰ μέρος πίστεως· οὐ δύο πρόσωπα, οὐ δύο φύσεις. οὐ δεῖ γὰρ τέσσαρα προσκυνεῖν, καὶ τὰ ἐφεξῆς. λέγομεν δὲ καὶ πρὸς τοῦτο, ὅτι πρῶτον μὲν καὶ αὕτη ἀμφεβλήθη παρὰ τοῖς παλαιοτέροις, μὴ εἶναι τοῦ ἁγίου Γρηγορίου· ἔπειτα Γρηγόριος ὁ Νύσσης γράφων ἐπιτάφιον εἰς τὸν Θαυματουργὸν λέγει, μηδὲν σύγγραμμα φέρεσθαι αὐτοῦ, εἰ μὴ μόνην τὴν πίστιν, ἣν κατὰ ὀπτασίαν εἶδεν. ἔτι δὲ καὶ ἄλλην παραφέρουσι χρῆσιν, ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ περὶ σαρκώσεως λόγου. ἔστι δὲ τοιαύτη· καὶ εἶναι τὸν αὐτὸν υἱὸν Θεοῦ κατὰ πνεῦμα, καὶ υἱὸν ἀνθρώπου κατὰ σάρκα· οὐ δύο φύσεις τὸν ἕνα υἱόν, μίαν προσκυνητήν, καὶ μίαν ἀπροσκύνητον· ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην. πρὸς τοῦτο λέγομεν, ὅτι πρῶτον μὲν οὐδὲν ἡμῖν ἐναντιοῦται. οὐδὲ γὰρ δοξάζομεν δύο φύσεις, τὴν μὲν προσκυνητήν, τὴν δὲ ἀπροσκύνητον· ἀλλὰ δοξάζομεν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην. ἔπειτα δὲ οὐδέ ἐστι τοῦ ἁγίου Ἀθανασίου. ἐρωτώμενοι γὰρ παρ' ἡμῶν, ποῦ κεῖται· καὶ μὴ εὐποροῦντες δεῖξαι, στενοχωρούμενοι παραφέρουσι μικρόν τινα λόγον, ὡς δύο φύλλων, ἐν ᾧ κεῖται αὕτη ἡ χρῆσις. δῆλον δὲ πᾶσιν, ὅτι πάντα τὰ συγγράμματα τοῦ ἁγίου Ἀθανασίου, πάνυ μεγάλα εἰσίν. ἀλλὰ τί ἔχομεν εἰπεῖν, ὅτι παραφέρουσι τὸν μακάριον Κύριλλον, παράγοντα αὐτὴν κατὰ Θεοδώρου, ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου; λέγομεν πρὸς τοῦτο, ὅτι τῷ ὄντι μὲν κεῖται ἐν τοῖς τοῦ μακαρίου Κυρίλλου κατὰ Θεοδώρου ῥηθεῖσιν, ἀλλὰ σφάλμα ἐστὶν ἀρχαῖον. ὁ γὰρ Διόσκορος διάδοχος γενόμενος τοῦ μακαρίου Κυρίλλου, καὶ εὑρὼν τὰ αὐτοῦ συγγράμματα, ἴσως οὐκ ἂν ὤκνει τινὰ θεῖναι ὧν ἐβούλετο. μήποτε δὲ καὶ ἐπιστοχάσασθαι, ὅτι οὐ παρήγαγεν αὐτὴν ὁ μακάριος Κύριλλος κατὰ Θεοδώρου, καὶ ἐντεῦθεν δῆλον. Θεοδώρητος γὰρ ὑπὲρ Θεοδώρου λέγων, διατρέπων πάσας τὰς χρήσεις, ὅσας παρήγαγε κατ' αὐτοῦ ὁ ἅγιος Κύριλλος, ἀπὸ τῶν ἁγίων πατέρων, οὐδαμοῦ ταύτης τῆς χρήσεως μέμνηται. ἀλλὰ λέγουσι πρὸς τοῦτο, ὅτι κακούργως αὐτὴν παρείασεν ὁ Θεοδώρητος. μὴ δυνάμενος γὰρ πρὸς αὐτὴν ἀντιβλέψαι, ὡς πάνυ φανερόν, ἑκὼν παρέλειπεν αὐτήν. πρὸς τοῦτο λέγομεν, ὅτι τοσοῦτον οὐ παρέδραμεν αὐτὴν κειμένην ἐκεῖ, ὅτι τοῦ μακαρίου Κυρίλλου ἐν ἄλλοις εἰρηκότος, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην εἰ ᾔδει τὴν χρῆσιν ταύτην κειμένην παρὰ τῷ μακαρίῳ Κυρίλλῳ,

A Enimuero quum nihil nobis aduersetur, quòd eam Iulij dicant, flocci scilicet faciendum. Proferunt nobis & aliam quamdam auctoritatem sancti Gregorij, quem prodigiorum effectorem nominamus, ex illius confessione fidei, seorsum exposita. Non duas personas, inquit, non duas naturas: quia non adoranda sunt quatuor. & alia, quæ sequuntur. Ad hoc quoque respondemus, primum de hac itidem dubitatum apud antiquiores, an sit Gregorij. Deinde Gregorius Nyssenus orationem de illo prodigiorum effectore funebrem scribens, nullum B ait opus ipsius in manibus esse, præter solam fidem, quam in visione conspexerit. Aliam quoque proferunt auctoritatem sancti Athanasij ex oratione de incarnatione, quæ quidem huiusmodi est: Eumdem esse Dei filium, ratione spiritus; & hominis filium, ratione carnis: non duas naturas vnum illum filium, quarum vna sit adoranda, non adoranda sit altera: sed vnam naturam Dei sermonis incarnatam. Respondemus primò, dictum hoc nobis non aduersari. Non enim duas naturas ita tradimus, vt adoretur vna; C non adoretur altera: sed vnam statuimus esse naturam Dei sermonis incarnatam. Deinde ne quidem est Athanasij. nam quum à nobis interrogantur, vbi dictum hoc exstet, nec eios ostendendi copiam habent: in arctum coacti, pusillam quamdam orationem proferunt, quasi duorum foliorum, in qua dictum hoc legitur. At notum est vniuersis, omnia sancti Athanasij opera valde magna esse. Quid autem ad hoc respondebimus, quod beatum Cyrillum producunt, citantem hoc dictum libro aduersus Theodorum, quasi profectum ab Athanasio? Ni- D mirum dicimus, reapse quidem illud in beati Cyrilli contra Theodorum inuectiuis legi; sed mendum esse priscum Dioscorus enim successor beati Cyrilli factus, quum eius opera reperisset; forte non veritus est inserere nonnulla, quæ ipsi lubitum fuit. Neque verò coniecturis nos modò niti, quod beatus Cyrillus illud contra Theodorum non produxerit; ex eo quoque manifestum est. Nam Theodoretus, qui Theodorum defendebat, vniuersas auctoritates refutans, quascumque sanctus Cyrillus contra Theodorum de sanctis patribus E protulerat; nusquam huius dicti meminit. At enim isti referunt, à Theodoreto callidè omissum. Quòd enim aduersis eam auctoritatem oculis adspicere non posset, vt admodum planam & apertam; iccirco sponte ab ipso prætermissam. Respondemus, tantum abesse vt eam Theodoretus ibi positam prætenire voluerit; vt quum beatus ille Cyrillus alibi dixisset, Vnam naturam Dei sermonis incarnatam; si quidem sciuisset Theodoretus id verbum, quod apud Cyrillum exstat,

ex sancto Athanasio citatum, nequaquam adeò temere dicturus fuerit: Quis tibi patrum dixit vnam naturam Dei sermonis incarnatam? Vicissim ingerunt, tam esse certum, sciuisse sic loquutum Athanasium; vt etiam dixerit, Quemadmodum patres loquuti sunt. Nos contrà, quemque dicimus eniti, vt ostendat, à patribus ea proiata quæ ipse tradat; si non iisdem verbis, saltem vi verborum eadem. Producunt & aliam auctoritatem ex Erechthio, cuius inter patres nec auditum est vnquam nomen: adeo quidem, vt quum Timotheus contra synodum scripsisset, & auctoritatem Erechthij citasset; Cyrus, qui apud ipsum presbyteri loco esset, his ad eum verbis perscripserit: Mallem hoc te corrigere. Nam Erechthij nomen inter partes auditum numquam fuit. Hæc consideranda veniebant.

Erechthius obscurus pater.

ὡς ἀπὸ τοῦ ἁγίου Ἀθανασίου προσενεχθεῖσαν, οὐκ ἂν οὕτως ἀμαθῶς ἔμελλεν εἰπεῖν· τίς σοι τῶν πατέρων εἶπε μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην; ἀλλὰ λέγουσι πάλιν, ὅτι τοσοῦτον ἤδη αὐτὴν εἰρημένην τῷ ἁγίῳ Ἀθανασίῳ, ὅτι εἶπεν· ὡς οἱ πατέρες εἰρήκασι. πρὸς τοῦτο λέγομεν, ὅτι ἕκαστος σπουδάζει ἃ λέγει δεῖξαι τοὺς πατέρας εἰρηκότας, εἰ καὶ μὴ αὐτολεξεὶ, ἀλλὰ δυνάμει. παραφέρουσι δὲ καὶ ἄλλην χρῆσιν ἀπὸ Ἐρεχθίου, ὅστις οὐδέποτε ἠκούσθη εἰς πατέρας, καὶ τοσοῦτον, ὅτι Τιμοθέου γράψαντος κατὰ τῆς συνόδου, καὶ παραγαγόντος χρῆσιν ἀπὸ Ἐρεχθίου, Κῦρος ὁ αὐτοῦ πρεσβύτερος ἔγραψε πρὸς αὐτόν· ὅτι ἤθελόν σε διορθώσασθαι τοῦτο. ὁ γὰρ Ἐρέχθιος οὐδέποτε ἠκούσθη εἰς πατέρας. ἐν τούτοις ἡ θεωρία.

Recitantur quædam verba synodi Chalcedonensis, quæ putabant Hæsitantes suæ hæresi fauere.

ACTIO IX.

QVIA verò voces etiam nonnullas carpendo de synodi definitione, synodum ipsam reprehendunt: age & illis expositis, vbi quemadmodum eas reprehendant, indicauerimus; ita deinde refutationes nostras subiiciamus. Synodi verba sunt: Sufficeret quidem ad perfectam pietatis cognitionem & confirmationem, hoc eruditum ac salubre diuinæ gratiæ symbolum, quod & perfectam de patre, & filio, & spiritu sancto doctrinam tradit, & incarnationem Domini fideliter excipientibus exhibet. Est autem sanè quàm frigida reprehensio. Primo tantum abest, vt cum Nestorio sentiat; vt Ioannes quidam Ægeota presbyter Nestorianus, synodum reprehendens, diceret; Eam synodum esse Cyrillianam, & à Cyrilli sententia stare. Quòd si Nestoriana, numquam hoc Ioannes ille dixisset. Deinde, si propter huiusmodi voces synodum reprehendunt, cur itidem sanctos quoque patres non reprehendunt? Nam & illi plura talia protulerunt. Etenim beatus ille Cyrillus in commentario Zachariam vatem declarante, cuius initium; Vaticinatur quidem sanctus ille Zacharias; sic ait: Discedendum igitur à talibus, & à mentis adfectione rigida mortuáque, velut è terra peregrina, transeundum ad Sionem, hoc est, ad veritatem; vt Ecclesiam Christi consideremus. in qua constituti, perspiciemus id quod Deo placet, & ad illas in sancta vniúsque substantiæ Trinitate rationes oculos circumferemus,

Hæc verba desumpta süt ex synodo Chalcedonica.

Chalcedonensis synodus Cyrilliana.

Cyrillus in Zachariam.

ΠΡΑΞΙΣ θʹ.

ΕΠΕΙΔΗ δὲ καὶ λέξεών τινων προσαπτόμενοι ἐκ τοῦ ὅρου τῆς συνόδου, ἐπιλαμβάνονται αὐτῆς· φέρε καὶ ταύτας ἐκθέμενοι, καὶ πῶς ἐπιλαμβάνονται αὐτῶν εἰπόντες, ὕστερον τὰς πρὸς ταύτας ἀνατροπὰς ἐπαγάγωμεν. τῆς συνόδου τοίνυν εἰπούσης· Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσιν τὸ σοφὸν τοῦτο καὶ σωτήριον τῆς θείας χάριτος σύμβολον. περί τε γὰρ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἔστι δὲ λίαν ἀπόψυχρος ἡ ἐπιλαβή. πρῶτον μὲν γὰρ τοσοῦτον οὐ φρονεῖ τὰ Νεστορίου, ὅτι Ἰωάννης τις Αἰγεώτης πρεσβύτερος Νεστοριανὸς, ἐπιλαμβανόμενος τῆς συνόδου φησὶν, ὅτι αὕτη σύνοδος Κυριλλιανή ἐστι, καὶ τὰ ἐκείνου φρονεῖ. εἰ δὲ ἦν Νεστοριανὴ, οὐκ ἂν τοῦτο εἶχεν ὁ Ἰωάννης εἰπεῖν. ἔπειτα εἰ ἀπὸ τῶν τοιούτων λέξεων ἐπιλαμβάνονται τῆς συνόδου, διατί μὴ καὶ τῶν ἁγίων πατέρων ἐπιλαμβάνονται; καὶ αὐτοὶ γὰρ πολλὰ τοιαῦτα εἰρήκασι. φησὶ γὰρ ὁ μακάριος Κύριλλος ἐν τῷ εἰς Ζαχαρίαν τὸν προφήτην ὑπομνήματι, οὗ ἡ ἀρχή· προφητεύει μὲν ὁ ἅγιος Ζαχαρίας, οὕτως. δεῖ δὴ ἄρα οὖν τοιούτων ἀποφοιτᾶν, καὶ ὡς ἐκ γῆς ἀλλοτρίας, τῆς ἀπεψυγμένης καὶ νεκρᾶς τοῦ νοῦ διαθέσεως μεταφοιτᾶν εἰς Σιὼν, τουτέστιν εἰς τὸ ἀληθές· ἵνα νοῶμεν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ἐν ᾗ γεγονότες, κατοψόμεθα τὸ τῷ Θεῷ δοκοῦν, καὶ τοὺς ἐπὶ τῇ ἁγίᾳ τε καὶ ὁμοουσίῳ τριάδι περιαθρήσομεν λόγους,

ipsúmque

καὶ αὐτὸν εὑρήσομεν ἐκ παντὸς ἡμᾶς * τόπου συναγείροντα τὸν Χριστὸν, καὶ συνδοῦντα πνευματικῶς εἰς ὁμοψυχίαν. ἰδοὺ γὰρ εἰπὼν τὸ, τῷ Θεῷ δοκοῦν, ἐπήγαγε· καὶ τοὺς ἐπὶ τῇ ἁγίᾳ τε καὶ ὁμοουσίῳ τριάδι περιεργίας θρήσομεν λόγοις, καὶ αὐτὸν εὑρήσομεν ἡμᾶς συναγείροντα τὸν Χριστόν. καὶ ὅσον ἐξ ὧν λέγουσι, καὶ ὁ μακάριος Κύριλλος τετράδα δοξάζει. καὶ ἄλλα δὲ τοιαῦτα πολλὰ παρὰ τοῖς ἁγίοις πατράσιν εὑρίσκομεν, ἃ διὰ πολυλογίας νῦν οὐ δεῖ παρατίθεσθαι. ἐπιλαμβάνονται δὲ αὐτῆς πάλιν, ὡς εἰπούσης τὸ ἐν δύο φύσεσιν. ὅτι δὲ καὶ τοῦτο εἴρηται παρὰ τοῖς πατράσι, ῥᾴδιον δεῖξαι ἀπὸ πολλῶν.

A ipsúmque Christum deprehendemus ex omni loco nos colligentem, ac spiritaliter in vnanimem consensum colligantem. Nam ecce, postquam dixit, Quod Deo placet, subiicit: Et ad illas in sancta vniusque substantiæ Trinitate rationes oculos circumferemus, ipsúmque Christum deprehendemus ex omni loco nos colligentem. Quantum ergo colligitur ex iis quæ ipsi dicunt, etiam beatus ille Cyrillus quaternionem statuit. Alia quoque consimilia multa reperimus apud sanctos patres, quæ nunc virandæ prolixitatis causa, non sunt heic adiicienda. Rursus eam reprehendunt, quasi quæ formulam illam verbo- B rum, In duabus naturis, vsurpauerit. Verùm & illa patres vsos, de pluribus ostensu facile.

Actione decima error Gaianitarum detegitur, contra quos probatur Christi corpus fuisse corruptibile, & iisdem passionibus excepto peccato subiectum. Deinde Agnoitæ reprehenduntur: postrema deliria Origenis refutatur.

ΠΡΑΞΙΣ ι.

ΑΞΙΟΝ ἐστὶ μετὰ τὰ προειρηθέντα ἅπαντα, καὶ περὶ τῆς δόξης τῶν Γαϊανιτῶν, καὶ ἄλλων τινῶν, διεξελθεῖν. οἱ τοίνυν Γαϊανῖται, ὁμολογοῦσι τὸν Θεὸν λόγον ἐνανθρωπῆσαι ἐκ τῆς παρθένου τελείως καὶ ἀληθινῶς· ἀπὸ δὲ τῆς ἑνώσεως ἄφθαρτον ὁμολογοῦσιν εἶναι τὸ σῶμα. πάντα μὲν γὰρ τὰ εἴδη τῶν κακῶν λέγουσιν αὐτὸν ὑπομεῖναι. καὶ ἐπείνησε γὰρ, καὶ ἐδίψησε, καὶ ἐκοπίασεν. οὐ τὸν αὐτὸν δὲ τρόπον ταῦτα ἡμῖν παθεῖν. φασὶ γὰρ, ὅτι ἡμεῖς μὲν ἐξ ἀνάγκης φυσικῆς καὶ πεινῶμεν, καὶ διψῶμεν· ὁ δὲ Χριστὸς ἑκουσίως πάντα ὑπέμεινεν. οὐ γὰρ ἐδούλευε τοῖς τῆς φύσεως νόμοις. ἐπεὶ καὶ ἀκούσια ὁμολογήσομεν τὰ πάθη, ὅπερ ἄτοπον. αὕτη μὲν ἡ τῶν Γαϊανιτῶν δόξα. ἡμεῖς δὲ πρὸς ταῦτα λέγομεν, ὅτι καὶ ἡμεῖς ἑκούσια ὁμολογοῦμεν τὰ πάθη. οὐ διὰ τοῦτο δὲ λέγομεν, ὅτι τὸν αὐτὸν τρόπον ἡμῖν ἐξ ἀνάγκης ἔπασχεν· ἀλλὰ λέγομεν, ὅτι ἑκουσίως ἐδούλευε τοῖς τῆς φύσεως νόμοις, καὶ ἑκὼν ἐδίδου τῷ σώματι, παθεῖν τὰ ἴδια τὸν αὐτὸν τρόπον, ὃν καὶ ἡμεῖς πάσχομεν. καὶ μαρτυροῦσι τούτοις οἱ πατέρες, ὁ μὲν ἅγιος Γρηγόριος εἰπών· τῇ φύσει ἐδίδου, ὅτε ἐβούλετο, ἐνεργεῖν τὰ ἴδια. ὁ δὲ μακάριος Κύριλλος, εἰρηκώς· ὅτι διὰ τῆς εἰσπορεύσεως τῶν βρωμάτων, καὶ τῆς ἐκπορεύσεως, διεκράτει τὴν ὑπόστασιν, τοῦτ' ἐστὶ τοῦ σώματος. καὶ πάλιν ἐκ τοῦ διαλόγου, ὅτι εἷς ὁ Χριστός· ἐφιέναι αὐτὸν τῇ ἰδίᾳ σαρκὶ, διὰ τῶν τῆς ἰδίας φύσεως ἰέναι νόμων. καὶ αὖθις· ὡς ἐπιτρέπει τὸ σωματικὸν κατὰ τὴν φύσιν προσόντα παθεῖν, εἰς ἀπόδειξιν τοῦ ὄντως καὶ κατ' ἀλήθειαν φορέσαι σάρκα, καὶ ἄνθρωπον γενέσθαι κατὰ τὰς γραφάς. ὁ δὲ ἅγιος Ἀθανάσιος, ἐκ τοῦ κατὰ Ἀπολιναρίου λόγου· ὅτι διὰ τοῦτο ἔλεγεν ὁ Κύριος, νῦν ἡ ψυχή μου τετάρακται. τὸ δὲ νῦν τοῦτό ἐστιν, ὅτε ἠθέλησεν. ὅμως μέντοι τὸ ὂν ἐπιδείκνυται.

ACTIO X.

POST omnia, quæ hactenus exposita sunt, operæ fuerit pretium; de Gaianitarum quoque ac aliorum quorumdam opinione narrationem institui. Confitentur ergo Gaianitæ, Deum sermonem è virgine naturã humanam adsumpsisse perfectè ac verè: sed post vnionem esse corpus incorruptibile dicunt. Omnes enim malorũ species Christum C perpessum aiunt, qui & esuriuerit, & sitiuerit, & defatigatus fuerit: at non eodem ista, quo nos, modo passum. Aiunt enim nos quidem naturali quadam necessitate tum esurire, tum sitire: sed Christum hæc omnia sponte sustinuisse. non enim, inquiũt, naturæ legibus seruiebat. alioqui passiones istas fatebimur ei præter voluntatem accidisse, quod absurdum fuerit. Hæc Gaianitarum est opinio. Nos ad ea respondemus, etiam nos fateri passiones & adfectiones illas fuisse voluntarias: nec tamen D icicirco dicere, Christum eas perpessum eodem modo quo nos. Nam sponte dicimus ipsum seruiisse naturæ legibus, volentémque concessisse corpori, vt sua perpeteretur eodem modo quo & nos patimur. atque hæc testimoniis suis patres ipsi comprobant, vt sanctus ille Gregorius, inquiens: Naturæ permittebat, quum vellet, vt ageret sua. Beatus autem Cyrillus dixit: Per immissionem ciborum, & excretionem, conseruabat substantiam, corporis scilicet. Rursus ex dialo- E go, quo vnum esse Christum probat, Permisisse ipsum carni suæ, vt naturæ suæ legibus obsequeretur. Et rursus: Sic permittit id quod corporeum erat, ea perpeti quæ ipsi naturaliter adsunt; vt ostenderet, se reapse verè que gestare carnem, & secundum literas sacras hominem esse factum. Sanctus autem Athanasius, libro aduersus Apollinarem: Propterea dicebat Dominus, animam suam nunc perturbari. Et hoc NVNC significat, quando ipse voluit. Id tamen, quod erat, indicatur.

De Gaianitarum hæresi.

Refutatio.

Vtrùm corporis passiones eodem modo fuerint in Christo & in nobis.

non enim quod non erat, quasi si præsẽs esset, protulit: ac si specie tenus fierent, quæ fieri dicebantur. quippe natura & verè omnia fiebant. Rursus alibi: Non defectu naturæ tamẽ accidebant, quæ dicebantur; sed quæ fiebãt, demonstrandæ causa veræ substantiæ fiebãt. Quapropter si eodem nobiscum modo patiebatur, non possumus ei corpus incorruptibile tribuere, sicuti ne nobis quidem. Adeóq; tale quiddam eis obiicimus: Si Christi corpus incorruptibile dicitis, non eiusdem est nobiscũ substantiæ: quando corpus illius incorruptibile, nostrum est corruptibile. Sed fortassis ad hoc ipsi vicissim inferent, quomodo nos à resurrectione Christi corpus incorruptibile dicentes, nihilominus eiusdem esse nobiscum substantiæ tradamus: eodem se quoque modo dicentes idem ante resurrectionem incorruptibile, nihilominus eiusdem esse nobiscũ substantiæ fateri. Verum nos respondemus: etiãsi post resurrectionem incorruptibile fateamur, nõ tamen à nobis incorruptibile natura dici, sed gratia. Si subiecerint, Etiam ante resurrectionem incorruptibile per gratiam esto: dicimus, non hoc ea permittere quæ de Christo traduntur: etenim ante resurrectionẽ & esuriisse dicitur, & sitiisse. Quo autem modo incorruptibile fuerit, quod talia passũ est? At post resurrectionem nihil ei tale accidit. vnde patet, ante resurrectionem corpus fuisse corruptibile, post resurrectionem incorruptibile. Nam quod edisse post resurrectionẽ dicitur, id vero per dispensationem fecit: non quia reuera esuriret, sed vti discipulis suis ostenderet, se ipsum esse, qui de mortuis resurrexisset. quo quidem modo clauorum quoq; cicatrices eis monstrasse dicitur. atqui nos ita resurgemus vt earũ nulli passionum obnoxij simus; quas ante resurrectionem experimur. Interim primitiæ resurrectionis nostræ de mortuis Christus est. & tamen hæc ille repertus est habere. de quo manifestum est, id esse per dispensationem factum. Et quidẽ scriptura non dicit eũ esuriisse, sed comedisse. Sciendum vero, proferri ab eis quasdã patrũ auctoritates, quæ incorruptibile Christi corpus dicunt: sicut & Cyrillum allegãt, his verbis: Nihil corruptibile suscepit caro sermonis. sed quoties huiusmodi auctoritates proferunt, considerandum venit, æquiuocum esse corruptionis vocabulum. Nam corruptio dicitur plena dissolutio corporis in elementa, de quibus compositum fuit: itidemq; corruptionẽ vocamus affectiones siue passiones illas humanas, vt esurire, sitire, quæque sunt eius generis alia. Quum ergo patrũ aliquis dixerit, Christi corpus nõ sustinuisse corruptionẽ; hoc nimirũ dicit, non prorsus fuisse dissolutũ. quod sanè verum esse, de cõtrariis eorũ dictis patet. Pluribus. n. in locis ante resurrectionẽ ipsum esse corruptibile tradunt, post resurrectionẽ incorruptibile. Tantum de Gaianitis.

Quid post resurrectionem Christus ederit.

Haeretici corpus Christi incorruptibile authoritate Patrum confirmant.

Nomen corruptionis ambiguum est.

A οὐ γὰρ τὸ μὴ ὂν ὡς παρὸν ὠνόμαζεν, ὡς δοκήσει γινομένων τῶν λεγομένων. φύσει γὰρ καὶ ἀληθείᾳ τὰ πάντα ἐγένετο. πάλιν ἐν ἑτέρῳ· ὅτι κἂν μὴ ἡττήματι φύσεως συνέβαινε τὰ λεγόμενα, ἀλλ᾽ ἐπιδείξει ὑπάρξεως ἐγένετο τὰ γινόμενα. ὥστε εἰ τὸ αὐτὸν ἡμῖν τρόπον ἔπαθεν, οὐ δυνάμεθα εἰπεῖν αὐτὸ ἄφθαρτον, ὥσπερ οὐδὲ τὸ ἡμέτερον. καὶ ἀποροῦμεν τοιαύτην ἀπορίαν, ὅτι εἰ ἄφθαρτον λέγετε τὸ σῶμα τοῦ Χριστοῦ, οὐκ ἔστιν ἡμῖν ὁμοούσιον, εἰ τὸ μὲν τοῦ Χριστοῦ, ἄφθαρτόν ἐστι, τὸ δὲ ἡμέτερον, φθαρτόν. ἀλλ᾽ ἀ- B ὰ πρὸς τοῦτο ἀντείποιεν ἂν καὶ αὐτοὶ, ὅτι ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον λέγοντες τὸ σῶμα τοῦ Χριστοῦ, ὁμοούσιον λέγετε αὐτὸ εἶναι, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον ἡμῖν ὁμολογοῦμεν εἶναι. ἡμεῖς δὲ λέγομεν, ὅτι εἰ καὶ ἄφθαρτον αὐτὸ ὁμολογοῦμεν μετὰ τὴν ἀνάστασιν, οὐ τῇ φύσει λέγομεν αὐτὸ ἄφθαρτον, τῇ δὲ χάριτι. εἰ δὲ εἴπωσιν, ἔστω καὶ πρὸ τῆς ἀναστάσεως τῇ χάριτι ἄφθαρτον λεγόμενον, ὅτι οὐ συγχωρεῖ τοῦτο τὰ περὶ τοῦ Χριστοῦ λεγόμενα. πρὸ μὲν γὰρ τῆς ἀναστάσεως λέγεται καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ C πῶς ἂν εἴη τὸ ταῦτα πεπονθὸς, ἄφθαρτον; μετὰ δὲ τὴν ἀνάστασιν οὐδὲν τῶν τοιούτων ἔπαθεν. ὡς δῆλον, πρὸ μὲν τῆς ἀναστάσεως, φθαρτὸν εἶναι τὸ σῶμα· μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον. εἰ γὰρ καὶ λέγεται φαγεῖν μετὰ τὴν ἀνάστασιν, τοῦτο δι᾽ οἰκονομίαν ἐποίησεν, οὐχ ὡς τῷ ὄντι πεινῶν· ἀλλ᾽ ἵνα δείξῃ τοῖς μαθηταῖς αὐτοῦ, ὅτι αὐτός ἐστιν ὁ ἀναστὰς ἐκ νεκρῶν. ὃν τρόπον καὶ τοὺς τύπους τῶν ἥλων λέγεται ἐπιδεῖξαι αὐτοῖς. καίτοι ἡμεῖς οὐδὲν τῶν πρὸ τῆς ἀναστάσεως παθῶν ἀναστησόμεθα ἔχοντες. ἀπαρχὴ δὲ τῆς ἐκ νεκρῶν ἡμῶν D ἀναστάσεως ὁ Χριστός. καὶ ὅμως αὐτὸς εὑρέθη ἔχων. ὡς δῆλον, ὅτι δι᾽ οἰκονομίαν τοῦτο γέγονεν. ἀμέλει οὐδὲ λέγει ἡ γραφὴ, ὅτι ἐπείνησεν, ἀλλ᾽ ὅτι ἔφαγεν. ἐπιζητῆσαι δὲ δέον, ὅτι προφέρουσι χρήσεις τινὰς ἀπὸ τῶν πατέρων, ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ λεγούσας. ὥσπερ καὶ τὸν μακάριον Κύριλλον εἰπόντα, ὅτι οὐχ ὑπεδέξατο φθαρτὸν ἡ τοῦ λόγου σάρξ. ὅταν δὲ τὰς τοιαύτας προσαγάγωσι χρήσεις, δεῖ ἐπισκέψαι, ὅτι ὁμώνυμόν ἐστι τὸ τῆς φθορᾶς ὄνομα. λέγεται γὰρ φθορὰ, ἡ παντελὴς διάλυσις τοῦ σώματος εἰς τὰ στοιχεῖα, ἐξ ὧν συνέστη. E καὶ λέγεται φθορὰ, τὰ ἀνθρώπινα ταῦτα πάθη, τοῦτ᾽ ἔστι τὸ πεινῆν, καὶ διψῆν, καὶ ὅσα τοιαῦτα. ὅταν οὖν εἴπῃ τις τῶν πατέρων, ὅτι οὐχ ὑπέμεινε φθορὰν τὸ σῶμα τοῦ Χριστοῦ, τοῦτο λέγει, ὅτι οὐ διαμπὰξ ἐλύθη. ὅπερ ἀληθὲς δῆλον ἐξ ὧν ἀντιλέγουσιν. ἐν πολλοῖς γὰρ πρὸ τῆς ἀναστάσεως φθαρτὸν αὐτὸ λέγουσι, μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον. καὶ τοσαῦτα μὲν περὶ Γαϊανιτῶν.

Οἱ δὲ Ἀγνοηταὶ πάντα ὁμολογοῦντες ὡς οἱ Θεοδοσιανοί, εἰς τοῦτο διαφωνοῦσιν, ὅτι οἱ μὲν Θεοδοσιανοὶ οὐ λέγουσιν ἀγνοεῖν τὸ ἀνθρώπινον τοῦ Χριστοῦ· οἱ δὲ, ἀγνοεῖν. κατὰ πάντα γὰρ, φασὶν, ἔοικεν ἡμῖν. εἰ δὲ ἀγνοοῦμεν ἡμεῖς, δηλονότι καὶ αὐτὸς ἠγνόει. καὶ αὐτὸς δὲ ἐν τοῖς Εὐαγγελίοις φησὶν, ὅτι οὐδεὶς οἶδε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, οὐδὲ ὁ υἱὸς, εἰ μὴ μόνος ὁ πατήρ. καὶ πάλιν, ποῦ τεθείκατε Λάζαρον; ταῦτα γὰρ πάντα τὰ προειρημένα, φασὶν, ἀγνοίας εἰσίν. ἀλλ' ἀντιλέγουσι πρὸς αὐτοὺς, ὅτι ταῦτα εἶπεν ὁ Χριστὸς κατ' οἰκονομίαν, ἵνα ἀποτρέψῃ τοὺς μαθητὰς μαθεῖν ἐξ αὐτοῦ τὴν ὥραν τῆς συντελείας. ἀμέλει, φασὶ, μετὰ τὴν ἀνάστασιν ἐρωτώμενος πάλιν ἐξ αὐτῶν, οὐκέτι εἶπεν, ὅτι οὐδὲ ὁ υἱὸς, ἀλλ' ὅτι οὐδεὶς ὑμῶν. ἡμεῖς δὲ λέγομεν, ὅτι οὐ δεῖ πάνυ ἀκριβολογεῖν περὶ τούτων. τοιγαροῦν οὐδὲ ἡ σύνοδος τοιοῦτο ἐπολυπραγμόνησε δόγμα. πλὴν ἰστέον, ὅτι οἱ πολλοὶ τῶν πατέρων, σχεδὸν δὲ πάντες, φαίνονται λέγοντες αὐτὸν ἀγνοεῖν. εἰ γὰρ κατὰ πάντα λέγεται ἡμῖν ὁμοούσιος, ἀγνοοῦμεν δὲ καὶ ἡμεῖς, δηλονότι καὶ αὐτὸς ἠγνόει. καὶ ἡ γραφὴ δὲ λέγει περὶ αὐτοῦ, ὅτι προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ· δηλονότι ἐκεῖνο μανθάνων, ὅπερ ἠγνόει. ἄξιον δὲ καὶ περὶ Ὠριγένους, καὶ τῶν αὐτοῦ δογμάτων εἰπεῖν. ὁ τοίνυν Ὠριγένης ἀρχαῖος ἄνθρωπος ὢν τῶν πρὸ Κωνσταντίνου γενομένων, μέγας τε ἦν, καὶ πεπαιδευμένος εἰς τὴν ἁγίαν γραφὴν, γραμματικός τε ἦν. τούτου ὁ πατὴρ ἐμαρτύρησε, καὶ αὐτὸς δὲ ἤθελεν ἐπὶ τὸ μαρτυρῆσαι. ἠναγκάσθη δὲ ἐπιθῦσαι, ἀπὸ τοιαύτης αἰτίας. ἐν τῷ αὐτὸν μαρτυρεῖν, προσήγαγον αὐτῷ Αἰθίοπά τινα, καὶ ἠνάγκαζον ἢ μετὰ τοῦ Αἰθίοπος ἀσχημονῆσαι, ἢ τοῖς θεοῖς ἐπιθῦσαι. ὁ δὲ μᾶλλον εἵλετο ἐπιθῦσαι τοῖς θεοῖς. καὶ λαβὼν, ἔρριψε τῇ θυσίᾳ. ὕστερον δὲ μεγάλως μετενόησε καὶ ἐθρήνησεν ἐπὶ τούτῳ. περὶ δὲ τὰ δόγματα τοιοῦτος ἦν. ὑπόβασιν ἔλεγε τοῦ υἱοῦ, ὥσπερ μετὰ ταῦτα οἱ Ἀρειανοὶ ἀπολογοῦνται ὑπὲρ αὐτοῦ λέγοντες, ὅτι οἱ ἀρχαῖοι τῶν πατέρων οὐκ ἐφρόντιζον ἀκριβολογίας. μήπω γὰρ ἀναφανεισῶν τῶν αἱρέσεων, ἁπλούστερον ἐκέχρηντο ταῖς λέξεσιν. ὅτε δὲ ἀνεφάνησαν, τότε ἤρξατο ἕκαστος τῶν πατέρων ἑαυτὸν ἀσφαλίζεσθαι. ἡμεῖς δὲ λέγομεν, ὅτι οὐχ ὡς ἁπλούστερον κεχρημένος ταῖς λέξεσιν ὑπόβασιν ἐδόξαζεν, ἀλλὰ τῷ ὅτι ἰσχυρῶς ἀντελαμβάνετο τούτου τοῦ δόγματος. φαίνεται γὰρ ἐν ἐπιστολῇ αὐτοῦ περὶ τούτου ἀγωνιζόμενος γενναίως, καὶ λέγων, ὅτι ὁ υἱὸς ἢ μείζων ἐστὶ τοῦ πατρὸς, ἢ ἐλάττων, ἢ ἴσος. ἐὰν οὖν δείξω, ὅτι οὐδὲ μείζων ἐστὶν, οὐδὲ ἴσος· δῆλον ὅτι ἐλάττων ἐστί. εἰ καὶ ἐδόξαζεν ὑπόβασιν, ἀλλ' οὖν σπουδάζουσιν ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ. ὁ δὲ φανερῶς δοξάζει, καὶ ἀπολογίαν οὐκ ἔχει, τὸ δὲ περὶ τῆς προϋπάρξεώς ἐστι, καὶ ἀποκαταστάσεως.

A Agnoetæ vero confitentes omnia quæ Theodosiani, discrepant in hoc, quod Christi humanitatem ignorare Theodosiani negant; illis ignorare adfirmantibus. *De Agnoetis.* Aiunt enim per omnia Christum nobis adsimilari. Quod si nos ignoremus, & ipsum ignorasse. Quin & in Euangeliis ipsummet ita loqui, vt nemine dicat illum diem & horam nosse; ne filium quidem, extra solum patrem. Et rursus: Vbi Lazarum posuistis? Hæc enim omnia verba, inquiunt, ignorationem significant. Verum alij respondent, ea Christu consilio quodam sic pronũtiasse, vt ab se discipulos auerteret, qui horam consummationis auebant ex ipso
B cognoscere. Nempe, dicunt, à resurrectione rursus ab eis interrogatus, non ampliùs respondebat, Ne filius quidem: sed, nemo vestrûm. Nos autem dicimus non adeo de his subtiliter inquirendum, nec synodus ipsa curiosius de hoc dogmate sollicita fuit. Sciẽdum tamen, complures ex patribus, ac propemodum vniuersos videri dicere, quod ignoret. Nam quum per omnia nobiscum vnius esse substantiæ dicatur, & nos ignoremus: nimirum ignorabat & ipse. Quin & ipsa scriptura dicit eum profecisse tam statura quàm sapientia: discentem id scilicet quod ignorabat. Par est etiam de Origene, deque
C dogmatis ipsius vt aliquid dicamus. Origenes ergo, priscus homo, de illorum numero, qui ante Constantinum exstiterunt, & magnus habebatur, & sacris erat in litteris eruditus, & grammaticus. *De Origenis opinionibus.* Eius pater martyr factus est, & ipsemet quoque deductus, vt martyrium obiret. Verùm sacrificare coactus ex huiusmodi causa fuit. Dum martyrium obiret, quemdam ad eum producebant Æthiopem, ac, vel cum Æthiope fœda cõmitteret, vel diis sacrificaret, vrgebant. Origenes diis sacrificare maluit. acceptumque thus abiecit in sacrificium. sed eius eum facti magnope-
D re postea pœnituit, idque commissum deplorauit. Opiniones habebat huiusmodi: Gradum inferiorem filio tribuebat, sicut eum & Ariani postea defendunt, dicentes priscos illos patres non fuisse de subtilitatibus sollicitos. Quum enim sectæ nondum emersissent, simplicius eos vocabulis vsos: at posteaquam emerserint, cepisse quemque patrum sibi cauere. Nos autem dicimus, eum non, vt simpliciùs vocabulis vsum, filio gradum inferiorem tribuisse: sed istud dogma reapse totis viribus oppugnasse. Nam
E patet eum in epistola quadam sua de hoc alacriter certare, quum ait: Filius aut patre maior est, aut minor, aut æqualis. Si probauero, nec maiorem esse, nec parem: patebit esse minorem. Quamuis igitur inferiorem filio gradum tradit, tamen eum purgare nituntur. At vero manifeste hanc opinionem fouet, & excusationem nullam habet. Alterum est de præexistentia, deque restitutione in integrũ.

De præexistentia tradebat, ante sæcula mentes fuisse, ac puras quidem omnes, tum dæmonas, tum animas, tum angelos; ministeria diuina obeuntes, ac Dei mandatis obtemperantes. Diabolum vero, de his vnum, quod arbitrij libertate præditus esset, Deo voluisse resistere: ideóque reiectum à Deo: simul vniuersas alias copias cum eo defecisse. Qui grauiter deliquissent, dæmonas factos: qui minus, angelos: qui adhuc minus, archangelos: eodémque deinceps modo quemlibet pro delicto suo pœnas tulisse. Reliquas fuisse animas, quæ neque tam graui scelere semet obstrinxissent, vt dæmones euaderent: nec rursus adeo leui, vt angeli fierent. Itaque mundũ hunc condidisse Deum, & animam supplicij causa corpori alligasse. Nec enim, ait, personarum acceptator est Deus, qui hæc omnia, naturæ vnius existentia (sunt enim omnia ratione prædita, & immortalia) sic ab initio conderet; vt alios, dæmonas; alios, animas; alios, angelos faceret: sed manifestum potius est, Deum pro ratione delicti quemque sic puniuisse, vt alium faceret dæmonem; alium animam; alium, angelum. Absque quo esset, ac nisi præexisterent animæ, quî fieri possit vt alios recens in lucem editos, nullo admisso crimine, cæcos; alios contra, sine vitio nasci, deprehendamus? Nimirum patet, inquit, exstitisse prius in ipsis animis delicta quædam, quorum causa quelibet ex merito pœnam refert. De restitutione vero in integrum, hæc eius opinio: futuram mortuorum resurrectionem, atque supplicium; sed minimè finis expers. Nam dum corpus, ait, punitur; anima paulatim purgatur, atque hoc modo pristinum in locum restituitur. Quin & dæmonas & angelos in integrum restitui tradit. Sed enim hæc omnia nos, ac primum illud de præexistentia refutemus. Nam quia fretus ea ratione, quod personas Deus non acceptet; colligit, cum rationis participes animas & immortales quales & angeli sunt, alligasse corporibus; angelos autẽ in cœlo reliquisse, vti cum ipso conuersarentur: sciendum voces istas, Rationis particeps, & immortale, æquiuocas esse. Nam aliter angeli rationis participes & immortales sunt, aliter nos, minùs scilicet quam illi: quippe Deũ ipsum quoque rationis participem & immortalem dicimus, nec tamen eum esse naturæ nostræ statuimus. Ad hoc vero quod ait, quonam pacto cæci quidam nascantur, aliis vitij nihil habentibus: respondemus, esse illa Dei iudicia quæ inquirenda nõ sint. Nos enim ei vicissim obiicimus, quinam fiat, vt cum equi naturæ sint vnius; alij tamen in pistrinis laborent, alij magnos apud homines in deliciis viuant? atqui nullas borũ animas Origenici prius existere confitentur. Platonici tamen, hac obiectione pressi, brutorũ animas quoque priùs existere dicebant.

III. Origenis delirium.

Refutationes.

καὶ πῶς περὶ τῆς προϋπάρξεως ἐδόξαζεν οὕτως, ὅτι πρὸ τῶν αἰώνων νόες ἦσαν πάντες καθαροί, καὶ δαίμονες, καὶ αἱ ψυχαί, καὶ οἱ ἄγγελοι, λειτουργοῦντες τῷ Θεῷ, καὶ τὰς ἐντολὰς αὐτοῦ ποιοῦντες. ὁ δὲ διάβολος εἷς ὤν, ἐπειδὴ τὸ αὐτεξούσιον εἶχεν, ἠβουλήθη ἀντιστῆναι τῷ Θεῷ, καὶ ἀπώσατο αὐτὸν ὁ Θεός. συναπέστησαν δὲ αὐτῷ πᾶσαι αἱ ἄλλαι δυνάμεις. καὶ οἱ μὲν πάνυ ἁμαρτήσαντες, δαίμονες ἐγένοντο· οἱ δὲ ἐπ' ἔλαττον, ἄγγελοι· οἱ δὲ ἔτι ἔλαττον, ἀρχάγγελοι· καὶ οὕτως ἐφεξῆς ἕκαστος πρὸς τὴν οἰκείαν ἁμαρτίαν ἀπέλαβεν. ὑπελείποντο δὲ αἱ ψυχαί, αἵτινες οὐδὲ τοσοῦτον ἥμαρτον, ἵνα δαίμονες γένωνται· οὐδὲ πάλιν οὕτω κουφοτέρως, ἵνα ἄγγελοι γένωνται. ἐποίησεν οὖν τὸν παρόντα κόσμον, καὶ τὴν ψυχὴν συνέδησε τῷ σώματι πρὸς κόλασιν. οὐδὲ γάρ, φησι, προσωπολήπτης ὁ Θεός, ἵνα πάντα ταῦτα μιᾶς φύσεως ὄντα, (πάντα γὰρ λογικά εἰσι καὶ ἀθάνατα) τοὺς μὲν ποιήσῃ δαίμονας, τοὺς δὲ ψυχάς, τοὺς δὲ ἀγγέλους· ἀλλὰ δῆλον, ὅτι ἕκαστον πρὸς ὃ ἥμαρτε τιμωρούμενος, τὸν μὲν ἐποίησε δαίμονα, τὸν δὲ ψυχήν· τὸν δέ, ἄγγελον. εἰ μὴ γὰρ ἦν τοῦτο, καὶ προϋπῆρχον αἱ ψυχαί, διὰ τί τινὰς μὲν τῶν νεωστὶ τεχθέντων εὑρίσκομεν τυφλούς, μηδὲν ἁμαρτήσαντας· ἄλλους δὲ μηδὲν ἔχοντας κακόν, τικτομένους; ἀλλὰ δῆλον ὅτι προϋπῆρχόν τινες ἁμαρτίαι ταῖς ψυχαῖς, ἀφ' ὧν ἑκάστη πρὸς τὴν ἀξίαν ἀπολαμβάνει. περὶ δὲ τῆς ἀποκαταστάσεως, οὕτω δοξάζει, ὅτι γίνεται νεκρῶν ἀνάστασις, καὶ γίνεται κόλασις, ἀλλ' οὐκ ἀπέραντος. κολαζομένου γὰρ τοῦ σώματος κατὰ μικρὸν καθαίρεται ἡ ψυχή, καὶ οὕτως ἀποκαθίσταται εἰς τὴν ἀρχαίαν τάξιν. καὶ τοὺς δαίμονας δέ, καὶ ἀγγέλους λέγει ἀποκαθίστασθαι. ἀνατρέπωμεν δὲ ταῦτα πάντα, καὶ πρῶτον τὸ τῆς προϋπάρξεως. ἐπεὶ γὰρ ἐκ τοῦ λέγειν, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, συνάγει τὰς ψυχὰς λογικὰς οὔσας καὶ ἀθανάτους, ὥσπερ καὶ οἱ ἄγγελοι, τὰς μὲν συνδῆσαι, Θεόν, τῷ σώματι, τοὺς δὲ ἐᾶσαι ἐν οὐρανῷ, αὐτῷ συμπολιτεύεσθαι· ἰστέον, ὅτι τὸ τοῦ λογικοῦ καὶ ἀθανάτου, ὁμώνυμόν ἐστιν. ἄλλο γάρ ἐστι τὸ λογικὸν καὶ ἀθάνατον τῶν ἀγγέλων, καὶ ὑπερβαῖνον τὴν ἀνθρωπίνην φύσιν, καὶ ἄλλο τὸ ἡμέτερον. ἐπεὶ καὶ τὸν Θεὸν λογικὸν καὶ ἀθάνατον λέγομεν· καίτοι οὐ λέγομεν αὐτὸν εἶναι τῆς ἡμετέρας φύσεως. πρὸς δὲ τὸ λέγειν, ὅτι καὶ πῶς οἱ μὲν τίκτονται τυφλοί, οἱ δὲ μηδὲν κακὸν ἔχοντες· λέγομεν, ὅτι ταῦτα κρίματά εἰσι Κυρίου, καὶ δεῖ ἡμᾶς ταῦτα μὴ ζητεῖν. ἐπεὶ ἀνταποδώσομεν αὐτοῖς διὰ τί οἱ ἵπποι μιᾶς ὄντες φύσεως, οἱ μὲν μοχθοῦσιν ἐν ἀρτοκοπείοις, οἱ δὲ ἐν τρυφῇ ζῶσι παρὰ μεγάλοις ἀνθρώποις; καίτοι τὰς ψυχὰς τούτων οὐχ ὁμολογοῦσι προϋπάρχειν. οἱ δὲ Πλατωνικοὶ ἐκ ταύτης συνωθούμενοι τῆς ἀπορίας, καὶ τῶν ἀλόγων εἶπον προϋπάρχειν τὰς ψυχάς.

περὶ δὲ τοῦ λέγειν αὐτούς, μὴ εἶναι ἀπέραντον τὴν κόλασιν. (λέγουσι γὰρ, ὅτι τὸ τοῦ αἰῶνος ὄνομα ἐπὶ ὡρισμένου χρόνου λαμβάνεται, καὶ ὅταν εἴπῃ ἡ γραφὴ, ὅτι αἰώνιά ἐστιν ἡ κόλασις, οὐ λέγει, εἰ μὴ ἐπὶ ὡρισμένου χρόνου) ἰστέον, ὅτι τῷ ὄντι τὸ τοῦ αἰῶνος ὄνομα καὶ παρὰ τοῖς ἔξω, καὶ παρὰ τῇ γραφῇ πολλάκις ἐπὶ ὡρισμένου χρόνου λαμβάνεται· πλὴν ἐπὶ τῆς κολάσεως, οὕτως οὐ δυνατὸν ληφθῆναι. αὐτὸς γὰρ ὁ Χριστὸς εἶπεν, ὅτι ἀπελεύσονται, οἱ μὲν, εἰς ζωὴν αἰώνιον. οἱ δὲ, εἰς κόλασιν αἰώνιον· καὶ ἢ τὸ τῆς ζωῆς ὡρισμένην λαμβάνομεν, ὅπερ ἄτοπον· ἢ ἀμφότερα ἐπὶ τοῦ ἀπεράντου. Ταῦτα πρὸς ἀπόδειξιν τῶν ὀρθοδόξων δογμάτων, καὶ ἔλεγχον τῶν κακοδόξων αἱρέσεων, ὁ τῶν ἀγαθῶν χορηγὸς ἐν ἀνοίξει τοῦ στόματος ἡμῖν ἐχορήγησε Χριστὸς ὁ Θεός· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

A Quod autem inquiunt, non esse supplicium finis expers; (tradunt enim, nomen æui de tempore definito accipi: & quoties scriptura dicat, supplicium illud ad æuum durare, non nisi de tempore definito eam loqui) sciendum, verè quidem id dici, quòd æui nomen tam apud extraneos scriptores quàm sacris in litteris sæpe de tempore definito accipiatur: sed de supplicio non sic intelligi posse. Nam Christus ipse dixit, alios quidem abituros in vitam ad æuum duraturam, alios ad supplicium in æuum duraturum. Aut igitur spatium vitæ definitum accipimus, quod
B absurdum fuerit: aut vtraque de tempore finis experte. Et hæc quidem ad demonstrationem dogmatum veris sententiis innixorum, atque sectarum prauas opiniones amplectentium refutationem, in ipsa oris apertione Christus Deus, largitor ille bonorum, nobis suppeditauit: cui gloria, & imperium, cum patre ac spiritu sancto, nunc & in æuum. Amen.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΑΡΜΕΝΟΠΟΥΛΟΥ, Σεβαστοῦ, καὶ Νομοφύλακος, καὶ κριτοῦ Θεσσαλονίκης, περὶ ὧν οἱ κατὰ καιροὺς αἱρετικοὶ ἐδόξασαν.

α. Οἱ περὶ τὸν Ἄρειον, κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ λέγοντες, τὸ, ἔμπροσθέν μου γέγονεν, ὅπερ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐκ προσώπου λέγει τοῦ προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἀντὶ τοῦ, πρὸ ἐμοῦ ἐκτίσθη, παρεξηγοῦνται. ἐλέγχονται δὲ κακῶς φρονεῖν, ἐκ τοῦ μετ' αὐτό· διότι πρῶτός μου ἦν. τοὐναντίον γὰρ πάντως εἰπεῖν ὤφειλεν, ὅτι πρῶτός μου ἐστὶ, διότι πρῶτός μου γέγονεν. ἀλλ' ἡμεῖς τὸ, ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ, ἐνδοξότερος καὶ προτιμότερός μου γέγονεν, ὀρθῶς φρονοῦντες νοοῦμεν. ἐλέγχονται δὲ καὶ ἐξ ἄλλων πολλῶν, καὶ ἐκ τοῦ εἰπεῖν τὸν αὐτὸν Ἰωάννην· ἐν ἀρχῇ ἦν ὁ λόγος, (ὅπερ ἐστὶν, ἐξ ἀρχῆς) καὶ Θεὸς ἦν ὁ λόγος. οἱ αὐτοὶ καὶ τὸ, πάντα δι' αὐτοῦ ἐγένετο, ὡς δι' ὀργάνου τινὸς ἐνόησαν· πρίονος τυχὸν, ἢ ἑτέρου τοιούτου. ἀλλ' ἡμεῖς, ὡς δι' υἱοῦ φαμὲν τὸν βασιλέα τήνδε τυχὸν κτίσαι πόλιν, οὕτω καὶ τοῦτο νοοῦμεν. οἱ αὐτοὶ καὶ μονογενῆ τὸν υἱὸν τοῦ Θεοῦ λέγουσιν, ὡς μόνον γενόμενον ὑπ' αὐτοῦ· ὡς τῶν ἄλλων ὑπ' αὐτοῦ τάχα τοῦ Χριστοῦ γενομένων. ἡμεῖς δὲ μονογενῆ τοῦτον φαμὲν, ὡς μόνον ἀρρήτως ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων ἁπάντων γεγεννημένον. καὶ ἄλλα πολλὰ τοιαῦτα παρεξηγοῦνται. τὴν οἰκείαν αἵρεσιν συνιστῶντες.

C
CONSTANTINI HARMENOPULI, * Sebasti, Nomophylacis, & iudicis Thessalonicensis, de opinionibus hæreticorum qui singulis temporibus exstiterunt.

** Nomen dignitatis excogitatum ab Alexio Comneno imp.*

1 ARIANI, filium Dei creaturam esse dicentes, verbũ istud: Ante me factus est, quod Euãgelista Ioãnes in persona præcursoris & Baptistæ Ioãnis pro-
D tulit; male pro eo, ac si diceretur, Ante me creatus est, interpretantur. Sed malè sentire conuincuntur, ex illo sequente verbo: Quoniam me prior erat. Omnino enim contrarium dicere debebat, hoc quodam modo: Me prior est, quoniam prior me factus est. Nos autem illud, Ante me factus est, pro eo, ac si diceretur, Gloriosior & honoratior me factus est, rectè sentientes accipimus. Refutantur etiam, cùm à pluribus aliis, tum quod idem Ioannes dixerit: In principio (id est, à principio) erat sermo, & sermo erat Deus. Iidem & illud, Omnia per ipsum facta sunt,
E quasi per instrumentum quoddam perintelligebant; puta serram, aliudve tale. Nos autem hoc ita dictum accipimus, vt loqui solemus; Regem per filium ciuitatem aliquam condidisse. iidem & vnigenitum filium Dei dicunt, quasi qui solus ab eo factus sit: ceteris ab ipso fortè Christo factis. At nos vnigenam hunc dicimus, veluti qui solus ex ipso ante omnia sæcula genitus sit. Etiam huius generis alia plura interpretando deprauant, sectæ suæ fidem adstruentes.

Ariani qui filium creaturam patris assenerabant, suamque hæresim deprauata scriptura comprobabant.

Macedoniani Spiritum sanctum creaturam & seruũ dicebant.

2 Macedoniani spiritum sanctum esse seruum & creaturam adserentes, in dicto Ioannis, Sine ipso factum est nihil, puncto post hæc verba collocato, versum alium sic inchoant: Quod factum est, in eo vita erat. atque hoc de spiritu sancto intelligunt. Nos verò locum illum ita legentes, vt ab initio series ipsa declarat, totum de filio dictum intelligimus.

Sabelliani.

3 Sabelliani patrem, filium, & spiritum sanctum, tres illas hypostases, atque tres personas beatæ diuinitatis vnam hypostasin & vnam personam esse tradebant: quæ nonnunquam patris, nonnunquam filij, nonnunquam spiritus speciem præ se ferret. Sed arguuntur ex eo quod Ioannes dixit: Et sermo erat apud Deum, hoc est cum Deo; vnde colliguntur esse personæ duæ: déque pluribus aliis dictis Euangelicis.

Apollinaristæ.

4 Apollinaris Laodicensis sectatores aiunt, adsumpsisse Dominum carnem mentis expertem, & inanimam: vt cui diuinitas mentis & animæ loco sufficeret: prauè scilicet enarrantes illud, Et sermo caro factus est. Non enim norant, diuinas litteras carnem adpellare hominem; vt in illo quoque dicto, Adspiciet vniuersa caro salutare Dei. Quærebant iidem sibi patrocinium ex verbis illis, Soluite templum hoc, & ita ratiocinabantur: Si caro Domini templum dicitur, & si templum res est inanima; nimirum & ipsa est inanima. Dicunt iidem, Dominum qui carnem hanc haberet è cœlo, tamquam per canalem; transisse per virginem; idque de verbis illis colligunt: Nemo adscendit in cœlum, nisi qui de cœlo est, filius ille Dei, qui est in cœlo. Sed ignorabant, id propterea sic prolatum, quod duabus in naturis vnam Christus haberet hypostasin.

Eutychei.

5 Eutychis atque Dioscori sectatores, filium Dei dicebant specie tenus hominem esse factum, quum vnam naturam habeat: haud scio, quonam modo dictum illud Ioannis intelligentes; Et sermo caro factus est. Addebant huius generis & alia plura.

Paulliani.

6 Pauli Samosateni discipuli, Christum dicebant esse purum ac solum hominem; diuinæ gratiæ, sicut & Prophetas, participem factum. Coarguuntur autem ex Ioannis Baptistæ verbis, Me prior erat; quatenus scilicet existebat ante sæcula: quum ratione carnis Baptista Christo prior esset. Iidem & illud, Potestatem ei concessit etiam exercendi iudicij, quòd filius sit hominis, id ne miremini: hoc igitur ita legunt, Et potestatem ei concessit etiam exercendi iudicij, quòd filius sit hominis. Hîc integra distinctione posita, versum alium inchoantes, rursum legunt: Id ne miremini.

β. Οἱ περὶ τὸν Μακεδόνιον, δοῦλον καὶ κτίσμα τὸ πανάγιον λέγοντες πνεῦμα, καὶ τὸ παρὰ τῷ Ἰωάννῃ ῥητόν, τὸ φάσκον, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἐνταῦθα στίξαντες, ἀπ᾽ ἄλλης ἀρχῆς λέγουσιν, ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν, περὶ τοῦ ἁγίου πνεύματος τοῦτο νοοῦντες· ἡμεῖς δὲ ἀναγινώσκοντες, ὡς ἐν ἀρχῇ προτέτακται, περὶ τοῦ υἱοῦ τὸ ὅλον εἰρῆσθαι νοοῦμεν.

γ. Οἱ περὶ τὸν Σαβέλλιον, τὸν πατέρα, τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα, τὰς τρεῖς ὑποστάσεις καὶ τρία πρόσωπα τῆς μακαρίας θεότητος, μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον ἐδογμάτιζον· ποτὲ μὲν ὡς πατέρα, ποτὲ δὲ ὡς υἱόν, ἔστι δ᾽ ὅτε καὶ ὡς πνεῦμα φαινόμενον. ἐλέγχονται δέ, ἐκ τοῦ εἰπεῖν τὸν Ἰωάννην· καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, ἀντὶ τοῦ, μετὰ Θεοῦ. δύο προσώπων ἐντεῦθεν εἰσαγομένων· καὶ ἐξ ἄλλων πολλῶν εὐαγγελικῶν ῥήσεων.

δ. Οἱ περὶ τὸν Ἀπολινάριον τὸν Λαοδικέα, ἄνουν σάρκα καὶ ἄψυχον προσειληφέναι τὸν Κύριον λέγουσιν. ὡς αὐτῇ νοὸς καὶ ψυχῆς, ἀρκούσης αὐτῷ τῆς θεότητος· παρεξηγούμενοι τό, καὶ ὁ λόγος σὰρξ ἐγένετο. μὴ εἰδότες, ὡς ἡ θεία γραφὴ σάρκα τὸν ἄνθρωπον ὀνομάζει· ὡς ἔχει καὶ τό, ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. οἱ αὐτοὶ καὶ ἐκ τοῦ, λύσατε τὸν ναὸν τοῦτον, συνηγορίαν ἑαυτοῖς πεποιήκασιν, οὕτω λέγοντες· Εἰ ναὸς ἡ σὰρξ τοῦ Κυρίου λέγεται, ἄψυχος δὲ ναός· ἄψυχος ἄρα καὶ αὐτή. οἱ αὐτοὶ καὶ τὴν σάρκα ταύτην ἐκ τοῦ οὐρανοῦ λέγουσι τὸν Κύριον ἔχοντα, ὡς διὰ σωλῆνος, οὕτως ἐλθεῖν διὰ τῆς παρθένου· ἐκ τοῦ, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ὢν ἐν τῷ οὐρανῷ. τοῦτο δῆθεν πιστούμενοι μὴ εἰδότες, ὡς διὰ τὸ ἐν δυσὶ φύσεσι μίαν ὑπόστασιν τὸν Χριστὸν ἔχειν, οὕτως εἴρηται τοῦτο.

ε. Οἱ περὶ τὸν Εὐτυχῆ καὶ Διόσκορον, κατὰ φαντασίαν ἔλεγον τὸν υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γεγονέναι, μίαν ἔχοντα φύσιν· οὐκ οἶδα ὅπως νοοῦντες τὸ παρὰ Ἰωάννῃ. καὶ ὁ λόγος σὰρξ ἐγένετο· καὶ ἄλλα τοιαῦτα πολλά.

ϛ. Οἱ περὶ Παῦλον τὸν Σαμοσατέα, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἔλεγον· θείας χάριτος, καθάπερ οἱ προφῆται, κατηξιωμένον. ἐλέγχονται δὲ ἐκ τοῦ τὸν Βαπτιστὴν Ἰωάννην εἰπεῖν, ὅτι πρῶτός μου ἦν, κατὰ τὴν προαιώνιον ὕπαρξιν δηλαδή. ἐπειδὴ γὰρ ὁ Βαπτιστὴς κατὰ σάρκα πρότερος ἦν τοῦ Χριστοῦ. οἱ αὐτοὶ καὶ τό, ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί, μὴ θαυμάζετε τοῦτο· οὕτως ἀναγινώσκουσι· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. ἐνταῦθα στίξαντες, ἀπ᾽ ἄλλης ἀρχῆς αὖθις ἀναγινώσκουσι· μὴ θαυμάζετε τοῦτο.

ζ. Οἱ περὶ τὸν Νεστόριον, τὸν Χριστὸν ἔλεγον συνημμένον ἀδιασπάστως ἑαυτῷ τὸν τοῦ Θεοῦ λόγον δι' ἀρετὴν ἔχειν· ὡς δύο υἱοὺς ἐν αὐτῷ θεωρεῖσθαι, ἕνα τὸν τοῦ Θεοῦ, καὶ ἕνα τὸν τῆς παρθένου. καὶ διὰ τοῦτο καὶ χριστοτόκον, ἀλλ' οὐ θεοτόκον τὴν ὄντως ἔλεγε θεοτόκον. ἐλέγχονται δὲ καὶ αὐτοὶ ἐξ ἄλλων τε πολλῶν, καὶ ἐκ τοῦ, ὁ λόγος σὰρξ ἐγένετο. A

η. Οἱ περὶ Σέργιον καὶ Πύρρον, μίαν θέλησιν, καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ ἔλεγον, τοῦ ἐκ δύο φύσεων πεφυκότος.

θ. Οἱ περὶ Ὠριγένην προϋπάρξιν τῶν ψυχῶν κατὰ τοὺς Ἕλληνας ἐδογμάτιζον, καὶ τέλος τῆς ἀπελευτήτου κολάσεως ἐψηφίζοντο, καὶ τὰς ψυχὰς γυμνὰς τῶν σωμάτων ἀνίστασθαι. B

ι. Οἱ περὶ Πέτρον τὸν Κναφέα, τῷ τρισαγίῳ προστεθεικέναι τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς· παθητὴν τὴν ἀπαθῆ ποιοῦντες θεότητα.

ια. Οἱ περὶ Μαρκίωνα καὶ Μάνεντα τὴν παλαιᾶς πονηροῦ δημιουργοῦ λέγουσιν εἶναι νομοθεσίαν. οἱ αὐτοὶ καὶ ἐπειδάν τις ἀβάπτιστος παρ' αὐτοῖς ἀποθάνῃ, ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύψαντές τινα ζῶντα, προσίασι τῇ κλίνῃ, καὶ ἐρωτῶσι τὸν νεκρὸν εἰ βούλοιτο βαπτισθῆναι. καὶ ἀποκρίνεται κάτωθεν ὁ κεκρυμμένος, ναί. καὶ οὕτως αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος βαπτίζουσι. καὶ ἐρωτώμενοι, λέγουσι τὸν ἀπόστολον τοῦτο διδάξαι ἐν τῷ λέγειν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; ἀγνοοῦντες, ὡς διὰ τὸ ἐπὶ ὁμολογίᾳ τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ ἐπ' ἐλπίδι * ταύτῃ τοὺς βαπτιζομένους βαπτίζεσθαι, τοῦτο οὕτως εἴρηται. οὗτοι οἱ Μανιχαῖοι λέγουσι τὸν Χριστὸν ἀποθέμενον ἐν τῇ γῇ τὸ σῶμα, ψιλὸν Θεὸν εἰς οὐρανὸν ἀνελθεῖν. οἱ αὐτοὶ καὶ τὸν κόσμον πονηρὸν, καὶ τὴν σάρκα διαβάλλουσι, τῆς τοῦ Θεοῦ ταύτην δημιουργίας ἀλλοτριοῦντες. οὗτοι καὶ δύο ἀρχὰς δογματίζουσι, πονηράν τε καὶ ἀγαθὴν, ἤτοι Θεόν τε καὶ ὕλην. τὴν παλαιὰν βλασφημοῦσι διαθήκην. Σελήνην καὶ ἀστέρας προσκυνεῖσθαι, οἷα Θεοὺς, ἐπιτρέπουσι. σαρκὸς ἀνάστασιν ἀρνοῦνται. μετεμψύχωσιν διδάσκουσι. βοτάνας, καὶ δένδρα, καὶ ὕδωρ ἔμψυχα εἶναι φάσκουσι. Μανιχαῖοι δὲ λέγονται, ὡς πρεσβεύοντες τὰ τοῦ Μάνεντος, ὃς παράκλητον ἑαυτὸν ἐκάλει, καὶ τὸν Χριστὸν δοκήσει καὶ φαντασίᾳ εἰσηγεῖτο πεφηνέναι. C D E

ιβ. Οἱ περὶ τὸν Μάρκελλον, καὶ Φωτεινὸν, καὶ Σωφρόνιον, τὴν ἁγίαν τριάδα μὴ ὁμολογοῦντες, ἀλλὰ πνεῦμα μόνον τὸν Θεὸν ὀνομάζοντες, τὸν τούτου λόγον ἐνέργειαν ἔλεγον εἶναι τῷ ἐκ σπέρματος Δαβὶδ ἐνοικήσασαν, οὐκ οὐσίαν * ἐνυπόστατον· κακῶς φρονοῦντες. ὁ γὰρ τοῦ Θεοῦ λόγος οὔτε προφορικός ἐστιν, οὔτε ἐνδιάθετος (οὗτοι γὰρ τῶν καθ' ἡμᾶς, καὶ φυσικῶν)

7 Nestoriani dicebant, Christum habere propter virtutem inseparabiliter sibi coniunctum Dei sermonem: ita quidem, vt in eo filij duo considerentur; vnus Dei, virginis alter. Eáque de causa Christiperam, non Deiperam vocabat eam, quæ reapse Deipera est. Verùm & hi cùm de pluribus aliis dictis coarguuntur, tum de illo, Sermo caro factus est. *Nestoriani.*

8 Sergij Pyrrhique complices, vnam voluntatem, & vnam actionem in Christo, qui duabus ex naturis esset, tradebant. *Sergiani.*

9 Origeniani more paganorum existere animas ante corpora docebant, & finem supplicij numquam finiendi statuebant, & animas à corporibus nudas resurgere. *Origeniani.*

10 Petri cognomento Fullonis adseclæ, hymno quem Trishagium vocant, (quod sancti vox ter in eo repetatur) adiecerunt hæc verba; Qui crucifixus es propter nos: passibilem scilicet diuinitatem facientes, quæ passionis omnis expers est. *Fulloniani.*

11 Marcionitæ ac Manichæi legislationem testamenti veteris mali rerum opificis esse dicunt. Iidem quoties apud ipsos baptizatus aliquis moritur, sub lectulo defuncti viuo quodam occultato, lectulum adeunt, ac mortuum interrogāt, an baptizari velit. Respondet occultatus, ab imo, velle, atque ita loco defuncti eum baptizant. Caussam rogati, dicunt hoc Apostolum docuisse, quum ait: Si prorsus mortui non resuscitantur, cur etiā baptizantur pro mortuis? Sed ignorant, id hoc modo prolatum, propterea, quod quicumque baptizantur, in confessione resurrectionis mortuorum, eiusque spe baptizentur. Hi Manichæi Christum dicunt deposito in terra corpore, purum solúmque Deum in cœlum adscendisse. Iidem & mundum, vt malum, & carnem criminantur, ac Dei ab opificio excludunt. Tradunt & duo principia, malum & bonum, siue Deum & materiem. De testamento veteri sacrilegè loquuntur. Lunam & sidera, ceu Deos, adorari iubent. Carnis resurrectionem negant. Animarum de corporibus in corpora migrationem docent. Herbas, & arbores, & aquam, esse res animatas aiunt. Manichæi verò dicuntur, quod dogmata Manis in pretio habeant; qui se Paracletum adpellabat, & Christum specie tenus conspectum adparuisse docebat. *Marcionitæ & Manichæi.* *1. Cor. 15.* *Locus Pauli explicatus.* * ταύτῃ

12 Marcelli, Photini, & Sophronij sectatores, non confitentes sanctam Trinitatem, sed spiritum solum Deum adpellantes, eius sermonem esse dicebant efficacitatem, quæ in prognato de semine Dauidis habitasset; non substantiam, quæ suam habeat hypostasin: malè quidem sentientes. Nam Dei sermo nec is est qui profertur; nec ei similis qui mente concipitur; (hi namque sermones, humani sūt, & naturales) * ἐνυπόστατον

sed quum vltra naturam sit positus, tertenis argutiis minimè subiicitur.

Eunomiani. 13 Eunomiani eadem quæ Arius & Macedonius, sentiebant: & eos, qui se partibus ipsorum adiungebant, demissos in caput, vna mersione baptizabant. Minas quoque futuri supplicij, & gehennæ, non ad veritatem, sed ad metum prolatas aiebant. Vocantur iidem & Anomæi, (dissimiles) quod filium & spiritum ratione substantiæ nullam cum patre similitudinem habere dicerent.

Nauatiani. 14 Nauatiani, cetera pij, nuptias secundas abominabantur: & lapsos, posteaquam resipuissent, non admittebant.

Sabbatiani. 14 Sabbatiani cum Nauatianis eadem sentientes, Iudæorum morem in celebrandis festis obseruabant. Vocantur & Sinistri, quòd manum læuam abominentur, nec ea sumere quidquam audeant. Iidem & Quartodecumani dicuntur, quod non Dominico die, sicut nos; sed lunæ decimotertio, cum Iudæis Pascha celebrent. Appellantur iidem & Quartani, propterea quòd Pascha celebrantes, non ad alios diuertere, sed ieiunare malunt: quo pacto nos quarto quoque die facere solemus: in hoc quoque Iudæosimitantes, qui vnà cum Pascha, panes non fermentatos, & lactucas siluestres comedunt.

Montani. 16 Montani sectatores, eius qui se paracletum adpellat, & mulierculas duas se comitantes habebat, Priscillam ac Maximillam, quas etiam vates nuncupabat; quique Pepuzam, Phrygiæ vicum, augustiorem reddens, Hierusalem nominabat: hi ergo sanctam Trinitatem in vnam personam contrahentes, etiam Pascha peruertebant; sanguinémque pueri confossi cum farina commiscentes, panem inde confectum inuicem sibi offerebant, eóque vescebantur. Matrimonium quoque prohibebant, & abstinendum certis à cibis docebant.

Donatistæ. 17 Donatistæ quoddam os manu tenentes, idipsum prius exosculabantur; atque ita sacramenta percipiebant.

Masaliani. 18 Masaliani Manichæorum erroribus infecti, quædam insuper alia magis impura excogitarunt. Quippe mentem hominum à dæmonibus occupatam dicunt: naturam humanam in dæmonum esse consortio: nec baptismum, nec perceptionem sacramentorum hominem purificare: sed solam ipsis familiarem precationem. Mala in nobis naturâ existere. Sic animam sponsi communionem sentire, quemadmodum viri coitum mulier sentiat. Crucem abominantur. Deiperam nullo dignantur honore, neque præcursorem ac Baptistam Ioannem, neque sanctos, martyribus exceptis. Qui volunt, castrantur. Matrimonia soluunt. Impune iurant, ac peierant.

A ἀλλ᾽ ὑπὲρ φύσιν ὤν, οὐχ ὑποβάλλεται τοῖς κατατεχνολογήμασιν.

ιγ. Οἱ περὶ τὸν Εὐνόμιον, ταὐτὰ τῷ Αρείῳ καὶ Μακεδονίῳ φρονοῦντες, καὶ τοὺς αὐτοῖς προσερχομένους κατὰ κεφαλῆς ἐβάπτιζον εἰς μίαν κατάδυσιν. καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, οὐ κατ᾽ ἀλήθειαν, ἀλλὰ διὰ φόβον ἔλεγον ἀπειληθῆναι. οἱ αὐτοὶ καὶ Ἀνόμοιοι καλοῦνται, διὰ τὸ λέγειν, μηδεμίαν ἔχειν ὁμοιότητα κατ᾽ οὐσίαν τὸν υἱὸν καὶ τὸ πνεῦμα πρὸς τὸν πατέρα.

ιδ. Οἱ ἐπὶ τὸν Ναύατον, τἄλλα δ᾽ εὐσεβοῦντες, τὴν

B διγαμίαν ἐβδελύσσοντο, καὶ τοὺς παραπεσόντας, μετανοήσαντας οὐκ ἐδέχοντο.

ιε. Οἱ περὶ τὸν Σαββάτιον, ταὐτὰ φρονοῦντες τοῖς Ναυατιανοῖς, καὶ τοῖς Ἰουδαίοις ἤσαν συνεορτάζοντες. οἱ αὐτοὶ καὶ Ἀριστεροὶ καλοῦνται, ὅτι τὴν ἀριστερὰν εἰσβδελυσσόμενοι χεῖρα, δι᾽ αὐτῆς προσίεσθαι τὸ οἱονοῦν μὴ τολμῶντες. οἱ αὐτοὶ καὶ τεσσαρεσκαιδεκατῖται, ὅτι μὴ κατὰ τὴν Κυριακήν, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τῆς Σελήνης τὸ Πάσχα μετὰ Ἰουδαίων τελοῦσιν. οἱ αὐτοὶ καὶ Τετραδῖται, ὅτι τὸ Πάσχα ἑορτάζοντες, οὐ καταλύειν, ἀλλὰ νηστεύειν αἱροῦνται, ὡς

C ἐν ταῖς τετράσιν ἡμεῖς, Ἰουδαίους κἀν τούτῳ μιμούμενοι, τοὺς μετὰ τὸ Πάσχα, ἄζυμα καὶ πικρίδας ἐσθίοντας.

ις. Οἱ περὶ τὸν Μοντανόν, ὃς ἑαυτὸν παράκλητον προσηγόρευε, καὶ γύναιά τε εἶχε δύο περιεπομένας αὐτῷ, Πρίσκιλλαν καὶ Μαξιμίλλαν, ἃς καὶ προφήτιδας ἐκάλει, καὶ Πέπουζαν τινὰ κώμην Φρυγίας ἐκθειάζων Ἱερουσαλὴμ ὠνόμαζεν. οὗτοι οὖν εἰς ἓν πρόσωπον τὴν ἁγίαν συναιροῦντες τριάδα, καὶ τὸ Πάσχα διέστρεφον. καὶ αἷμα παιδὸς κατακεντουμένου ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες προσέφερον, καὶ μετε-

D λάμβανον ἐξ αὐτοῦ· καὶ τὸν γάμον ἐκώλυον, καὶ βρωμάτων ἐδίδασκον ἀπέχειν.

ιζ. Οἱ περὶ τὸν Δονάτον, ὀστοῦν τῇ χειρὶ κατέχοντες, ἐκεῖνο πρότερον ἠσπάζοντο, καὶ οὕτω μετελάμβανον τῶν ἁγιασμάτων.

ιη. Οἱ Μασαλιανοὶ, τὰ τῶν Μανιχαίων νοσοῦντες προσεξεῦρον καὶ ἄλλ᾽ ἄττα μιαρώτερα. τὸν γὰρ νοῦν τῶν ἀνθρώπων ὑπὸ τῶν δαιμόνων κατέχεσθαι λέγουσι· τὴν ἀνθρωπίνην φύσιν, τῶν δαιμό-

E νων εἶναι κοινωνικήν· τὸ βάπτισμα, μὴ τελειοῦν τὸν ἄνθρωπον, μηδὲ τὴν μετάληψιν· ἀλλὰ μόνην τὴν παρ᾽ αὐτοῖς εὐχήν. φύσει εἶναι τὰ κακὰ ἐν ἡμῖν. τῆς κοινωνίας τοῦ νυμφίου αἰσθάνεσθαι τὴν ψυχήν, ὡς ἡ γυνὴ αἰσθάνεται τῆς τοῦ ἀνδρὸς συνουσίας. τὸν σταυρὸν βδελύσσονται. τὴν θεοτόκον οὐ τιμῶσιν, οὐδὲ τὸν πρόδρομον καὶ Βαπτιστὴν Ἰωάννην, οὐδὲ τοὺς ὁσίους, εἰ μὴ μόνον τοὺς Μάρτυρας. οἱ βουλόμενοι, ἀποτέμνονται. λύουσι τοὺς γάμους, ὀμνύουσιν ἀδεῶς, ἐπιορκοῦσιν.

ἀναθεματίζουσι τὴν αἵρεσιν αὐτῶν. ταύτης τῆς λύμης ὑποπλησθεὶς καὶ Ἐλευθέριος ὁ Παφλαγών, προσεξεῦρε καὶ αὐτὸς ἄξια ἑαυτοῦ· τὸν μοναχὸν δυσὶ συνευνάζεσθαι γυναιξὶ καὶ χρόνον ἕνα ἐγκρατευσάμενον, τοῦ λοιποῦ καὶ ταῖς συγγενέσιν ἀδεῶς χρῆσθαι, μηδὲν διαστέλλοντα. τὸ δὲ τῶν Μασαλιανῶν ὄνομα ἑλληνιζόμενον Εὐχίτας δηλοῖ. πολὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, ἣν καὶ τοῖς πολλοῖς ποιοῦσιν ἀνέκφορον. καλοῦνται δὲ ἐκ τοῦ πράγματος καὶ ἐνθουσιασταί. δαίμονος γὰρ ἐνέργειαν λαβόντες, πνεύματος ἁγίου εἶναι ταύτην ὑπολαμβάνουσιν. οἱ γὰρ τέλεον τὴν νόσον ταύτην εἰσδεδεγμένοι, ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν, ὡς πονηράν· ὕπνῳ δὲ τὰ πολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες, ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας καλοῦσι. φύσει λέγουσιν εἶναι τὰ κακά, καὶ ἐν ἑκάστῳ ἀνθρώπῳ πνεῦμά τε θεῖον συνοικεῖν, καὶ δαίμονα. τοὺς τικτομένους παῖδας ἐκ τοῦ προπάτορος ἕλκειν Ἀδὰμ ὥσπερ τὴν φύσιν· οὕτω δὴ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα, ἑκάστῳ τούτων συνοικοῦντα καὶ κατεξουσιάζοντα. καὶ τὸ μὲν βάπτισμα ἀδυνάτως ἔχειν ἐξελαύνειν αὐτόν, ἢ τὰς ῥίζας ἀνασπᾶν τῶν ἁμαρτημάτων· μόνην δὲ τὴν ἐπιτεταγμένην αὐτοῖς εὐχὴν ἐκεῖνόν τε ἐξωθεῖν, καὶ ταύτας καθαίρειν. καὶ μετὰ τὴν γινομένην τοῖς αὐτῶν τελειοτέροις ἀπάθειαν, ἐπιφοιτᾶν αὐτοῖς ὁρατῶς τὸ πνεῦμα τὸ ἅγιον, καὶ τῆς τῶν παθῶν κινήσεως τὸ σῶμα ἐλευθεροῦν· ὡς μηκέτι λοιπὸν δεῖσθαι μήτε νηστείας, πιεζούσης αὐτό, μήτε διδασκαλίας χαλινούσης, καὶ μὴ βαίνειν ἄτακτα παιδευούσης. τὴν ἁγίαν τριάδα τοῖς αἰσθητοῖς λέγουσιν ὁρᾶν ὀφθαλμοῖς, κἀντεῦθεν τὰ μέλλοντα προβλέπειν. νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἀλλ' ἑαυτοῖς καὶ μόνοις, ἑαυτοὺς εἶναι λέγοντες πτωχοὺς τῷ πνεύματι, οὓς καὶ ὁ Κύριος ἐμακάρισεν. οἱ αὐτοὶ καὶ Οὐαλεντινιανοὶ καλοῦνται, ὅτι κατὰ τοὺς χρόνους * Οὐαλεντίνου καὶ Οὐάλεντος ἡ τούτων ἐβλάστησεν αἵρεσις. λέγονται δὲ καὶ Βογόμιλοι.

ιθ΄. Ἡ τῶν Βογομίλων αἵρεσις, οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασαλιανῶν, καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν· ἔστι δ' ἃ καὶ προσεξευροῦσα, καὶ τὴν λύμην αὐξήσασα. εἴη δ' ἂν Βογόμιλος κατὰ τὴν τῶν Μυσῶν γλῶτταν, ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπώμενος. οὗτοι τὰς τῆς παλαιᾶς καὶ καινῆς ἀθετοῦσι βίβλους, μετὰ τοῦ ἐν αὐταῖς γεγραμμένου Θεοῦ· ὡς κατ' ἐπίπνοιαν γραφείσας τοῦ Σατανᾶ, πλὴν μόνων ἑπτά, ὧν ἐστι καὶ τὸ εὐαγγέλιον. παρερμηνεύουσι δὲ καὶ ταύτας, καὶ βλασφήμοις ἐννοίαις καὶ μυσαραῖς, πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέρουσιν. ἀτιμάζουσι τὸν θεῖον σταυρόν,

A Sectam suam anathematizant. Hac peste totus infectus Eleutherius ille Paphlago, præterea se digna quædam adinuenit: debere monachum cum duabus cubare mulierculis, vnoque anno continenter exacto, posse deinceps impune cognatarum quoque consuetudine citra discrimen vti. Nomen ipsum Masalianorum Græcam in linguam traductum, Euchitas siue precum studiosos significat. Nam precatio magno est apud ipsos in pretio, quam & in vulgus efferri vetant. Ex re quoque vocantur Enthusiastæ. Nam dæmonis vi correpti, eam sancti spiritus esse opinantur. B Quos enim morbus iste prorsus inuasit, omnem ij manuum laborem, ceu malum, auersantur: & somno plerumque dediti, species illas insomniorum vocant enthusiasmum. Mala dicunt esse natura, & quovis in homine tam spiritum diuinum quàm dæmonia cohabitare. Pueros, qui nascantur, ex Adamo, primo parente generis humani, vt naturam trahere, sic etiam seruitutem illam, qua dæmonibus obstringantur: adeóque consubstantiatum gestare dæmonem, singulis eorum cohabitantem, & potestatem in eos C habentem. Ac baptisma quidem illum expellere non posse, vel peccatorum radices euellere: solam eis præscriptam precationem & eiicere dæmonem, & radices ipsas expurgare. Postquam vero perfectiores ex ipsis statum expertem adfectionum consequuti sint, venire super eos spiritum sanctum adspectabiliter, & corpus ab impulsu vitiorum adfectuumque liberare: vt amplius deinde nec ieiunio corpus premente sit opus, nec doctrina frenum iniiciente, quæque non insolenter incedere doceat. Sanctam Trinitatem oculis se sensibilibus videre dicunt, indéque futura prospicere. D Mendicis nihil impertiendum lege quasi lata statuunt, sed sibi dumtaxat: quum quidem se spiritu pauperes dicant, quos ipse dominus beatos prædicauerit. Vocantur iidem & Valentiniani, quòd * Valentini & Valentis temporibus hæresis eorum pullulauerit. Adpellantur & Bogomili.

Eleutherij Paphlagonis deliria.

19 Hæc Bogomilorum hæresis non multo ante nostram ætatem exorta fuit, pars sectæ Masalianorum, & cum eorum dogmatibus E maiori ex parte consentiens: excogitatis præterea nonnullis aliis, & aucta peste. Significat autem Bogomilus, iuxta * Mysorū linguam, qui * Dei misericordiam implorat. Hi veteris & noui testamenti libros repudiant, vna cum exposito in eis Deo; quasi qui per adflatum Satanæ perscripti fuerint, septem dumtaxat exceptis, in quorum numero & Euangelium est. Hos ipsos quoque libros falso interpretantur, & sacrilegis exsecrandisq; sensibus ad ea quæ ipsis videntur, detorquent. Ignominia crucem diuinam adficiunt,

* Οὐαλεντινιανοῦ
* *Valentiniani.*

Bogomili.

* *qui & Bulgari.*
* *Bog, Deus, Mile, propitius, lingua Heneta.*

veluti quæ dominum necauerit; itidémque A irreuerentia dignum illud sacrum Dominici corporis atque sanguinis: quod quidem inhabitantium templis dæmonum sacrificium adpellant. Nam in omnibus sacris ædibus habitare dæmonas aiunt. Nostrum baptisma, Ioannis; suum verò, Seruatoris esse dicunt. Solam vocant precationem, Pater noster: ceteras repudiant, & battologiam nominant. Deiperos dicunt eos, quotquot apud ipsos hoc consequuti sint, vt spiritus sanctus in eis habitet; quasi qui sermonem in dicendo gignant. Non modo per somnum, sed B vigilantes etiam videre se dicunt, patrem, vt senem, cui prolixa barba sit admodum: filium ei similem, qui recens lanuginem primam mutet: spiritum sanctum, instar iuuenis, cui valde nudæ sint genæ. quod quidem ita fit, decipientibus eos dæmonibus, & inæqualem esse Trinitatem docentibus, pro ipsarum formarum diuersitate.

ὡς ἀναιρέτην τοῦ Κυρίου· ἔτι δὲ καὶ τὴν φρικτὴν ἱερουργίαν τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος, τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων θυσίαν ταύτην ἀποκαλοῦντες. λέγουσι γὰρ ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς τοὺς δαίμονας κατοικεῖν. καὶ τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγοντες, τὸ δὲ παρ' αὐτοῖς τοῦ Σωτῆρος. μόνην ὀνομάζουσι προσευχήν, τό, πάτερ ἡμῶν· τὰς δὲ ἄλλας ἀθετοῦσι, βαττολογίαν καλοῦντες· θεοτόκους λέγουσι, τοὺς παρ' αὐτοῖς ἔνοικον κτησαμένους τὸ ἅγιον πνεῦμα, ὡς τὸν λόγον ἐν τῷ διδάσκειν γεννῶντας. λέγουσιν οὐ μόνον ὄναρ, ἀλλὰ καὶ ὕπαρ βλέπειν, τὸν μὲν πατέρα, ὡς γέροντα, καθειμένον ἰσχυρῶς τὴν ὑπήνην· τὸν δὲ υἱόν, ἄρτι τὸν ἴουλον παραμείβοντι ἐοικότα· τὸ δὲ ἅγιον πνεῦμα, ὡς νεανίαν ψιλὰς ἐψιλωμένον τὰς παρειάς. τῶν δαιμόνων οὕτως ἐξαπατώντων αὐτούς, καὶ διδασκόντων ἄνισον εἶναι τὴν ἁγίαν τριάδα, κατὰ τὴν τῶν σχημάτων τούτων διαφοράν.

EIVSDEM HARMENOPVLI de fide orthodoxa.

HOMINEM reapse Christianum oportet credere, sicuti sacræ ac vniuersales synodi sanciuerunt, in vnum Deum patrem omnipotentem principij & finis expertem, omniũ tam adspectabilium quàm inadspectabilium conditorem: & in vnum dominum Iesum Christum, Dei filium vnigenam, ab æterno, citráque passionem ex ipso Deo ac patre natum, lumen de lumine, Deum verum de Deo vero, consubstantialem patri, & coæternum, D per quem omnia facta sunt: & in spiritum sanctum, coæternè * de Deo ac patre procedentem, lumen & ipsum, Deúmque verum, & patri ac filio coæternum, & consubstantialem: Trinitatem vnius & eiusdem substantiæ, dignitatis, solij, quæ vnam in diuinitatem coit. quippe Trinitatem in vnitate credimus, & vnitatem in Trinitate statuimus: Trinitatem, quod in tribus personis & hypostasibus diuinitas consideretur: vnitatem, quòd vnius hæ substantiæ sint ac diuinitatis, & vnus adeo Deus: Nam vnum Deum credimus, licet in Trinitate adgnoscatur: & v- E num Dominum confitemur, licet in tribus hypostasibus ostendatur: ac neque in tres diuinitates, nec tres dominatus, vna diuinitas, & vnus ille dominatus exorbitat; neque rursus alius quispiam Deus est, præter hasce tres personas, quæ sunt pater, filius, & spiritus sanctus; & quæ non substantiis ac naturis numerantur, sed hypostasibus & intellectibilibus atque perfectis proprietatibus. Etenim sanctissima Trinitas personis distincta, ratione substantiæ ac diuinitatis est indiuidua.

* *hoc more Græcorum dicitur.*

C ΤΟΥ ΑΥΤΟΥ ΑΡΜΕΝΟΠΟΥΛΟΥ περὶ πίστεως ὀρθοδόξου.

Πιστεύειν δεῖ τὸν ὄντως Χριστιανόν, ὡς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι ἐπεκύρωσαν, εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ἄναρχόν τε καὶ ἀτελεύτητον, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἀϊδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ Θεοῦ καὶ πατρὸς γεννηθέντα, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ πατρὶ καὶ συναΐ- D διον, δι' οὗ τὰ πάντα γέγονε· καὶ εἰς πνεῦμα ἅγιον, τὸ συναϊδίως ἐκ τοῦ Θεοῦ καὶ πατρὸς ἐκπορευόμενον, φῶς ὂν καὶ αὐτό, καὶ Θεὸν ἀληθινόν, καὶ τῷ πατρὶ καὶ υἱῷ συναΐδιόν τε καὶ ὁμοούσιον· τριάδα ὁμοούσιον, καὶ ὁμότιμον, καὶ ὁμόθρονον, εἰς μίαν συνιοῦσαν θεότητα. τριάδα γὰρ ἐν μονάδι πιστεύομεν, καὶ μονάδα ἐν τριάδι δοξάζομεν· τριάδα μέν, ὡς ἐν τρισὶ προσώποις καὶ ὑποστάσεσι τὴν θεότητα θεωρουμένην· μονάδα δέ, ὡς μιᾶς ὄντα ταῦτα οὐσίας τε καὶ θεότητος, καὶ E ἕνα Θεόν. ἕνα γὰρ Θεὸν πιστεύομεν, κἂν ἐν τριάδι γινώσκηται· καὶ ἕνα Κύριον ὁμολογοῦμεν, κἂν ἐν τρισὶν ὑποστάσεσι δείκνυται· καὶ οὔτε εἰς τρεῖς θεότητας, οὔτε εἰς τρεῖς κυριότητας ἡ μία θεότης καὶ ἡ μία κυριότης ἐκφέρεται· οὔτε μὴν ἕτερός τις ἐστὶν ὁ Θεός, παρὰ τὰ τρία ταῦτα πρόσωπα, ἅπερ ἐστὶν ὁ πατήρ, ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα· οὐκ οὐσίαις ταῦτα καὶ φύσεσιν ἀριθμούμενα, ἀλλ' ὑποστάσεσι καὶ ἰδιότησι νοεραῖς καὶ τελείαις. ἡ γὰρ παναγία τριὰς τοῖς προσώποις διαιρουμένη, ἀδιαίρετός ἐστι τῇ οὐσίᾳ καὶ τῇ θεότητι.

μίαν οὖν οὐσίαν, μίαν βασιλείαν, μίαν ἐξουσίαν, μίαν ἐνέργειαν, μίαν βουλὴν, μίαν θέλησιν, μίαν δεσποτείαν, μίαν κυριότητα, ἐν μιᾷ οὐσίᾳ καὶ φύσει τῆς παναγίας τριάδος γινώσκομεν, μὴ εἰς ἓν πρόσωπον ἢ μίαν ὑπόστασιν ταύτην συγχέοντες. διὰ τοῦτο τέλειος Θεὸς ὁ πατὴρ, τέλειος Θεὸς ὁ υἱὸς, τέλειος Θεὸς τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ τὴν αὐτὴν καὶ μίαν ἕκαστον ἀνελλιπῆ καὶ τελείαν ἔχει θεότητα. Θεὸς γὰρ, καὶ Θεὸς, καὶ Θεός. ἀλλ' εἷς τὰ τρία Θεὸς, ὡς τοῖς ἁγίοις πατράσι κηρύττεται. οὐδὲν γὰρ κτιστὸν ἐν αὐτοῖς, ἢ δοῦλον, ἢ ἐπείσακτον, ὡς ὕστερον γεγονός. οὕτω δὴ τοῦ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος ἔχοντος λόγου, συνομολογεῖν ἀνάγκη καὶ τὰ τῆς ἐνανθρωπήσεως οὕτω μυστήρια. ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς αὐτὸς ὢν ὁ τῆς ἁγίας τριάδος εἷς, ὁ υἱὸς τοῦ Θεοῦ, διὰ τὴν ἡμετέραν σωτηρίαν ἑκουσίᾳ βουλῇ καὶ Θεοῦ θελήματι τοῦ γεννήσαντος, ἐπὶ γῆν κατελθὼν, ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας κατὰ ἀλήθειαν, οὐ κατὰ φαντασίαν γεγένηται, σάρκα ἐξ αὐτῆς ἔννουν καὶ ἔμψυχον ἑαυτῷ συστησάμενος, καὶ τέλειος γεγονὼς ἄνθρωπος, τέλειος ὢν Θεός· ὡς εἶναι τὸν αὐτὸν ὅλον τὸν Θεὸν, καὶ ὅλον ἄνθρωπον· ἐκ δύο φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος, ἐν ὑποστάσει μιᾷ τὴν σύστασιν ἔχοντα, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως. καὶ διὰ τοῦτο δύο φυσικὰς θελήσεις, καὶ δύο ἐνεργείας κεκτημένον· τοιγαροῦν οὐ δύο υἱοὺς, ἢ δύο Χριστοὺς, ἢ δύο Κυρίους φαμέν· ἀλλ' ἕνα υἱὸν, τὸν αὐτὸν καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν· ὁμοούσιον τῷ τε Θεῷ καὶ πατρὶ, καὶ ἡμῖν τοῖς ἀνθρώποις. διὸ καὶ τὴν ἁγίαν παρθένον, τὴν ἀρρήτως αὐτὸν τεκοῦσαν, θεοτόκον προσαγορεύομεν, ὡς τὸν ἕνα τῆς τριάδος τεκοῦσαν Θεόν· ὃς καὶ σταυρὸν ὡς ἄνθρωπος ὑπομείνας, ὡς Θεὸς ἀνέστη τριήμερος ἐν ἀφθάρτῳ τῷ σώματι, καὶ τοῖς μαθηταῖς πολλάκις ἐμφανισθεὶς, εἰς τὸν οὐρανὸν μετὰ σώματος ἀνελήλυθε, μέλλων πάλιν οὕτως ἐλεύσεσθαι, κρίσιν ζώντων καὶ νεκρῶν ποιησόμενος, ἀτελεύτητον τὴν βασιλείαν ἔχων, καὶ τὸ κράτος ἀπέραντον. προσδοκητέον δὲ καὶ ἑκάστου τῶν ἀνθρώπων ἀνάστασιν μετὰ τοῦ οἰκείου σώματος ἀφθαρτισθέντος, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος, ἥτε τῶν δικαίων ἀγαλλίασιν αἰώνιον ἔχουσαν, καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν ἀτελεύτητον.

A Quapropter vnam substantiam, vnum regnum, vnam potestatem, vnam efficacitatem, vnum consilium, vnum imperium, vnum dominatum, in vna substantia & natura sanctissimæ Trinitatis adgnoscimus; non in vnam personam, vel vnam hypostasim eam confundentes. Ideo perfectus Deus est pater, perfectus Deus, filius; perfectus Deus, spiritus sanctus: quum vnam & eamdem quilibet, citra defectum, perfectámque diuinitatem habeat Deus enim, & Deus, & Deus: sed hæc tria Deus vnus, sicut sancti patres prædicant. Nam nihil in eis creatum, vel seruum, vel
B extraneum, quasi factum ortúmque posterius. Quum hæc sanctæ sit & consubstantialis Trinitatis ratio, simul etiam incarnationis mysteria, hoc quodam modo confiteri necesse est. quippe Dominus noster Iesus Christus, qui vnus est è sancta Trinitate, Dei filius, propter salutem nostram, suopte consilio, Deique patris voluntate, in terram descendens, ex sancta Deipera, perpetuáque virgine Maria, verè, non specie tenus natus est, composita sibi ex ea carne, mentis atque animi compote: perfectúsque Deus existens,
C perfectus homo factus est: ita quidem, vt idem totus sit Deus, & totus homo; de naturis duabus, diuinitate ac humanitate, vna in hypostasi subsistens, absque confusione, mutatione, diuisione; ideóque duas voluntates naturales, & actiones duplices habens. Non tamen duos filios, aut duos Christos, aut duos dominos dicimus: sed vnum filium, & ante incarnationem, & post incarnationem eumdem: consubstantialem Deo & Patri, ac nobis hominibus. quamobrem & sanctam illam virginem, quæ ipsum ineffabili modo peperit, Deiperam adpellamus, vti quæ
D Deum pepererit, vnum è sancta Trinitate; qui & crucem sustinuit, tamquam homo; & tamquam Deus, tertio die resurrexit in corpore corruptionis experte, quúmque se discipulis sæpius conspiciendum exhibuisset, in cœlum cum corpore sursum abiit: eodem modo rediturus ad iudicandum viuos atque mortuos, quum regnum finis expers, & imperium numquam terminandum habeat. Exspectanda quoque singulorum hominum resurrectio cum corpore ab interitu vindicato, futurique sæculi vita; quæ & iustorum
E æternam lætitiam, & fine carens peccatorum supplicium habebit.

A

SANCTI AVGVSTINI De Trinitate.

Ex libro qui de cognitione veræ vitæ inscribitur: in quo, tamquam in dialogo, fratres interrogant, magister respondet.

FRATRES. Quemadmodum pondus carnis animam adgrauat, sic & carnalis cogitatio mentem diuina contemplantem pulsat. Quum enim superiùs ratio vnum Deum verissimè esse demonstrauerit, & ipsum solum cuncta ex nihilo fecisse probauerit: quomodo quasi tres Deos adorare docemur, dum patrem perfectum Deum, filium perfectum Deum, Spiritum sanctum perfectum Deum confiteri monemur? Dum enim subdistinctæ tres personæ distinguuntur, quid aliud quàm tres dij à nobis intelliguntur? MAGISTER. * Ipsa veritate se demonstrante, & ratione probante, citius videbitis necessariam in vna essentia personarum Trinitatem, item per omnia necessariam in tribus personis indiuiduæ substantiæ vnitatem. Quum iam superiùs ænigmaticè * de Deo loquerer, quia non poteram propriè; quid dixi essentiam Dei esse? FRATRES. Lucem. MAGISTER. De luce quid gignitur? FRATRES. Splendor. MAGISTER. Quid in luce & splendore simul consideratur? FRATRES. Calor. MAGISTER. Num in substantia lucis, splendoris, & caloris, inuenitur diuersitas? FRATRES. Non, sed identitas. MAGISTER. Num in vocabulis vel officiis prædicatur identitas? FRATRES. Minimè, sed diuersitas: nam lucis vocabulum ipsam substantiam, splendoris vocabulum lucis gratiam, caloris vero vocabulum videtur exprimere * lucis efficaciam. MAGISTER. Igitur patet, tria vocabula diuersa, vnam constare indiuiduam essentiam. FRATRES. Per omnia patet. MAGISTER. Summum spiritum, patrem, lucem adpellari, habetis in Ioanne Apostolo: Deus lux est, & in eo tenebræ non sunt vllæ: Summum quoque spiritum, filium, splendorem nuncupari, habetis in alio Apostolo: qui est splendor [gloriæ, & character] substantiæ eius. Summum nihilo minus [Spiritum,] Spiritum sanctum calorem nominari apud Moysem: Deus noster ignis [consumens] est. Quum itaque lux, splendor, calor, vna sit natura, & indiuidua substantia, * vocabulis verò diuersa: constat profectò, patris, & filij,

* al. In ipsa

* al. de eo

* quo.

* ὁ ἀινίγμ.

* Græci legerunt, lucis & splendoris efficaciam.

1. Ioan. 1.

Hebr. 1.

Inclusa Latinis desunt.

Deut. 4.

* al. vocabula

ΤΟΥ ΑΓΙΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ περὶ τριάδος.

Ἐκ τοῦ βιβλίου τοῦ περὶ τῆς γνώσεως τῆς ἀληθοῦς ζωῆς ἐπιγραφομένου, ἐν ᾧ ὡς ἐν διαλόγῳ ἐρωτῶσι μὲν οἱ ἀδελφοί, ἀποκρίνεται δὲ ὁ διδάσκαλος.

B ΑΔΕΛΦΟΙ. Ὥσπερ τὸ τῆς σαρκὸς βάρος πιέζει τὴν ψυχήν, οὕτω καὶ ὁ σαρκικὸς λογισμὸς τὴν θεωρὸν τῶν θείων διάνοιαν ἐνοχλεῖ. ἀνωτέρω μὲν ὁ σὸς λόγος ἕνα Θεὸν ἀπέδειξεν ἀληθέστατα, καὶ αὐτὸν μόνον παρέστησεν ἐκ τοῦ μὴ ὄντος πάντα παραγαγεῖν. ἀλλ᾽ ἀνῦν πάλιν τρεῖς Θεοὺς προσκυνεῖν ἡμᾶς εἰ ποιεῖς ἄν, διδάσκοντός σου, τέλειον Θεὸν τὸν πατέρα, τέλειον Θεὸν τὸν υἱόν, τέλειον Θεὸν τὸ πνεῦμα τὸ ἅγιον δεῖν ὁμολογεῖν. ὅταν μὲν γὰρ τρία πρόσωπα τῇ ὁμολογίᾳ διακεκριμένα, οὐδὲν ἕτερον ἢ τρεῖς Θεοὺς ἀναγκασθήσεται πάντως ὁμολογεῖν. ΔΙΔ. Αὐτῆς τῆς ἀληθείας ἑαυτὴν δεικνύσης, καὶ τοῦ λόγου συνεπιψηφιζομένου, ὄψεσθε ἐξ ἀνάγκης ἐν μιᾷ οὐσίᾳ τριάδα προσώπων, καὶ πάλιν ἀναγκαίαν διὰ πάντων ἐν τοῖς τρισὶ προσώποις μίαν ἀδιαιρέτου οὐσίας ἑνότητα. ὅτε τοίνυν ἀνωτέρω διελεγόμην περὶ Θεοῦ δι᾽ αἰνίγματος, ἐπεὶ κυρίως οὐχ οἷός τε ἦν, τί ποτε τὴν οὐσίαν ἔφην τοῦ Θεοῦ, εἰ μέμνησθε; ΑΔΕΛ. *πῶς; ΔΙΔ. ἐκ τοῦ φωτὸς τί γεννᾶται; ΑΔΕΛ. *ἀπαύγασμα. ΔΙΔ. τί δὲ πάλιν ἐν τῷ φωτὶ καὶ τῷ ἀπαυγάσματι κοινὸς θεωρεῖται; ΑΔΕΛ. θέρμη. ΔΙΔ. μὴ τοίνυν ἐν τῇ τοῦ φωτός, τοῦ ἀπαυγάσματος, τῆς θέρμης οὐσίᾳ ἐστί τις διαφορά; ΑΔΕΛ. οὐδαμῶς, ἀλλὰ μᾶλλον ταυτότης. ΔΙΔ. ἀλλ᾽ ἆρα μὴ ἡ αὐτὴ καὶ τοῖς ὀνόμασι καὶ ταῖς ἐνεργείαις θεωρεῖται ταυτότης; ΑΔΕΛ. οὐδαμῶς· ἀλλὰ μᾶλλον διαφορά. τὸ μὲν γὰρ τοῦ φωτὸς ὄνομα, αὐτὴν τὴν οὐσίαν· τὸ δὲ τοῦ ἀπαυγάσματος, τὴν τοῦ φωτὸς χάριν· τὸ δὲ τῆς θέρμης, τὴν τοῦ φωτὸς καὶ τοῦ ἀπαυγάσματος δρᾶσιν ἐκφαίνειν δοκεῖ. ΔΙΔ. δῆλον τοίνυν, ἐν τούτοις, διάφορα μέν εἰσι τὰ ὀνόματα, μίαν δὲ καὶ ἀδιαίρετον τὴν οὐσίαν. ΑΔΕΛ. ἀριδηλότατα. ΔΙΔ. τὸ ἄκρον τοίνυν πνεῦμα, τὸν πατέρα, φῶς προσαγορεύοντος ἠκούσατε Ἰωάννου τοῦ ἀποστόλου· ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. πάλιν τὸ ἄκρον πνεῦμα, τὸν υἱόν, τοῦ ἀποστόλου Παύλου ἠκούσατε ἀπαύγασμα λέγοντος· ὃς ὤν, φησίν, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς οὐσίας αὐτοῦ. ὁμοίως δὲ καὶ τὸ ἄκρον πνεῦμα, τὸ πνεῦμα τὸ ἅγιον, θέρμην ὀνομάζεσθαι παρὰ τῷ Μωϋσεῖ· ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. ὥσπερ τοίνυν τὸ φῶς, τὸ ἀπαύγασμα, ἡ θέρμη, μία μὲν φύσις, καὶ ἀδιαίρετος οὐσία, τοῖς δὲ ὀνόμασι διαιρούμενα· δῆλον ἀναμφιβόλως πατρός, καὶ υἱοῦ,

&

καὶ ἁγίου πνεύματος, μίαν φύσιν καὶ ἀδιαίρετον οὐσίαν εἶναι. ὅταν μὲν δηλοῦται τὸ τί ἐστιν ἐν αὐτῇ οὐσιωδῶς, πνεῦμα λέγηται· καὶ πάλιν ἐν τοῖς προσώποις τὴν διάκρισιν ἀναγκαίαν, ὅταν ὁ πατὴρ μὲν γεννῶν, ὁ δὲ υἱὸς γεννώμενος, τὸ δὲ πνεῦμα τὸ ἅγιον κηρύττηται ἐξ ἑκατέρου ἐκπορευόμενον. ΑΔΕΛ. φανερῶς τριάδα ἐν τοῖς προσώποις ὁρῶμεν, καὶ * ἀναγκαίως ἐν τῇ οὐσίᾳ ἑνότητα ἀριδήλως κατέχομεν. ΔΙΔ. ὅθεν ἀκριβέστατα τὰ δύο ταῦτα ὀνόματα, ἡ οὐσία καὶ τὸ πρόσωπον δηλονότι, ἐφαρμόζονται τῇ θείᾳ ὑπάρξει. ἡ γὰρ οὐσία ἀεὶ κατὰ τῶν ἀτόμων τῶν ἐν πλήθει ὑφεστώτων κατηγορεῖται. τὸ δὲ πρόσωπον, κατὰ τῆς ἀτόμου λογικῆς φύσεως. καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν τοῖς μὲν προσώποις πλῆθος ἀποδιδόναι, τῇ δὲ ὑπάρξει ἑνότητα. ΑΔΕΛ. τίνι ὁμοιώσει ὁ πατὴρ ἀΐδιον καλεῖται φῶς; ΔΙΔ. διότι ἐξ ἑαυτοῦ ἀπαύγασμα γεγέννηκεν ἴσον. ΑΔΕΛ. καὶ οὐ μᾶλλον δοκεῖ προσφυέστερον αὐτῷ τὸ τῆς μητρὸς ἁρμόζεσθαι ὄνομα; ΔΙΔ. ἀεὶ ἐν τῷ πατρὶ ἐστὶν ἡ ἀρχοειδὴς αἰτία τοῦ τέκνου· διὰ τοῦτο καὶ ὑπὸ τοῦ ἀρχοειδεστέρου ἐν τοῖς γένεσιν ὀνόματι προσηκόντως ἔδει καλεῖσθαι. ΑΔΕΛ. τίνι ὁμοιώσει λέγεται γεννᾷν; ΔΙΔ. ἀναμφίβολον ὡς ὁ νοῦς λογισμὸν γεννᾷ. ὅταν δὴ ὁ νοῦς ἀναλογίζεται ἑαυτόν, ὥσπερ ἕτερον ὅμοιον ἑαυτοῦ γεννᾷ. οὕτω καὶ ὁ ἄκρος Θεὸς ἑαυτὸν τοιοῦτον, οἷός ἐστι, λογιζόμενος, ἀναμφιβόλως ἑαυτῷ διὰ πάντων ὁμοίαν εἰκόνα γεγέννηκε. καὶ ὥσπερ πατὴρ ὁ γεννῶν δικαίως καλεῖται, οὕτω καὶ ὁ γεννηθεὶς ὀρθότατα υἱὸς ὀνομάζεται. ΑΔΕΛ. εἰ γεγέννηκε τὸν υἱὸν ὁ Θεός, δόξειεν ἄν, ὡς ἦν ποτέ, ὅτε οὐκ εἶχεν υἱόν, καὶ κατὰ συμβεβηκὸς τοῦτο τὸ ὄνομα κτήσασθαι. εἰ δὲ τοῦτ' εἴη, τὰ ἀνώτερω εἰρηθέντα διαρρυήσεται, δι' ὧν ἐδείκνυτο, μηδὲν συμβεβηκὸς ἀλλ' ὅλον οὐσιῶδες εἶναι τὸ ἐν τῷ Θεῷ. ΔΙΔ. ἔφθη διδάξας ὁ λόγος τὴν τοῦ Θεοῦ οὐσίαν ζωὴν αἰώνιον εἶναι, οὐδαμῶς ἀρχὴν καὶ τέλος εἰδυῖαν. εἰ τοίνυν ἡ εἰδικὴ καὶ ἡ ἀληθὴς αὕτη ζωὴ * ἄναρχος ἦν ἀεί, δῆλον ὡς ἤδει ἑαυτὴν ζῶσαν ἀνάρχως. εἰ γὰρ ἑαυτὴν οὐκ ἐγίνωσκε ζῆν, οὐκ ἂν ἦν σοφή· ὃ περὶ Θεοῦ λέγειν, ἀνόσιον. εἰ δέ ποτε τὴν σοφίαν ταύτην ἑτέρωθεν ἔλαβεν, ἧς ἐστέρητο πρότερον, τότ' ἂν ἦν ἐκεῖνο βέλτιον τοῦ Θεοῦ, παρ' οὗ τὸ τοσοῦτον εἴληφεν ἀγαθόν. ὃ νομίζειν, ἀνόητον χρῆμα δή. εἰ ἀΐδιος τοίνυν ζωή, ἀεὶ ἑαυτὴν ζῶσαν οἶδε, καὶ αὐτὴ τῆς νοήσεως ἡ σοφία οὐχ ἑτέρωθεν ἐκείνῳ συμβέβηκεν, ἀλλ' ἀϊδίως τούτῳ συνῆν· εἰ καὶ ταύτην ὡς ἑαυτοῦ γέννημα, ἐξ ἑαυτοῦ ἀρρήτως ἐγέννησεν. ὁ πατὴρ τοίνυν οὐδέποτε ἦν ἄνευ υἱοῦ, ἢ ὑπῆρξεν. ΑΔΕΛ. τίνι ὁμοιώματι τὸ τοῦ ἀϊδίου φωτὸς ἀπαύγασμα υἱός, ἀλλ' οὐ θυγάτηρ καλεῖται; ΔΙΔ. ὅτι διὰ πάντων ἐν τούτῳ ἡ τοῦ πατρὸς ὁμοιότης ἐκφαίνεται· ὅθεν καὶ ὁμοιότης αὐτοῦ λέγεται. ἐν δὲ τοῖς κτιστοῖς πράγμασιν οὐ τὴν ἄκραν ὁμοιότητα πρὸς τὸ γεννῆσαν τηρεῖ.

A & spiritus sancti, vnam naturam [&] indiuiduam essentiam esse: dum in * ea, quo significat quid sit substantialiter, spiritus nominatur: & item in personis diuersitatem necessariam, dum pater gignens, filius nascens, spiritus sanctus ab vtroque procedens prædicatur. FRATR. Planè Trinitatem in personis perspicuè videmus, & necessariam in substantia vnitatem euidenter tenemus. MAGISTER. Ideo vigilantissimè hæc duo nomina, scilicet substantia & persona, diuinæ essen- B tiæ coaptantur, quia semper substantia de indiuiduis in pluraliter consistentibus; persona autem, de indiuidua rationali natura prædicatur. quum nos soleamus personis pluralitatem, substantia autem designare * essentiæ * vnitatem. FRATR. Qua similitudine vocatur æterna lux pater? MAGISTER. Quia ex se * splendorem genuit æqualem. FRATR. Nonne tibi magis matris nomen conuenire videretur? MAGISTER. In patre est semper principalis caussa prolis. & ideo à principali sexu debuit iure hoc nomi- C ne adpellari. FRATR. Qua similitudine dicitur gignens? MAGISTER. Certum est, quod mens gignit cogitationem. Quum autem mens seipsam cogitat, quasi * alium sibi simile generat. Sic summus Deus, quum seipsum talem, qualis est, cogitauit: proculdubio similem sibi per omnia imaginem generauit. Et sicut gignens iure pater vocatur, ita rectissimè genitus filius nominatur. FRATR. Si Deus filium genuit, videtur aliquando fuisse, quod filium non habuerit: & hoc nomen ex accidenti possede- D rit. Quòd si hoc ita est, superior prolatio labefactatur: qua * Deo nihil accidentale, sed totum essentiale prædicabatur. MAGISTER. Iam docuit ratio, Dei essentiam esse æternam vitam, initij & finis nesciam. Quòd si hæc singularis [&] * vera vita, absque initio semper fuit; constat, quod & absque initio semper se viuere intellexit. Quod si viuere se non intellexit, sapiens non fuit: quod nefas est, de Deo dicere. Quòd si aliquando sapien- E tiam aliunde accepit, qua prius caruit: tunc id, à quo tantum bonum accepit, Deo melius exstitit: quod absurdissimum est. Sed si sempiterna vita semper se viuere intellexit, hæc intelligentiæ sapientia non aliunde ei accidit, sed semper ei coessentialis fuit: quamquam hanc ex se, vt prolem suam, ineffabiliter genuerit. Igitur pater numquam sine filio exstitit. FRAT. Qua similitudine splendor æternæ lucis filius vocatur, non filia? MAGISTER. Quia per omnia similitudo patris in eo exprimitur. Vnde & similitudo eius dicitur.

* al. eo,

* ἀναγκαίαν

* inclusa vox à Græcis abest.

* malè alij, prolem.

* aliam sibi similem.

* Græci, in Deo

* ἄναρχος

Nihil enim in rebus creatis ad integrum eius similitudinem seruat, à quo nascitur. Capilli namque à capite nati sunt, capiti dissimiles: poma ab arboribus nata sunt, illis dissimilia: lana dissimilis ouibus: fœtus animalium, vel ipsi filij hominum, non per omnia similes qualitate genitorum. Hic autem per omnia gignenti est simillimus, & ideo verissime non filia, sed filius vocatur. FRATR. Qua autem habitudine filius Verbum vocatur? MAGISTER. * Multipliciter verbum intelligitur. verbi gratia, quum hoc verbum * humo profert ore: aut quum idem verbum homo absque motu linguæ, in corde suo format: aut quum res ipsa quam significat illud verbum, qualis sit, intellectu cogitatur. Hoc tertio modo Deus verbum suum genuit, * quum seipsum cogitando dixit. Et quia totam mundi formam, eadem cogitatione creauit, ideo dicitur, quod omnia in verbo suo fecerit. Vnde & de creatione mundi legitur: Ipse dixit, & facta sunt. Nihil enim aliud est filius, vel verbum Dei, quàm cogitatio, vel ars, vel sapientia eius. Nempe quum nos aliquam rem cogitamus, ipsius rei imaginem in cogitatione nostra formamus. Sic Deus, quum seipsum cogitauit, similem sui per omnia imaginem formauit. Ideo hoc verbum, imago, vel similitudo Dei dicitur; sed nihil aliud, nisi eadem essentia, exprimitur. Vnde & hoc verbum dicitur, quasi verè bonum. FRATR. Quum euidens ratio idem verbum cum patre, & spiritu sancto, vnam & indiuiduam substantiam inexpugnabiliter probauerit: quomodo solum incarnari potuit? Si enim à patris & spiritus sancti essentia est separatum, & sic singulariter * inhumanatum: constat profectò, quod patris & filij, & spiritus sancti substantia, non est indiuidua; quæ potuit pati separationis discrimina. MAGISTER. Sicut sempiterna virtus diuinitatis per ea quæ facta conspiciuntur, potest intelligi: sic hoc profundum mysterium & occultum, per ea, quæ in nobis geruntur, ratione perscrutante poterit inspici. Notum est enim, quòd humana mens verbum communis loquutionis ex se cogitando gignit: & idem verbum in mente, & in memoria, simul vna essentia existit. Quum vero mens verbum suum aliis innotescere cupit, cum eadem cogitatione, quæ nihil aliud est quàm verbum suum, & cum memoria disponit; quod idem verbum corpus vocis induit, & auribus audibile, & cordibus audientium visibile procedit; & litteris etiam corpus suum ligari permittit: & tamen inuisibile manens, de essentia mentis & memoria non recedit. Non ergo mens, neque memoria,

* ἀληθέστατος

* Latini, tripliciter

* malè idem, homo, homo profert

* 7 aci. quod

* Latini codices habent, Inhumanitate:

A αἱ γὰρ τρίχες παρὰ τῆς κεφαλῆς ἐγεννήθησαν, ἀνόμοιαι οὖσαι τῇ κεφαλῇ· τοῖς δένδρεσιν οἱ καρποί, καίτοι παρ᾽ αὐτῶν γεννηθέντες· τὰ ἔρια, παρὰ τῶν προβάτων, τούτοις ἀνόμοια τὰ τῶν ζώων νήπια, καὶ αὐτοὶ τῶν πατέρων οἱ υἱοί, οὐ διὰ πάντων ὅμοιοι τῇ τῶν γονέων ποιότητι. οὗτος δὲ διὰ πάντων ὅμοιός ἐστι τῷ γεννήσαντι, καὶ διὰ τοῦτ᾽ * ἀληθέστατος υἱός, ἀλλ᾽ οὐ θυγάτηρ, καλεῖται. ΑΔΕΛ. τίνι δὲ ἀναλογίᾳ ὁ υἱὸς οὗτος λόγος καλεῖται; ΔΙΔ. πολλαχῶς ὁ λόγος νοεῖται. λόγου χάριν, ὅταν ὁ ἄνθρωπος τὸν λόγον τοῦτον προφέρῃ τῷ στόματι, ἢ ὅταν τὸν αὐτὸν λόγον ὁ
B ἄνθρωπος εἴσω ἐν τῇ ἑαυτοῦ καρδίᾳ ἄνευ ἤχου γλώττης ἀνατυποῖ, ἢ ὅταν αὐτὸ τὸ ἐκ τοῦ λόγου σημαινόμενον πρᾶγμα οἷόν ἐστι νοῆται, τοῦτον τὸν τρίτον τρόπον ὁ Θεὸς τὸν ἑαυτοῦ γεγέννηκε λόγον, ὃν ἑαυτὸν λογιζόμενος εἶπεν. ἐπεὶ καὶ τὸ ὅλον εἶδος τοῦ κόσμου τούτου τῷ αὐτῷ λογισμῷ πεποίηκε, λέγεται πάντα τῷ ἑαυτοῦ λόγῳ δημιουργῆσαι. ὅθεν καὶ περὶ τῆς τοῦ κόσμου ποιήσεως λέγεται, αὐτὸς εἶπε, καὶ ἐγενήθησαν. οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ υἱός, ἢ ὁ λόγος τοῦ Θεοῦ, εἰ μὴ ὁ λογισμός, ἢ ἡ τέχνη, ἢ ἡ σοφία αὐτοῦ. ἅμα δὲ καὶ ἡμεῖς,
C ὅταν περί τινος διαλογιζώμεθα ἐν τοῖς λογισμοῖς, ἐκείνου τοῦ πράγματος εἰκόνα ἐν τῷ ἡμετέρῳ τυπούμεθα λογισμῷ. οὕτω καὶ ὁ Θεός, ὅταν ἑαυτὸν λογίζηται, ὁμοίαν ἑαυτῷ κατὰ πάντα εἰκόνα ἐτύπωσε, καὶ οὗτος ὁ λόγος [ἐκεῖ] εἰκὼν ἢ ὁμοιότης λέγεται τοῦ Θεοῦ. ἀλλ᾽ οὐδὲν ἕτερον ἐκεῖθεν ἐκφαίνεται, εἰ μὴ αὐτὴ ἐκείνη οὐσία. ὅθεν καὶ λόγος, ὡσανεὶ ἀληθῶς ἀγαθόν. ΑΔΕΛ. ἐπεὶ ἀριδήλῳ καὶ ἀκαταγωνίστῳ λόγῳ μίαν καὶ ἀδιαίρετον οὐσίαν εἶναι τοῦ λόγου τούτου μετὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος δέδεικται, πῶς ἂν εἴη δυνατόν, μόνον τὸν
D υἱὸν σαρκωθῆναι; εἰ γὰρ τῆς τοῦ πατρὸς οὐσίας χωρισθείς, ἰδίως σεσάρκωται· δῆλον, ὡς ἡ τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος οὐσία, οὐκ ἔστιν ἀδιαίρετος, πάθος ὑποστᾶσα χωρισμοῦ. ΔΙΔ. ὥσπερ ἀΐδιος δύναμις καὶ θειότης, διὰ τῶν γινομένων καθορᾶται· οὕτω δυνατὸν νοηθῆναι καὶ τὸ βαθὺ τοῦτο καὶ συνεσκιασμένον, διὰ τῶν ἐν ἡμῖν γινομένων, καὶ διὰ τοῦ λόγου διερευνωμένου, δυνατὸν καὶ τοῦτο καθορᾶσθαι. δῆλον γὰρ τὸ ἀνθρώπινον νοῦν λογιζόμενον ἀφ᾽ ἑαυτοῦ γεννῆσαι τοῦτον δὴ τὸν τῆς
E κοινῆς διαλέκτου λόγον· καὶ τοῦτον τὸν λόγον ἐν τῷ νῷ καὶ τῇ μνήμῃ, ὁμοῦ μίαν εἶναι οὐσίαν. ὅταν δὲ τὸν αὐτὸν λόγον καὶ ἄλλοις ἐπιθυμήσῃ ποιῆσαι γνώριμον, οἰκονομεῖ μετὰ τοῦ ἰδίου λογισμοῦ, ὃς οὐδὲν ἕτερόν ἐστιν, ἢ ὁ λόγος αὐτοῦ καὶ μετὰ τῆς μνήμης αὐτὸν λόγον σῶμα φωνῆς ἐνδύσασθαι, καὶ τοῖς ὠσὶν ἀκουστόν, καὶ ταῖς τῶν ἀκουόντων καρδίαις ὁρατὸν ἐφίησι γενέσθαι· ἔτι καὶ γράμμασι περισφίγγων τὸ σῶμα τοῦ λόγου. ἀλλ᾽ ὅμως ὁ λόγος ἐκεῖνος ἀόρατος μένων τῆς τοῦ νοῦ καὶ τῆς μνήμης ὑπάρξεως οὐκ ἀποχωρεῖ. οὐ τοίνυν ὁ νοῦς ἢ ἡ μνήμη,

A ἀλλὰ μόνος ὁ λόγος ἤχησε διὰ τοῦ αἰσθητοῦ σώματος τῆς φωνῆς, καὶ ὅμως ἀδιαίρετος ἔμεινεν ἐν τῇ τοῦ νοῦ καὶ τῆς μνήμης οὐσίᾳ. οὕτω καὶ ὁ ἄκρος πατὴρ τὸν νοήσας αὐτὸν τὸν ἑαυτοῦ λόγον ἐγέννησε, καὶ ἐν τῇ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος οὐσίᾳ ὁμοουσίως ὑφέστηκεν. ἀλλ᾽ ὅμως διὰ τοῦτο οὐδὲ ὁ πατὴρ, οὔτε τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ᾽ ὁ λόγος μόνος, ὁ τοῦ πατρὸς υἱὸς δηλαδὴ, ἰδίως αἰσθητικὸν σῶμα αἰσθητὸν ἐνεδύσατο, καὶ ἑαυτὸν τοῖς ἀνθρώποις παρέστησε. τὸ προσληφθὲν σῶμα ἀτιμίαν ὑπενεγκεῖν συνεχώρησεν, ἀλλ᾽ αὐτὸς ἀχωρίστως ἐν τῇ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος οὐσίᾳ ἀπαθὴς διαμεμένηκε, B καὶ ἀόρατος. ΑΔΕΛ. Τίνι λόγῳ τὸ πνεῦμα ἔρως ὀνομάζεται τοῦ Θεοῦ; ΔΙΔ. Τὴν τοῦ Θεοῦ οὐσίαν, ζωὴν εἶπον εἶναι. ἡ δὲ ἀληθὴς ζωὴ, ἑαυτὴν ζῶσαν νοεῖ. εἰ τοίνυν ἑαυτὴν ζωὴν οὖσαν νοεῖ, ἑαυτὴν πάντως ἀγαπᾷ. τοῦ δὲ Θεοῦ τὸ ζῆν, τὸ νοεῖν, τὸ ἀγαπᾶν, οὐδέν ἐστιν ἕτερον, ἢ τὸ εἶναι. ἡ ἀγάπη τοίνυν τοῦ Θεοῦ, ζωή ἐστι· καὶ ἡ ζωὴ, πνεῦμά ἐστι. καὶ ἐπεὶ ὁ Θεὸς δι᾽ ἀγάπην πᾶσι τὸ εἶναι καὶ ζῆν δέδωκε, διὰ τοῦτο πνεῦμα προσαγορεύεται. ἐκεῖ δὲ τὸ ἅγιον προσέσκηται, ὅτι δι᾽ αὐτοῦ πάντα ἁγιάζεται. ΑΔΕΛ. πῶς δείκνυ- C ται τοῦτο πνεῦμα παρὰ πατρὸς καὶ υἱοῦ ἐκπορεύεσθαι; ΔΙΔ. τὸ πνεῦμα τὸ ἅγιον οὐδὲν ἕτερον, ἢ ἔρως τοῦ Θεοῦ νοεῖται· ὅθεν καὶ ὁ Θεὸς ἀγάπη λέγεται· δῆλον δὲ, ὡς ὁ πατὴρ τὸν υἱὸν, ὡς ἑαυτὸν, ἀγαπᾷ· καὶ πάλιν ὁ υἱὸς τὸν πατέρα, ὡς ἑαυτὸν, ἀγαπᾷ. καὶ γὰρ ἡ ζωὴ ἀγαπᾷ ἑαυτὴν γινώσκειν, καὶ ἡ σοφία ἀγαπᾷ ἑαυτὴν ζῆν. τῆς δὲ ζωῆς καὶ τῆς σοφίας δέδεικται ὁμοίαν εἶναι οὐσίαν. ἡ φιλία τοίνυν ἢ ὁ ἔρως, ἢ ἀγάπη, ἥτις ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐν τῇ οὐσίᾳ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ὁμοούσιός ἐστι, καὶ παρ᾽ ἑκατέρου ἐκπορεύεται ἐπίσης. ΑΔΕΛ. ἀλλ᾽ ἐπεὶ τὸ D πνεῦμα τὸ ἅγιον πατρὶ καὶ υἱῷ ἐστιν ὁμοούσιον, πῶς τῆς ἀδιαιρέτου οὐσίας χωρισθῆναι δεδύνηται, ὅτε περιστερᾶς εἴδει ἐπὶ τὸν Κύριον, ἢ πυρὸς μορφῇ ἐπὶ τοὺς ἀποστόλους ἐφάνη; ΔΙΔ. τοῦ ἁγίου πνεύματος οὐσία οὐκ εἰς τὴν περιστερὰν ἠμείφθη, ὥσπερ οὐδὲ ἡ τοῦ λόγου εἰς τὴν σάρκα μεταβέβληται· ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον τὸ τῆς περιστερᾶς ἔπλασε σῶμα.

A sed solum Verbum singulariter sonuit per corpus vocis sensibile: & tamen inseparabiliter mansit in essentia mentis & memoriæ. Sic summus pater Verbum suum, seipsum cogitando, genuit: quod in patris, & spiritus sancti essentia simul coessentiale consistit. Sed tamen nec pater, nec spiritus sanctus; sed solum Verbum, quod est patris filius, singulariter humanum corpus * induit sensibile, se hominibus exhibuit, corpus sumptum indigna pati permisit, & ipsum inseparabiliter in essentia patris & spiritus sancti inuisibile & impassibile permansit. B FRAT. Qua autem similitudine amor Dei spiritus sanctus nominatur? MAGISTER. Dei essentiam dixi esse vitam. vera autem vita se viuere intelligit, & si se vitam intelligit, se vtique diligit. Dei autem viuere, intelligere, diligere, nihil est aliud quàm existere. Dilectio ergo Dei, est vita; & vita, est spiritus. Et quia Deus per dilectionem cunctis esse vel viuere tribuit, iccirco spiritus nuncupatur. Ideo autem sanctus additur, quia cuncta per eum sanctificantur. FRAT. Qualiter probatur hic spiritus à patre & fi- C lio procedere? MAGISTER. Nihil aliud spiritus sanctus, quàm amor Dei intelligitur. Vnde & Deus charitas dicitur. Constat autem, quia pater filium, vt seipsum, diligit: & item filius patrem, vt seipsum, diligit, Vita namque diligit se sapere, & iterum sapientia diligit se viuere. Vitæ autem, & sapientiæ, probata est vna essentia esse. Igitur dilectio, vel amor, vel charitas, quod est spiritus sanctus, in substantia patris & filij coessentialis existit: & ideo ab vtroque æqualiter procedit. FRAT. Si spiritus san- D ctus patri & filio coessentialis existit, quomodo ab indiuidua substantia * separari potuit, quum in specie columbæ super Dominum, vel in forma ignis super Apostolos adparuit? MAGISTER. Sancti spiritus substantia non in columbam est transmutata, sicut nec verbi [substantia] in carnem est transformata: sed spiritus sanctus columbæ corpus condidit.

* Hæc in Latinis tralata sunt.

* editi malè, sperari.

E

ΤΟΥ ΑΓΙΟΥ ΙΛΑΡΙΟΥ
Πικταβῶν ἐπισκόπου.

Ἐκ τοῦ μετὰ τὴν πεντηκοστὴν ἀναγινωσκομένου λόγου, ἐν τῇ ἑορτῇ τῆς ἁγίας Τριάδος.

ΠΙΣΤΕΥΟΜΕΝ τὴν ἁγίαν τριάδα, τοῦτ᾽ ἔστι τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα, ἕνα Θεὸν παντοδύναμον, μιᾶς οὐσίας, μιᾶς ὑπάρξεως,

SANCTI HILARII
Pictauorum Episcopi.

Ex sermone, qui post Pentecosten, in festo sanctæ Trinitatis, recitatur.

Non exstat inter edita huius opera.

CREDIMVS sanctam Trinitatem, hoc est, Patrem & Filium & Spiritum sanctum, vnum Deum omnipotentem, vnius substantiæ, vnius essentiæ,

vnius potestatis, conditorem omnium creaturarum, ex quo omnia, per quem omnia, in quo omnia: patrem à seipso, non ab alio: filium ex patre genitum, Deum verum, de Deo vero, lumen verum, ex vero lumine; non tamen duo lumina, sed vnum lumen: spiritum sanctum, à patre ac filio æqualiter procedentem, consubstantialem & coæternum patri ac filio. Pater, in seipso perfectus Deus; filius, perfectus Deus, ex patre natus; spiritus sanctus, perfectus Deus, ex patre natus; spiritus sanctus, perfectus Deus, à patre ac filio procedens. Non tres autem Deos dicimus, sed vnum Deum omnipotentem, æternum, inuisibilem, incommutabilem, totum vbique præsentem, non in partes diuisum, sed totum in vniuersis; non localiter, sed potestate: qui quum sit incommutabilis, mutabilia creauit, & creata gubernat; semper id manens, quod est; cui impossibile est, accidens aliquod adesse: (nam simplici diuinitatis naturæ quidquam adiici, vel adimi nequit. semper est enim, quod est) cui proprium est, cui æternum, cui idem, & esse, & viuere, & cogitare. atque hæc tria, Deus vnus; & vnus Deus, hæc tria. hoc est Deus ac Dominus, vera & æterna in persona Trinitas; vera & æterna in substantia pater, & filius, & spiritus sanctus. Hæc autem sancta Trinitas nihilo magis est in tribus personis simul dictis, quàm si qualibet in persona semel enuntietur. Nã quælibet persona perfecta in se substantia est. non tamen tres substantiæ sunt, sed vnus Deus, vna substantia, vna potestas, vna essentia, vna æternitas, vna maiestas, vna bonitas; pater, & filius, & spiritus sanctus. Non est autem aliud pater in natura filij, vel spiritus sancti; nec aliud filius & spiritus sanctus in natura patris; quum vna sit his natura: verum alius est pater, persona; alius est filius, persona; alius est spiritus sanctus, persona. In patre æternitas, in filio æqualitas, in spiritu sancto æternitatis & æqualitatis connexio. Vnum omnes substantia, essentia, omnipotentia, diuinitate. Nam quemadmodum hæc sancta Trinitas indiuidua est substantia, sic & operibus est indiuidua: licet ex operibus Dei quædam singulariter aliquibus personis congruunt, vt vox ista, quæ de cœlis sonuit, quando baptizabatur Christus, patri: & soli personæ filij, humanitatis adsumptio competit: & singulariter personæ spiritus sancti, columba; in cuius specie idem spiritus sanctus supra filium Dei; qui vt homo baptizabatur, descendit. Procul dubio tamen & vocem illam, & columbam, & humanitatem Christi, tota Trinitas effecit, cuius opera sunt indiuidua.

A μιᾶς ἐξουσίας, δημιουργὸν πάντων τῶν κτισμάτων, ἐξ οὗ πάντα, δι᾽ οὗ πάντα, ἐν ᾧ πάντα· πατέρα ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ οὐκ ἀφ᾽ ἑτέρου· υἱὸν ἐκ τοῦ πατρὸς γεννητὸν, Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ ἀληθινοῦ· φῶς ἀληθινὸν, ἐκ φωτὸς ἀληθινοῦ. οὐ μὴν δύο φῶτα, ἀλλ᾽ ἓν φῶς· πνεῦμα ἅγιον, παρὰ πατρὸς καὶ υἱοῦ ἐπίσης ἐκπορευόμενον, ὁμοούσιον καὶ συναΐδιον πατρὶ καὶ υἱῷ. πατὴρ ἐν ἑαυτῷ πλήρης Θεός, υἱὸς πλήρης Θεὸς, ἐκ τοῦ πατρὸς γεννηθείς· πνεῦμα ἅγιον πλήρης Θεὸς, παρὰ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον. οὐ τρεῖς δὲ φαμὲν Θεοὺς, B ἀλλ᾽ ἕνα Θεὸν παντοκράτορα, αἰώνιον, ἀόρατον, ἀμετάβλητον, ὅλον πανταχοῦ παρόντα, οὐκ εἰς μέρη διαιρούμενον, ἀλλ᾽ ὅλον ἐν πᾶσιν, οὐ τοπικῶς, ἀλλὰ τῇ δυνάμει· ὃς ἀμετάβλητος ὢν, ἔκτισε τὰ μεταβλητὰ, καὶ τὰ κτισθέντα κυβερνᾷ, ἀεὶ μένων ὅπερ ἐστὶν· ᾧ συμβεβηκὸς ἀδύνατόν τι προσεῖναι. (τῇ γὰρ ἁπλῇ τῆς θειότητος φύσει προστεθῆναι ἢ ἀφαιρεθῆναί τι ἀμήχανον, ἀεὶ γάρ ἐστιν ὅπερ ἐστὶν) ᾧ ἴδιόν ἐστιν, ᾧ ἀΐδιόν ἐστι, ᾧ ταυτόν ἐστι, τὸ εἶναι, καὶ ζῆν, καὶ νοεῖν· καὶ ταῦτα τὰ τρία, εἷς Θεός. καὶ ὁ εἷς Θεὸς, ταῦτα τὰ τρία. τοῦτ᾽ ἔστι Θεὸς καὶ Κύριος, ἀληθὴς καὶ ἀΐδιος ἐν τοῖς προσώποις τριάς· C ἀληθὴς καὶ ἀΐδιος ἐν τῇ οὐσίᾳ μονάς. ἐπεὶ μία οὐσία ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα. αὕτη δὲ ἡ ἁγία τριὰς, οὐδὲν τι μεῖζόν ἐστιν ἐν τοῖς τρισὶ προσώποις ἅμα ῥηθεῖσιν, ἢ ἐν ἑνὶ ἑκάστῳ προσώπῳ ἅπαξ ῥηθέντες. ἕκαστον γὰρ τῶν προσώπων πλήρης ἐστὶν οὐσία ἐν ἑαυτῷ, οὐ μὴν τρεῖς οὐσίαι, ἀλλ᾽ εἷς Θεὸς, μία οὐσία, μία ἐξουσία, μία ὕπαρξις, μία ἀϊδιότης, μία μεγαλειότης, μία ἀγαθότης, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. οὐχ ἕτερον δέ ἐστιν ὁ πατὴρ ἐν τῇ φύσει τοῦ υἱοῦ, ἢ τοῦ ἁγίου πνεύματος· οὐδὲ ἕτερον ὁ υἱὸς καὶ τὸ ἅγιον D πνεῦμα τοῦ πατρὸς ἐν τῇ φύσει· εἷς ἐστι μία φύσις. πλὴν ἄλλος ἐστὶν ὁ πατὴρ, τῷ προσώπῳ, ἄλλος ὁ υἱὸς, τῷ προσώπῳ· καὶ ἕτερον τὸ πνεῦμα τὸ ἅγιον, τῷ προσώπῳ. ἐν τῷ πατρὶ ἀϊδιότης, ἐν τῷ υἱῷ ἰσότης, ἐν τῷ ἁγίῳ πνεύματι τῆς ἀϊδιότητος καὶ τῆς ἰσότητος σύνδεσμος. ἓν οἱ πάντες τῇ οὐσίᾳ, τῇ ὑπάρξει, τῇ παντοδυναμότητι, τῇ θεότητι. ὥσπερ γὰρ αὕτη ἡ ἁγία τριὰς ἀδιαίρετός ἐστι τῇ οὐσίᾳ, οὕτω καὶ τοῖς ἔργοις ἐστὶν ἀδιαίρετος· εἰ καί τινα τῶν τοῦ Θεοῦ ἔργων ἰδίως τισὶ τῶν προσώπων ἁρμόζουσιν, ὥσπερ ἡ ἐκ τῶν οὐρανῶν ἠχήσασα φωνὴ, ὅτε ὁ Χριστὸς ἐβαπτίζετο, τῷ E πατρὶ· καὶ τῷ προσώπῳ τοῦ υἱοῦ μόνῳ προσήκει ἡ τῆς ἀνθρωπότητος πρόσληψις· καὶ τῷ προσώπῳ τοῦ ἁγίου πνεύματος ἰδίως ἡ περιστερὰ, ἧς ἐν εἴδει τὸ αὐτὸ πνεῦμα ἅγιον κατελήλυθεν ἐπὶ τὸν υἱὸν τοῦ Θεοῦ, ὡς ἄνθρωπον βαπτιζόμενον. πλὴν ἀναμφιβόλως τὴν φωνὴν ἐκείνην, καὶ τὴν περιστερὰν, καὶ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, ὅλη ἡ τριὰς ἐνήργησεν, ἧς τὰ ἔργα ἀδιαίρετά ἐστιν.